ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

Printed in Greece
Athens 1985

ΒΙΒΛΙΟΘΗΚΗ ΕΛΛΗΝΩΝ ΠΑΤΕΡΩΝ
ΚΑΙ ΕΚΚΛΗΣΙΑΣΤΙΚΩΝ ΣΥΓΓΡΑΦΕΩΝ

ΤΟΜΟΣ ΕΞΗΚΟΣΤΟΣ ΤΡΙΤΟΣ

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

(ΜΕΡΟΣ Ϛ΄)

Γενικὴ Ἐπιστασία καὶ Ἐπιμέλεια
ΗΛΙΑ Δ. ΜΟΥΤΣΟΥΛΑ
Καθηγητοῦ Πανεπιστημίου Ἀθηνῶν

Ἐπιμελητής
ΚΙΜΩΝ Γ. ΠΑΠΑΧΡΙΣΤΟΠΟΥΛΟΣ
Θεολόγος - Καθηγητής

ΕΚΔΟΣΙΣ ΤΗΣ ΑΠΟΣΤΟΛΙΚΗΣ ΔΙΑΚΟΝΙΑΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΘΗΝΑΙ 1985

ΠΕΡΙΕΧΟΜΕΝΑ

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

(ΜΕΡΟΣ Ϛ')

Σελ.

Π Ρ Ο Λ Ο Γ Ο Σ

Ἐκρίναμεν σκόπιμον νὰ δημοσιεύσωμεν εἰς τὴν παροῦσαν σειράν, καὶ εὐθὺς ἀμέσως μετὰ ἀπὸ τὰ ἔργα τοῦ Γρηγορίου τοῦ Θεολόγου, ἔργα τινὰ τῶν σχολιαστῶν τοῦ ἁγίου αὐτοῦ πατρός. Ταῦτα περιελήφθησαν εἰς δύο τόμους, τὸν παρόντα 63ον, ἐν τῷ ὁποίῳ κατεχωρίσαμεν τὰ σχόλια εἰς τοὺς λόγους, καὶ τὸν ἑπόμενον 64ον, ἐν ᾧ διελάβομεν τὰ σχόλια εἰς τὰ ἔπη αὐτοῦ. Παρελείψαμεν τὰ σχόλια μεγάλων σχολιαστῶν ὡς τοῦ Μαξίμου τοῦ Ὁμολογητοῦ κ.ἄ., τὰ ὁποῖα εὑρηνται ἐν τοῖς ἔργοις αὐτῶν.

Συνοπτικῶς περὶ τῶν σχολιαστῶν τοῦ Γρηγορίου παρατηροῦμεν τὰ ἑξῆς: Ὁ ἀββᾶς Νόννος, εἰς τὸν ὁποῖον ἀποδίδονται τὰ ἀρχαιότερα εἰς τὸν Γρηγόριον τὸν Ναζιανζηνὸν σχόλια ὡς καὶ ὑπομνήματα ἱστορικοῦ περιεχομένου, πιθανῶς ἔζησε τὰς ἀρχὰς τοῦ ΣΤ' αἰ. (κατὰ τὸν Patrig κατήγετο ἐκ Συρίας). Ὁ Δωρόθεος ἀρχιμανδρίτης ἐκ Παλαιστίνης, πιθανῶς ἐκ Γάζης, ἔδρασε τὸ πρῶτον ἥμισυ, τοῦ ΣΤ' αἰ Ὑπῆρξε μαθητὴς τοῦ ἀββᾶ Ἰωάννου τῆς μονῆς τοῦ Σεφίδου. Διεκρίνετο διὰ τὴν ἀκάματον ἐργατικότητα καὶ τὴν ἀρετήν του. Συνέγραψε ἑρμηνείαν ἀποσπασμάτων ἐκ τῶν ὁμιλιῶν Γρηγορίου τοῦ θεολόγου κ'ἄ.

Περὶ τοῦ Γεωργίου Μοκηνοῦ ἢ Μοκίου γνωρίζομεν ὅτι ἔζησε ὀλίγον πρὸ τοῦ Βασιλείου τοῦ μικροῦ (ἰδὲ κατωτέρω) διότι οὗτος ἤντλησεν ἐκ τῶν σχολίων του. Εἶναι ἀβέβαιον ἂν πρέπει νὰ ταυτισθῇ πρὸς τὸν ὑπὸ τοῦ Ἠλία Κρήτης ἀναφερόμενον Γεώργιον. Ὁ Βασίλειος ὁ αὐτοκαλούμενος μικρός, ἐκ Σελευκείας καταγόμενος, ὑπῆρξε μητροπολίτης Καισαρείας καὶ ἤκμασε κατὰ τὸ α' ἥμισυ τοῦ ι' αἰ., μέχρι καὶ τοῦ 359. Οὗτος ἐσχολίασε χάριν τοῦ Κων/νου τοῦ Πορφυρογεννήτου τοὺς 42 ἐκ τῶν 45 λόγων Γρηγορίου τοῦ Θεολόγου (πλὴν τῶν 12, 35 καὶ 37), ἀντὶ τῶν ὁποίων ἐσχολίασε τὰς ἐπιστολὰς 101, 102 καὶ 243. Ὁ Ἰωάννης ὁ Κυριώτης ἢ συνηθέστερον «γεωμέτρης», ὑπῆρξεν ἐκ τῶν ἀξιολογωτέρων λογίων τοῦ ι' αἰ. Ὑπῆρξεν μαθητὴς τοῦ Νικηφόρου, πιθανῶς τοῦ ἐπὶ Κων/νου τοῦ Πορφυρογεννήτου, καθηγητοῦ τῆς γεωμετρίας. Γέρων ἐχειροτονήθη ἱερεὺς καὶ ἐπίσκοπος. Οὗτος συνέταξεν ὁμιλίας, σχόλια καὶ ποιήματα.

Ὁ Νικήτας, ὁ λεγόμενος Σερρῶν ὡς ἀνεψιὸς τοῦ μητροπολίτου Σερρῶν καὶ Ἡρακλείας ὡς ἀρχιεπίσκοπος αὐτῆς, ἤκμασε κατὰ τὸ δεύτερον ἥμισυ τοῦ ια' αἰ., διετέλεσε δὲ διάκονος, διδάσκαλος καὶ σκευοφύλαξ τῆς Ἁγίας Σοφίας τῆς Κων/λεως. Οὗτος ἔγραψε σειρὰς εἰς πολλὰ βιβλία τῆς Παλαιᾶς καὶ τῆς Καινῆς Διαθήκης ὡς καὶ σχό-

λια εἰς 16 λόγους τοῦ Γρηγορίου τοῦ Θεολόγου καὶ εἰς τὰ τετράστιχα αὐτοῦ. Ὁ Ἠλίας ὁ Κρήτης, ἐπιφανὴς κανονολόγος καὶ σχολιαστὴς ἤκμασε κατὰ τὸ α' ἥμισυ τοῦ ιβ' αἰ. Ἐξωρίσθη ἐξ αἰτίας τῆς περὶ τῆς προσκομιδῆς ἔριδος νεωτεριστῶν ἁγιοριτῶν μοναχῶν ἄγνωστον ὅμως πότε καὶ ποῦ. Οὗτος συνέταξεν ἀποκρίσεις εἰς 19 λόγους καὶ δύο ἐπιστολὰς τοῦ Γρηγορίου τοῦ Θεολόγου. Ὁ Νικηφόρος Κάλλιστος Ξανθόπουλος ἔζησε τὸ δεύτερον ἥμισυ τοῦ ιγ' αἰ. καὶ τὰς τρεῖς πρώτας δεκαετίας τοῦ ιδ' αἰ. εἰς τὸ Βυζάντιον, διακριθεὶς ὡς ἱστορικός, ἐξηγητὴς τῆς Ἁγ. Γραφῆς, τῶν Πατέρων καὶ τῶν ὑμνογράφων, ἁγιολόγος καὶ ποιητὴς ἐκκλησιαστικῶν ὕμνων καὶ ἐπιγραμμάτων. Ἐκ τῶν πολλῶν ἔργων του σημειοῦμεν τὰ σχόλιά του εἰς 30 ὁμιλίας Γρηγορίου τοῦ Θεολόγου.

Ἐκ τῶν σχολιαστῶν τῶν ποιημάτων τοῦ Γρηγορίου τοῦ Θεολόγου ὁ μὲν Κοσμᾶς ὁ Ἱεροσολυμίτης, μοναχὸς τῆς μονῆς τοῦ Ἁγ. Σάββα καὶ ἀργότερον μητροπολίτης Μαϊουμᾶ, γνωστὸς ὡς μελῳδός, ἔζησε τὸ πρῶτον ἥμισυ τοῦ η' αἰ. ὁ δὲ Νικήτας Δαυίδ, ἐπίσκοπος Δαδύβρων τῆς Παφλαγονίας, (ὄχι ὁ Παφλαγών), ἔζησε περὶ τὰ μέσα τοῦ ι' αἰ.

Οἱ σχολιασταὶ τοῦ Γρηγορίου τοῦ Θεολόγου διασαφηνίζουν τόσον τὰ θεολογικὰ νοούμενα ἢ παραλειπόμενα ἐν τοῖς ἔργοις αὐτοῦ, ὅσον καὶ τὰ θύραθεν μυθολογικὰ καὶ ἱστορικὰ τοιαῦτα, εἰς τὰ ὁποῖα καὶ ἔδωσαν προτεραιότητα καὶ δι' ὧν φανεροῦται ἡ εὐρύτητα τῶν γνώσεων αὐτοῦ.

Ἡ ἀνεύρεσις τῶν παραπομπῶν εἰς τὰ σχολιαζόμενα 5.000 περίπου ἐδάφια τῶν ἔργων τοῦ θείου Γρηγορίου ἦτο ἔργον ἐπίπονον καὶ δυσχερές, καθόσον δὲν εἴχομεν πλέον εἰς τὴν διάθεσιν ἡμῶν τὰ φύλλα (folia) εἰς τὰ ὁποῖα παρέπεμπον αἱ σχετικαὶ ἐκδόσεις.

Αἱ παραπομπαὶ τῶν ἐν τοῖς τόμοις 63ῳ καὶ 64ῳ σχολιαζομένων ἐδαφίων δηλοῦνται εἰς τὴν παροῦσαν σειρὰν ΒΕΠΕΣ διὰ τριῶν ἀριθμῶν (59,27,36), ὅπου ὁ πρῶτος ἀριθμὸς δηλοῖ τὸν τόμον, ὁ δεύτερος τὴν σελίδα καὶ ὁ τρίτος τὸν στίχον.

Ἐπειδὴ ἠκολουθήσαμεν τὴν ὑπὸ τοῦ M. G e e r a r d κατάταξιν τῶν ἔργων ἐν τῷ Clavis Patrum Graecorum, αἱ παρατιθέμεναι παρ' ἡμῖν σελίδες τῆς Πατρολογίας J.-P. Migne διευκολύνουν καὶ τὴν εἰς αὐτὴν εὕρεσιν τῶν ἀντιστοίχων ἔργων.

Ὅπου ἐπενέγκαμεν διορθώσεις, ἐνεκλείσαμεν ὅ,τι ἀποβάλλεται ἐντὸς ὀρθῆς [ ]αγκύλης, ὅ,τι εἰσάγεται ὡς ὀρθὸν ἐντὸς λοξῆς ⟨ ⟩. Διετηρήσαμεν δὲ πολλὰς λέξεις, κυρίως ἀναυξήτους ρηματικοὺς τύπους, ὡς ἔχουν ἐν τοῖς χειρογράφοις, τόσον διὰ τὴν ἱστορίαν τῆς γλώσσης, ὅσον καὶ ἐκ σεβασμοῦ πρὸς αὐτά.

ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ

Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ *

[700] Ὁ ἐπισκεψάμενος ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς, Δέσποτα Κύριε Ἰησοῦ Χριστέ, καὶ χαρισάμενος ἡμῖν παρρησίαν, τοῖς ταπεινοῖς καὶ ἁμαρτωλοῖς καὶ ἀναξίοις δούλοις σου, παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν σοι τὴν φοβερὰν καὶ ἀναίμακτον θυσίαν, ὑπὲρ τῶν ἡμετέρων ἁμαρτημάτων καὶ τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἄνεσιν καὶ ἀνάπαυσιν τῶν προκοιμηθέντων πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ στηριγμὸν παντὸς τοῦ λαοῦ σου. Ἐπίβλεψον εἰς ἐμὲ τὸν ἀχρεῖον δοῦλόν σου καὶ ἐξάλειψόν μου τὰ παραπτώματα, διὰ τὴν σὴν εὐσπλαγχνίαν· καὶ καθάρισόν μου τὰ χείλη καὶ τὴν καρδίαν ἀπὸ παντὸς μολυσμοῦ σαρκός τε καὶ πνεύματος[1]· καὶ ἀπόστησον ἀπ' ἐμοῦ πάντα λογισμὸν αἰσχρόν τε καὶ ἀσύνετον· καὶ ἁγίασόν με τῇ δυνάμει τοῦ Ἁγίου σου Πνεύματος εἰς τὴν λειτουργίαν ταύτην καὶ πρόσδεξαί με διὰ τὴν σὴν ἀγαθότητα, προσεγγίζοντα τῷ ἁγίῳ σου θυσιαστηρίῳ· καὶ εὐδόκησον, Κύριε, δεκτὰ γενέσθαι τὰ μέλλοντα προσαγόμενά σοι δῶρα, διὰ τῶν ἡμετέρων χειρῶν, συγκαταβαίνων ταῖς ἐμαῖς ἀσθενείαις· καὶ «μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου»[2]· μὴ βδελύξῃ[ς] με, τὴν ἐμὴν ἀναξιότητα, ἀλλ' ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου, ἵνα ἀκατακρίτως προσελθὼν κατενώπιον τῆς δόξης σου καταξιωθῶ τῆς σκέπης σου καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος· καὶ μὴ ὡς δοῦλος ἁμαρτίας ἀποδόκιμος γένωμαι, ἀλλ' ὡς δοῦλος ⟨σὸς⟩[ὃς] εὕρω * χάριν καὶ ἔλεος καὶ ἄφεσιν ἁμαρτιῶν, ἐν τῷ νῦν καὶ ἐν τῷ μέλλοντι αἰῶνι. Ναί, Δέσποτα παντοκράτορ, παντοδύναμε Κύριε, ἐπάκουσον τῆς δεήσεώς μου. Σὺ γὰρ εἶ ὁ τὰ πάντα ἐνεργῶν ἐν πᾶσι· καὶ τὴν παρὰ σοῦ πάντες ἐπιζητοῦμεν ἐπὶ πᾶσι βοήθειάν τε καὶ ἀντίληψιν. Ὅτι φιλάνθρωπος εἶ, καὶ δεδοξασμένος ὑπάρχεις, Ἰησοῦ ὁ Θεὸς ἡμῶν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν καὶ ἀεί.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 700-733.

1. Πρβλ. Β' Κορ. 7,1. 2. Ψαλ. 50,13.

[701] *Εὐχὴ μετὰ τὴν ἑτοιμασίαν τοῦ ἁγίου θυσιαστηρίου.*

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ διὰ τῆς σωτηριώδους παρουσίας σου καὶ τῆς ἐλλάμψεως τοῦ παναγίου σου Πνεύματος, καταξιώσας ἡμᾶς τοὺς ταπεινοὺς καὶ ἁμαρτωλοὺς καὶ ἀναξίους δούλους σου παραστῆναι τῷ ἁγίῳ σου θυσιαστηρίῳ καὶ προσφέρειν καὶ λειτουργεῖν τοῖς ἀχράντοις μυστηρίοις τῆς καινῆς σου διαθήκης. Αὐτός, ζωοποιὲ καὶ ἀγαθῶν χορηγέ, ποίησον μεθ' ἡμῶν σημεῖον εἰς ἀγαθὸν καὶ ἀξίωσον ἡμᾶς ἐν καθαρῷ συνειδότι λατρεῦσαί σοι πάσας τὰς ἡμέρας τῆς ζωῆς ἡμῶν καὶ ἐν ἁγιασμῷ ταύτην σοι τὴν θείαν προσενέγκειν λειτουργίαν, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ἀπόλαυσιν τῆς μελλούσης μακαριότητος. Μνήσθητι, ἀγαθέ, εὐεργέτα, βασιλεῦ τῶν αἰώνων καὶ τῆς κτίσεως ἁπάσης δημιουργέ, τῶν προσενεγκάντων καὶ δι' ὧν προσήγαγον· καὶ ἡμᾶς ἀκατακρίτους διαφύλαξον ἐν τῇ ἱερουργίᾳ τῶν θείων σου μυστηρίων. Ὅτι ηὐλόγηται καὶ ἡγίασται καὶ δεδόξασται τὸ πάντιμον καὶ μεγαλοπρεπὲς ἅγιον ὄνομά σου, μετὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος νῦν, καὶ...

Εὐχὴ τοῦ ἁγίου Εὐαγγελίου.

Εἰρήνη πᾶσι.

Δέσποτα, Κύριε, Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ὁ τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἱεροῖς σου ἀποστόλοις εἰπών, ὅτι «πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ βλέπετε καὶ οὐκ εἶδον· καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν· ὑμῶν γὰρ μακάριοι οἱ ὀφθαλμοὶ ὅτι βλέπουσι καὶ τὰ ὦτα ὑμῶν ὅτι ἀκούει»[1]. Καὶ καταξιωθείημεν ἄρτι τοῦ ἀκοῦσαι καὶ ποιῆσαι τὰ ἅγιά σου Εὐαγγέλια, ταῖς λιταῖς τῶν ἱερῶν σου.

Μνημόνευσον οὖν, Δέσποτα, καὶ νῦν πάντων τῶν ἐντειλαμένων ἡμῖν ἀναξίοις, τοῦ μνημονεύειν αὐτῶν εἰς τὰς δεήσεις ἡμετέρας, καὶ τὰς αἰτήσεις, ἃς ἀναβιβάζομέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν. Τοὺς προτετελευτηκότας, ἀνάπαυσον αὐτούς· ⟨τοὺς⟩ κάμνοντας, ἔρρωσον αὐτούς. Σὺ γὰρ εἶ ζωὴ ἡμῶν πάντων καὶ σωτηρία ἡμῶν πάντων, καὶ ἐλπὶς ἡμῶν πάντων, καὶ ἴασις ἡμῶν πάντων, καὶ ἀνάστασις οἰκεία πάντων ἡμῶν· καὶ σοὶ τὴν δόξαν, τιμὴν καὶ προσκύνησιν ἀναπέμπομεν, σὺν τῷ παντοκράτορί σου καὶ παντεπόπτῃ τεκόντι καὶ τῷ παναγίῳ καὶ ζωαρχικῷ καὶ ὁμοουσίῳ σου Πνεύματι, νῦν καὶ ἀεί.

Εὐχὴ τοῦ καταπετάσματος.

Οὐδεὶς ἄξιος τῶν συνδεδεμένων ταῖς σαρκικαῖς «ἐπιθυμίαις καὶ ἡδοναῖς»[2] προσέρχεσθαι ἢ προσεγγίζειν ἢ λειτουργεῖν σοι, «Βασιλεῦ τῆς δόξης»[3]. Τὸ γὰρ διακονεῖν σοι μέγα καὶ φοβερόν,

1. Ματθ 13,17,16 2 Τίτ 3,3. Πρβλ Α' Πέτρ. 2,11. 3. Ψαλ. 23,7.

καὶ αὐταῖς ταῖς ἐπουρανίαις δυνάμεσιν ἀπρόσιτον. Ἀλλ᾽ ὅμως διὰ τὴν ἄφατον καὶ ἄμετρόν σου φιλανθρωπίαν, ἀτρέπτως καὶ ἀναλλοιώ⟨τω⟩ς γέγονας ἄνθρωπος καὶ ἀρχιε**[704]**ρεὺς ἡμῖν ἐχρημάτισας καὶ τῆς λειτουργικῆς ταύτης καὶ ἀναιμάκτου θυσίας τὴν ἱερουργίαν παρέδωκας ἡμῖν, ὡς Δεσπότης τῶν ἁπάντων[1]. Σὺ γὰρ (εἶ)· δεσπόζεις τῶν ἐπουρανίων καὶ ἐπιγείων καὶ τῶν καταχθονίων, ὁ ἐπὶ θρόνου χερουβικοῦ ἐποχούμενος, ὁ τῶν σεραφὶμ Κύριος καὶ «Βασιλεὺς τοῦ Ἰσραήλ»[2]· ὁ μόνος «ἅγιος, καὶ ἐν ἁγίοις ἀναπαυόμενος»[3]. Σὲ τοίνυν δυσωπῶ τὸν μόνον ἀγαθὸν καὶ εὐήκοον Θεόν, «ἐπίβλεψον ἐπ᾽ ἐμὲ»[4] τὸν ἁμαρτωλὸν καὶ ἀχρεῖον δοῦλόν σου[5]· καὶ ἱκάνωσόν[6] με τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος[7], ἐνδεδυμένον τὴν τῆς ἱερατείας χάριν, παραστῆναι τῇ ἁγίᾳ σου ταύτῃ τραπέζῃ καὶ ἱερουργῆσαι τὸ ἄχραντόν σου σῶμα καὶ τὸ τίμιόν σου αἷμα. Σοὶ γὰρ προσέρχομαι κλίνας τὸν ἐμαυτοῦ αὐχένα· καὶ δέομαί σου, «μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ»[8]· «μηδὲ ἀποδοκιμάσῃς με ἐκ παίδων σου»[9]· ἀλλ᾽ ἀξίωσόν με προσενεχθῆναί σοι τὰ δῶρα ταῦτα, ὑπ᾽ ἐμοῦ τοῦ ἁμαρτωλοῦ καὶ ἀναξίου δούλου σου. Σὺ γὰρ εἶ ἁγιάζων καὶ ἁγιαζόμενος, προσφέρων τε καὶ προσφερόμενος, ὁ δεχόμενος καὶ δεκτός, ὁ διδοὺς καὶ διαδιδόμενος· καὶ σοὶ δόξαν ἀναπέμπομεν, μετὰ τοῦ Πατρὸς καὶ τοῦ Ἁγίου Πνεύματος.

Εὐχὴ ἄλλη καταπετάσματος παρ᾽ Αἰγυπτίοις.

Κύριε ὁ Θεὸς ἡμῶν ὁ παντοκράτωρ, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων, ὁ ἐτάζων καρδίας καὶ νεφρούς· ὁ ἐμὲ τὸν ἀνάξιον καλέσας πρὸς τὴν σὴν λειτουργίαν ταύτην· μὴ βδελύξῃς με, μηδὲ τὸ πρόσωπόν σου ἀποστρέψῃς ἀπ᾽ ἐμοῦ· ἀλλ᾽ ἐξάλειψόν μου πάντα τὰ παραπτώματα καὶ ἀπόπλυνόν μου τὸν ῥύπον τοῦ σώματος καὶ τὸν σπῖλον τῆς ψυχῆς καὶ ὅλον με ἁγίασον, ἵνα μὴ ἱκετεύων σε δοῦναι ἄφεσιν ἄλλοις ἁμαρτιῶν, «αὐτὸς ἀδόκιμος γένωμαι»[10]. Ναί, Κύριε, μὴ ἀποστραφείης με τεταπεινωμένον καὶ κατῃσχυμμένον, ἀλλ᾽ ἐξαπόστειλόν μοι τὴν χάριν τοῦ Ἁγίου σου Πνεύματος καὶ ἀξίωσόν με παραστῆναι ἐπὶ τὸ ἅγιόν σου θυσιαστήριον ἀκατακρίτως καὶ προσφέρειν σοι ⟨τὴν⟩ λογικὴν καὶ ἀναίμακτον προσφορὰν ταύτην, μετὰ συνειδήσεως καθαρᾶς, εἰς συγχώρησιν τῶν ἡμῶν ἁμαρτημάτων, καὶ τῶν παραπτωμάτων· καὶ εἰς ἄφεσιν τῶν τοῦ λαοῦ σου ἀγνοημάτων, εἰς ἀνάπαυσιν καὶ ἀναψυχὴν τῶν προκεκοιμημένων πατέρων ἡμῶν καὶ ἀδελφῶν καὶ εἰς στηριγμὸν παντὸς τοῦ λαοῦ σου, εἰς δόξαν σὴν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος νῦν...

---

1. Πρβλ. Ἰὼβ 5,8. 2. Σοφον. 3,15. Ἰω. 1,50. 3. Ἡσ. 57,15. 4. Ψαλ. 24,16. 5. Πρβλ. Ματθ. 25,30. Λουκ. 17,1. 6. Πρβλ. Β´ Κορ 3,6. 7. Λουκ. 4,14. Ρωμ. 15,13. 8. Ψαλ. 142,7. 9. Σ. Σολ. 9,4. 10. Α´ Κορ. 9,27.

Εὐχὴ τοῦ ἀσπασμοῦ.

Εἰρήνη πᾶσιν.

Ὁ ὤν, καὶ προών, καὶ διαμένων εἰς τοὺς αἰῶνας· ὁ τῷ Πατρὶ συναΐδιος καὶ ὁμοούσιος καὶ σύνθρονος καὶ συνδημιουργός. Ὁ διὰ μόνην ἀγαθότητα ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παράγων τὸν ἄνθρωπον καὶ θέμενος αὐτὸν ἐν παραδείσῳ τρυφῆς. Ἀπάτῃ δὲ τοῦ **[705]** ἐχθροῦ καὶ παρακοῇ τῆς σῆς ἐντολῆς παραπεσόντα, ἀνακαινίσαι βουλόμενος καὶ πρὸς τὸ ἀρχαῖον ἀναγαγεῖν ἀξίωμα, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐ πατριάρχης, οὐ προφήτης τὴν ἡμῶν ἐνεχείρησας σωτηρίαν· ἀλλ' αὐτὸς ἀτρέπτως σὰρξ γενόμενος καὶ ἐνηνθρώπησας, κατὰ πάντα ὡμοιώθης ἡμῖν, ἐκτὸς μόνης τῆς ἁμαρτίας· μεσίτης ἡμῶν γενόμενος καὶ τοῦ Πατρός, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ καὶ τὴν χρονίαν ἔχθραν καθελών, τὰ ἐπίγεια τοῖς ἐπουρανίοις συνῆψας, καὶ τὰ ἀμφότερα εἰς ἓν συνήγαγες καὶ τὴν ἔνσαρκον ἐπλήρωσας οἰκονομίαν. Καὶ μέλλων σωματικῶς ἐλαύνειν εἰς τοὺς οὐρανούς, θεϊκῶς τὰ πάντα πληρῶν, τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις ἔλεγες· «Εἰρήνην ἀφίημι ὑμῖν· εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν»[1] Ταύτην καὶ νῦν ⟨τὴν⟩ εἰρήνην ἡμῖν δώρησαι, Δέσποτα· [χάρισαι] παντὸς ἀποκάθαρον μολύσματος, παντὸς δόλου καὶ πάσης κακίας καὶ πανουργίας καὶ τῆς θανατηφόρου μνησικακίας, καὶ καταξίωσον ἡμᾶς ἀσπάσασθαι ἀλλήλους ἐν φιλήματι ἁγίῳ, εἰς τὸ μετασχεῖν ἀκατακρίτως τῆς ἀθανάτου καὶ ἐπουρανίου σου δωρεᾶς· χάριτι τῆς εὐδοκίας τοῦ Πατρός, καὶ ἐνεργείᾳ τοῦ Ἁγίου Πνεύματος. Σὺ γὰρ εἶ ὁ χορηγὸς καὶ δοτὴρ πάντων τῶν ἀγαθῶν, καὶ σοὶ τὴν δόξαν, τὴν ἀΐδιον δοξολογίαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ Ἁγίῳ σου Πνεύματι, νῦν καὶ ἀεί...

Εὐχὴ ἄλλη τοῦ ἀσπασμοῦ.

Χριστὲ ὁ Θεὸς ἡμῶν, ἡ φοβερὰ καὶ ἀπερινόητος δύναμις τοῦ Θεοῦ καὶ Πατρός· ὁ τοῦ φλογίνου θρόνου τῶν χερουβὶμ ὑπερκαθήμενος καὶ ὑπὸ πυρίνων δυνάμεων δορυφορούμενος καὶ πῦρ καταναλίσκον ὑπάρχων ὡς Θεός· καὶ διὰ τὴν σὴν ἄφατον συγκατάβασιν καὶ φιλανθρωπίαν μὴ φλέξας τῷ προσεγγισμῷ τὸν δολερὸν προδότην, ἀλλὰ φιλικὸν αὐτὸν ἀσπασάμενος, ἕλκων αὐτὸν εἰς μετάνοιαν καὶ ἐπίγνωσιν τοῦ ἰδίου τολμήματος. Καταξίωσον ἡμᾶς, Δέσποτα, ἐπὶ τῆς φρικτῆς ταύτης ὥρας, ἐν ὁμονοίᾳ καὶ δίχα παντὸς ἐν δύο θυμοῦ καὶ λειψάνου κακίας ἀπολαβεῖν ἀλλήλους ἐν ἁγίῳ φιλήματι. Καὶ μὴ κατακρίνῃς ἡμᾶς ὑπὲρ μὴ ὁλοτελῶς, καὶ καθὼς ἀρέσαι τῇ σῇ ἀγαθότητι, καθαρεύωμεν ἀπὸ πάσης τρυγὸς ἁμαρτίας καὶ πονηρίας καὶ τῆς θανατηφόρου μνησικακίας· ἀλλ' αὐτὸς τῇ σῇ ἀφάτῳ καὶ ἀνεκδιηγήτῳ εὐσπλαγχνίᾳ εἰδὼς τὸ πλάσμα ἡμῶν τὸ ἀσθενὲς καὶ κάτω

1. Ἰω. 14,27.

βρίθον, ἐξάλειψον πᾶσαν κηλίδα παραπτωμάτων ἡμῶν, ἵνα μὴ εἰς κρῖμα ἢ εἰς κατάκριμα ἡμῖν γένηται τὸ θεῖον τοῦτο μυστήριον. Σὺ γὰρ εἶ ὁ δυνάμενος πᾶσαν ἀφιέναι ἁμαρτίαν καὶ ὑπερβαίνειν ἀδικίας καὶ ἀνομίας τῶν ταλαιπώρων ἀνθρώπων, καθαρισμὸς τοῦ κόσμου παντὸς ὑπάρχων, καὶ σοὶ πρέπει ἡ παρὰ παντὸς συμφώνως δοξολογία, τιμὴ καὶ προσκύνησις, ἅμα τῷ ἀχράντῳ σου Πατρὶ καὶ τῷ ζωοποιῷ σου Πνεύματι νῦν, κ.λ.

Καὶ γίνεται ἀσπασμός

Ὁ διάκονος λέγει· Στῶμεν καλῶς.

Ὁ λαὸς λέγει· Ἔλεος εἰρήνης.

Ὁ ἱερεὺς ἐκφωνήσει·

Ἡ ἀγάπη τοῦ Θεοῦ Πατρός, καὶ ἡ χάρις τοῦ μο**[708]**νογενοῦς Υἱοῦ, Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἡ κοινωνία καὶ ἡ δωρεὰ τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ὑμῶν[1].

Ὁ λαὸς λέγει· Καὶ μετὰ τοῦ πνεύματός σου[2].

Ὁ ἱερεὺς λέγει· Ἄνω σχῶμεν τὰς καρδίας[3].

Ὁ λαὸς λέγει· Ἔχομεν πρὸς τὸν Κύριον.

Ὁ ἱερεὺς λέγει· Εὐχαριστήσωμεν τῷ Κυρίῳ[4].

Ὁ λαὸς λέγει. Ἄξιον[5] καὶ δίκαιον.

Ὁ ἱερεὺς λέγει. Ἄξιον καὶ δίκαιον, ἄξιον καὶ δίκαιον.

Ἀρχὴ τῆς προσκομιδῆς.

Ἀληθῶς γὰρ ἄξιόν ἐστιν καὶ δίκαιόν σε αἰνεῖν, σὲ εὐλογεῖν, σὲ προσκυνεῖν, σὲ δοξάζειν τὸν μόνον ἀληθινὸν Θεόν, τὸν φιλάνθρωπον, τὸν ἄφραστον, τὸν ἀόρατον, τὸν ἀχώρητον, τὸν ἄναρχον, τὸν αἰώνιον, τὸν ἄχρονον, τὸν ἀμέτρητον, τὸν ἄτρεπτον, τὸν ἀπερινόητον· τὸν ποιητὴν τῶν ὅλων, τὸν λυτρωτὴν τῶν ἁπάντων· τὸν εὐιλατεύοντα πάσαις ταῖς ἀνομίαις ἡμῶν· τὸν ἰώμενον πάσας ⟨τὰς⟩ νόσους ἡμῶν· τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν· τὸν στεφανοῦντα ἡμᾶς ἐν ἐλέει καὶ οἰκτιρμοῖς[6]. Σὲ αἰνοῦσιν ἄγγελοι[7]· σὲ προσκυνοῦσιν ἀρχάγγελοι· σὲ ἀρχαὶ ὑμνοῦσι· σὲ κυριότητες ἀνακράζουσι· τὴν σὴν δόξαν ἐξουσίαι[8] ἀναγορεύουσι· σοὶ θρόνοι τὴν εὐφημίαν ἀναπέμπουσι· χίλιαι χιλιάδες σοι παραστήκ[ου]⟨α⟩σι καὶ μύριαι μυριάδες σοι τὴν λειτουργίαν προσάγουσι. Σὲ ὑμνεῖ τὰ ἀόρατα· σὲ προσκυνεῖ τὰ φαινόμενα, πάντα ποιοῦντα τὸν λόγον σου, Δέσποτα.

Ὁ διάκονος λέγει. Οἱ καθήμενοι ἀνάστητε.

Ὁ ἱερεὺς λέγει. Ὁ ὢν Θεέ, Κύριε ἀληθινέ, ἐκ Θεοῦ ἀληθινοῦ· ὁ τοῦ Πατρὸς ἡμῖν ὑποδείξας τὸ φέγγος· ὁ τοῦ Ἁγίου Πνεύματος τὴν ἀληθῆ γνῶσιν ἡμῖν χαρισάμενος· ὁ τὸ μέγα τοῦτο τῆς ζωῆς

---

1. Πρβλ. Β' Κορ. 13,13. 2. Πρβλ. Β' Τιμ. 4,22. 3. Πρβλ. Θρ. 3,41. 4. Ἰουδὶθ 8,25. 5. Πρβλ. Β' Θεσ. 1,3. 6. Πρβλ. Ψαλ 102,3-4 7. Α' Πέτρ. 3,22. 8. Πρβλ. Κολ. 1,16.

ἀναδείξας [τὸ] μυστήριον· ὁ τὴν τῶν ἀσωμάτων τοῖς ἀνθρώποις χοροστασίαν πηξάμενος. Ὁ τὴν τῶν σεραφὶμ τοῖς ἐπὶ γῆς παραδοὺς ὑμνῳδίαν, δέξαι μετὰ τῶν ἀοράτων καὶ τὴν ἡμετέραν φωνήν. Σύναψον ἡμᾶς ταῖς ἐπουρανίαις δυνάμεσιν. Εἴπωμεν καὶ ἡμεῖς μετ' αὐτῶν πᾶσαν ἄτοπον ἔννοιαν περιστείλαντες βοήσωμεν ὥσπερ ἐκεῖναι, ταῖς ἀσιγήτοις ἀνακράζει φωναῖς, ἀκαταπαύστοις στόμασι τὸ σὸν μεγαλεῖον ὑμνήσωμεν.

Ὁ διάκονος λέγει. Εἰς ἀνατολὰς βλέπετε.

Ὁ ἱερεὺς λέγει. Σοὶ γὰρ παραστήκει κύκλῳ τὰ σεραφὶμ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ πτέρυξι κατακαλύπτουσι τὰ πρόσωπα ἑαυτῶν· ταῖς δὲ δυσὶ τοὺς πόδας ἑαυτῶν· καὶ ταῖς μὲν δυσὶ πετόμενα καὶ ἐκέκραγον ἕτερον πρὸς ἕτερον[1].

Ἐκφωνήσει. Τὸν ἐπινίκιον ὕμνον τῶν σωτηριῶν ἡμῶν, μετὰ φωνῆς ἐνδόξου, λαμπρᾷ τῇ φωνῇ, ὑμνολογοῦντα, ᾄδοντα, βοῶντα, δοξολογοῦντα, κεκραγότα καὶ λέγοντα.

Ὁ διάκονος λέγει. Πρόσχωμεν.

Ὁ λαὸς λέγει. Ἅγιος, ἅγιος, ἅγιος Κύριος σαβαώθ, πλήρης ὁ οὐρανός[2], κ.λ.

Ὁ ἱερεὺς λέγει. Ἅγιος[3], ἅγιος εἶ, Κύριε, καὶ πανάγιος. Ἐξαίρετόν σου τῆς οὐσίας τὸ φέγγος· **[709]** ἄφραστός σου τῆς σοφίας ἡ δύναμις. Οὐδεὶς λόγος ἐκμετρήσει τῆς σῆς φιλανθρωπίας τὸ πέλαγος. Ἐποίησάς με ἄνθρωπον, ὡς φιλάνθρωπος, οὐκ αὐτὸς τῆς ἐμῆς ἐπιδεὴς δουλείας, ἐγὼ δὲ μᾶλλον τῆς σῆς χρήζων δεσποτείας. Οὐκ ὄντα με δι' εὐσπλαγχνίαν παρήγαγες· οὐρανόν μοι πρὸς ὄροφον ἔστησας· γῆν μοι πρὸς βάσιν κατέπηξας· δι' ἐμὲ θάλασσαν ἐχαλίνωσας· δι' ἐμὲ τὴν φύσιν τῶν ζῴων ἀνέδειξας· πάντα ὑπέταξας ὑπὸ τῶν ποδῶν μου· οὐδ' ἓν τῶν τῆς σῆς φιλανθρωπίας ἐν ἐμοὶ πραγμάτων παρέλειπας.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Σύ ἔπλασάς με[4] καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου· τῆς σῆς ἐξουσίας ἐν ἐμοὶ τὴν εἰκόνα ὑπέγραψας· τοῦ λόγου τὸ δῶρον ἐνέθηκας· εἰς τρυφήν μοι τὸν παράδεισον ἤνοιξας[5]· τῆς σῆς γνώσεως τὴν διδασκαλίαν παρέδωκας· ἔδειξάς με τὸ δένδρον τῆς ζωῆς· [μοι ξύλον ὑπέδειξας]· τοῦ θανάτου τὸ κέντρον ἐγνώρισας· ἑνός μοι φυτοῦ τὴν ἀπόλαυσιν ἀπηγόρευσας· ἐξ αὐτοῦ μόνου οὖν εἶπάς μοι μὴ φαγεῖν· ἔφαγον, νόμον ἠθέτησα[6]· γνώμῃ τῆς ἐντολῆς παρημέλησα· ἐγὼ δὲ τοῦ θανάτου τὴν ἀπόφασιν ἥρπασα.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Σύ μοι, ὦ Δέσποτα, τὴν τιμωρίαν μετέβαλες· ὡς ποιμὴν ἀγαθὸς εἰς πλανώμενον ἔδραμες[7]· ὡς πατὴρ

1 Πρβλ. Ἠσ. 6,2-3. 2. Ἠσ. 6,3. 3. Ἔνθ' ἀν. 4. Πρβλ. Γεν. 2,7. 5. Πρβλ. Γεν. 2,15 3,23-24. 6. Πρβλ. Γεν. 3,3 ἑξ. 7. Πρβλ. Ματθ. 18,12

ἀληθινὸς ἐμοὶ τῷ πεπτωκότι συνήλγησας· πᾶσι τοῖς πρὸς ζωὴν φαρμάκοις κατέδησας. Αὐτός μοι προφήτας ἀπέστειλας[1]· δι' ἐμὲ τὸν νοσοῦντα, νόμον εἰς βοήθειαν ἔδωκας. Αὐτός μοι τὰς πρὸς ὑγιείαν ὦ παρανομηθείσας, διηκόνησας. Φῶς τοῖς πλανωμένοις ἀνέτειλας· τοῖς ἀγνοοῦσι, ὁ ἀεὶ παρών, ἐπεδήμησας· ἐπὶ τὴν παρθενικὴν ἦλθες νηδύν. Ὁ ἀχώρητος, Θεὸς ὤν, οὐχ ἁρπαγμὸν ἡγήσω τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσας μορφὴν δούλου λαβών[2]· τὴν ἐμὴν ἐν σοὶ φύσιν ηὐλόγησας· ὑπὲρ ἐμοῦ τὸν νόμον ἐπλήρωσας, τοῦ πτώματός μου τὴν ἀνάστασιν ὑπηγόρευσας. Ἔδωκας τοῖς ὑπὸ τοῦ ᾅδου κρατουμένοις τὴν ἄφεσιν[3]· τοῦ νόμου τὴν ἀρὰν ἀπεσόβησας· ἐν σαρκὶ τὴν ἁμαρτίαν κατήργησας· τῆς σῆς ἐξουσίας μοι τὴν δυναστείαν ἐγνώρισας· τυφλοῖς τὸ βλέπειν ἀπέδωκας· νεκροὺς ἐκ τάφων ἀνέστησας· ῥήματι τὴν φύσιν ἀνώρθωσας· τῆς σῆς εὐσπλαγχνίας μοι τὴν οἰκονομίαν ὑπέδειξας· τῶν πονηρῶν τὴν βίαν ὑπήνεγκας· τὸν νῶτόν σου δέδωκας εἰς μάστιγας· τὰς δὲ σιαγόνας σου ὑπέθηκας εἰς ῥαπίσματα· οὐκ ἀπέστρεψας δι' ἐμὲ τὸ πρόσωπόν σου ἀπὸ αἰσχύνης ἐμπτυσμάτων[4].

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Ὡς πρόβατον ἐπὶ σφαγὴν ἦλθες[5], μέχρι σταυροῦ τὴν ἐμὴν κηδεμονίαν ὑπέδειξας· τῷ σῷ τάφῳ τὴν ἐμὴν ἁμαρτίαν ἐνέκρωσας· εἰς οὐρανὸν τὴν ἐμὴν ἀπαρχὴν ἀνεβίβασας· τῆς σῆς ἀφίξεώς μοι τὴν παρουσίαν ἐμήνυσας, ἐν ᾗ μέλλεις ἔρχεσθαι κρῖναι ζῶντας καὶ νεκροὺς καὶ ἀποδοῦναι ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ.

Ὁ λαὸς λέγει. Κατὰ τὸ ἔλεός σου, Κύριε.

[712] Ὁ ἱερεὺς λέγει. Ταύτης μου τῆς ἐλευθερίας προσφέρω σοι τὰ σύμβολα, τοῖς ῥήμασί σου ἐπιγράφω τὰ πράγματα. Σύ μοι τὴν μυστικὴν ταύτην παρέδωκας τῆς σῆς σαρκός, ἐν ἄρτῳ καὶ οἴνῳ, τὴν μέθεξιν.

Ὁ λαὸς λέγει. Πιστεύομεν.

Ὁ ἱερεὺς λέγει. Τῇ γὰρ νυκτὶ ᾗ παρεδίδης* αὐτὸς σεαυτόν, τῆς σεαυτοῦ ἐξουσίας.

Ὁ λαὸς λέγει. Πιστεύομεν.

Ὁ ἱερεὺς λέγει. «Λαβὼν ἄρτον»[6] ἐν ταῖς ἁγίαις καὶ ἀχράντοις καὶ ἀμωμήτοις σου χερσίν, ἔνευσας ἄνω πρὸς ἴδιόν σου Πατέρα Θεὸν ἡμῶν καὶ Θεὸν τῶν ὅλων· ηὐχαρίστησας, ηὐλόγησας[7], ἡγιάσας, ἔκλασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς[8] καὶ ἀποστόλοις, εἶπας· Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν κλώμενον καὶ διαδιδόμενον εἰς ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν[9]. Ὡσαύτως μετὰ τὸ δειπνῆσαι, λαβὼν ποτήριον, καὶ ἐκέρασας αὐτὸ ἐκ γεννήματος ἀμπέλου καὶ ἐξ

---

1. Πρβλ. Β' Παρλ. 36,15. Λουκ. 1,70. Πράξ. 3,18 Ἀποκ. 10,7. 2. Πρβλ. Φιλιπ. 2,6 3. Πρβλ. Πράξ. 2,24. 4. Πρβλ. Ἠσ. 50,6. 5. Πρβλ. Πράξ. 8,32. 6. Α' Κορ. 11,23. 7. Πρβλ. Ματθ. 26,26,22. Λουκ. 22,19. Α' Κορ. 11,23 8. Ἔνθ' ἀν. 9. Α' Κορ. 11,24

ὕδατος, ηὐχαρίστησας, ηὐλόγησας, ἡγίασας, μετέδωκας τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἀποστόλοις, εἶπας· «Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό μού ἐστι τὸ αἷμα, τὸ τῆς καινῆς διαθήκης, τὸ ὑπὲρ ὑμῶν καὶ πολλῶν ἐκχυνόμενον εἰς ἄφεσιν ἁμαρτιῶν»[1]· «τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν»[2]. «Ὁσάκις γὰρ ἐσθίετε τὸν ἄρτον τοῦτον, πίνετε δὲ καὶ τὸ ποτήριον τοῦτο, τὸν ἐμὸν θάνατον καταγγέλλετε»[3], καὶ τὴν ἐμὴν ἀνάστασιν ὁμολογεῖτε ἄχρις οὗ ἂν ἔλθω.

Ὁ λαὸς λέγει. Ἀμήν. Γ'. Τὸν θάνατόν σου, Κύριε, καταγγέλλαμεν καὶ τὴν ἀνάστασίν σου ὁμολογοῦμεν, κ.τ.λ.

Ὁ ἱερεὺς λέγει. Ὥστε οὖν, Δέσποτα, μεμνημένοι τῆς ἐπὶ γῆς συγκαταβάσεως, καὶ τοῦ ζωοποιοῦ θανάτου, καὶ τῆς τριημέρου σου ταφῆς, καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως, καὶ τῆς εἰς οὐρανοὺς ἀνόδου, καὶ τῆς ἐκ δεξιῶν τοῦ Πατρὸς καθέδρας, καὶ τῆς μελλούσης ἀπ' οὐρανῶν δευτέρας καὶ φοβερᾶς καὶ ἐνδόξου σου παρουσίας[4].

Ἐκφωνήσει. Τὰ σὰ ἐκ τῶν σῶν δώρων σοὶ προσφέροντες, κατὰ πάντα καὶ διὰ πάντα καὶ ἐν πᾶσι.

Ὁ λαὸς λέγει. Σὲ αἰνοῦμεν, σὲ εὐλογοῦμεν

Ὁ διάκονος λέγει. Κλίνατε Θεῷ μετὰ φόβου

Ὁ ἱερεὺς λέγει ἐν ἑαυτῷ κλίνας·

Αὐτὸς οὖν, Δέσποτα, τῇ σῇ φωνῇ τὰ προκείμενα μεταποίησον αὐτὸς παρών, τὴν μυστικὴν ταύτην λειτουργίαν κατάρτισον· αὐτὸς ἡμῖν τῆς σῆς λατρείας τὴν μνήμην διάσωσον. Αὐτὸς τὸ Πνεῦμά σου **[713]** τὸ πανάγιον κατάπεμψον, ἵνα ἐπιφοιτῆσαν τῇ ἁγίᾳ καὶ ἀγαθῇ καὶ ἐνδόξῳ αὐτοῦ παρουσίᾳ ἁγιάσῃ καὶ μεταποιήσῃ τὰ προκείμενα, τίμια καὶ ἅγια δῶρα ταῦτα, εἰς αὐτὸ τὸ σῶμα καὶ τὸ αἷμα τῆς ἡμετέρας ἀπολυτρώσεως.

Ὁ λαὸς λέγει. Πρόσχωμεν.

Ὁ διάκονος λέγει. Ἀμήν.

Ὁ ἱερεὺς ἐκφωνήσει. Καὶ ποιήσει τὸν μὲν ἄρτον τοῦτον*· γένηται εἰς τὸ ἅγιον σῶμά σου, τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος καὶ Παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει. Τὸ δὲ ποτήριον τοῦτο, τὸ τίμιόν σου αἷμα, τὸ τῆς καινῆς διαθήκης σου, τοῦ Κυρίου δὲ καὶ Θεοῦ καὶ Σωτῆρος καὶ Παμβασιλέως ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον τοῖς ἐξ αὐτοῦ μεταλαμβάνουσιν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει καὶ ὁ λαὸς ἀποκρίνεται τό, Κύριε, ἐλέησον.

Σὲ δυσωποῦμεν, Χριστὲ ὁ Θεὸς ἡμῶν.

---

1. Ματθ. 26,27-28. Λουκ. 22,20. Μάρκ. 14,24. 2. Λουκ. 2,19. Α' Κορ 11,24. 3 Α' Κορ. 11,26 4. Πρβλ. Ματθ. 26,29.

Τῆς Ἐκκλησίας σου, Κύριε, τὴν κρηπῖδα κατάπηξον.
Τῆς ἀγάπης ἡμῖν τὴν ὁμόνοιαν ῥίζωσον.
Τῆς πίστεως τὴν ἀλήθειαν αὔξησον.
Τῆς σῆς εὐσεβείας ἡμῖν τὴν ὁδὸν εὐθυτόμησον
Τοὺς ποιμένας ὀχύρωσον.
Τοὺς ποιμαινομένους ἀσφάλισαι.
Δὸς τῷ κλήρῳ τὴν εὐκοσμίαν.
Τοῖς μοναχοῖς τὴν ἐγκράτειαν.
Τοῖς ἐν παρθενίᾳ τὸ σωφρονεῖν.
Τοῖς ἐν σεμνῷ γάμῳ τὴν εὐζωΐαν.
Τοῖς ἐν μετανοίᾳ τὸ ἔλεος.
Τοῖς πλουτοῦσι τὴν ἀγαθότητα.
Τοῖς πενομένοις τὴν ἐπικουρίαν.
Τοῖς πτωχοῖς τὴν βοήθειαν.
Τοὺς πρεσβύτας περίζωσον.
Τοὺς νέους σωφρόνισον.
Τοὺς ἀπίστους ἐπίστρεψον.
Παῦσον τῆς Ἐκκλησίας τὰ σχίσματα.
Τῶν αἱρέσεων κατάλυσον τὰ φρυάγματα.
Πάντας ἡμᾶς πρὸς τὴν τῆς σῆς εὐσεβείας ὁμόνοιαν σύναψον.
Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τῆς εἰρήνης τῆς ἁγίας, μόνης καθολικῆς καὶ ἀποστολικῆς σου Ἐκκλησίας, τῆς ἀπὸ περάτων «ἕως περάτων τῆς οἰκουμένης»[1], καὶ τῶν ἐν αὐτῇ ὀρθοδόξων ἐπισκόπων τῶν ὀρθοτομησάντων τὸν λόγον τῆς ἀληθείας.

Ἐκφωνήσει.

Ἐξαιρέτως τοῦ ἁγιωτάτου καὶ μακαριωτάτου ἀρχιερέως ἡμῶν ἄββα Δ΄ πάπα καὶ πατριάρχου τῆς μεγαλοπόλεως Ἀλεξανδρείας, καὶ ὑπὲρ τῶν περιόντων ἐπισκόπων, πρεσβυτέρων, διακόνων, ἀναγνωστῶν, ψαλτῶν, ἐξορκιστῶν, μοναζόντων, ἀειπαρθέ**[716]**νων, ἐγκρατῶν, χηρῶν, ὀρφανῶν, λαϊκῶν, καὶ ὑπὲρ παντὸς τοῦ πληρώματος τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας τῶν πιστῶν.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τῶν εὐσεβῶς βασιλευσάντων.

Μνήσθητι, Κύριε, τῶν ἐν τῷ παλατίῳ, ἡμῶν ἀδελφῶν πιστῶν καὶ ὀρθοδόξων, καὶ παντὸς τοῦ στρατοπέδου.

Μνήσθητι, Κύριε, τῶν προσφερόντων τὰ ἅγια δῶρα ταῦτα, καὶ ὑπὲρ ὧν, καὶ δι' ὧν προσεκόμισαν, καὶ μισθὸν οὐράνιον παράσχου πᾶσιν αὐτοῖς.

---

1. Ψαλ. 71,8.

Μνήσθητι, Κύριε, καὶ τῶν ἐν ὄρεσι καὶ σπηλαίοις καὶ ταῖς ὀπαῖς τῆς γῆς»[1].

Καὶ τῶν ἐν αἰχμαλωσίαις ὄντων ἀδελφῶν ἡμῶν, καὶ εἰρηνικὰς ἀποκαταστάσεις εἰς τὰ ἴδια χάρισαι.

Ὁ διάκονος λέγει. Προσεύξασθε ὑπὲρ τῶν αἰχμαλώτων.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Τότε κλίνει ἱερεὺς τὴν ἑαυτοῦ κεφαλὴν λέγων καθ' ἑαυτὸν ἐν ἑαυτῷ.

Μνήσθητι, Κύριε, καὶ τῆς ἐμῆς ἀθλίας καὶ ταλαιπώρου ψυχῆς, ταπεινώσεώς μου, καὶ συγχώρησόν μοι πάντα τὰ ἐμὰ πλημμελήματα καὶ ὅπου ἐπλεόνασεν ἡ ἁμαρτία, περίσσευσόν σου τὴν χάριν[2], καὶ μὴ διὰ τὰς ἐμὰς ἁμαρτίας, καὶ τὴν βεβήλωσιν τῆς καρδίας μου, ὑστερήσῃς τὸν λαόν σου τῆς χάριτος τοῦ Ἁγίου σου Πνεύματος.

Ὑψώσει τὴν κεφαλὴν καὶ ἐκφωνήσει.

Ὁ γὰρ λαός σου καὶ ἡ Ἐκκλησία σου ἱκετεύει σε καὶ διὰ σοῦ καὶ σὺν σοὶ τὸν Πατέρα λέγουσα.

Ὁ λαὸς λέγει. Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν. Γ'.

Ὁ ἱερεὺς λέγει. Ἐλέησον ἡμᾶς, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν. Γ'.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον. Γ'.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τοῦ ἀέρος καὶ τῶν καρπῶν τῆς γῆς.

Μνήσθητι, Κύριε, τῆς συμμέτρου ἀναβάσεως τῶν ποταμείων ὑδάτων.

Μνήσθητι, Κύριε, τῶν ὑετῶν καὶ τῶν σπορίμων τῆς γῆς.

[717] Εὔφρανον πάλιν καὶ ἀνακαίνισον τὸ πρόσωπον τῆς γῆς. Τοὺς αὔλακας αὐτῆς μέθυσον, πλήθυνον τὰ γεννήματα αὐτῆς· παράστησον ἡμῖν αὐτὰ εἰς σπέρμα, καὶ εἰς θερισμόν, καὶ νῦν εὐλογῶν εὐλόγησον. Τὴν ζωὴν ἡμῶν οἰκονόμησον. Εὐλόγησον «τὸν στέφανον τοῦ ἐνιαυτοῦ τῆς χρηστότητός σου»[3], διὰ τοὺς πτωχοὺς τοῦ λαοῦ σου, διὰ τὴν χήραν καὶ τὸν ὀρφανόν, διὰ τὸν ξένον καὶ τὸν προσήλυτον, καὶ δι' ἡμᾶς πάντας τοὺς ἐλπίζοντας ἐπὶ σοὶ καὶ ἐπικαλουμένους τὸ ὄνομά σου τὸ ἅγιον. «Οἱ» γὰρ «ὀφθαλμοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ»[4]. Ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἀγαθότητά σου, «ὁ διδοὺς τροφὴν πάσῃ σαρκί»[5]. Πλήρωσον χαρᾶς καὶ εὐφροσύνης τὰς καρδίας ἡμῶν, ἵνα ἐν πᾶσι, πάντοτε πᾶσαν αὐτάρκειαν ἔχοντες, περισσεύσωμεν εἰς πᾶν ἔργον ἀγαθόν, τοῦ ποιεῖν τὸ θέλημά σου τὸ ἅγιον[6].

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει, καὶ ὁ λαὸς ἀποκρίνεται. Κύριε, ἐλέησον.

---

1. Ἑβρ. 11,38   2. Πρβλ. Ρωμ. 5,20.   3. Ψαλ. 64,12.   4. Ψαλ. 144,15.   5. Ψαλ. 135,25.   6. Πρβλ. Β' Κορ. 9,8.

Χάρισαι τῷ λαῷ σου τὴν ὁμόνοιαν.

Τῷ κόσμῳ τὴν εὐστάθειαν.

Τῷ ἀέρι τὴν εὐκρασίαν.

Τοῖς νοσοῦσι τὴν σωτηρίαν.

Τοῖς δεομένοις τὴν ἀνάψυξιν.

Τοῖς ἐν ἐξορίαις τὴν ἄνεσιν.

Τοῖς ὀρφανοῖς τὴν βοήθειαν.

Ταῖς χήραις τὴν ἀντίληψιν.

Τοῖς θλιβομένοις ἐπάρκησον εἰς ἀγαθόν.

Τοὺς ἑστῶτας ὀχύρωσον.

Τοὺς πεπτωκότας ἔγειρον.

Τοὺς ἑστηκότας ἀσφάλισαι.

Τῶν κεκοιμημένων μνήσθητι.

Γῶν ἐν ὁμολογίᾳ τὰς πρεσβείας πρόσδεξαι.

Τοὺς ἡμαρτηκότας καὶ μετανοήσαντας, συναρίθμησον μετὰ τῶν πιστῶν σου.

Τοὺς πιστοὺς συναρίθμησον μετὰ μαρτύρων σου.

Μιμητὰς τοὺς παρόντας ἐν τῷ τόπῳ τούτῳ τῶν ἀγγέλων κατάστησον.

Καὶ ἡμᾶς τῇ σῇ χάριτι πρὸς τὴν σὴν κεκλημένους διακονίαν, ἀναξίους ὄντας, ὑπόδειξαι.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, καὶ τῆς πόλεως ἡμῶν ταύτης καὶ τῶν ἐν ὀρθοδόξῳ πίστει οἰκούντων ἐν αὐτῇ, καὶ πάσης πόλεως καὶ χώρας σὺν παντὶ τῷ κόσμῳ αὐτῶν. Καὶ ῥῦσαι ἡμᾶς ἀπὸ λιμοῦ καὶ λοιμοῦ, σεισμοῦ καὶ καταποντισμοῦ, πυρός, καὶ ἀπὸ αἰχμαλωσίας βαρβάρων, καὶ ἀπὸ τῶν ἀλλοτρίων μαχαιρῶν, καὶ ἐπαναστάσεως ἐχθρῶν καὶ αἱρετικῶν.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Ὁ ἱερεὺς λέγει. Μνήσθητι, Κύριε, τῶν προλαβόντων ὁσίων Πατέρων ἡμῶν ὀρθοδόξων ἐπισκόπων καὶ πάντων τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων ἁγίων Πατέρων, πατριαρχῶν, ἀποστόλων, προφητῶν, κηρύκων, εὐαγγελιστῶν, μαρτύρων, ὁμολογητῶν, **[720]** καὶ παντὸς πνεύματος δικαίου ἐν πίστει Χριστοῦ τετελειωμένου[1].

Ἐκφωνήσει.

Ἐξαιρέτως τῆς Παναγίας ὑπερενδόξου, ἀχράντου, ὑπερευλογημένης Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Τοῦ ἁγίου ἐνδόξου προφήτου, προδρόμου, βαπτιστοῦ καὶ μάρτυρος Ἰωάννου.

---

1. Πρβλ. Α' Κορ. 11,34.

Τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος.

Καὶ τοῦ ἁγίου καὶ μακαρίου Πατρὸς ἡμῶν Μάρκου, τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ.

Καὶ τοῦ ἐν ἁγίοις Πατρὸς Γρηγορίου.

Καὶ ὧν ἐν τῇ σήμερον ἡμέρᾳ τὴν ὑπόμνησιν ποιούμεθα, καὶ παντὸς χοροῦ τῶν ἁγίων σου, ὧν ταῖς εὐχαῖς καὶ πρεσβείαις, καὶ ἡμᾶς ἐλέησον, καὶ σῶσον διὰ τὸ ὄνομά σου τὸ ἅγιον, τὸ ἐπικληθὲν ἐφ' ἡμᾶς.

Ὁ διάκονος λέγει τὰ Δίπτυχα.

Ὁ ἱερεὺς λέγει ἐν ἑαυτῷ.

Μνήσθητι, Κύριε, τῶν προκεκοιμημένων ἐν τῇ ὀρθοδόξῳ πίστει πατέρων ἡμῶν καὶ ἀδελφῶν, καὶ ἀνάπαυσον τὰς ψυχὰς αὐτῶν μετὰ ὁσίων, μετὰ δικαίων. Ἔκθρεψον, σύναψον εἰς τόπον χλόης, ἐπὶ ὕδατος ἀναπαύσεως[1], ἐν παραδείσῳ τρυφῆς, καὶ μετὰ τούτων ὧν εἴπομεν τὰ ὀνόματα αὐτῶν.

Τότε μνημονεύει ζώντων καὶ νεκρῶν, καὶ μετὰ ⟨τὰ⟩ δίπτυχα ὁ ἱερεὺς λέγει.

Μνήσθητι. Κύριε, ὧν ἐμνήσθημεν καὶ ὧν οὐκ ἐμνήσθημεν, πιστῶν καὶ ὀρθοδόξων, μεθ' ὧν καὶ ἡμῖν σὺν αὐτοῖς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος Θεός.

Ὁ λαὸς λέγει. Ἄνες, ἄφες, συγχώρησον.

Ὁ ἱερεὺς λέγει. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, ἐλεήμων, ὁ μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ ὡς τοῦ ἐπιστρέψαι καὶ ζῆν αὐτόν[2]. Ὁ Θεός, ἐπίσκεψον ἡμᾶς ἐν τῷ σωτηρίῳ σου· ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, ὁ ποιῶν ὑπὲρ ἐκ περισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν· ἵνα σου καὶ ἐν τούτῳ καθὼς καὶ ἐν παντὶ δοξασθῇ καὶ ὑψωθῇ καὶ ὑμνηθῇ καὶ εὐλογηθῇ καὶ ἁγιασθῇ τὸ πανάγιον καὶ ἔντιμον καὶ εὐλογημένον σου ὄνομα, ἅμα τῷ ἀχράντῳ σου Πατρὶ καὶ Ἁγίῳ Πνεύματι.

Ὁ λαὸς λέγει. Ὡς ἦν, καὶ ἔστι, καὶ ἔσται.

Ὁ διάκονος λέγει. Κατέλθετε, οἱ διάκονοι.

Ὁ ἱερεὺς λέγει. Εἰρήνη πᾶσι.

Ὁ λαὸς λέγει. Καὶ τῷ πνεύματί σου.

Προοίμιον τῆς κλάσεως.

Ὁ ἱερεὺς λέγει. Ἰησοῦ Χριστέ, τὸ σωτήριον **[721]** ὄνομα, ὁ τὰ θεῖα καὶ ἄχραντα καὶ ἐπουράνια ταῦτα μυστήρια διατυπώσας· ὁ τοὺς μὲν ἱερεῖς ἐν τάξει ὑπηρετῶν στήσας· διὰ δὲ τῆς ἀοράτου σου δυνάμεως αὐτὰ μεταστοιχειώσας. Ὁ τοῖς καθαροῖς τῇ καρδίᾳ ἐπιφαινόμενος, καὶ τοῖς γνησίως προσιοῦσι διὰ σεαυτοῦ παρέχοντος. Ὁ τότε εὐλογήσας, καὶ νῦν εὐλόγησον.

---

1 Πρβλ. Ψαλ. 22,2. 2. Πρβλ. Β' Πέτρ. 3,9.

Ὁ τότε ἁγιάσας, καὶ νῦν ἁγίασον.
Ὁ τότε κλάσας, καὶ νῦν διάθρεψον.
Ὁ τότε διαδοὺς τοῖς ἑαυτοῦ μαθηταῖς καὶ ἀποστόλοις, καὶ νῦν, Δέσποτα, διάδος ἡμῖν καὶ παντὶ τῷ λαῷ σου, φιλάνθρωπε, παντοκράτορ, Κύριε ὁ Θεὸς ἡμῶν.
Ὁ διάκονος λέγει. Προσεύξασθε.
Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.
Ὁ ἱερεὺς λέγει. Εἰρήνη πᾶσι.
Ὁ λαὸς λέγει· Καὶ τῷ πνεύματί σου.

Εὐχὴ τῆς κλάσεως.

Ὁ ὤν, ὁ ἦν, ὁ ἐλθών, καὶ πάλιν ἐρχόμενος[1]· ὁ ἐν δεξιᾷ τοῦ Πατρὸς καθήμενος· ὁ ἄρτος, ὁ καταβὰς ἐκ τοῦ οὐρανοῦ καὶ ζωὴν διδοὺς τῷ κόσμῳ[2]· ὁ μέγας ἀρχιερεύς, ὁ ἀρχηγὸς τῆς σωτηρίας ἡμῶν· τὸ φῶς ἀληθινὸν τὸ πρὸ πάντων αἰώνων. «Ὃς ὢν ἀπαύγασμα τῆς δόξης καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»[3] τοῦ ἰδίου σου Πατρός· ὁ εὐδοκήσας καὶ καταξιώσας κατελθεῖν ἐκ τῶν ὑψωμάτων τοῦ οὐρανοῦ, ἐκ κόλπων τοῦ ἀπροσίτου φωτὸς καὶ ἀληθινοῦ καὶ ἀοράτου μόνου Πατρός. Σαρκωθεὶς δὲ ἐκ Πνεύματος Ἁγίου καὶ ἐκ τῆς πανενδόξου, ἀχράντου, ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ τελέως ἐνανθρωπήσας καὶ κατὰ μετάστασιν, τὴν ἀνθρωπότητα ἀναλλοιώσας· ἑνώσας ἑαυτῷ καθ' ὑπόστασιν, ἀφράστως καὶ ἀπερινοήτως, ἀτρέπτως δὲ καὶ ἀσυγχύτως, ψυχὴν ἔχουσαν λογικήν τε καὶ νοεράν, οὕτως προῆλθες ἐξ αὐτῆς θεανθρωπωθείς· ὁμοούσιος Πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα. Οὐ δύο πρόσωπα οὖν, οὐδὲ δύο μορφὰς ἤγουν, οὐδὲ ἐν δυσὶ φύσεσι γνωριζόμενος, ἀλλ' εἷς Θεός, εἷς Κύριος, μία οὐσία, μία βασιλεία, μία δεσποτεία, μία ἐνέρ[724]γεια, μία ὑπόστασις, μία θέλησις, μία φύσις τοῦ Θεοῦ Λόγου σεσαρκωμένη καὶ προσκυνουμένη. Σταυρωθεὶς δὲ ὑπὸ Ποντίου Πιλάτου καὶ ὁμολογήσας τὴν καλὴν ὁμολογίαν· παθὼν καὶ ταφεὶς καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀνελθὼν εἰς οὐρανοὺς καὶ καθίσας ἐν τῇ δεξιᾷ τῆς μεγαλωσύνης τοῦ Πατρός, πατήσας τὸν θάνατον, καὶ τὸν ᾅδην σκυλεύσας, συντρίψας πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνθλάσας, καὶ τὸν αἰχμάλωτον Ἀδὰμ ἀνακαλεσάμενος ἐκ φθορᾶς, καὶ ἡμᾶς ἐλευθερώσας ἐκ τῆς τοῦ διαβόλου δουλείας.

Δι' ὃ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθέ, καταξίωσον ἡμᾶς ἐν καθαρᾷ καρδίᾳ τολμᾶν ἀφόβως ἐπιβοᾶσθαι τὸν πάντων δεσπότην ἐπουράνιον Θεόν, Πατέρα ἅγιον, καὶ λέγειν, κ.τ.λ.

1. Πρβλ Ἀποκ. 1,4,8. 4,8 11,17. 16,5 2. Πρβλ Ιω 6,33
3. Ἑβρ. 1,3.

Εὐχὴ ἄλλη τῆς κλάσεως.

Σὺ γὰρ εἶ ὁ Λόγος τοῦ Πατρός, ὁ προαιώνιος Θεός, ὁ μέγας Ἀρχιερεύς, ὁ ἐπὶ σωτηρίας τοῦ γένους τῶν ἀνθρώπων σαρκωθεὶς καὶ ἐνανθρωπήσας καὶ προσκαλεσάμενος ἑαυτῷ ἐκ πάντων τῶν ἐθνῶν «γένος ἐκλεκτόν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸν εἰς περιποίησιν»[1]. Δι' ὃ δεόμεθα καὶ παρακαλοῦμέν σε, φιλάνθρωπε, ἀγαθὲ Κύριε, μὴ εἰς ἔλεγχον καὶ ὄνειδος, μὴ εἰς κρῖμα, μηδὲ εἰς κατάκριμα τῶν ἡμετέρων ἁμαρτιῶν γενηθήτω ἡ θυσία αὐτή· ὑπὲρ γὰρ τῶν ἀσθενειῶν ἡμῶν προσηνέγκαμεν· ἀλλ' ὥσπερ τὰ πανάγιά σου τίμια δῶρα ταῦτα πάσης ἁγιωσύνης, ἐμπλῆσαι κατηξίωσας, διὰ τῆς ἐπιφοιτήσεως τοῦ παναγίου σου Πνεύματος· ἐπ' αὐτῶν, οὕτως καὶ ἡμῶν τῶν ἁμαρτωλῶν, δούλων σου, ἁγιάσαι καταξίωσον τὰς ψυχάς, τὰ σώματα, τὰ πνεύματα, τὰς συνειδήσεις, ὅπως πεφωτισμένῃ ψυχῇ, ἀνεπαισχύντῳ προσώπῳ, καρδίᾳ καθαρᾷ, συνειδήσει ἀνυποκρίτῳ, ἡγιασμένοις χείλεσιν, ἀγάπῃ τελείᾳ, ἐλπίδι ἀσφαλεῖ, τολμῶμεν μετὰ παρρησίας, ἄνευ φόβου, λέγειν τὴν ἁγίαν προσευχήν, ἣν μετέδωκας τοῖς ἰδίοις τοῖς ἁγίοις σου μαθηταῖς καὶ ἱεροῖς ἀποστόλοις. Ὅταν προσεύχησθε, οὕτως προσεύχεσθε ὑμεῖς· «Πάτερ ἡμῶν[2], κ.τ.λ.».

Ὁ λαὸς λέγει. Ἁγιασθήτω.

Εὐχὴ ἄλλη τῆς κλάσεως.

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεός, ὁ παντοκράτωρ, ὁ λυτρωτὴς τῆς ἑαυτοῦ Ἐκκλησίας· ὦ Λόγε, ὃν προνοοῦσιν αὐτόν, καὶ ἄνθρωπε, ὃν προθεωροῦσιν αὐτόν. Ὁ διὰ τῆς ἀκαταλήπτου αὐτοῦ σαρκώσεως ἑτοιμάσας ἡμῖν ἄρτον ἐπουράνιον, τοῦτο τὸ σῶμά σου, ὃν ἔθου ἐν μυστήριον* καὶ πανάγιον ἐν τοῖς ἅπασιν. Ἐκέρασας ἡμῖν ποτήριον ἐξ ἀμπέλου ἀληθείας, ἐκ θείας καὶ ἀχράντου σου πλευρᾶς. Ὁ καὶ μετὰ δεδωκέναι τὸ πνεῦμα ἐκχέων ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ, οἷς ἁγιασμὸς τῷ κόσμῳ παντί. Κτῆσαι ἡμᾶς, ἀγαθὲ Κύριε, τοὺς ἀναξίους δούλους σου· ποίησον ἡμᾶς λαὸν περιούσιον, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον. Ἁγίασον καὶ ἡμᾶς, ὁ Θεός, ὥσπερ ἡγίασας τὰ προκείμενα καὶ ἅγια δῶρα ταῦτα, καὶ ἐποίησας αὐτὰ ἀόρατα ἐκ τῶν ὁρατῶν, μυστήρια ὧν προνοοῦσιν, αὐτά σοι, Κύριε ὁ Θεός, ὁ Σωτὴρ
[725] ἡμῶν Ἰησοῦς Χριστός. Σὺ οὖν, Κύριε, διὰ τῆς πολλῆς σου εὐσπλαγχνίας, κατηξίωσας ἡμᾶς διὰ τοῦ βαπτίσματος γενέσθαι εἰς υἱοὺς καὶ κληρονόμους. Ἐδίδαξας ἡμᾶς τὸν τύπον τῆς προσευχῆς ὅς ἐστιν ἐμμυστήριος, τοῦ προσεύχεσθαι ἐν αὐτῇ τὸν ἄχραντόν σου Πατέρα. Σὺ οὖν καὶ νῦν, Δέσποτα Κύριε, καταξίωσον ἡμᾶς ἐν ἡγιασμένῃ συνειδήσει[3] καὶ λογισμῷ ἀγαθῷ, ὃν πρέπει ⟨τελείοις καὶ ἐν θερμῷ⟩

1. Α' Πέτρ. 2,9. 2. Ματθ. 6,9 3. Πρβλ. Β' Κορ. 1,12.

πόθῳ καὶ παρρησίᾳ ἀγαθῇ τολμᾶν ἐπικαλεῖσθαι[1] τὸν ἐν τοῖς οὐρανοῖς ἅγιον Θεόν, Πατέρα σου, καὶ λέγειν.

Ὁ λαὸς λέγει. Πάτερ ἡμῶν. Καὶ μετὰ τὸ Πάτερ ἡμῶν ὁ ἱερεὺς λέγει.

Ναί, Κύριε, Κύριε, ὁ δεδωκὼς ἡμῖν τὴν ἐξουσίαν τοῦ «πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων καὶ ἐπὶ πᾶσαν δύναμιν τοῦ ἐχθροῦ»[2], σύντριψον καὶ καθυπόταξον τὰς κεφαλὰς τῶν ἐχθρῶν ἡμῶν ὑπὸ τοὺς πόδας ἐν τάχει, καὶ πᾶσαν τὴν κακότεχνον αὐτῶν ἐπίνοιαν τὴν καθ' ἡμῶν διασκέδασον, ὅτι σὺ εἶ βασιλεὺς ἡμετέρων πάντων, Χριστὲ ὁ Θεός καὶ σοὶ τὴν δόξαν καὶ τὴν εὐχαριστίαν καὶ τὴν προσκύνησιν ἀναπέμπομεν, καθ' ἑκάστην ἡμέραν, σὺν τῷ ἀνάρχῳ σου Πατρί, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, κ.τ.λ.

Ὁ διάκονος λέγει. Τὰς κεφαλὰς ὑμῶν.

Εὐχὴ τῆς κεφαλοκλισίας.

Ὁ κλίνας οὐρανοὺς καὶ κατελθὼν ἐπὶ τῆς γῆς, εἰς σωτηρίαν τοῦ γένους τῶν ἀνθρώπων, ὁ τῆς σῆς χάριτος πᾶσαν ἐξαπλώσας τὴν εὐθηνίαν ὁ ποιῶν πάντα ὑπὲρ ἐκ περισσοῦ, ὧν αἰτούμεθα ἢ νοοῦμεν· φιλάνθρωπε ἀγαθέ, ἔκτεινόν σου τὴν χεῖρα τὴν ἀόρατον, τὴν εὐλογημένην, τὴν μεστὴν ἐλέους καὶ οἰκτιρμῶν καὶ εὐλογῶν εὐλόγησον τοὺς δούλους σου καὶ καθάρισον αὐτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[3]· καὶ ποίησον ἡμᾶς μετόχους καὶ συσσώμους γενέσθαι τῇ σῇ χάριτι, ὅπως ἐν ἁγιότητι καὶ δικαιοσύνῃ σοι τὴν ἱκεσίαν προσάγοντες* καὶ σοὶ πρέπει πᾶσα δόξα, μεγαλωσύνη, κράτος τε καὶ ἐξουσία, ἅμα τῷ ἀχράντῳ σου Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, κ.τ.λ.

Εὐχὴ ἄλλη ὁμοίως.

«Πρόσχες, Κύριε»[4] Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐξ ἁγίου τοῦ κατοικητηρίου σου[5] καὶ ἀπὸ θρόνου τῆς βασιλείας σου καὶ ἐλθὲ εἰς τὸ ἁγιάσαι ἡμᾶς[6] τοὺς ἐπικλίναντάς σοι. Ὁ ἄνω τῷ Πατρὶ συγκαθήμενος καὶ ὧδε ἡμῖν ἀοράτως συνών· καὶ καταξίωσον τῇ κραταιᾷ σου χειρὶ[7] μεταδοῦναι ἡμῖν τοῦ ἀχράντου σώματός σου καὶ δι' ἡμῶν παντὶ τῷ λαῷ. Σὺ γὰρ εἶ ὁ κλῶν καὶ κλώμενος, καὶ ἄκλαστος· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν, κ.τ.λ.

[728] Ὁ διάκονος λέγει. Πρόσχωμεν Θεῷ μετὰ φόβου.

---

1. Πρβλ. Α' Πέτρ. 1,17. 2. Λουκ. 10,19. 3. Πρβλ. Β' Κορ. 7,1. 4. Δαν. 9,18. 5. Πρβλ. Γ' Βασ. 8,39. 6. Πρβλ Ψαλ 79,3. 7. Πρβλ. Δευτ. 9,26.

Εὐχὴ τῆς ἐλευθερίας.

Εἰρήνη πᾶσι.

Ὁ «ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[1]· τὸ πανάσπιλον αὐτοῦ αἷμα διαχύσας ἐπὶ τὴν τοῦ κόσμου ζωὴν καὶ εἰς λύτρον καὶ ἀντάλλαγμα πάντων ἑαυτὸν παρέδωκας, ἐκ θανάτου λυτρωσάμενος, ἐν ᾧ κατειχόμεθα, πεπραμένοι ὑπὸ τὴν ἁμαρτίαν. Ὁ τῶν φοβουμένων αὐτὸν ποιῶν τὸ θέλημα καὶ τῆς δεήσεως αὐτῶν εἰσακούων καὶ σῴζων αὐτούς. Ὁ τοῦ δικαίου Ἰὼβ εἰσακούσας ἀνιστάμενος τὸ πρωῒ καὶ ὑπὲρ* παιδίων φίλτρων θυσίας προσαγαγὼν εἰπών, μήπως ἐνενόησαν υἱοί μου πονηρὰ ἐν τῇ καρδίᾳ αὐτῶν ἔναντι Θεοῦ. Καὶ ἐμοῦ τοῦ ἐλεεινοῦ καὶ ἁμαρτωλοῦ καὶ ἀχρείου σου δούλου, ἱκετεύω ὑπὲρ τῶν σῶν οἰκετῶν, πατέρων μου καὶ ἀδελφῶν καὶ ὑπὲρ τῆς ἐμῆς ἀθλιότητος. Εὐμενεῖ προσώπῳ καὶ γαληνῷ ὄμματι, ἔπιδε ἐφ᾽ ἡμᾶς ἐν ταύτῃ τῇ ὥρᾳ καὶ πάρες οὖν ἡμῖν πᾶσαν ἀθετηρίαν καὶ πᾶσαν παράβασιν καὶ παρακοὴν νόμου **[729]** καὶ τῶν σῶν ἐντολῶν· ἔτι δὲ καὶ πᾶσαν συνείδησιν καὶ πᾶσαν ἐνθύμησιν καὶ πάσαις πράξεσι καὶ πάσαις κινήσεσι γεγονυίας ἐν ἑαυτοῖς, ἡμερικῶς τε καὶ νυκτερικῶς ἐπιδῆσαι καὶ κατακρατῆσαι κατὰ τῆς ψυχῆς. Καὶ ἀθώωσον αὐτοὺς ἀπὸ πάσης συνειδήσεως πονηρῶν καὶ πάσης ἀκάρπου πράξεως καὶ παντὸς λογισμοῦ πεπυρωμένου...* ἐστὶν βέβηλα παρὰ τὴν τῆς ψυχῆς καθαρότητα. Χάρισαι αὐτῶν τὴν τῶν ἁμαρτιῶν ἐπίγνωσιν, καὶ τελείως ἀπέχεσθαι ἀπ᾽ αὐτῶν. Δώρησαι αὐτοῖς μετανοίας ἀγνότητος* καὶ τὴν εἰς σὲ ἐπιστροφήν· σὺ γάρ, Δέσποτα Κύριε, ἐπτώχευσας ἑκουσίως ἐν τῷ σὲ σαρκωθῆναι, διὰ τὴν τοῦ γένους ἡμῶν σωτηρίαν· καὶ διέρρηξας τὸ καθ᾽ ἡμῶν χειρόγραφον, διὰ τὴν τοῦ σταυροῦ τῶν θείων σου παλαμῶν ἐφάπλωσιν. Φεῖσαι πάντων, Δέσποτα φιλόψυχε, «ὅτι τὰ σύμπαντα δοῦλα σά»[2] καὶ παρὰ σοῦ ἡμέτερα ἀφετήρια καὶ οὐδὲν τῶν ἐπιτηδευμάτων τῶν χειρῶν ἡμῶν· δι᾽ ὃ τὴν σὴν βασιλείαν δοξάζομεν καὶ ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἅτινα ν...λου...ων...θορων.

Πάσαις ἡμέραις ἕως αἱρετικῶν καὶ ἐθνικῶν.

Ἔμπλησον ἡμᾶς τοῦ σοῦ φόβου καὶ κατεύθυνον εἰς τὸ ἀγαθόν σου θέλημα. Σὺ γὰρ εἶ ὁ Θεὸς ἡμῶν, καὶ πρέπει σοι δόξα, τιμὴ καὶ προσκύνησις.

Ὁ ἱερεὺς λέγει. Σῶμα καὶ αἷμα.

Ὁ διάκονος λέγει. Μετὰ φόβου Θεοῦ πρόσχωμεν.

Ὁ ἱερεὺς ὑψοῖ Δεσποτικὸν καὶ ἐκφωνήσει· Τὰ ἅγια τοῖς ἁγίοις.

Ὁ λαὸς λέγει. Κύριε, ἐλέησον.

Εἷς Πατὴρ ἅγιος, εἷς Υἱὸς ἅγιος, ἓν Πνεῦμα ἅγιον. Ἀμήν.

---

1 Ἰω 1,29 2 Ψαλ 118,91.

Ὁ ἱερεὺς λέγει. Ὁ Κύριος μετὰ πάντων ὑμῶν.

Ὁ λαὸς λέγει. Καὶ μετὰ τοῦ πνεύματός σου.

Ὁ ἱερεὺς λέγει. Εὐλογητὸς Κύριος εἰς τοὺς αἰῶνας. Ἀμήν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει. «Εἰρήνη πᾶσι»[1].

Ὁ λαὸς λέγει. Καὶ τῷ πνεύματί σου.

Ὁ ἱερεὺς λέγει. Σῶμα ἅγιον καὶ αἷμα τίμιον, ἀληθινόν, Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ[2] Ἀμήν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει. Σῶμα ἅγιον καὶ αἷμα τίμιον, ἀληθινόν, Ἰησοῦ Χριστοῦ Υἱοῦ τοῦ Θεοῦ. Ἀμήν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ ἱερεὺς λέγει. Σῶμα καὶ αἷμα Ἐμμανουὴλ τοῦ Θεοῦ ἡμῶν, τοῦτό ἐστιν ἀληθῶς. Ἀμήν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Πιστεύω, πιστεύω, πιστεύω καὶ ὁμολογῶ ἕως ἐσχάτης ἀναπνοῆς, ὅτι αὕτη ἐστὶν ἡ σὰρξ ἡ ζωοποιός, ἣν ἔλαβες, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐκ τῆς ἁγίας δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· καὶ ἐποίησας αὐτὴν μίαν σὺν τῇ θεότητί σου, μὴ ἐν μίξει, μηδὲ ἐν φυρμῷ, μηδὲ ἐν ἀλλοιώσει· καὶ ἐμαρτύρησας ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμολογίαν καὶ παρέδωκας αὐτὴν ὑπὲρ ἡμῶν πάντων... ερων ἐπὶ τοῦ ξύλου τοῦ σταυροῦ τοῦ ἁγίου. ἐν τῷ θελήματί σου

[732] Ἀληθῶς πιστεύω, ὅτι θεότης σου οὐδ' οὐ μηδέποτε χωρισθεῖσα ἐξ ἀνθρωπότητός σου. ἐν ἀτόμῳ, οὐδὲ ἐν ῥιπῇ ὀφθαλμοῦ. Μετέδωκας αὐτὴν εἰς λύτρωσιν καὶ εἰς ἄφεσιν ἁμαρτιῶν καὶ εἰς ζωὴν τὴν αἰώνιον, τοῖς ἐξ αὐτῆς μεταλαμβάνουσι.

Πιστεύω. ὅτι αὕτη ἐστιν ἀληθῶς. Ἀμήν.

Ὁ λαὸς λέγει. Ἀμήν.

Ὁ διάκονος λέγει. Ἐν εἰρήνῃ καὶ ἀγάπῃ.

Ὁ ἱερεὺς ἐκφωνήσει. Ἀκατάληπτε Θεέ, Λόγε ἀχώρητε, ἀΐδιε, δέχου παρ' ἡμῶν τῶν ἁμαρτωλῶν ἐξ ἀναξίων χειλέων ὕμνον, μετὰ τῶν ἄνω δυνάμεων· σοὶ γὰρ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ ζωοποιῷ σου Πνεύματι εἰς πάντας τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ λαὸς λέγει ψαλμὸν ρν'.

Ὁ διάκονος λέγει. Συνάχθητε καὶ εἰσέλθετε, οἱ διάκονοι, μετ' εὐλαβείας.

Εὐχὴ εὐχαριστίας μετὰ τὴν μετάληψιν τῶν ἁγίων μυστηρίων.

Ὁ διάκονος λέγει. Ἐπὶ προσευχῆς στάθητε.

1. Α' Πέτρ. 5,14. 2. Πρβλ. Α' Κορ. 10,16.

'Ο ἱερεὺς λέγει. Εἰρήνη πᾶσι.

'Ο λαὸς λέγει. Καὶ τῷ πνεύματί σου.

'Ο διάκονος λέγει. Προσεύξασθε ὑπὲρ τῆς ἀξίας μεταλήψεως.

'Ο λαὸς λέγει. Κύριε ἐλέησον.

'Ο ἱερεὺς λέγει τὴν εὐχὴν ταύτην. Εὐχαριστοῦμέν σοι, Λόγε Θεοῦ ἀληθινέ, ὁ ἐκ τῆς οὐσίας τοῦ ἀνάρχου Πατρός, ὅτι οὕτως ἠγάπησας ἡμᾶς καὶ ἔδωκας σεαυτὸν ὑπὲρ ἡμῶν*, ἐσφαγιάσθης. 'Εχάρισας ἡμῖν, διὰ τοῦ ἀχράντου σου σώματος καὶ τοῦ τιμίου σου αἵματος, τὴν ἀπολύτρωσιν, ὡς κατηξίωσας ἡμᾶς νῦν, φιλάνθρωπε, ἵνα λάβωμεν ἐξ αὐτῶν εὐχαριστία*. Διὸ ἐξομολογοῦμέν σοι νῦν, φιλάνθρωπε, ἀγαθὲ καὶ σοὶ τὴν δόξαν καὶ τὴν τιμὴν καὶ τὴν προσκύνησιν διηνεκῶς ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ 'Αγίῳ σου Πνεύματι, νῦν, κ.τ.λ.

'Ο διάκονος λέγει. Τὰς κεφαλὰς ὑμῶν τῷ Κυρίῳ κλίνατε.

Εὐχὴ τῆς κεφαλοκλισίας.

'Ο ὤν, ὁ ἦν, ὁ ἐλθὼν εἰς τὸν κόσμον[1] τοῦ φωτίσαι αὐτόν ὁ σαρκωθείς, ἐνανθρωπήσας καὶ σταυρωθεὶς δι' ἡμᾶς καὶ παθὼν ἑκουσίως σαρκὶ καὶ μείνας ἀπαθής, ὡς Θεός· καὶ ταφεὶς καὶ ἀναστὰς τῇ τρίτῃ ἡμέρᾳ καὶ ἀνελθὼν εἰς οὐρανοὺς καὶ καθίσας ἐν δεξιᾷ τῆς μεγαλωσύνης τῆς δόξης τοῦ Πατρός, τό τε θεῖον καὶ ἅγιον καὶ ὁμοούσιον καὶ ὁμοδύναμον καὶ ὁμόδοξον καὶ συναΐδιον Πνεῦμα καταπέμψας ἐπὶ τοὺς ἁγίους σου μαθητὰς καὶ ἀποστόλους καὶ διὰ τούτου φωτίσας μὲν αὐτούς, δι' αὐτῶν δὲ πᾶσαν τὴν οἰκουμένην, Χριστέ, ὁ ἀληθινὸς Θεὸς ἡμῶν.

...καὶ Γαβριὴλ καὶ 'Ραφαήλ.

Καὶ τῶν ἀγγέλων τετραμόρφων ζώων ἀσωμάτων· καὶ τῶν ἀγγέλων, εἴκοσι τεσσάρων πρεσβυτέρων. Τοῦ ἁγίου ἐνδόξου προφήτου, προδρόμου, βαπτιστοῦ καὶ μάρτυρος 'Ιωάννου.

Τοῦ ἁγίου Στεφάνου τοῦ πρωτοδιακόνου καὶ πρωτομάρτυρος.

[733] Τῶν θείων, ἱερῶν, ἐνδόξων ἀποστόλων, ἀθλοφόρων προφητῶν καὶ καλλινίκων μαρτύρων.

Καὶ τοῦ ἁγίου καὶ μακαρίου Πατρὸς ἡμῶν Μάρκου τοῦ ἀποστόλου καὶ εὐαγγελιστοῦ καὶ πάντων τῶν ἁγίων σου.

Καὶ σῶσον καὶ ἐλέησον καὶ εὐλόγησον πάντα Χριστιανόν. Καὶ σοὶ τὴν δόξαν καὶ τιμὴν καὶ προσκύνησιν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ 'Αγίῳ Πνεύματι, νῦν καὶ ἀεί.

'Εν εἰρήνῃ τοῦ Θεοῦ ἐτελειώθη ἡ θεία Λειτουργία, ἡ ὡρισμένη τῷ ἐν ἁγίοις πατρὶ ἡμῶν Θεολόγῳ Γρηγορίῳ.

---

1. Πρβλ 'Αποκ. 1,4,8.

ΔΕΗΣΙΣ ΚΑΙ ΕΞΟΡΚΙΣΜΟΣ
ΠΡΟΣ ΕΚΒΟΛΗΝ ΤΩΝ ΑΚΑΘΑΡΤΩΝ ΠΝΕΥΜΑΤΩΝ *
(ΑΠΟΣΠΑΣΜΑΤΑ)

733 Ἡ Δέησις ἄρχεται:

Ἐπικαλούμεθά σε, Δέσποτα Θεὲ καὶ Πάτερ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄφθαρτε, ἄχραντε, ἀχειροποίητε, ἀψηλάφητε, ἀόρατε, ἀκατασκεύαστε.

Ὁ ἐξορκισμὸς ἄρχεται:

Ἐξορκίζω ὑμᾶς, πάντα τὰ ἀκάθαρτα πνεύματα, κατὰ τοῦ Ἑλοῒ Ἀδοναῒ σαβαώθ, ἐξελθεῖν καὶ ἀναχωρῆσαι ἀπὸ τοῦ δούλου τοῦ Θεοῦ τοῦ δεῖνος.

Καὶ καταλήγει:

Γνῶτε, ἔθνη καὶ ἡττᾶσθε· φυγαδεύθητε πάντα τὰ δαιμόνια ὅτι μεθ' ἡμῶν ὁ Θεὸς ὁ σαβαώθ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ μονογενεῖ αὐτοῦ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι. Ἀμήν.

ΣΗΜΑΣΙΑ ΕΙΣ ΤΟΝ ΙΕΖΕΚΙΗΛ *

[665] Νομίζομεν τὸν ἄνθρωπον εἶναι τὸ λογικόν· τὸν λέοντα, τὸ θυμικόν· τὸν μόσχον, τὸ ἐπιθυμητικόν· τὸν ἀετόν, τὴν συνείδησιν ἐπικειμένην τοῖς λοιποῖς[1], ὅ ἐστι πνεῦμα παρὰ Παύλου λεγόμενον τοῦ ἀνθρώπου[2]· τὸν ἐπικαθεζόμενον, τὸν Πατέρα· τὸ δὲ πνεῦμα, τὸ Πνεῦμα τὸ Ἅγιον· τὴν δὲ νεφέλην, τὸν Υἱόν· ἀπὸ βορρᾶ δέ, ἀπὸ τῆς εἰσαγωγικῆς, ἐπὶ τὰ κρείττονα ὁδεύοντα. Φέγγος, διὰ τὸ φωτίζεσθαι· πῦρ δέ, διὰ τὴν παίδευσιν· τὸ ἐξαστράπτον, ὅτι ἐκ διαλειμμάτων αἱ κολάσεις· τὸ δὲ κεκαθαρμένον τῆς ψυχῆς, ἤλεκτρον λέγεται· σημειωτέον, ὅτι τὸ τοῦ ἀνθρώπου ὁμοίωμα προηγεῖται. Πᾶσα δὲ ἡ λογικὴ φύσις πτερουμένη ἐστὶ πτεροῖς πνευματικοῖς. Συσφίγγουσι δὲ ἀλλήλους, διὰ τὸ κοινωνικὸν καὶ τὴν ὁμόνοιαν. Χεὶρ δὲ ἀνθρώπου ὑποκάτω, διὰ τὸ εὔτακτον. Τὸ δὲ στερέωμα, διὰ τὸ στερρόν. Ἶριν δέ, διὰ τὴν εἰ-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 733. στ. 665-669.

1. Πρβλ. Ἰεζ. 1,5. 2. Πρβλ. Α' Κορ. 2,11.

ρήνην καὶ διαθήκην τὴν πρὸς ἡμᾶς ὑπὸ τοῦ Θεοῦ. Σάπφειρος, τὰ ἀπόρρητα· κρύσταλλος, τὸ καθαρὸν καὶ ἄδολον. Ὀρθοὶ οἱ πόδες, διὰ τὸ βάσιμον καὶ μόνιμον. Πῦρ ἐν μέσῳ συστρεφόμενον, οὐχὶ χαῦνον καὶ διαρρέον. Φέγγος δέ, διὰ τὸ τέλος τῆς ἀναπαύσεως. Τὸ ἴχνος δὲ τῶν ποδῶν, ὡς μὲν ὁ Σύμμαχος, *μόσχου*, διὰ τὸ γεωπόνον· ὡς δὲ Ἀκύλας, *στρογγύλον*, διὰ τὸ κάλλιστον τῶν σχημάτων. Τὸ εἶδος δὲ τῶν τροχῶν, ὡς μὲν ὁ Σύμμαχος, *ὑακίν*[668]*θινον*. Ἀνέκαμπτον δέ, ὡς εἶδος τοῦ βεζέκ, ὡσεὶ δυσοδοῦντα, τὸ ὅλον τοῦ φωτὸς μὴ ἔχοντα, ἀλλ' ὡς εἶδος τοῦ βεζέκ, ὅ ἐστι τῆς ἀστραπῆς. Ἐὰν μὲν ἀπαρτίσῃ τὸ ὁμοίωμα τοῦ ἀνθρώπου, κυριεύει τῶν ἄλλων ἀνθρώπων· εἰ δὲ μή, τὸ ἐναντίον συμβαίνει. Ἔχει τι ὁ λέων, τὸ γαῦρον, τὸ εὔτονον, ἵνα καλῶς αὐτῷ χρησώμεθα. Τὸν δὲ μόσχον, ἵνα δεόντως ἐπιθυμῶμεν. Ἡσαΐας λέγει· «Ἁγιάσεις αὐτὸν ἐν πυρὶ καιομένῳ»[1]. Ἀπὸ ὀσφύος, καὶ ἄνω, ἤλεκτρον· τὰ γὰρ ἄνω οὐ δεῖται κολάσεως. Ἀπὸ ὀσφύος καὶ κάτω, πῦρ, τὰ γενέσεως πράγματα· ταῦτα δὲ κολάσεως δεῖται. Τὸ Πνεῦμα πρῶτον ἐξαίρει καθαῖρον· εἶτα τοὺς μὴ καθαρθέντας ἐκ τούτου τὸ πῦρ καθαίρει. Τὸ δὲ φέγγος, χρηστὸν τέλος. Τοιαῦται γὰρ αἱ κολάσεις. Εἷς ὅρος δημιουργοῦ, τὸ τὴν ὑποκειμένην ὕλην, ὡς βούλεται καὶ ὡς ἐνδέχεται τῇ τέχνῃ ποιεῖν· ὥσπερ ὁ Θεὸς ἀγαθὸς καὶ σοφός, ἀλλ' οὐχ ὡς ἡμεῖς, οὕτω καὶ δημιουργός· ἐπειδὴ ἁπλοῦς καὶ ἀσύνθετος· ἡμεῖς γὰρ σύνθετοι ὑπάρχοντες, οὐχ οὕτως ἐσμέν. «Ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς»[2], τοὺς σοφοὺς τὰ τέκνα λέγων. Καὶ πάλιν αὐτὸς αὐτοῖς ὁ Σωτὴρ φησιν ἐν τῷ· «Σοφώτεροί εἰσιν οἱ υἱοὶ τοῦ αἰῶνος τούτου, ὑπὲρ τοὺς υἱοὺς τοῦ φωτός, ἐν τῇ γενεᾷ αὐτῶν»[3]· υἱοὺς φωτὸς λέγων τοὺς πεφωτισμένους τῇ γνώσει. Καί, «ἦμεν φύσει τέκνα ὀργῆς»[4], οὐ τὸ κατὰ φύσιν λέγων, ἀλλ' ὅτι ἐν ἀληθείᾳ ὑπεύθυνοι ὀργῆς τυγχάνουσιν οἱ ἁμαρτάνοντες. Καὶ περὶ τοῦ Ἰούδα γέγραπται, ὅτι «υἱὸς ἀπωλείας»[5]· ἀπωλείας δὲ υἱὸν αὐτὸν εἶπε, τῷ τὰ τῆς ἀπωλείας πεπραχέναι. Ἡσαΐας ἔτεσι τρισὶ γυμνὸς καὶ ἀνυποδέστατος διήγαγε. Τὸν Μωσέα φασὶ μετὰ τὸ ἀκοῦσαι τῶν χρησμῶν τοῦ Θεοῦ, μηκέτι ἅψασθαι τῆς γυναικός, μηδὲ τεκνοποιῆσαι. Βδέλυγμα τῆς ἐρημώσεως ἑστὼς ἐν τόπῳ ἁγίῳ[6], φασίν, ὅτι ὁ ναὸς ὁ ἐν Ἱεροσολύμοις οἰκοδομηθήσεται ὕστερον, ὡς τοῦ Ἀντιχρίστου πιστευθησομένου ὑπὸ Ἰουδαίων Χριστοῦ εἶναι, καὶ καθεσθησομένου, καὶ δόξοντος ὅλης τῆς οἰκουμένης εἶναι βασιλέως. Ἥξει δὲ ἐπ' ἐρημίᾳ τοῦ κόσμου· βδέλυγμα γάρ ἐστι τῆς ἐρημώσεως. Λέγον[669]ται οἱ τρεῖς παῖδες, οἱ ἐν Βαβυλῶνι καὶ κατὰ τὴν κάμινον[7], παῖδες εἶναι τοῦ Ἐζεκίου καὶ Ἰεζεκιὴλ δοῦλος γεγενῆσθαι πρότερον Ἱερεμίου.

---

1. Ἡσ 10,17. 2. Λουκ. 7,35. 3. Πρβλ. Λουκ. 16,8. 4. Ἐφ. 2,3 5 Ἰω. 17,12. 6 Πρβλ. Ματθ. 24,15. 7. Πρβλ. Δαν. 3,10 ἑξ.

ΑΠΟΣΠΑΣΜΑ
ΕΚ ΤΟΥ ΛΟΓΟΥ ΠΡΟΣ ΤΟΥΣ ΑΣΤΡΟΝΟΜΟΥΣ *

[675] Ὥσπερ οἱ ἰχθύες οἱ ἐν τοῖς ὕδασι ζῶντες διὰ τῶν ἐν μήτρᾳ συνεπικλυζομένων χυμῶν καὶ ὑδάτων εἰς ζωογονίαν ψυχαγωγοῦνται, μετὰ μέντοι τὸν τόκον οὐ κατ' ἐκπνοήν, ἀλλὰ κατ' εἰσπνοὴν καὶ ἀναπνοὴν τῆς ζωῆς τοῦ ἀέρος πᾶν ἔμψυχον ἀπολαύει ζῷον· καὶ δεσμὸς μὲν τῆς ψυχῆς ἐστι τὸ σῶμα, δεσμὸς δὲ τοῦ σώματός ἐστι τὸ αἷμα, μᾶλλον δὲ ἡ τοῦ αἵματος ἐνυπόστατος θέρμη, ἧς ἀποψυχωμένης, ὁ τῆς ψυχῆς χωρισμὸς ἐκ τοῦ σώματος γίνεται, ἀποπηγνυμένου τοῦ αἵματος. Ὅθεν τὰ αὔθωρα καὶ αὐθήμερα τῶν ἀνθρώπων νεκρὰ σώματα ἀνατεμνόμενα, χολὴν μὲν ἴσως ἔτι ἔχουσιν ἔνδον, ὡσαύτως καὶ φλέγμα καὶ χυμόν, αἷμα δὲ οὐδαμῶς· κατ' ἔλλειψιν γάρ, ὡς ἤδη εἶπον, τοῦ θερμοῦ στοιχείου ὁ τῆς ψυχῆς χωρισμὸς ἐκ τοῦ σώματος γίνεται. Καὶ τούτου χάριν τὰ πλεῖστα τῶν βρεφῶν νυκτὶ καὶ τίκτονται, ἀποψυχωμένης τῆς μήτρας καὶ ἐξωδούσης διὰ τῆς νυκτερινῆς ψύξεως τὸ βρέφος· τὸν αὐτὸν δὴ τρόπον καὶ τὰ πλεῖστα τῶν σωμάτων νυκτὶ τελευτῶσιν, ὡς ἀντιδιωκομένης τῆς θέρμης τοῦ αἵματος καὶ δη... ούσης ὑπὸ ψύχους τῆς νυκτός. Καὶ οὗτος μὲν ὁ λόγος τοῦ χωρισμοῦ τῶν ψυχῶν. Ἀναγκαῖον δέ σε καὶ τὸν ἴδιον τῶν στοιχείων τοῦ σώματος χωρισμὸν ἐπίστασθαι, ἵνα καὶ τὸν τῆς ἀναστάσεως ἐν βεβαίῳ κατέχῃς λόγον. Ἀποχωριζομένης γὰρ τῆς ψυχῆς ἐκ τοῦ σώματος, τὰ τέσσαρα στοιχεῖα ἐξ ὧν συνῆλθον... μων ἐν αὐτοῖς καὶ ἀποφέρονται, ἐν μὲν τῷ πυρί, τὸ θερμὸν τοῦ αἵματος, ὡς εἰς ἰδίαν παρακαταθήκην, ἐν δὲ τῷ ὕδατι, τὸ ὑγρόν, ἐν δὲ τῷ ἀέρι, τὸ ψυχρόν· λοιπὸν ἐν τῇ γῇ, ἤτοι τῷ τάφῳ, ἀπομένει τὸ ξηρόν, **[676]** ἤτοι ὁ χοῦς ὁ ληφθεὶς παρ' αὐτῆς ὑπὸ Θεοῦ ἀπ' ἀρχῆς. Τῷ οὖν καιρῷ τῆς ἀναστάσεως ὡς ἐκ παραθηκῶν τινων τῶν εἰρημένων τοῦ κόσμου μερῶν, ἀποδίδωσιν ἕκαστον στοιχεῖον πρὸς τὸν χοῦν τὸ ἴδιον, καὶ πάλιν συνίσταται τὸ σῶμα ἐκ τεσσάρων καὶ προστρέχει αὐτῷ ἡ ψυχὴ καὶ οὕτως πάλιν ἀναμορφοῦται ὁ ἄνθρωπος. Θελήσεις δέ, ὡς πάντα φιλολογοῦντα καὶ τοῦτο ἐν εἴδει ποιήσασθαι· φημὶ δὴ τῶν διὰ τοῦ σώματος ἐνεργειῶν τῆς ψυχῆς μνήμης τέ φημι καὶ λόγου, ἐπιθυμίας καὶ θυμοῦ, γέλωτός τε καὶ πνοῆς, ποῦ ταῦτα καὶ διὰ ποίων ἐνεργοῦνται μορίων. Αἱ μέντοι γὰρ μνῆμαι καὶ αἱ τούτων διακρίσεις διὰ τοῦ ἐγκεφάλου ὑπὸ τῆς ψυχῆς ἐνεργοῦνται· διόπερ πολλάκις κατὰ κεφαλῆς τινες καιρίαν πληγὴν λαβόντες, οὐκ ἀπέθανον μὲν παρ' αὐτά, ἔκφρονες δὲ καὶ ἀνούστατοι

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ **J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 675-678.**

γέγοναν* διὰ τοῦτο μετάφρενα τὰ ὄπισθεν τῆς κεφαλῆς λέγονται. Τὸ δὲ λογιστικὸν διὰ τῆς καρδίας ἐνεργεῖ ἡ ψυχή. Τὸ δὲ ἀναπνευστικὸν διὰ τοῦ πνεύμονος· τὸ δὲ θυμικὸν διὰ τοῦ αἵματος· ὅθεν ἔστιν ἰδέσθαι πολλάκις ἐν τοῖς θυμουμένοις κατὰ τὴν ὥραν τοῦ θυμοῦ ὕφαιμον καὶ πυρακτούμενον τὸ εἶδος αὐτῶν. Τὸ δὲ ἐπιθυμητικὸν ἡ ψυχὴ διὰ τοῦ ἥπατος ἐνεργεῖ· ὅθεν τοῦ ἥπατος ψυχομένου, δυσπευσίας εὐθέως παρακολουθούσης, ἀνορεκτεῖ ὁ ἄνθρωπος περὶ τὰς βρώσεις. Ἐπίστησον γὰρ ὡς πάντα τὰ λίχνα ζῶα τέλειον ἥπατος ἔχουσιν· οἷον γίνονται χοῖροι καὶ στρουθίονες. Γνώσῃ δὲ πάλιν τὸ μειδιαστικὸν διὰ τοῦ σπληνὸς ἐνεργεῖν τὴν ψυχὴν δυσεπιθύμως πρὸς τοὺς γέλωτας ἔχουσι· καὶ οἱ πολλάκις ὑπὸ πλειόνων γε[677]λώντων κατασυρόμενοι, σπληνίζεσθαί φασι. Θελήσεις δὲ πάντως καὶ περὶ σπερμογόνων νοεῖν δι' οἵων καὶ πόθεν πρόεισι μορίων, οἵτινές εἰσιν οἱ νεφροί· ὅθεν καὶ οἱ περὶ τὰ τοιαῦτα δεινοὶ φιλοῦσιν εἰπεῖν τοὺς λίαν περὶ τὰς συνουσίας ἀφειδῶς ἔχοντας κατακάμπτεσθαι τῇ ὀδύνῃ τῶν νεφρῶν. Μέντοιγε οὖν πεφιλολογότας εἰδέναι χρὴ τὸ τοῖς πολλοῖς ἄδηλον, ὡς ψυχὴ ἀπορραγεῖσα ἐκ τοῦ σώματος καὶ τῶν τοῦ σώματος ἀπηριθμημένων μορίων, καὶ γυμνὴ καθ' ἑαυτὴν ἐν ἀσαρκίᾳ καὶ ἀσ... μασία οὖσα, οὔτε μέμνηται λοιπόν, οὔτε γεωργεῖ καθὼς μαρτυρεῖ ὁ εἰπών, ὅτι «ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἀπολοῦνται πάντες οἱ διαλογ⟨σμοὶ⟩ αὐτοῦ»[1]. Ζητήσεις δέ, σοφέ, κατὰ τὸν τόπον γενόμενος ἐπιμελῶς τὸν περὶ ⟨ψυ⟩χῆς λόγον. Τὸ διὰ τοῦτο καὶ τοῖς πολλοῖς ἄληπτον ὁμοῦ τε καὶ ἄλυτον... τε καὶ πῶς ψυχὴ ἀσώματος χωρίζεται τοῦ σώματος, καὶ ἐν τῷ τῆς ψυχῆς χωρισμῷ θάνατος οὐ γίνεται· εἷς γάρ ἐστι καὶ μόνος ψυχῆς χωρισμὸς ἀπὸ σώματος. Ἐπίστησον δὲ μετὰ πάντων τοῦτο· πόθεν καὶ τίνος χάριν οἱ μὲν τῶν ἀνθρώπων φυσικῶς καὶ οὐκ ἔκ τινος ἀσκήσεως, ἐξ αὐτῆς τῆς νεαρᾶς αὐτῶν νηπιότητος οἱ μὲν ὀξεῖς, οἱ δὲ πραεῖς, οἱ δὲ φιλήδονοι καὶ ἄλλοι σώφρονες, καὶ ἄλλοι ἥσυχοι, ἕτεροι δὲ ταραχώδεις· καὶ οἱ μὲν φρόνιμοι, οἱ δὲ ἀκεραιότεροι καὶ οἱ μὲν δόλιοι, οἱ δὲ ἄφρονες καὶ ἄλλα πλεῖστα Ἕλληνες. Φιλοσόφων ἀπαίδευτοι οἱ τὴν πολυθρύλλητον τῶν μετεώρων [678] ἄστρων ἀστρολογίαν μυθευσάμενοι, τήν τε εἱμαρμένην δεινῶς δογματίσαντες, τῇ διοικήσει τῶν ἄστρων καὶ οὐ Θεῷ πάμπαν τὰ καθ' ἡμᾶς οἰακίζεσθαι δεινῶς ἐδογμάτισαν. Οἱ δὲ τὰς εὐσυνέτους καὶ θεοσδότους ἐπιστημονικῶς καταλαβόντες ποιότητάς τε καὶ ἀληθεῖς οὐσιώδεις περὶ τῆς ἀνθρώπου φυσικῆς πραότητός τε καὶ ὀξύτητος, ἁπαλότητός τε καὶ δεινότητος, σωφροσύνης τέ φημι καὶ ἀκολασίας καὶ τῶν τοιούτων ἁπάντων φυσικῶν πλεονεκτημάτων, εὐσόφως ἔφησαν οὕτως· ὡς οὐκ ἀφ' ἑνὸς καὶ μόνου τρόπου αἱ τοιαῦται τῇ φύσει φυσικαὶ συνεπιγίνονται καὶ συναποτίκτονται γνῶμαι καὶ καταστάσεις, ἀλλὰ καὶ ἀπὸ δευτέρας τινὸς καὶ

---

1. Ψαλ. 145,4.

τρίτης καὶ τετάρτης καὶ πέμπτης καὶ ἕκτης καὶ ἑβδόμης αἰτίας· καὶ πρῶτον μὲν ἀπὸ γονικῆς τῶν πατέρων ὁμοιότητος, δεύτερον ἐκ τῆς διαφορᾶς τῶν στοιχείων ἡμερινῆς καὶ νυκτερινῆς κινήσεως. Γνῶθι γάρ, ὦ φιλόσοφε, ὡς τρεῖς κινήσεις ἐκ τῶν διαστημάτων τῶν τριῶν ὡρῶν τοῖς στοιχείοις ὑπάρχουσιν· ἀπὸ μὲν πρώτης ὥρας ἡμερινῆς ἄχρι τρίτης κινουμένης τῆς χολῆς, ὡς μαρτυροῦσι πολλάκις ἕωθεν ὀφθαλμοί τινων ... δέστεροι ὁρώμενοι· ἀπὸ δὲ τρίτης ἕως ἕκτης σὺν τῇ θέρμῃ τοῦ ἡλίου ..... αἵματος κινήσεις καὶ ἀναζέσεις, ὀξύτεραι καὶ πικρότεραι . . ότεραι δὲ μετὰ βρῶσιν· ἀπὸ δὲ ἕκτης ὥρας ἕως ἐνάτης, εἴωθεν ἡ τοῦ . . . ματος κίνησις γίνεσθαι, καὶ οὕτω λοιπὸν ἡ τοῦ χυμοῦ ἕως ἑσπέρας.

Π Α Ρ Α Ρ Τ Η Μ Α

ΣΧΟΛΙΑ ΕΙΣ ΛΟΓΟΥΣ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ*

ΩΝ ΕΜΝΗΣΘΗ ΙΣΤΟΡΙΩΝ, Ο ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΗΡ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΣ, ΤΩΝ ΕΝ ΤΩ ΠΡΩΤΩ ΣΤΗΛΙΤΕΥΤΙΚΩ

[985] Ὁ λόγος ὁ στηλιτευτικός, ψόγος ἐστὶ τῶν Ἰουλιανῷ πεπραγμένων. Διαφέρει δὲ ψόγου ὁ στηλιτευτικός, ὅτι ὁ μὲν ψόγος, διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται, οἷον γένους, ἀνατροφῆς, πράξεων, συγκρίσεως· στηλιτευτικὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῆς στήλης· στήλη δέ ἐστιν ἢ λίθος ἢ χαλκός, ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾗ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. Οἷον Ἀθηναῖοι τὸν Ζηλείτην Ἄρθμιον, τὸν διαφθείροντα τοὺς Ἕλληνας χρήμασιν, ἐπὶ τῷ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἐν στήλῃ ἀνέγραψαν, ἀτιμώσαντες καὶ αὐτὸν καὶ ἅπαν τὸ γένος αὐτοῦ, ἐξουσίαν δεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ αὐτὸν ἀποκτεῖναι, ἐγγράψαντες καὶ τὴν αἰτίαν ἐν αὐτῇ τῇ στήλῃ, ἥτις ἦν αὐτῷ τῷ Ἀρθμίῳ ψόγος· Ὅτι, φησί, τὸν χρυσὸν τὸν ἐκ τῶν Μήδων εἰς Πελοπόννησον ἤγαγεν. Εἰδέναι δὲ χρή, ὅτι πολλάκις καὶ εὐεργετῶν αἱ εὐεργεσίαι ἐν ταῖς στήλαις ἀνεγράφοντο, ὥσπερ ἡ τοῦ Λεύκωνος, τοῦ ἄρχοντος Βοσπόρου ἀνεγράφη ἐν Ἀθήναις· Καὶ ἡ μὲν ὑπόθεσις αὕτη· περὶ δὲ τῶν *Ἱστοριῶν* ὡς οἷόν τε, διὰ βραχυτάτων ἐπιμνησθησόμεθα·

α΄. Περὶ Ἐμπεδοκλέους καὶ Ἀρισταίου, καὶ Ἐμπεδοτίμου, καὶ Τροφωνίου.

Ὁ μὲν Ἐμπεδοκλῆς Σικελιώτης ἦν τὸ γένος, Πυθαγόρειος δὲ τὴν φιλοσοφίαν. Βουλόμενος δὲ κενοδοξῆσαι, ὡς ὅτι ἀνιερώθη καὶ μετάρσιος γέγονεν εἰς **[988]** οὐρανούς, ἔβαλεν ἑαυτὸν ἐν τῷ ἀναδιδομένῳ πυρὶ τῆς Αἴτνης. Τοῦτο δὲ τὸ πῦρ λέγεται, οἱ τοῦ *Ἡφαίστου κρατῆρες*. Καὶ αὐτὸς μὲν ἀπώλετο ὑπὸ τοῦ πυρός. Ὁ δὲ Θεὸς βουλόμενος δημοσιεῦσαι αὐτοῦ τὴν κενοδοξίαν, τὸ σάνδαλον αὐτοῦ ἀποπτυσθῆναι σῶον ἐκ τοῦ πυρὸς ἐποίησε. Καὶ οὕτως ἐγνώσθη πᾶσιν, ὅτι Θεὸς μὲν οὐ γέγονε, κατεκάη δὲ εἰς τέλος ἀξίως τῆς οἰκείας κενοδοξίας. Οἱ δὲ περὶ τὸν Τροφώνιον καὶ Ἐμπεδότιμον καὶ Ἀρισταῖον ὑπῆρχον μὲν ἐκ τῆς Βοιωτίας, πόλεως Λεβαδίας, μάντεις δὲ ταῖς τέχναις· καὶ οὗτοι βουλόμενοι κενοδοξῆσαι καὶ δεῖξαι, ὅτι ἀνελήφθησαν, ἑαυτοὺς ἔν τισιν ὑποβρυχίοις σπηλαίοις ἔβαλον, ἐπὶ τῷ τεθνάναι καὶ μὴ εὑρε-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 985-1058.

θῆναι αὐτῶν τὰ λείψανα. Οὗτοι δὲ τεθνήκασιν· ἐγνώσθησαν δὲ ὅτι ἐκεῖσε ἀπέθανον, διὰ τὸ μαντεῖον φανῆναι περὶ τὸν τόπον. Ἔστι δέ τις παροιμία ἡ λέγουσα· *εἰς Τροφωνίου μεμάντευσαι*. Λέγεται δὲ ἐπὶ τῶν ὠχριώντων καὶ μηδέποτε γελώντων. Πᾶς γὰρ ὁ καταβαίνων εἰς τὸ μαντεῖον ἐκεῖνο, ἀγέλαστος ἀνῄει καὶ ὠχριῶν διηνεκῶς. Ἔλεγχος δὲ ἦν οὗτος αὐτῶν τούτων, ὅτι ὠχριάσαντες καὶ μηδέποτε ἐν τῷ ὑποβρυχίῳ γελάσαντες τεθνήκασιν. Ἠξιώθησαν δὲ ὁ Τροφώνιος καὶ Ἀγαμήδης ὁ ἀδελφὸς αὐτοῦ μαντεύεσθαι, διὰ τὸ κτίσαι αὐτοὺς ἀπὸ οἰκείων χρημάτων τὸ ἱερὸν τὸν ἐν Δελφοῖς τοῦ Ἀπόλλωνος.

β'. Περὶ τοῦ Πρωτέως.

Οὗτος ὁ Πρωτεὺς Αἰγύπτιος μὲν ἦν τὸ γένος· εἶχε δὲ δύο υἱούς, Μῶλον καὶ Τηλέγονον. Τούτους λῃστὰς ὄντας ὁ Ἡρακλῆς ἐλθὼν ἀπέκτεινεν ἀπερχόμενος διὰ τοὺς Γηρυόνου βοῦς. Τοῦτον οὖν ἀθυμοῦντα τὸν Πρωτέα διὰ τὴν ἀποβολὴν τῶν τέκνων καὶ ῥίψαντα ἑαυτὸν εἰς θάλασσαν, οἱ θεοὶ ἐλεήσαντες ἀπηθανάτισαν· καὶ γέγονε δαίμων θαλάττιος καὶ ἔρχεται καὶ οἰκεῖ τὴν Φαρίαν νῆσον. Οὗτος λέγεται καὶ μετὰ τῶν φωκῶν ἐνδιαιτᾶσθαι. Οὗτος καὶ τοῦ Ἀλεξάνδρου τὴν Ἑλένην ἔλαβεν ἐλθόντος ἀπὸ τῆς Ἑλλάδος, καὶ δέδωκεν αὐτῷ τὸ εἴδωλον τῆς Ἑλένης. Ὕστερον δὲ Μενελάου μετὰ τὸν -ρωϊκὸν πόλεμον μαθόντος, ὡς εἰς Αἴγυπτόν ἐστιν ἡ Ἑλένη καὶ ἐλθόντος παρὰ τὸν Πρωτέα, δέδωκεν αὐτὴν αὐτῷ. Λέγεται δὲ οὗτος ὁ Πρωτεὺς μεταμορφοῦσθαι πρὸς τοὺς ἐντυγχάνοντας καὶ ποτὲ μὲν φαίνεσθαι τοιόσδε, ποτὲ δὲ τοιόσδε.

γ'. Περὶ Ἡρακλέους καὶ τῆς πυρᾶς αὐτοῦ.

Πολὺς μὲν ὁ λόγος θρυλλεῖ τὸν Ἡρακλέα, ὅτι υἱὸς ὢν τοῦ Διὸς καὶ Ἀλκμήνης, ἥρως τε ὤν, τοὺς δώδεκα ἄθλους ἐξήνυσεν. Ἡ δὲ νῦν ἐν τῷδε τῷ χωρίῳ περὶ τῆς πυρᾶς ἱστορία ἐστὶν αὕτη. Οὗτος ὁ Ἡρακλῆς εἶχε γυναῖκα ὀνόματι Δηϊάνειραν, ἣν ἔλαβεν ἐξ Οἰνέως, ἀντεραστὴς γενόμενος Ἀχελῴῳ τῷ ποταμῷ, ἐξ ἧς ἔτεκε καὶ τὸν Ὕλλον. Ταύτην τοίνυν τὴν Δηϊάνειραν, ἅμα τῷ λαβεῖν καὶ ἀποφέρειν ἐν τῇ οἰκείᾳ πατρίδι, ἰδὼν ὁ Νέσσος εἷς τῶν Ἱπποκενταύρων, ἠράσθη αὐτῆς, καὶ κατά τινα ποταμὸν ἠβουλήθη αὐτῇ συγγενέσθαι. Ὁ οὖν Ἡρακλῆς μαθών, κατατοξεύει τὸν **[989]** Νέσσον. Ἀποθνήσκων δὲ ἐκεῖνος, ἐκ τοῦ αἵματος ἑαυτοῦ δίδωσι τῇ Δηϊανείρᾳ, ὑπειπών τε καὶ ἀπατήσας, ὅτι ἔσται σοι τοῦτο τὸ αἷμα πρὸς φίλτρον τοῦ Ἡρακλέους· ἵνα, φησίν, ἐὰν μάθῃς, ὅτι ἄλλης ἐρᾷ, χρίσῃς ἐκ τοῦ αἵματος τούτου τὸ ἔνδυμα τοῦ Ἡρακλέους, καὶ μεθιστᾷς αὐτὸν εἰς τὸν ἑαυτῆς πόθον. Τοῦτο οὖν τὸ αἷμα εἶχεν ἡ Δηϊάνειρα. Τοῦ οὖν Ἡρακλέους τῆς Ἰόλης τῆς τοῦ Εὐρύτου θυγατρὸς ἐρασθέντος καὶ λαβόντος καὶ διὰ τοῦ Λίχα πέμψαντος αὐτὴν ὡς αἰχμάλωτον πρὸς τὴν Δηϊάνειραν, εἰς ἔννοιαν καὶ ζηλοτυπίαν ἐκινήθη ἡ Δηϊάνειρα καὶ βουληθεῖσα τὸν

ἔρωτα μεταστῆσαι εἰς ἑαυτήν, τὸν χιτῶνα τοῦ Ἡρακλέους χρίει τῷ αἵματι τοῦ Νέσσου καὶ δίδωσιν ἐνδύσασθαι τῷ Ἡρακλεῖ· τὸ δὲ ἦν ἀνδροφόνον τὸ αἷμα. Ἐνδυσαμένου γὰρ τοῦ Ἡρακλέους, ὑφῆψεν ὁ χιτὼν καὶ κατέφλεξεν αὐτόν· ὁ δὲ καιόμενος καὶ ῥίψας ἑαυτὸν ἐν τῷ πλησίον ποταμῷ, θερμὸν τὸ ὕδωρ ἐποίησεν· ἐξ οὗ λοιπὸν γεγόνασιν αἱ Θερμοπύλαι, μεταξὺ Θετταλίας καὶ Φωκίδος.

δʹ. Περὶ τῆς Πέλοπος κρεουργίας.

Τάνταλος Φρυγίας ἦν βασιλεύς· οὗτος γεννᾷ τὸν Πέλοπα. Τούτῳ τῷ Ταντάλῳ ποτὲ οἱ θεοὶ ἐπεξενώθησαν. Λαβὼν οὖν τὸν Πέλοπα τὸν ἴδιον υἱὸν ὁ Τάνταλος, κατασφάττει καὶ κρεουργεῖ καὶ ἕψει, καὶ παρατίθησιν εὐωχίαν τοῖς θεοῖς. Τούτων δὲ τῶν κρεῶν, ἡ Δημήτηρ βαλοῦσα χεῖρα, ἔλαβε καὶ ἔφαγεν ἀπὸ τοῦ ὤμου· οἱ δὲ ἄλλοι θεοὶ ἐλεήσαντες τὸν Τάνταλον καὶ θαυμάσαντες ὅτι τοῦ παιδὸς αὐτοῦ κατεφρόνησε, συντιθέασι τὰ κρέα καὶ ἀποτελοῦσι σῶον τὸν Πέλοπα. Ἦν δὲ λεῖπον ἐκεῖνο ὃ ἔφαγεν ἐκ τοῦ ὤμου ἡ Δημήτηρ. Προσθέντες οὖν ἐλεφάντινόν τι κατὰ τὸν ὦμον, ἐπλήρωσαν σῶον τὸν Πέλοπα. Οὕτω οὖν λοιπὸν ἅπαν τὸ Πελοπιδῶν γένος ἐκ τούτου ἦν ἐπίσημον, ἐχόντων πάντων ἐν τοῖς ὤμοις τὸν ἐλεφάντινον τόπον.

εʹ. Περὶ τῆς τῶν Φρυγῶν ἐκτομῆς.

Κατὰ τὴν Φρυγίαν ἐσέβοντο τὴν μητέρα τῶν θεῶν τὴν Ῥέαν ὑπὲρ πάντα θεόν. Ταύτῃ οὖν τὰς τελετὰς ποιοῦντες οἱ Φρύγες, κατέτεμνον ἑαυτοὺς μαχαίραις, οὐκ ἀποκτεῖναι ἐθέλοντες, ἀλλὰ μόνον αἱμάξαι. Τοῦτο δὲ ἐποίουν κηλούμενοι αὐλοῖς, ἵνα ἀπόνως φέρωσι πληττόμενοι. Μετὰ δὲ τὰς πληγάς, πρὸς ἀκαθάρτους μίξεις ἐχώρουν, γυναικῶν δὴ λέγω, οὐκ ἀνδρῶν

ϛʹ. Περὶ τοῦ Μίθρου.

Ὁ τοίνυν Μίθρας νομίζεται παρὰ Πέρσαις εἶναι ὁ ἥλιος, καὶ θυσιάζουσιν αὐτῷ , καὶ τελοῦσί τινας τελετὰς εἰς αὐτόν. Οὐ δύναται οὖν τις εἰς αὐτὸν τελεσθῆναι, εἰ μὴ πρότερον διὰ τῶν βαθμῶν τῶν κολάσεων παρέλθοι. Βαθμοὶ δέ εἰσι κολάσεων, τὸν μὲν ἀριθμὸν ὀγδοήκοντα, ἔχοντες δὲ ὑπόβασιν καὶ ἀνάβασιν. Κολάζονται γὰρ πρῶτον τὰς ἐλαφροτέρας, εἶτα τὰς δραστικωτέρας· καὶ εἶθ' οὕτω μετὰ τὸ παρελθεῖν διὰ πασῶν τῶν κολάσεων, τότε τελεῖται ὁ τελούμενος. Αἱ δὲ κολάσεις εἰσί, τὸ διὰ πυρὸς παρελθεῖν, τὸ διὰ κρύους, διὰ πείνης καὶ δίψης, διὰ ὁδοιπορίας πολλῆς, καὶ ἁπλῶς διὰ πασῶν τῶν τοιούτων.

ζʹ. Περὶ τῆς ἐν Ταύροις ξενοκτονίας.

Ταῦροι ἔθνος ἐστὶ περὶ τὴν Σκυθίαν. Ἐν τούτοις μετετέθη ὑπὸ τῆς Ἀρτέμιδος ἡ θυγάτηρ Ἀγαμέμνο**[992]**νος ἡ Ἰφιγένεια, ἐν τῷ

μέλλειν αὐτὴν θύεσθαι ὑπὲρ τῶν Ἑλλήνων ἐν τῇ Αὐλίδι· ὑπὲρ ἧς ἔλαφον ἡ θεὸς ἀμείψασα, δέδωκε θῦσαι. Αὕτη οὖν ἡ Ἰφιγένεια, οὖσα ἐν τοῖς Ταύροις, διὰ τὸ μὴ ἐπιγνωσθῆναι παρὰ τῶν ἐπιξενουμένων, τίς ἐστιν, ἐτέτρεπε θύειν αὐτοὺς τῇ Ἀρτέμιδι· καὶ αὕτη ἦν ἡ ξενοκτονία, ἣν λέγει ὁ θεῖος Γρηγόριος. Ὕστερον δὲ ὁ Ὀρέστης δειματούμενος ὑπὸ τῶν Ἐριννύων καὶ ἐλθὼν παρὰ τοῖς Ταύροις καὶ συλληφθεὶς ὡς ξένος ἐπ' ἀναιρέσει καὶ προσενεχθεὶς ὡς ἱερεία τῇ Ἰφιγενείᾳ, ἐπεγνώσθη διὰ τοῦ ἐλεφαντίνου ὤμου καὶ ἀφείθη τῆς θυσίας· οὕτω λοιπὸν λαβὼν ὁ Ὀρέστης τὴν ἰδίαν ἀδελφήν, λέγω δὴ τὴν Ἰφιγένειαν, κομίζει εἰς τὴν Ἑλλάδα.

η'. *Περὶ τῆς ἐπὶ Τροίαν θυσίας τῆς βασιλικῆς κόρης.*

Πολυξένη ἐστὶ θυγάτηρ Πριάμου, ἣν ὁ Ἀχιλλεὺς βουληθεὶς γῆμαι, εἰσῆλθεν ἐν τῇ Τροίᾳ· καὶ κατὰ λόχον τινὰ τοξεύεται ὑπὸ Πάριδος ἐν τῷ ναῷ τοῦ Ἀπόλλωνος καὶ ἀποθνήσκει· ἐν ὑστέρῳ δὲ χρόνῳ ἀνδρωθέντι Πύρρῳ τῷ υἱῷ αὐτοῦ, ἐφά[ι]νη κατ' ὄναρ, δεῖν αὐτῷ τυθῆναι τὴν Πολυξένην δι' ἣν ἀπώλετο. Καὶ ὁ Πύρρος ὢν ἐν Τροίᾳ καὶ πυρπολήσας τὸ Ἴλιον, ταύτην μετὰ τὴν νίκην λαβών, σφάττει ἐπὶ τῷ τάφῳ τοῦ Ἀχιλλέως τοῦ οἰκείου πατρός.

θ'. *Περὶ τοῦ Μενοικέως.*

Ὁ Μενοικεὺς Κρέοντος ἦν υἱός, βασιλέως Θηβῶν. Πολεμουμένης οὖν τῆς ἰδίας πατρίδος τῶν Θηβῶν, ὑπὸ τῶν ἑπτὰ στρατηγῶν, ἐχρησμῴδησε Τειρεσίας, μάντις ὤν, παραυτίκα παύσεσθαι τὸν πόλεμον καὶ ἔσεσθαι αὐτοῖς νίκην, εἰ τοῦ βασιλικοῦ γένους τῶν αὐτοχθόνων, τῶν ἀναδοθέντων ἐκ τῶν ὀδόντων τοῦ δράκοντος, τὶς ἑαυτὸν δῷ πρὸς ἀναίρεσιν. Μαθὼν τοῦτο ὁ Μενοικεὺς καὶ θέλων ἐλευθερῶσαι τῆς πολιορκίας τὴν πόλιν, δέδωκεν ἑαυτὸν πρὸς ἀναίρεσιν, δίχα τοῦ πατρὸς αὐτοῦ Κρέοντος.

ι'. *Περὶ τῶν Σκεδάσου θυγατέρων.*

Οἱ Λακεδαιμόνιοι ἐν τῷ Πελοποννησιακῷ πολέμῳ, μετὰ τὸ κατακράτος νικῆσαι τοὺς Ἀθηναίους, ἠβουλήθησαν καὶ τοὺς ἰδίους συμμάχους πολεμῆσαι· καὶ ὁρμήσαντες κατὰ Θηβαίων, πρὶν προσεγγίσαι τῇ πόλει, γενόμενοι ἐν Λεύκτροις (πόλις δὲ αὕτη Θηβῶν), συμβαλόντες ἡττήθησαν, Ἐπαμινώνδου στρατηγοῦ Θηβαίων εὐδοκιμήσαντος. Τὸ δὲ πάθος τοῖς Λακεδαιμονίοις γέγονεν ἐν Λεύκτροις ἐξ αἰτίας τοιαύτης· Σκέδασος Λευκτραῖος ὤν, εἶχε τρεῖς θυγατέρας. Τινὲς δὲ τῶν Λακεδαιμονίων πάλαι παρ' αὐταῖς ἐπιξενωθέντες μίξει τὰς κόρας ἐνύβρισαν· φοβηθέντες οὖν οἱ Λακεδαιμόνιοι, μήπως δημοσιεύσωσι τῷ ἰδίῳ πατρὶ τὴν ἀσέλγειαν, ἀναιροῦσιν αὐτάς. Ἐπανελθὼν δὲ ἐν τῇ ἰδίᾳ πόλει τοῖς Λεύκτροις ὁ Σκέδασος καὶ μαθὼν τὸ γεγονός, κατηράσατο πᾶσι Λακεδαιμονίοις, παρ' αὐτὸν

τὸν τάφον τῶν θυγατέρων αὐτοῦ, ἀτυχῆσαι. Διὸ καὶ ἡ ἀτυχία ἔφθασεν ἐν Λεύκτροις τοὺς Λακεδαιμονίους.

ια'. Περὶ τῶν Λακωνικῶν ἐφήβων.

Οἱ Λακεδαιμόνιοι βουλόμενοι καρτερικοὺς καὶ ἀνδρείους εἶναι τοὺς ἑαυτῶν πολίτας καὶ παῖδας, ἐγύμναζον ταῖς μαστιγώσεσι καὶ τῷ ἐπὶ πλέον καρτεροῦντι ἆθλον ἐδίδοτο.

ιβ'. Περὶ τῆς Ἀρτέμιδος.

[993] Τὸ δὲ κατὰ τὴν Ἄρτεμιν, αὕτη παρθένος οὖσα καὶ σώφρων ἡ θεός, ἔχαιρε τοῖς αἵμασι τῆς ξενοκτονίας τιμᾶσθαι.

ιγ'. Περὶ τοῦ κωνείου τοῦ Σωκράτους.

Σωκράτης τὸ μὲν γένος ἦν Ἀθηναῖος, φιλόσοφος δὲ τὴν παίδευσιν. Τοῦτον ὡς δαιμόνια καινὰ παρεισφέροντα τῇ πολιτείᾳ ᾐτιάσαντο Ἄνυτος καὶ Μέλιτος· κατεκρίθη οὖν ὡς διαφθείρων τοὺς νέους ἀποθανεῖν πιόντα κώνειον· καὶ πιὼν ἀπέθανεν.

ιδ'. Περὶ τοῦ Ἐπικτήτου σκέλους.

Ἐπίκτητος φιλόσοφος ἦν· οὗτος ἐδέθη ὑπὸ τυράννου τὸ σκέλος· ὕστερον δὲ ἠβουλήθη λῦσαι αὐτὸν ὁ τύραννος. Ἠρώτα οὖν αὐτὸν οὕτω· θέλεις, ὦ Ἐπίκτητε, λύσω σε; Ὁ δὲ ἀπεκρίνατο· Τί γάρ, δέδεμαι; ὡς τῆς ψυχῆς αὐτοῦ δῆθεν μὴ δεδεμένης. Λέγεται οὖν μὴ τὸ σῶμα εἶναι ἄνθρωπος, ἀλλ' ἡ ψυχή.

ιε'. Περὶ Ἀναξάρχου.

Ἀνάξαρχος φιλόσοφος ἦν. Οὗτος συσχεθεὶς ὑπὸ Ἀρχελάου τοῦ τυράννου καὶ βληθεὶς ἐν ὅλμῳ, ἐπτίσσετο μοχλῷ ξυλίνῳ. Πτίσσεσθαι δέ ἐστι, τὸ δίκην πτισσάνης τύπτεσθαι· ἔνθεν δὲ καὶ πτισσάνη παρὰ τὸ πτίσσεσθαι. Πτισσόμενος δὲ οὕτως ἔφη· Πτίσσε, πτίσσε τὸν Ἀναξάρχου θύλακον, οὐ γὰρ πτίσσεις Ἀνάξαρχον· αἰνιττόμενος, οἷα φιλόσοφος δῆθεν, τοῦ σώματος μηδένα λόγον ποιεῖσθαι.

ις'. Περὶ τοῦ Κλεομβρότου πηδήματος.

Κλεόμβροτος Ἀμβρακιώτης τὸ γένος. Πόλις δὲ αὕτη ἐπὶ τῆς παλαιᾶς Ἠπείρου. Ἐντυχὼν τῷ Φαίδωνι, τῷ περὶ ψυχῆς διαλόγῳ Πλάτωνος καὶ μαθών, ὡς ἄμεινόν ἐστι τῇ ψυχῇ ὁ χωρισμὸς τοῦ σώματος, ἔρριψεν ἑαυτὸν ἀπὸ τοῦ τείχους καὶ τέθνηκεν· ἵνα δῆθεν ἡ ψυχὴ αὐτοῦ ἐξελθοῦσα χωρισθῇ τοῦ σώματος.

ιζ'. Περὶ τῶν κυάμων.

Πυθαγόρειοι γένος φιλοσόφων, ἐκ Πυθαγόρου τοῦ Σαμίου. Οὗτοι δι' αἰνιγμάτων τὰ τῆς φιλοσοφίας ἐμάνθανον δόγματα. Παρεδίδετο δὲ

μετὰ τῶν ἄλλων καὶ τοῦτο τὸ αἴνιγμα, *κυάμους μὴ ἐσθίειν*· τουτέστι, μὴ προδιδόντας τὸ δίκαιον δωροδοκεῖσθαι χρήμασιν. Οἱ γὰρ Ἀθηναίων πάλαι δικασταὶ ἀντὶ ψήφων κυάμοις ἐχρῶντο πρὸς κατάκρισιν ἐν τοῖς δικαστηρίοις. Φησὶν οὖν, ἐκ τῶν κυάμων τῶν ἐκ τοῦ δικαστηρίου, μὴ δεῖν ἐσθίειν.

ιη'. Περὶ Θεανοῦς.

Αὕτη ἡ Θεανὼ ὑπὸ τυράννου συνεσχέθη ἐπὶ τῷ εἰπεῖν τῆς πατρίδος τὰ ἀπόρρητα· καὶ μὴ θέλουσα, τὴν ἑαυτῆς γλῶτταν ἀποδακοῦσα, ἐνέπτυσε τῷ τυράννῳ.

ιθ'. Περὶ Ἐπαμεινώνδα.

Ὁ Ἐπαμεινώνδας τὸ γένος ἦν Θηβαῖος, στρατηγὸς μέγιστος, ὁ ἀριστεύσας ἐν τῷ Λευκτρικῷ πολέμῳ, μαθητὴς γενόμενος Φιλολάου τοῦ Πυθαγορείου. Οὗτος πολεμῶν ἐνεκρατεύετο πάνυ καὶ ἀπὸ βρωμάτων **[996]** καὶ ἀπὸ ἀφροδισίων καὶ πάσης ἡδυπαθείας· διὸ καὶ μέγιστα κατὰ Λακεδαιμονίων ἔστησε τρόπαια. Ὁ δὲ Σκιπίων, καὶ αὐτὸς στρατηγὸς Ῥωμαίων, ὅμοιος κατὰ τὴν δίαιταν καὶ τὸ ἦθος Ἐπαμεινώνδᾳ· ἠρίστευσε δὲ καὶ αὐτός, ἐν τῷ πρὸς Καρχηδονίους πολέμῳ, ὡς ἐκ τῆς νίκης τοῦ ἔθνους, τὴν ἐπωνυμίαν λαβεῖν καὶ κληθῆναι Σκιπίων Ἀφρικανός· Καρχηδόνιοι γὰρ οἱ Ἀφροί

κ'. Περὶ τῶν ἀνιπτοπόδων καὶ χα[ι]μαιευνῶν.

Παρ' Ὁμήρῳ τῷ ποιητῇ Σελλοὶ ἔθνος Δωδωναῖον. Ἐκ τούτων ἱερεῖς τῆς φηγοῦ προεβάλλοντο· αὕτη δὲ ἡ φηγὸς μαντεῖον ἦν τοῦ Διός, ἡ καλουμένη Δωδωναία δρῦς. Οὗτοι οὖν οἱ ἱερεῖς, οἷα Θεοῦ ὄντες θεραπευταί, ἁγνεύοντες οὔτε ἐλούοντο, οὔτε ἐν κλίνῃ ἐκάθευδον, ἀλλὰ χαμαί, ὡς φησιν ὁ ποιητὴς ἐν τούτῳ τῷ ἔπει·

...ἀμφὶ δὲ Σελλοὶ
Συνναίουσ' ὑποφῆται ἀνιπτόποδες χαμαιεῦναι.

κα'. Περὶ Σόλωνος ἀπληστίας.

Σόλων νομοθέτης ἦν Ἀθηναίων. Οὗτος αἰτούμενος νομοθετῆσαι τοὺς νόμους, ἀπήτησε τοὺς πολίτας ὅρκους, ὅτι δὴ δεκαετίαν στέρξωσι καὶ ἐμμείνωσι τοῖς παρ' αὐτοῦ τιθεμένοις νόμοις· καὶ λοιπόν, εἰ μὴ συναρέσουσιν αὐτοῖς, τὸ τηνικάδε λύσουσι. Τοῦτο δὲ ἐποίησεν, ἵνα τέως προσεθίσῃ αὐτοὺς ἐμμεῖναι ἐπ' ὀλίγον χρόνον τοῖς νόμοις. Ἤδει γὰρ ὡς, εἰ γεύσωνται τῆς νομοθεσίας, λοιπὸν δυσμεταθέτως σχήσουσιν αὐτῆς. Λαβὼν τοίνυν ὁ Σόλων τὸν ὅρκον παρὰ τῶν Ἀθηναίων καὶ νομοθετήσας αὐτοῖς, ἐξῆλθεν ἀπὸ Ἀθηνῶν ὀφείλων τὴν δεκαετίαν ἔξω ποιῆσαι. Περιπολῶν οὖν τὰς πόλεις, ἦλθε καὶ εἰς Λυδίαν παρὰ Κροῖσον τὸν βασιλέα. Ὃν ἐλθόντα ὁ Κροῖσος, εἰς θαῦμα θέλων κινῆσαι, ἔπεμψεν εἰς τοὺς θησαυροὺς αὐτοῦ· ἐπανήκοντα δὲ

ἀπὸ τῶν θησαυρῶν τὸν Σόλωνα, ἤρετο ὁ Κροῖσος, τίνα νομίζοι εὐδαιμονέστερον πάντων ἀνθρώπων, ὑπολαμβάνων, ὅτι δὴ αὐτὸν πρὸ πάντων εἴποι. Ὁ δὲ Σόλων ἀπεκρίνατο, Τέλλον τὸν Ἀθηναῖον. Ὡρίζετο γὰρ ὁ Σόλων, οὐ τὸν πλοῦτον καὶ τὴν περιφάνειαν εὐδαιμονίαν, ἀλλὰ τὸν ἀπαθῶς ζήσαντα, ἀποθανόντα δὲ ἀριστεύσαντα. Νῦν οὖν ἄπληστον καλεῖ τὸν Σόλωνα, ὡς πλείονα πλοῦτον τοῦ Λυδίου χρυσοῦ ὀρεγόμενον θεάσασθαι. Καὶ ὁ πλοῦτος δὲ εὐδαιμονία τις περὶ τὰ ἐκτός. Τρεῖς δὲ εὐδαιμονίας οἶδεν ὁ λόγος· τὴν ἐν ψυχῇ ἀπάθειαν, τὴν ἐν σώματι ὑγείαν, τὴν περὶ τὰ ἐκτὸς πολυτέλειαν. Ἐχρῆν οὖν τὸν Σόλωνα προσθεῖναι, ὅτι εἰ καὶ τῇ ψυχῇ ἧς ἄριστος, ἱκανός σοι ὁ πλοῦτος πρὸς τὴν περὶ τὰ ἐκτὸς εὐδαιμονίαν.

κβ'. Περὶ Σωκράτους φιλοκαλίας.

[997] Ὁ Σωκράτης, φιλόσοφος ὤν, περιῆγε τὴν ἀγορὰν καὶ τὰ μειράκια προετρέπετο ἐπὶ φιλοσοφίαν· καὶ μάλιστα ἐνόμιζεν εἶναι πρὸς φιλοσοφίαν ἐπιτήδεια τὰ περικαλλῆ μειράκια· τοὺς γὰρ εὐμόρφους λέγουσιν εἶναι καὶ εὐφυεῖς. Ἦν οὖν δόξα παρὰ Ἀθηναίοις, ὅτι παιδεραστὴς ἦν ὁ Σωκράτης, διὰ τὸ ἐπιλέγεσθαι τοὺς εὐμόρφους. Εὑρίσκεται δὲ καὶ ὁ Πλάτων ἐν τῷ *Θεαιτήτῳ*, καὶ πανταχοῦ οὕτω λέγων περὶ Σωκράτους· ὅτι καλὸς ὁ Θεαίτητος καὶ καλὸς ὁ Χαρμίδης. Ἄντικρυς οὖν ἐν τοῖς λόγοις ἔμφασιν παρέχει ὁ Πλάτων, ὅτι Σωκράτης ὑπωπτεύθη τοιοῦτος εἶναι, διὰ τὰς τοιαύτας, ὡς εἶπον, ἀντερωτήσεις· ὅτι καλὸς μὲν ἦν, οὐ τὴν ὄψιν, ἀλλὰ τὴν ψυχήν. Ὑπενοήθη δὲ ὅτι καὶ τῷ Ἀλκιβιάδῃ συγγίνεται κατὰ τὸν αἰσχρὸν ἔρωτα. Οἱ δὲ περὶ Σωκράτους λέγοντες, φασίν, ὅτι συνεγένετο πᾶσιν, οὐ κατὰ τὸν ἐμπαθῆ ἔρωτα, ἀλλὰ κατὰ τὸν ἔνθεον.

κγ'. Περὶ Πλάτωνος λιχνείας.

Πλάτων ὁ φιλόσοφος ἀκούων, ὅτι μεγαλοφυὴς ὁ Διονύσιος ὁ τῆς Σικελίας τύραννος, ἔπλευσε πρὸς αὐτόν. Καὶ οἱ μὲν ἐξηγηταὶ νῦν τοῦ Πλάτωνος λέγουσιν ὅτι ἔπλευσε διὰ δύο αἰτίας· ἵνα καὶ ἱστορήσῃ τὸ ἐν τῇ Αἴτνῃ πῦρ ἀναδιδόμενον καὶ ἵνα πείσῃ Διονύσιον φιλοσοφῆσαι. Ὁ δὲ μακάριος Γρηγόριός φησιν, ὅτι διὰ τοῦτο ἀπῆλθεν ὁ Πλάτων ἐν Σικελίᾳ, διὰ τὴν πολυτέλειαν τῶν ἀρίστων, ὧν ἐποίει Διονύσιος· καὶ ποιεῖται τεκμήριον, ὅτι ἀληθῶς διὰ τὴν λιχνείαν ἔπλευσε τὸ πραθῆναι αὐτὸν παρὰ Διονυσίου. Ἐπράθη δὲ τῷ ὄντι Πόλλιδι τῷ ναυάρχῳ τῶν Λακεδαιμονίων, διάγοντι τηνικαῦτα ἐκεῖσε· εἶτα ὁ Πόλλις ἐλθὼν εἰς Αἴγιναν πωλεῖ αὐτὸν πεντήκοντα μνῶν τῷ Ἀννικάρῳ.

Πολλοὶ δὲ καὶ τῶν Στωϊκῶν ἀρχαῖοί φασιν, ὡς διὰ λιχνειαν πρὸς τὸν Διονύσιον ἀπῆλθεν ὁ Πλάτων, οἷς καὶ ὁ Γρηγόριος μᾶλλον συντίθεται καὶ οὐ τοῖς νεωτέροις Πλάτωνος ἐξηγηταῖς. Λέγει δὲ καὶ ὁ Ξενοφῶν εἰς τὴν πρὸς Αἰσχίνην ἐπιστολήν, ὡς διὰ λαιμαργίαν

ὁ Πλάτων εἰς τὴν Σικελίαν ἀπῆλθε πρὸς Διονύσιον τὸν τύραννον.

κδ'. Περὶ Ξενοκράτους ὀψοφαγίας.

Ξενοκράτης καὶ Ἀριστοτέλης μαθηταὶ τοῦ Πλάτωνος, οἵτινες καὶ διεδέξαντο αὐτοῦ τὴν διατριβήν· καὶ ὁ μὲν Ξενοκράτης ἐποίησε Στωϊκὴν αἵρεσιν, ὁ δὲ Ἀριστοτέλης τὴν Περιπατητικήν. Λέγεται δὲ ὅτι οὕτω σώφρων ἦν ὁ Ξενοκράτης καὶ οὕτως ὑπέταξε τὰ πάθη τῷ λόγῳ, ὅτι καὶ τρυφῶν οὐκ ἐκινεῖτο πρὸς τὰ ἀφροδίσια. Ὁ οὖν μακάριος Γρηγόριος κατηγορεῖ αὐτοῦ ὡς λαιμάργου καὶ ὀψοφάγου καὶ μηδὲν παραιτουμένου ἐσθίειν ὡς φιλοσόφου. Φιλοσοφία γάρ ἐστιν ἀρετῆς ἐγκράτεια καὶ εὐταξία βρωμάτων.

κε'. Περὶ Διογένους στωμυλίας.

Διογένης κυνικὸς ἦν φιλόσοφος. Κυνικὸς δὲ ἤκουσεν ἀπὸ μεταφορᾶς τῶν χερσαίων κυνῶν. Ὥσπερ γὰρ οἱ κύνες οὗτοι ἔχουσί τι καὶ φυλακτικὸν καὶ διακρι[1000]τικὸν (διακρίνουσι γὰρ τοὺς οἰκείους τῶν ξένων, καὶ φυλάττουσι τοὺς οἰκείους), οὕτω καὶ οὗτος ἐμιμεῖτο τὸ διακριτικὸν καὶ φυλακτικόν· καὶ ἐφύλαττε μὲν τὰ τῆς φιλοσοφίας δόγματα, διέκρινε δὲ τοὺς ἐπιτηδείους καὶ ἀνεπιτηδείους πρὸς φιλοσοφίαν. Αὐτὸς οὖν ὁ Διογένης τοιοῦτος ὤν, ἦν εἰκότως καὶ εὐπαρρησίαστος. Ἤλεγχεν οὖν καὶ δυνάστας καὶ ἐλλογίμους καὶ πάντα ἄνθρωπον δῆθεν διὰ τὸ καλόν· ἐλέγχων δέ, ἀστειότερον καὶ γελειωδέστερον ἤλεγχε. Πρὸς τοῦτο οὖν ἀποβλέψας ὁ μακάριος Γρηγόριος λέγει, ὅτι ὁ Διογένης γελοῖος μᾶλλον ἦν καὶ ἀπατητικός, ἢ φιλόσοφος. Στωμυλία δέ ἐστιν ἡ κατὰ ἀστειότητα ἀπάτη προσερχομένη.

κϛ'. Περὶ τοῦ ἐνοικοῦντος τὸν πίθον.

Πολλαχῶς δύναται ἐξηγηθῆναι· καὶ αὕτη γὰρ περὶ Διογένους ἐστί. Λέγεται οὖν, ὅτι ἐν τῷ χειμῶνι οὗτος πίθον ᾤκει, ἐν ᾧ ἑσπέρας εἰσῄει διὰ τὸ κρύος, ἡμέρας δὲ ἐξῄει διὰ τὸν ἥλιον. Διὸ καί ποτε θερμαινομένου αὐτοῦ ἐν τῷ ἡλίῳ, ἐπέστη ὁ Ἀλέξανδρος ὁ Μακεδών, ἀποσκοτῶν αὐτῷ τοῦ μὴ θερμαίνεσθαι αὐτὸν ἐν τῷ ἡλίῳ καὶ λέγων· εἰπέ, Διόγενες, τί βούλει σοι χαρίσωμαι; Ὁ δὲ εἶπε· τοῦτό μοι χάρισαι, τὸ μικρὸν ὑπεκστῆναί μου, ἵνα θερμανθῶ. Ἡ οὖν αὕτη ἐστὶν ἡ ἱστορία, ἤ, ὡς εἰκός, ἡ γενομένη ἐπὶ τοῦ Πτολεμαίου· ἔστι δὲ αὕτη· Σωτάδης τις Ἀλεξανδρεὺς φιλόσοφος, ἵστατο ἐν τόπῳ τινὶ ἐν ἡλίῳ φθειρόμενος. Τοῦτον ἄνωθεν ἔκ τινος ἀπόπτου θεασάμενος ὁ Πτολεμαῖος, κατῆλθεν ἵνα αὐτὸν λάβοι εἰς τὰ βασίλεια. Ὁ δὲ Σωτάδης ἰδὼν αὐτόν, εἰσῆλθεν εἰς κλάσμα πίθου κειμένου καὶ ὑπεκρύβη τὸν Πτολεμαῖον. Ὕστερον δὲ ὡς ἀτυχῆ τινες τοῦτον διέβαλλον. Ἄλλοι δὲ λέγουσιν, ὅτι αὐτὸς ὁ Πτολεμαῖος καὶ τὸ ἰαμβεῖον τοῦτο ἀπεφθέγξατο·

«Θέλω τύχης σταλαγμόν, ἢ φρενῶν πίθον».

Αἰνιττόμενος ὅτι ὁ πίθος ἐκεῖνος μεστός ἐστι φρενῶν, διὰ ⟨τὸ⟩ τὸν Σωτάδην ἐντὸς αὐτοῦ εἶναι· καὶ ὅμως διὰ τὸ εἶναι αὐτὸν ἀτυχῆ, οὐδὲν αὐτὸν ὠφέλησεν ἡ τῶν φρενῶν πληθύς. Καὶ ἡ μὲν ἱστορία αὕτη· ἡ δὲ σύνταξίς ἐστιν οὕτω· Καὶ τῆς Διογένους στωμυλίας, ὑφ' ἧς τοὺς ξένους ὑπεξίστησιν· ἵν' ἢ ὅτι ὁ Διογένης διὰ τῆς στωμυλίας ἐποίει ἀποχωρεῖν τοὺς τὴν σκιὰν αὐτῷ ποιοῦντας (τοῖς τυράννοις δὲ λέγει, ἀντὶ τοῦ, τοῖς λόγοις τοῖς τυραννικοῖς, ποιῶν ἀναχωρεῖν τοὺς ἐντυγχάνοντας), ἢ οὖν μιᾶς οὔσης τῆς κατὰ τὴν στωμυλίαν καὶ τὸν πίθον ἡ σύνταξις συνδέδεται, ἢ δύο οὐσῶν τῶν ἱστοριῶν, συντάξαι δεῖ τὴν Διογένους στωμυλίαν μετὰ τοῦ, ὑφ' ἧς. Ὅτι δὲ τυράννους καλοῦσι τοὺς θρασεῖς λόγους καὶ αὐτὸς ὁ θεῖος ἀνὴρ Γρηγόριος εἶπεν· ὡς ἐκ τῆς τραγῳδίας· μάλιστα γὰρ οἱ τραγικοὶ τῇ τοιαύτῃ κέχρηνται τροπῇ. Τὸ δέ, τοὺς εὐτελεῖς ἄρτους τοῖς σησαμοῦσιν,

«Ὦ ξένε, τυράννοις ἐκ πόδων μεθίσταο»

[1001] ἐστὶν αὐτῷ παρῴδησις. Ἔστι μὲν τοιοῦτόν τι παρὰ τραγικοῖς, μᾶλλον δὲ παρὰ κωμικοῖς λεγόμενον, ὅτι διὰ τῶν ἡδυτέρων ἄρτων τοὺς εὐτελεῖς ἀποφαυλίζουσιν ἄρτους. Καταπαίζει οὖν ὁ θεῖος Γρηγόριος τῇ παρῳδήσει χρώμενος· Ὅτι, φησί, διὰ τῆς στωμυλίας τῆς ἡδυνούσης ἐν τῷ φθέγγεσθαι, ἀπεφαύλιζε τοὺς παρατυγχάνοντας, διελέγχων αὐτούς. Κατὰ δὲ τὴν ἐμὴν κρίσιν, μίαν ἥγημαι τὴν κατὰ τὴν στωμυλίαν καὶ τὸν πίθον ἱστορίαν.

κζʹ. Περὶ τοῦ Ἐπικούρου.

Ἐπίκουρος φιλόσοφος γέγονεν, ὅστις μὴ προνοεῖσθαι τὸν Θεὸν τῶν τῇδε πραγμάτων ἐδόξασεν. Οὗτος δὲ καὶ τέλος παντὸς ἀγαθοῦ ἐτίθετο τὴν ἡδονήν, οὐ τὴν ἀκάθαρτον, ἀλλὰ τὴν φυσικωτάτην κατάστασιν. Καὶ δὴ οἱ φιλόσοφοι ἀποσκορακίζουσιν αὐτὸν ὡς μὴ λέγοντα Πρόνοιαν καὶ ὅτι τέλος τίθεται τὴν ἡδονὴν καὶ οὐ τὸ ἀγαθόν, τὸ πρώτιστον καὶ μόνον. Τοῦτο δέ ἐστιν ὁ Θεός.

κηʹ. Περὶ τοῦ Κράτητος.

Κράτης Θηβαῖος ἦν τῆς Βοιωτίας τὸ γένος. Οὗτος φιλοσοφῆσαι θέλων τὴν κυνικὴν φιλοσοφίαν, λαβὼν τὰ ὑπάρχοντα αὐτοῦ, ἔρριψε τῷ δήμῳ, κηρύξας οὕτω· Κράτης ἀπολύει τὰ Κράτητος, ἵνα μὴ τὰ Κράτητος κρατήσῃ τὸν Κράτητα. Καὶ τὰ χωρία αὐτοῦ εἴασε γενέσθαι μηλόβοτα. Μηλόβοτον δέ ἐστι χωρίον, ἐν ᾧ ἀπολύονται τὰ πρόβατα εἰς τὸ βόσκεσθαι. Μῆλα γὰρ καλοῦνται τὰ πρόβατα· ἔνθεν καὶ μηλονόμοι οἱ ποιμένες, καὶ μηλωτὴ ἡ δορὰ τοῦ προβάτου λέγεται.

κθʹ. Περὶ τοῦ τριβωνίου.

Κυνικὸς πάλιν φιλόσοφος, ἢ Ἀντισθένης ἢ Ζήνων· διαφορεῖ-

ται γάρ. Οὗτος πλέων καὶ χειμῶνος συμβάντος καὶ ναυαγίου γινομένου καὶ πάντων ἐκριπτουμένων, εὐχαρίστως φέρων τὴν ἐσομένην αὐτῷ πενίαν, πρὸς τὴν τύχην ἐφθέγξατο· Εὖγε, ὦ τύχη· χάριν σοι ὁμολογῶ, ὅτι τὴν ἐμὴν οὐσίαν ἄχρι τοῦ τριβωνίου περιέστησας· δηλῶν, ὅτι οὐδὲν τῆς οὐσίας αὐτοῦ, ἧς ἦν ἐμπεφορτισμένος, τῇ νηῒ κατελείφθη.

λ'. *Περὶ τοῦ 'Αντισθένους.*

Οὗτος ὁ 'Αντισθένης κυνικὸς ἦν φιλόσοφος· ὃς τυφθεὶς καὶ πληγεὶς τὸ πρόσωπον, λαβὼν χαρτίον καὶ ἐγγράψας τὸν τύψαντα, ἐκόλλησεν εἰς τὸ ἑαυτοῦ μέτωπον καὶ οὕτω περιῆγε.

λα'. *Περὶ τοῦ φιλοσόφου πανημέρου στάντος ἐν τῷ ἡλίῳ.*

Πολεμουμένης τῆς Ῥώμης ὑπὸ τῶν βαρβάρων, ὁ φιλόσοφος στὰς ὅλην τὴν ἡμέραν ὑπὸ τὸν ἥλιον, προσηύξατο καὶ ἔπεσε πῦρ ἐκ τοῦ οὐρανοῦ καὶ κατέφλεξε τοὺς βαρβάρους καὶ αὐτὸν τὸν φιλόσοφον.

λβ'. *Περὶ τῆς Ποτιδαίας*

Ποτίδαια πόλις ἐστὶν ἐν τῇ Θράκῃ κειμένη. Ἐν ταύτῃ τῇ Ποτιδαίᾳ φιλόσοφος Ποτιδαιάτης ἔστη ἐν χειμερινῷ καιρῷ παννύχιος εὐχόμενος· καὶ τοσοῦτον **[1004]** μετάρσιος γέγονε τὴν ψυχήν, ὥστε μὴ αἰσθάνεσθαι τοὺς κρύους τοῦ χειμῶνος. Ἔκστασιν οὖν φησι τὸ μετάρσιον τῆς ψυχῆς.

λγ'. *Περὶ τοῦ 'Αρκαδικοῦ ζητήματος.*

Ὅμηρος ὁ ποιητὴς περὶ τὴν 'Αρκαδίαν γεγονὼς (χώρα δὲ αὕτη τῆς Πελοποννήσου), περιέτυχεν ἁλιεῦσι φθειριζομένοις καὶ ἠρώτησεν αὐτοὺς οὕτως·

Ἄνδρες ἀπ' 'Αρκαδίης ἁλιήτορες· ἦ δ' ἔχομέν τι;

Ἔστι δὲ ὁ νοῦς τῆς ἐρωτήσεως οὗτος· Ὦ ἄνδρες 'Αρκάδες, ἁλιεῖς τὴν τέχνην, ἆρα ἐθηράσαμέν τι; Οἱ δὲ ἁλιεῖς ἀπεκρίναντο τοῦτο τὸ ἔπος·

Ὅσσ' ἕλομεν λιπόμεσθα, τὰ δ' οὐχ ἕλομεν φερόμεσθα

Ὁ δὲ νοῦς τούτου τοῦ ἔπους τοιοῦτος· ὅτι οὓς μὲν φθεῖρας ἐθηράσαμεν, ἀπεκτείναμεν ἐνταῦθα· οὓς δὲ οὐκ ἰσχύσαμεν θηρεύσασθαι, φέρομεν ἐν τοῖς ἱματίοις. Οὐκ ἐνόησε δὲ Ὅμηρος τοῦτο τὸ ἔπος, ὥς φασι, καὶ μικρὸν ἐκεῖσε γενόμενος ἀπέθανεν ἀπὸ λύπης. Λέγουσι δὲ εἶναι καὶ χρησμὸν δοθέντα Ὁμήρῳ, ὅτι ὅταν αὐτῷ προτεθείη ζήτημά τι, καὶ μὴ εὕροι, τότε ἀποθανεῖται.

λδ'. Περὶ τοῦ Ἀριστοτέλους καὶ τοῦ Εὐρίπου.

Ἀριστοτέλης ὁ φιλόσοφος, μαθητὴς γέγονε Πλάτωνος εἰ καὶ τὰ μάλιστα περὶ τὸ φυσιολογικὸν μέρος τῆς φιλοσοφίας ἐπιδοὺς ἑαυτόν, ἐσπούδασε πάντων τῶν μετὰ τὰ οὐράνια σώματα τὰς αἰτίας εἰπεῖν καὶ τὰς φύσεις· οἷον, γῆς, θαλάττης, ἀέρος, αἰθέρος, ζῴων, φυτῶν, ὑετοῦ, χιόνος, σεισμῶν, κομητῶν, πάντων ἁπλῶς. Οὗτος οὖν τὴν πάντων, ὡς ἔοικε, διερευνησάμενος φύσιν, ἐβουλήθη καὶ τὴν τοῦ Εὐρίπου φυσιολογῆσαι· μὴ ἰσχύσας δὲ καταλαβεῖν, ἔρριψεν ἑαυτὸν ἐν τούτῳ τῷ μέρει τῆς θαλάσσης, τοῦτο ἐπιφθεγξάμενος· Ἐπειδὴ Ἀριστοτέλης οὐχ εἷλε τὸν Εὔριπον, Εὔριπος ἐχέτω τὸν Ἀριστοτέλην. Καὶ τέθνηκεν οὕτως ὁ Ἀριστοτέλης. Ὁ δὲ Εὔριπος τόπος ἐστὶ τῆς θαλάσσης μεταξὺ τῆς Βοιωτίας νήσου καὶ τῆς Ἀττικῆς, ὃς ἑπτάκις τρέπεται τῆς ἡμέρας. Τρέπεται δὲ τὸ ὕδωρ τὸ ἐν τούτῳ τῷ μέρει τῷ ὑποφεύγειν καὶ οἱονεὶ ἀναρροφεῖσθαι καὶ πάλιν ἐξερεύγεσθαι καὶ ἀναπληροῦσθαι πάλιν ὡς ἦν. Τοῦτο δέ, ὡς εἶπον γίνεται ἑπτάκις τῆς ἡμέρας.

λε Περὶ τοῦ Κλεάνθους καὶ τοῦ φρέατος.

Κλεανθης εἷς ἦν καὶ αὐτὸς τῶν κυνικῶν φιλοσόφων. Οὗτος ἔν τινι φρεατι ἑαυτὸν στησας, ἠρύετο ὕδωρ τοῖς παριοῦσι καὶ διδοὺς πιεῖν, ελάμβανε παρ' αὐτῶν ἄρτον καὶ ἤσθιε. Θαυμάζεται δὲ παρὰ τῶν φιλοσοφων ἐν τούτῳ καὶ οὗτος ὡς καρτερικός.

λς Περὶ τῆς Ἡρακλείτου κατηφείας.

Ἡράκλειτος καὶ Δημόκριτος, οὐκ ἐν τῷ αὐτῷ γεγονότες χρόνῳ, φυσικοὶ δὲ ὄντες, ὁμοίως τὴν τοῦ **[1005]** κόσμου ἀλλεπαλληλίαν διέπαιξαν, ὁ μὲν γελῶν, ὁ δὲ κλαίων. Ὁ μὲν Δημόκριτος ἐγέλα συνεχῶς τὰ πράγματα, ὁ δὲ Ἡράκλειτος ἔκλαιεν. Ἦν δὲ ὁ μὲν Δημόκριτος Ἀβδηρίτης, ὁ δὲ Ἡράκλειτος Ἐφέσιος.

λζ'. Περὶ τῶν φαλλῶν.

Τῷ Διονύσῳ ἑορτὴν ἄγοντες οἱ Ἕλληνες, φαλλοῖς ἐτίμων αὐτόν. Φαλλὸς δέ ἐστιν ἐκ δέρματος βουσίου, σχῆμα αἰδοίου ἀνδρός. Καὶ τοῦτο περιετίθουν ἑαυτοῖς καὶ ἐν τοῖς τραχήλοις καὶ ἐν τοῖς μέσοις μηροῖς καὶ ἐξωρχοῦντο τιμῶντες ἐκ τούτου τὸν Διόνυσον Τὴν δὲ τιμὴν ταύτην ἦγον τῷ Διονύσῳ διὰ τὴν τοιαύτην αἰτίαν· ἐκ Σεμέλης τῆς Κάδμου θυγατρὸς γεννᾶται ὁ Διόνυσος· αὕτη δὲ κεραυνωθεῖσα, ἐζητεῖτο ὑπὸ τοῦ Διονύσου. Περιπλανωμενῳ δὲ τουτῳ καὶ ζητοῦντι, Πρόσυμνος παῖς οὕτω λεγόμενος περιετυχε τῷ Διονύσῳ, καὶ ὑπέσχετο δείξειν αὐτῷ τὴν μητέρα, εἰ παιδεραστησει αὐτόν. Ὁ δὲ Διόνυσος ὑπέσχετο τοῦτο. Λέγει αὐτῷ ὁ Πρόσυμνος, ὅτι ἐν Λέρνῃ ἐστὶν ἡ Σεμέλη. Εἶτα εἰσῆλθεν ὁ Διόνυσος ἐν τῇ θαλάττῃ, ἵνα περάσῃ ἐν τῇ Λέρνῃ. Συνηκολούθησεν αὐτῷ καὶ ὁ Πρόσυμνος. Καὶ ὁ μὲν

Διόνυσος, ὡς θεός, οὐ τέθνηκεν· ὁ δὲ Πρόσυμνος τέθνηκε. Λυπηθεὶς δὲ ὁ Διόνυσος, ὅτι ὁ ἐραστὴς αὐτοῦ τέθνηκε, πρὸς τιμὴν αὐτοῦ καὶ μνήμην αἰδοῖον ξύλινον ἐκ συκίνου ξύλου ἐπελέκησε, μεμνημένος τῆς συντελεσθείσης αὐτοῖς αἰσχρᾶς καὶ παρανόμου ἡδονῆς· καὶ διὰ ταύτην τὴν αἰτίαν τοῖς φαλλοῖς τιμῶσι τὸν Διόνυσον. Φαλλοὶ οὖν εἰσιν οὗτοι πάντες· ἰθύφαλλοι δέ, οἱ εἰς τοὺς μηροὺς μόνον ἐπ' εὐθείας ἐπιδεσμούμενοι.

λη'-λθ'. Κατὰ τῶν ἀπύγων καὶ μελαμπύγων.

Ὁ Πειρίθους κατελθὼν εἰς τὸν ᾅδην διὰ τὸ ἁρπάσαι τὴν Περσεφόνην τὴν τοῦ Πλούτωνος, ἐδέθη κάτω παρὰ πέτραις τισί. Κατελθὼν δὲ ὁ Ἡρακλῆς, καὶ θέλων λαβεῖν τὸν Πειρίθουν, αὐτὸν μὲν ἀνείλκυσεν· αἱ δὲ πυγαὶ αὐτοῦ προσέμειναν τῇ πέτρᾳ. Ἐκλήθη οὖν ὁ Πειρίθους ἄπυγος· πυγὸς γὰρ καλεῖται τὸ κάθισμα ἑκάστου ἀνθρώπου. Ἡ δὲ κατὰ τοὺς μελαμπύγους ἐστὶν αὕτη· Δύο τινὲς ἀδελφοὶ κατὰ γῆν πᾶσαν ἀδικία ἐνδεικνύμενοι, ἐλέγοντο Κέρκωπες, ἐκ τῆς τῶν ἔργων δριμύτητος τὴν ἐπωνυμίαν λαχόντες. Ὁ μὲν γὰρ αὐτῶν ἐλέγετο Πάσσαλος, ὁ δὲ ἕτερος Ἀκλήμων, ὥς φησι Δῖος ὁ ὑπομνηματιστής. Τούτους δὲ ἡ μήτηρ, Μήμονις τῷ ὀνόματι, ἑωρακυῖα κατὰ γῆν πολλὰ δεινὰ ἐργαζομένους αὐτούς, εἶπε μὴ περιτυχεῖν μελαμπύγῳ· καί ποτε τοῦ Ἡρακλέους ὑπὸ δένδρον κοιμωμένου καὶ τῶν αὐτοῦ ὅπλων ὑποκεκλιμένων τῷ φυτῷ, πλησιάσαντες οὗτοι τοῖς ὅπλοις ἐπιχειρῆσαι ἐβουλήθησαν. Εὐθὺς δὲ ὁ Ἡρακλῆς αἰσθόμενος, λαβὼν αὐτοὺς καὶ κατακέφαλα ἐπὶ ξύλου δεσμεύσας, ἐβάστασεν ἐξόπισθεν. Καὶ τότε ἐκεῖνοι τῆς ἐντολῆς τῆς ἑαυτῶν μητρὸς ἐμνήσθησαν κρεμάμενοι, τοῦ Ἡρακλέους τὴν πυγὴν μέλαιναν θεασάμενοι ἐκ τῆς τῶν τριχῶν δασύτητος· οἳ καὶ πρὸς ἀλλήλους αὐτὸ τοῦτο διαλεγόμενοι, γέλωτα πολὺν **[1008]** προσῆψαν τῷ Ἡρακλεῖ. Καὶ εὐθὺς κατὰ τοῦτο τῶν δεσμῶν ἐλυτρώσατο καὶ ἀπέλυσεν αὐτούς.

μ'. Περὶ τοῦ Σεμνοῦ Πανός.

Πηνελόπη γυνὴ γέγονε τοῦ Ὀδυσσέως. Τούτου δὲ πλανωμένου μετὰ τὸν τρωϊκὸν πόλεμον, πολλοί τινες ἦλθον μνηστευσόμενοι τὴν Πηνελόπην. Ἡ δὲ ἡμέραν ἐξ ἡμέρας ἀνεβάλλετο, μηδενὶ θέλουσα γαμηθῆναι, διὰ τὸ περιμένειν αὐτὴν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. Πάντες οὖν συμφρασάμενοι, συγγεγόνασιν αὐτῇ· ἡ δὲ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα· διὸ καὶ Πᾶν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. Ἕτεροι δὲ λέγουσιν ὅτι πάνυ εὔμορφος καὶ σώφρων ἦν ἡ Πηνελόπη· καὶ διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς καὶ μετεβλήθη εἰς τράγον καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ εἰς ἔρωτα αὐτοῦ ἐκίνησε· καὶ ὠχεύθη ὑπὸ τοῦ τράγου καὶ συνέλαβε καὶ ἔτεκε τὸν Πᾶνα. Τοῦτον δὲ ἐθεοποίησαν· οὗτος δέ ἐστιν ὁ Πᾶν ὁ τραγόπους.

μα'. Περὶ τοῦ Βουθοίνα.

Ὁ Ἡρακλῆς ἐστιν ὁ καλούμενος βουθοίνας· ἐκλήθη δὲ διὰ τοιαύτην αἰτίαν· Τὴν Δρυόπιδα γῆν παρήει ὁ Ἡρακλῆς, βαστάζων καὶ τὸν υἱὸν αὐτοῦ Ὕλλον· εἶτα πεπεινακότος τοῦ Ὕλλου καὶ αἰτοῦντος τροφήν, ἀροτριῶντά τινα Θειοδάμαντα οὕτω λεγόμενον εὑρών, ᾔτησεν ὁ Ἡρακλῆς ἄρτον· ὁ δὲ οὐ δέδωκεν, ἀλλὰ καὶ ὕβρισεν. Ὁ δὲ Ἡρακλῆς ἕνα τῶν ἀροτριώντων βοῶν λαβὼν ἔσφαξε, καὶ ἐθοινήθη καὶ αὐτὸς καὶ ὁ υἱὸς αὐτοῦ Ὕλλος· καὶ ἐκλήθη διὰ τὴν αἰτίαν ταύτην βουθοίνας, ἐπειδὴ ὅλον ἐθοινήθη τὸν βοῦν· ἔνθεν τῷ Ἡρακλεῖ γέγονεν ὁ πρὸς τοὺς Δρύοπας πόλεμος. Τοῦ γὰρ Θειοδάμαντος ἀνελθόντος εἰς τὴν πόλιν καὶ εἰπόντος, ὡς Πολέμιος ἦλθεν εἰς τὴν χώραν ἡμῶν, ἐξῆλθον κατ' αὐτοῦ οἱ Δρύοπες, καὶ νενίκηκε πάντας αὐτοὺς ὁ Ἡρακλῆς καὶ λαμβάνει αἰχμάλωτον τὸν Ὕλλον τὸν υἱὸν τοῦ Θειοδάμαντος.

μβ'. Περὶ τοῦ Τριεσπέρου.

Λέγεται ὁ Ἡρακλῆς διὰ τριῶν ἑσπερῶν συλληφθῆναι ὁμοίως καὶ τεχθῆναι· καὶ ἐν μιᾷ νυκτὶ πεντήκοντα ταῖς Θεστίου θυγατράσι μιγῆναι καὶ παιδοποιῆσαι ἐξ αὐτῶν πασῶν, ὥστε καὶ διὰ ταῦτα θεοποιῆσαι αὐτόν, καὶ τοῦτο τρισκαιδέκατον αὐτοῦ ἆθλον ὀνομάσαι.

μγ'. Περὶ τοῦ Εἰδωλιανοῦ καὶ Καυσιταύρου.

Ἐπειδὴ ὁ Παραβάτης τὸ τῶν Χριστιανῶν κάλλιστον ὄνομα, εἰς Γαλιλαίους μεταθεῖναι ἐσπούδαζε, νῦν βούλεται ὁ θεῖος Γρηγόριος διαπαῖξαι αὐτὸν καὶ εἰπεῖν, ὅτι ἐξὸν καὶ ἡμῖν τὸν Ἰουλιανὸν καλεῖν ἐκ τῶν περὶ αὐτὸν ὀνομάτων. Φησὶν οὖν· καλέσωμεν αὐτὸν καὶ ἡμεῖς Εἰδωλιανόν, ὡς εἰδωλολάτρην καὶ Πισαῖον, ὡς τὸν ἐν Πίσῃ Δία τιμῶντα· Ζεὺς δὲ ἐν Πίσῃ τῇ πόλει ἐτιμᾶτο· Πίσα δέ, πόλις ἐστὶ τῆς Ἤλιδος. Καὶ Ἀδωναῖον διὰ τὸν Ἄδωνιν. Λέγεται δὲ σεβασθῆναι τὸν Ἄδωνιν ὁ Ἰουλιανός· οὗτος δὲ ὁ Ἄδωνις ἠράσθη ὑπὸ τῆς Ἀφροδίτης ἄνθρωπος ὤν, **[1009]** ἐφονεύθη δὲ ὑπὸ τοῦ Ἄρεως, διὰ τὸ ἀντερασθῆναι τὸν Ἄρεα τῆς Ἀφροδίτης. Καυσίταυρον δὲ δεῖ, φησί, καλεῖν τὸν Ἰουλιανόν, διὰ τὸ ταύρους ὁλοκλήρους θυσιάζειν καὶ κατακαίειν τοῖς θεοῖς αὐτοῦ.

μδ'. Περὶ τῆς Κερδαλῆς καὶ τοῦ Μίνωος.

Κερδὼ καλεῖται ἡ ἀλώπηξ · ἔνθεν καὶ κερδαλῆ, ἡ πονηρία καὶ ἡ κακία καὶ ἡ δολιότης· δόλιον γὰρ καὶ παγκάκιστον καὶ πονηρὸν τὸ ζῶον τοῦτο ἡ ἀλώπηξ. Ὁ δὲ Μίνως δίκαιος ἄνθρωπος ἐνομίζετο εἶναι, ὡς υἱὸς τοῦ Διός. Ὃ οὖν λέγει ὁ θεῖος Γρηγόριος τοῦτό ἐστιν· ὅτι ὁ Ἰουλιανὸς τὴν ἑαυτοῦ παγκάκιστον πονηρίαν δι' ἐπιπλάστου ἤθους ἀπέκρυπτεν, ἄδικος ὢν ἐν δικαίῳ προσχήματι.

με'. Περὶ τοῦ Μελάμποδος καὶ τοῦ Πρωτέως.

Ὁ Πρωτεὺς οὗτός ἐστιν ὁ τῆς Θρᾴκης, οὗ τοὺς υἱοὺς ἀπέκτεινεν ὁ Ἡρακλῆς. Οὗτος οὖν καὶ μάντις ἦν καὶ γενόμενος ἐνάλιος δαίμων καὶ οἰκῶν τὴν Φάρον· διὸ καὶ Πρωτέως νῆσος ἡ Φάρος ἐκέκλητο. Ἵνα μὴ οὖν αἰτῆται μαντείας καὶ προγνώσεις διὰ τοὺς πλησιάζοντας αὐτῷ, τὴν τούτων ὄχλησιν μὴ φέρων, μετεμόρφου ἑαυτὸν μαγείᾳ τινί, καὶ ἄγνωστον ἑαυτὸν ἐποίει τοῖς πρὸς αὐτὸν πλησιάζουσιν. Ὁμοίως δὲ καὶ ὁ Μελάμπους μάντις ἦν καὶ ἱεροφάντης. Οὗτος ἐξέφηνε τὰ ἐν Αἰγύπτῳ ἱερὰ τοῖς Ἕλλησιν, ἅπερ ἐμιμήσαντο οἱ Ἕλληνες. Καὶ οὗτος δὲ τῶν μεταμορφουμένων ἦν, ὡς καὶ αὐτὸς ὢν μαντομάγος. Οἱ γὰρ τοιοῦτοι ἄνθρωποι εἶχον φύσει τοιαύτην δύναμιν πάρεδρον, ὥστε μεταμορφοῦσθαι εἰς ὃ ἂν θέλωσιν, ὥστε μὴ γινώσκεσθαι παρὰ τῶν πρὸς αὐτοὺς διαλεγομένων.

μς'. Περὶ τοῦ Αἰτναίου πυρός.

Σικελία νῆσός ἐστι μεγίστη, διακειμένη περὶ Ἰταλίαν. Ἐν ταύτῃ ἐστὶ πόλις, Κατάνη οὕτω καλουμένη· ὑπεράνω δὲ τῆς Κατάνης ἐστὶν ὄρος, ἐξ οὗ ἀναδίδοται πῦρ πολύ τε καὶ διηνεκές. Καλεῖται δὲ τὸ ὄρος Αἴτνη· καλοῦνται δὲ καὶ οἱ τοῦ *Ἡφαίστου κρατῆρες*. Τοῦτο δὲ τὸ πῦρ ἔστιν ὅτε τοσοῦτον ὑπερβλύζει, ὥστε καὶ ποταμηδὸν φέρεσθαι καὶ ῥεῖν ὡς ὕδωρ μετὰ τῆς ἀναδιδομένης πυρώδους ὕλης· ἔστι δὲ καὶ θεῖόν τι τὸ πῦρ τοῦτο. Λέγεται δὲ ὅτι πατήρ τις μεθ' υἱοῦ εὑρέθη ἐν τῷ ὄρει τούτῳ καὶ ἄφνω ἐρρύη ποταμηδὸν τὸ πῦρ καὶ ἄπορον αὐτοῖς γέγονε τὸ παρελθεῖν. Ὁ δὲ παῖς ἔλαβε τὸν ἑαυτοῦ πατέρα καὶ ἐβάστασε· καὶ ἐρυθριάσαν τὸ πῦρ τὴν πρᾶξιν τοῦ υἱοῦ, ἀνεκόπη τῆς ἐπιρροῆς· καὶ παρῆλθεν ὁ παῖς καὶ ὁ πατὴρ ἀβλαβεῖς.

μζ'. Περὶ τῆς ἐν τῷ Μίθρᾳ κολάσεως.

Τὸν Μίθραν νομίζουσι Πέρσαι τὸν ἥλιον εἶναι· καὶ τούτῳ θύουσι πολλὰς θυσίας καὶ τελοῦνταί τινας εἰς αὐτὸν τελετάς. Οὐδεὶς δὲ δύναται τελεῖσθαι τὰς τοῦ Μίθρου τελετάς, εἰ μὴ διὰ πασῶν τῶν κολάσεων παρέλθοι καὶ δείξει ἑαυτὸν ἀπαθῆ τινα καὶ ὅσιον. Λέγονται δὲ ὀγδοήκοντα εἶναι κολάσεις, ἃς κατὰ βαθμὸν δεῖ τὸν τελεσθησόμενον παρελθεῖν· οἷον, **[1012]** πρῶτον διανήξασθαι ἐπὶ πολλὰς ἡμέρας ὕδωρ πολύ· εἶτα εἰς πῦρ ἐμβάλλειν ἑαυτόν· εἶτα ἐν ἐρήμῳ διαιτηθῆναι καὶ ἀσιτῆσαι καὶ ἄλλα τινὰ ἄχρις οὗ, ὡς εἴπομεν, τὰς ὀγδοήκοντα κολάσεις παρέλθοι· καὶ τότε λοιπὸν ἐμύουν αὐτὸν τὰ τελεώτερα, ἐὰν ζήσῃ.

μη'. Περὶ τοῦ Ἐχέτου καὶ Φαλάριδος.

Ἔχετος τῆς Ἠπείρου ὑπῆρχε τύραννος. Οὗτος ὠμότατος ὤν, ἐπενόει παντοίας τιμωρίας καὶ κολαστήρια. Πρὸς τοῦτον οἱ θέλοντες ἀφειδῶς κολάσαι διέπεμπον· ὡς καὶ ὁ ποιητὴς λέγει περὶ αὐτοῦ·

Εἰς Ἔχετον βασιλῆα βροτῶν· δηλήμονα πάντων.

Ὁ δὲ Φάλαρις, οὗτος καινοτέρων κολαστηρίων γέγονεν εὑρετής· ἦν δὲ τὸ γένος Σικελιώτης. Οὗτος χαριζόμενος Διονυσίῳ τῷ τυράννῳ, ὄντι ὠμοτάτῳ καὶ τυραννικῷ καὶ τιμωρητικῷ, ἐπενόησε βοῦν χαλκοῦν, ἐν ᾧ ἔδει βάλλειν τοὺς κολαζομένους καὶ πῦρ ἀνακαίεσθαι· ἵνα ἔνδον ὄντες καὶ καιόμενοι καὶ βοῶντες, διατρεχούσης τῆς φωνῆς διὰ τοῦ στόματος τοῦ ταύρου, δόξῃ ὁ ταῦρος καιόμενος μυκηθμὸν ἀποτελεῖν. Τούτου δὲ τοῦ Φαλάριδος τὸ ἀπάνθρωπον θεασάμενος ὁ Διονύσιος, αὐτὸν τοῦτον ἐνέβαλεν εἰς τὸν βοῦν καὶ καύσας ἀπέκτεινεν ἐν τοῖς ἑαυτοῦ μηχανήμασι· ὡς δὲ αὐτὸς ὁ Φάλαρις ἐν ἐπιστολῇ φησι, Περίλλαόν τινα, τὴν τέχνην βάναυσον, τοῦ τοιούτου χαλκοῦ ταύρου αὐτουργόν, οἰόμενον αὐτῷ χαρίζεσθαι τῇ καινότητι τῆς τιμωρίας, ἐμβαλὼν εἰς τὸ τοιοῦτο χαλκοῦν κολαστήριον καὶ ὑφάψας πυράν, ἀνεῖλε πρῶτον καὶ μόνον τῆς καινῆς τιμωρίας τὸν δημιουργόν τὸν δὲ βοῦν ἐν Δελφοῖς ἀποπέμψας, ἀνάθημα τῷ Πυθίῳ καθιέρωσε

μθ'. Περὶ τῆς ὕδρας.

Θηρίον μυθεύεται ἡ ὕδρα γενέσθαι περὶ τὴν Λέρνην πεντηκοντακέφαλον, οἱ δὲ ἐννεακέφαλον· τὰς δὲ κεφαλὰς εἶναι ὄφεων. Ὅπερ ἐλθὼν ὁ Ἡρακλῆς μετὰ Ὕλα τοῦ θεράποντος αὐτοῦ ἀπέκτεινε. Μυθεύεται δὲ καὶ τοῦτο, ὅτι, τεμνομένης μιᾶς κεφαλῆς αὐτῆς, δύο ἀντ' αὐτῆς παρεφύοντο, ὥστε γενέσθαι ἐπὶ τὸ διπλάσιον ἑκατὸν κεφαλάς. Ὁ δὲ Ὕλας μαθὼν τοῦτο, ἐμηχανήσατο καὶ πῦρ ἔφερε καὶ τὴν τεμνομένην κεφαλὴν ἐνεπίμπρα· καὶ οὕτως ἴσχυσαν τὰς πάσας ἀποκτεῖναι.

ν'. Περὶ τῆς Παταρικῆς χιμαίρας.

Πάταρα πόλις ἐστὶ τῆς Λυκίας. Λέγεται δέ, ὅτι ἐν ταύτῃ ἐστὶν ὄρος, ἐν ᾧ ὄρει ἦν θηρίον, ὃ πρόσθεν μὲν ἦν θηρίον, ὄπισθεν δὲ δράκων, μέση δὲ ἦν χίμαιρα· ἐξ ἧς χιμαίρας πῦρ ἐκ τοῦ στόματος ἀνεδίδοτο καὶ ἐλυμαίνετο τὴν χώραν καὶ πάντας τοὺς παριόντας. Ὕστερον δὲ ἐλθὼν ὁ Βελλεροφόντης, ἔχων τὸν Πήγασον ἵππον, ἐτεχνάσατο καὶ τῷ δόρατι αὐτοῦ περιθεῖναι σφαῖραν μολίβδου καὶ ἐμβαλεῖν εἰς τὸ στόμα τῆς χιμαίρας. Ἐλύθη δὲ ἀπὸ τοῦ πυρὸς ὁ μόλιβδος καὶ ἐχώνευσε τὰ σπλάγχνα αὐτῆς· καὶ οὕτως ἀπέκτεινε τὴν χίμαιραν.

να'. Περὶ τοῦ Κερβέρου.

Μυθεύεται, ὅτι ἔστι τις κύων, ἔχων τρεῖς κεφαλάς, ὃς καλεῖται Κέρβερος· καὶ οὗτος φυλάττει τὰς πύλας τοῦ ᾅδου καὶ τοὺς μὲν καταβαίνοντας εἰς τὸν ᾅδην σαίνει καὶ κολακεύει, τοὺς δὲ ἀνιόντας δάκνει καὶ οὐκ **[1013]** ἐᾷ ἀνελθεῖν. Φησὶν οὖν, ὅτι ὁ Ἡρακλῆς ὅτε κατῆλθε συναρπάσαι τῷ Πειρίθῳ τὴν Περσεφόνην, ἀνιὼν ἀπέκτεινε τὸν Κέρβερον.

νβ'. Περὶ τῆς Σκύλλης.

Μυθεύεται, ὅτι ἐν τῷ Τυρρηνικῷ πελάγει θηρίον ἦν, ὃ ἦν γυνὴ μὲν περικαλλὴς μέχρι τοῦ ὀμφαλοῦ, ἔνθεν δὲ καὶ ἔνθεν κυνῶν κεφαλαὶ προσπεφύκασιν αὐτῇ ἕξ· τὸ δὲ ἄλλο αὐτῆς σῶμα ὀφιῶδες. Ὅ, φησί, θηρίον τοὺς παραπλέοντας τὰ πελάγη ταῦτα κατήσθιεν ἀφειδῶς καὶ θηριωδῶς.

νγ'. Περὶ Χαρύβδεως.

Κατὰ τὸ Σικελικὸν καὶ Τυρρηνικὸν πέλαγος ἔστι τις τόπος, ἐν ᾧ ἡ θάλασσα γίνεται ἄμπωτις καὶ ῥαχία· καὶ διίσταται τὸ ὕδωρ, ὥστε τὸν πυθμένα τῆς θαλάσσης κατὰ τοῦτο τὸ μέρος, εἴ γε δυνατόν, ὁρᾶσθαι. Ἄμπωτις δέ ἐστιν, οἷον ἀνάποσίς τις καὶ ἀναρρόφησις· τὸ δὲ ὕδωρ ὑπονοστεῖ ἔν τισι κοιλώμασι τῶν πετρῶν καὶ πάλιν ἐκρήγνυται, ὃ καὶ καλεῖται ῥαχία. Ἦν δὲ οὗτος ὁ τόπος τοῖς πλέουσιν ἐπικίνδυνος καὶ θανάτου μεστός. Ὁλοβρύχιον γὰρ τὸ πλοῖον ἐγίνετο ἐν τούτῳ τῷ τόπῳ, εἰ συνέβη, πλέοντος τοῦ πλοίου, γενέσθαι ἀμπώτιδα καὶ ῥαχίαν. Περὶ τούτων Ὅμηρος ἔφη·

Ἔνθεν μὲν Σκύλλη, ἑτέρωθι δὲ δῖα Χάρυβδις.

Ἀντίθετον δὲ ἐκάλεσε τὴν Χάρυβδιν, πρὸς τὴν Σκύλλαν παραβαλών.

νδ'. Περὶ τῆς τοῦ Ἅδου κυνέης.

Ὅμηρος ὁ ποιητὴς εἰσφέρει τὸν Δία ἀορασίαν τινὰ καὶ ἀφάνειαν ἐμποιήσαντα περὶ τοὺς Ἕλληνας, ὥστε μὴ ὁρᾶσθαι. Λέγει οὖν μυθικώτερον, ὅτι τὴν κυνέαν τοῦ Ἅδου ἤτοι τοῦ Πλούτωνος περιέβαλεν αὐτοὺς ὥστε μὴ ὁρᾶσθαι· ἡ δὲ κυνέα, περικεφαλαία ἐστὶ τοῦ Ἅδου ἤτοι τοῦ Πλούτωνος.

νε'. Περὶ δακτυλίου τοῦ Γύγου.

Πλάτων ὁ φιλόσοφος ἐν *Πολιτείαις* (ἔστι δὲ οὕτως αὐτοῦ λεγομένη πραγματεία) εἰσφέρει τὸν μῦθον τοῦτον, οὕτω λέγων· ὅτι Γύγης ἦν τις ποιμὴν περὶ τὴν Λυδίαν. Οὗτος ποιμαίνων ἔν τινι ὄρει τὰ πρόβατα, περιέτυχε σπηλαίῳ τινί· καὶ εἰσελθὼν ἐν αὐτῷ εὗρεν ἵππον χαλκοῦν καὶ ἔνδον τοῦ χαλκοῦ ἵππου ἄνθρωπον νεκρὸν καὶ δακτύλιον· οὗ δακτυλίου ἡ κεφαλὴ στρεπτὴ ἦν καὶ ἐστρέφετο· ἥντινα κεφαλὴν καλεῖ σφενδόνην σαφῶς ὁ θεῖος Γρηγόριος. Ἔλαβεν οὖν ὁ Γύγης, φησί, τὸν δακτύλιον καὶ ἐξῆλθε· καὶ ἡνίκα μὲν ἦν ἐν τῇ τάξει ὁ δακτύλιος ἑωρᾶτο ὑπὸ πάντων· ἡνίκα δὲ τὴν σφενδόνην τοῦ δακτυλίου ἔστρεφεν, ἀφανὴς ἐγίνετο πᾶσιν. Ὁ οὖν Πλάτων εἰσφέρει τὸν μῦθον τοῦτον· ὅτι, φησίν, ὁ δίκαιος ἀνήρ, κἂν τοῦ Γύγου λάβῃ δακτύλιον, ἵνα μὴ ὁρᾶται ὑπό τινος, οὐδ' οὕτως ὤφειλεν ἀδικεῖν. Δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ τὸ ἀγαθὸν ἐπιτηδεύειν καὶ μὴ δι' ἄλλους τινάς.

νς'. Περὶ τῶν Λινδίων.

Λίνδος πόλις παλαιὰ τῆς Ρόδου· ἐν ταύτῃ τῷ ἱερεῖ τῷ θύοντι καὶ θοινωμένῳ τὸν βοῦν, οἱ θύοντες κατ[1016]ηρῶντο καὶ διελοιδοροῦντο καὶ ὕβριζον ὕβρεις οὐχ ὁσίας

νζ'. Περὶ τῆς ἐν Ταύροις ξενοκτονίας.

Ἤδη εἴπομεν, ὅτι ἔθνος ἐστὶν ἡ Σκυθία καὶ τὰ ὄρη αὐτῆς καλοῦνται Γαῦροι, ἤτοι πόλις λεγομένη Ταῦροι. Ἐν ταύτῃ τιμᾶται ἡ Ἄρτεμις. Τῆς οὖν Ἰφιγενείας θυγατρὸς τοῦ Ἀγαμέμνονος ἐνταῦθα ὑπὸ τῆς Ἀρτέμιδος ἐνεχθείσης, τοὺς ἀφικομένους ξένους ἔθυον, πρὸς τὸ μὴ κατάδηλον γενέσθαι τὴν Ἰφιγένειαν μετὰ τὴν ἐπάνοδον τῶν ξένων

νη' Περὶ Λακώνων ξαινομένων τῷ αἵματι.

Ῥηθεῖσα μὲν καὶ ἤδη πρότερον καὶ ἤδη λελέξεται· Οἱ Λακεδαιμόνιοι καρτερικοὺς τοὺς ἑαυτῶν παῖδας εἶναι ἐκδιδάσκοντες, μαστιγώσεσιν ἐχρῶντο, ἐκδιδάσκοντες αὐτοὺς ὑπο⟨μο⟩νητικῶς ἔχειν ταῖς μάστιξι· καὶ τούτους ἔξαινον ταῖς πληγαῖς παρὰ τοὺς βωμούς· καὶ τῷ μὴ ὀλιγωρήσαντι, ἀλλὰ γενναίως ἐνεγκόντι, ἆθλον ἐδίδοσαν.

νθ' Περὶ τοῦ κατατέμνεσθαι τοὺς Φρύγας.

Παρὰ τοῖς Φρυξὶν ἐτιμᾶτο ἡ Ῥέα ἡ μήτηρ τῶν θεῶν. Ταύτῃ πανηγυρίζοντες, καθότι ἀπετμήθη αὐτὴ παρὰ τῶν Κορυβάντων τὴν κύστιν διὰ τὰς πολλὰς αὐτῆς πορνείας, θεραπεύοντες δῆθεν τὴν ἑαυτῶν θεόν, κατέτεμνον ἑαυτῶν τοὺς μηροὺς καὶ τοὺς ὤμους. Ἄλλοι δὲ ηὔλουν, τὸν ἐραστὴν αὐτῆς τιμῶντες Ἄττυν· ἅμα δὲ ἵνα ὑποκλέπτηται διὰ τῆς τῶν αὐλῶν ἡδονῆς ἡ τῆς κατατομῆς ὀδύνη.

ξ'. Περὶ τοῦ Κυνοσάργεος.

Τὸ Κυνόσαργες τόπος ἦν ἐν Ἀθήναις, ἐν ᾧ οἱ νόθοι ἐκρίνοντο, εἰ τοῦδε ὄντως γέγονεν υἱός. Ἐκάλουν δὲ παρὰ Ἀθηναίοις καὶ τοὺς ἀπελευθέρους νόθους· νόθοι γὰρ καὶ οὗτοι πρὸς τοὺς ἐκ γεννητῆς ἐλευθέρους· καὶ οὗτοι δὲ ἐκρίνοντο καὶ ἐδοκιμάζοντο, εἰ ὅλως ἐλευθερώθησαν. Κυνόσαργες δὲ ἤκουσεν ὁ τόπος ἀπὸ τούτου· Θυσίας πλησίον ἐν ἱερῷ γενομένης, εἰσελθὼν κύων ἥρπασε κρέα τοῦ θύματος καὶ ἤγαγεν ἐν τούτῳ τῷ τόπῳ· καὶ ἐκεῖ ἐκτίσθη τις νεὼς καὶ ἐκλήθη Κυνόσαργες, οἷον κυνόσαρκες, ἀπὸ τῶν σαρκῶν καὶ τοῦ κυνός. Ὕστερον δὲ τοῦ κ ἐξελθόντος, εἰσῆλθε τὸ γ· διὸ καὶ Κυνόσαργες καλεῖται.

ξα'. Περὶ τοῦ Ξάνθου καὶ τῆς Χαλκίδος.

Ξάνθος ποταμὸς τῆς Τροίας, ὃς καὶ ἐπανέστη Ἀχιλλεῖ κτείνοντι τοὺς Τρῶας. Ἡ δὲ Χαλκίς, ὥς φασι, κόρη τις γέγονε· νέου δέ

τινος ἐρῶσα καὶ μὴ τυχοῦσα, ἑαυτὴν ὑπεξήγαγε σὺν ὀδυρμῷ τοῦ βίου· ἣν ἐλεήσαντες οἱ θεοὶ εἰς ὄρνιν μετέβαλον. Ὅμηρος·

Ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ Σκάμανδρον.

Καὶ πάλιν,

Χαλκίδα κικλήσκουσι Θεοί, ἄνδρες δὲ Κύμινδα

Διαπαίζει οὖν αὐτοὺς [ὁ] θεῖος διδάσκαλος.

ξβ'. Περὶ τοῦ Παλαμήδου.

[1017] Παλαμήδης, Εὐβοεὺς ὢν τὸ γένος (Εὔβοια δέ, νῆσος ἀπαντικρὺ τῆς Ἀττικῆς), οὗτος εὗρε τὸ ἀριθμεῖν καὶ τὸ ταβλίζειν καὶ κεχρῆσθαι καὶ ἄλλαις πολλαῖς μεθόδοις. Οὗτος δὲ ὁ Παλαμήδης εἷς ἐστι τῶν συστρατευσαμένων ἐπὶ τὸ Ἴλιον. Ἀπέθανε δὲ ἐν τῇ Τροίᾳ κατὰ ἐπιβουλὴν τοῦ Ὀδυσσέως. Ὀδυσσέα γὰρ εἶχεν ἐχθρὸν διὰ τοιαύτην αἰτίαν· τοῦ Ἀγαμέμνονος προτρεπομένου τὸν Ὀδυσσέα ἐπὶ τὴν περὶ Τροίαν ἔξοδον, μὴ θέλων ὁ Ὀδυσσεὺς ἐξελθεῖν, μανίαν προσεποιήσατο· καὶ βαλὼν ὄνον καὶ βοῦν, ἐδόκει ἀροτριᾶν ἐν μανίας προσποιήσει. Ὁ δὲ Παλαμήδης ἤλεγξεν, ὅτι δὴ οὐ μαίνεται· ἤλεγξε δὲ αὐτόν, Τηλέμαχον τὸν υἱὸν αὐτοῦ προθεὶς πρὸ τοῦ ἀρότρου. Εἶτα φθάσας ὁ Ὀδυσσεὺς περὶ τὸ πεδίον καὶ παρελθὼν ἐν μέρει, ἐπῆρε τὸ ἄροτρον, ἵνα μὴ πλήξῃ τὸ παιδίον· καὶ ἐγνώσθη ὅτι προσεποιεῖτο τὴν μανίαν. Ταύτην οὖν τὴν μῆνιν μηνιῶν ὁ Ὀδυσσεὺς ἐν τῇ Τροίᾳ, ποιεῖ πλαστὴν ἐπιστολήν, ὡς ἀπὸ Πριάμου πρὸς τὸν Παλαμήδην περὶ προδοσίας τῶν Ἑλλήνων· καὶ ὑποτίθησιν ἐν τῇ τοῦ Παλαμήδου σκηνῇ. Ὕστερον δὲ κατηγορίας ὑπ' αὐτοῦ γενομένης κατὰ Παλαμήδου ὡς προδότου, εὑρέθη ἐπιστολὴ κατακρίνουσα αὐτόν· καὶ τέθνηκεν ὑπὸ Ἀγαμέμνονος καὶ πάντων τῶν Ἑλλήνων.

ξγ'. Περὶ τοῦ κολοιοῦ.

Μῦθός τίς ἐστι τοιόσδε· Κρίσις ἦν, φησί, περὶ κάλλους ὀρνέων· καὶ ὁ Ζεὺς διαιτητὴς ὑπῆρχε τῆς κρίσεως. Ἦν δὲ ὁρισθεῖσα ἡμέρα ἐν ᾗ ἔδει συναυλισθῆναι τὰ ὄρνεα παρὰ τὸν Δία. Τῇ προτεραίᾳ δὲ τῆς ὁρισθείσης ἡμέρας, παρὰ τοὺς ποταμοὺς φοιτήσαντα τὰ ὄρνεα, τοῖς νάμασιν ἀπενίπτοντο τὰ πτερά, ἵνα τὸ φυσικὸν ἑκάστῳ διαλάμψῃ κάλλος· ὁ δὲ κολοιὸς (ἔστι δὲ τοῦτο τὸ ὄρνεον εὖ μάλα μικρὸν μὲν τὸ σῶμα, ἀκαλλὲς δὲ τὸ εἶδος) τῶν ἐκπεσόντων παρὰ τοῖς ὕδασι πτερῶν περιθεὶς ἑαυτῷ, ἧκε καὶ αὐτὸς παρὰ τὸν Δία, ὡς ληψόμενος τοῦ κάλλους τὸ νικητήριον. Ἀνέμου δὲ ὧδε πνεύσαντος καὶ ἀποσκεδάσαντος τὰ ἀλλόφυλα τῶν πτερῶν, γυμνὸς ηὑρέθη τοῦ κάλλους, ἔχων δὲ μόνην τὴν ἐκ φύσεως αὐτῷ περικειμένην ἀμορφίαν, οὕτω τῆς αἰσχύνης ἀπήλαυσε.

ξδ΄. Περὶ γραὸς διασεισθείσης τὸν ὦμον.

Γυνή τις καλουμένη, ὡς μέν τινες λέγουσι, Σίβυλλα, ὡς δὲ ἄλλοι, Φιμόνη, ὡς δὲ ἕτεροι, Φίλυρα, ἐσείσθη παρά τινος νεανίσκου. Ἡ δὲ γυνὴ ὑβριστικώτερον διενεχθεῖσα πρὸς τὸν νεανίσκον, ὕβρισεν αὐτόν. Ἦν δὲ ἡ ὕβρις ἡ λεχθεῖσα ἔμμετρος στίχος· καὶ τῆς ἁρμονίας τοῦ λόγου τῆς γραὸς ἀρεσάσης τοῖς παρισταμένοις, τὸ μέτρον τοῦ στίχου ἔλαβον· καὶ οὕτως ἐτεχνώθη τὰ περὶ τοὺς στίχους.

ξε΄. Περὶ Κυκλώπων.

Ἐν τῇ Σικελίᾳ τῇ νήσῳ περὶ τὰ ὀρεινὰ αὐτῆς λέγονται γενέσθαι οἱ Κύκλωπες, ποιμενικὸν μὲν βίον ἐπιτηδεύοντες, ζῶντες δὲ βιαιότερον. Λέγονται δὲ **[1020]** οὗτοι ἀνθρωποφάγοι εἶναι καὶ κατεδηδοκέναι τοὺς τοῦ Ὀδυσσέως ἑταίρους. Τρεῖς δὲ αὐτῶν λέγονται οἱ ἐξοχώτατοι, Βρόντης, Στερόπης, Ἄργης. λέγονται δὲ οὗτοι αὐτοὶ καὶ ἐξοχώτατοι χαλκεῖς τὴν τέχνην· οἵτινες διὰ τῆς οἰκείας τέχνης, τὴν βροντὴν καὶ τὴν ἀστραπὴν τῷ Διὶ κατεσκεύασαν. Κύκλωπες δὲ ἐλέγοντο, ὡς μὲν Ἡσίοδος, ὅτι ἕνα εἶχον κυκλοτερῆ ὀφθαλμὸν ἐν τῇ ὄψει· ὡς δὲ Παλαίφατος, ὅτι κυκλοτερῆ τινα νῆσον ᾤκουν.

ξς΄. Περὶ ἁλουργίδος.

Ἐν Τύρῳ παρὰ τὸν αἰγιαλὸν κύων ποιμενικὴ πορευομένη, εὑροῦσα κογχύλιον ἔφαγεν. Εἶτα τὸ αἷμα τοῦ κογχυλίου ἔβαψε τῆς κυνὸς τὸ στόμα. εἶτα ὁ ποιμὴν νομίζων πεπλῆχθαι τὴν κύνα, λαβὼν ἔριον ἀπέμασσε τὸ αἷμα τοῦ στόματος τῆς κυνός. Καὶ εὕρηται μὲν ἡ κύων ἔχουσα μηδὲν φαῦλον, τὸ δὲ ἔριον τὴν τῆς πορφύρας ἀναδεδεγμένον βαφήν. Εἶτα ἐγνωκὼς ὁ ποιμὴν ὅτι τὸ κογχύλιον τοιαύτην ἔχει φύσιν βαπτικήν, ἐδημοσίευσεν αὐτὸ τοῦτο· καὶ οὕτω συνέλεγον ἐκ τῆς θαλάσσης τὰ κογχύλια. καὶ κατεσκεύασαν τὴν πορφύραν. ἐκ δὲ ταύτης, τὰς ἁλουργίδας.

ξζ΄. Περὶ τῆς γεωργίας καὶ ναυπηγίας.

Καθὼς μυθεύεται, ἡ Δημήτηρ εἶχε θυγατέρα τὴν Περσεφόνην. Ταύτην ἥρπασεν ὁ Πλούτων. Περιιοῦσα δὲ ἡ Δημήτηρ καὶ ζητοῦσα τὴν θυγατέρα Περσεφόνην, ἦλθεν εἰς τὴν Ἀττικὴν καὶ καταλύει παρὰ Τριπτολέμῳ τινὶ ἐν κώμῃ Ἐλευσίνῃ οὕτω καλουμένῃ. Μανθάνει οὖν αὕτη παρὰ Τριπτολέμου, ὅτι ὁ Πλούτων ἥρπασε τὴν Περσεφόνην· καὶ ὑπὲρ ταύτης τῆς εὐεργεσίας δίδωσι τῷ Τριπτολέμῳ τὰ σπέρματα, λέγω δὴ σῖτον καὶ κριθήν, ἐντειλαμένη μὴ φθονῆσαι, ἀλλὰ περιελθεῖν καὶ σκορπίσαι τὰ σπέρματα πᾶσιν ἀνθρώποις· ἵνα μάθωσι τὸ σπείρειν καὶ γεωργεῖν καὶ ἐσθίειν τοὺς ἡμέρους καρπούς. Πάλαι γὰρ οἱ ἄγροικοι ἤσθιον τοὺς βαλάνους ἐκ τῶν φηγῶν· ἔνθεν ἀπὸ τῆς φηγοῦ τὸ φαγεῖν εἴρηται. Λέγεται δέ, ὅτι ὁ Τριπτόλεμος λαβὼν ἅρμα δρακόντων πτερωτῶν, συμπαραλαβὼν καὶ τὸν Κελεόν,

οὕτως ἐπλανᾶτο φιλοτιμούμενος τὰ σπέρματα. Λέγει δὲ ὁ Θεῖος Γρηγόριος, ὅτι καὶ ἡ ναυπηγία παρ' Ἀθηναίοις εὕρηται. Οἶμαι δὲ αὐτὸν λέγειν περὶ τῆς ναυμαχικῆς τέχνης· ναύμαχοι κατ' ἄκρον Ἀθηναῖοι· ναῦν γὰρ λέγονται οἱ πρῶτοι Φοίνικες ναυπηγῆσαι· τριήρη δέ, ἡ Σεμίραμις.

ξη'. Περὶ τοῦ Κελεοῦ καὶ Ἰκαρίου.

Περὶ μὲν τοῦ Κελεοῦ εἴπομεν ἐν τῇ πρὸ ταύτης ἱστορίᾳ, ὅτι μετὰ τοῦ Τριπτολέμου ἐπλανᾶτο διδοὺς τὰ σπέρματα. Περὶ δὲ τοῦ Ἰκαρίου ἐστὶν αὕτη· Λέγεται, ὅτι ὁ οἶνος παρὰ τοῦ Διονύσου ηὕρηται· διὸ καὶ ἔφορον τῆς ἀμπέλου λέγουσιν εἶναι τὸν Διόνυσον. Οὗτος οὖν ὁ Διόνυσος ἐλθὼν ἐν Ἀθήναις, Ἰκαρίῳ τινὶ περιτυχών, δέδωκεν αὐτῷ κλῆμα ἀμπέλου φυτεῦσαι· ὁ δὲ καὶ ἐφύτευσε καὶ ἐγεώργησεν οἶνον καὶ ἔπιε καὶ δέδωκε καὶ ποιμέσι ποιεῖν. Οἱ δὲ ποιμένες μεθυσθέντες, διὰ τὸ ἐκ τοῦ παραδόξου πρῶτον πιεῖν, νομίσαντες φαρμαχθῆναι παρὰ τοῦ Ἰκαρίου **[1021]** ἀποκτείνουσιν αὐτόν· ἡ δὲ Ἠριγόνη ἡ τούτου θυγάτηρ, διὰ τῆς κυνὸς τοῦ Ἰκαρίου γνοῦσα, ὅτι ἀπέθανεν, ἐποτνιᾶτο καὶ ἤσχαλλε, καί, καθὼς μυθεύουσιν οἱ πλανώμενοι Ἕλληνες, ταύτην ἐλεήσαντες οἱ θεοὶ διὰ τὸ πάθος, μετέθηκαν εἰς τὸν οὐρανόν· καὶ νῦν ἐστιν ἐν τοῖς ἄστροις ἡ Ἠριγόνη. Τὸ δὲ λέγειν, Μυστήριον ὑμῖν αἰσχρὸν ταῦτα ἐποίησε, οὐ περὶ τοῦ Ἰκαρίου λέγει, ἀλλὰ περὶ τῆς κατὰ τὴν Δήμητραν μυθολογίας. Λέγεται δὲ αὕτη, οὐ μόνον δεδωκέναι αὐτοῖς τὰ σπέρματα, ἀλλὰ καὶ θεσμόν τινα μυστηρίων διδάσκειν, ἅτινα τελοῦνται οἱ Ἕλληνες. Ὡς γὰρ παρὰ τοῖς θεοδιδάκτοις Χριστιανοῖς ἐστι τὸ ἅγιον φώτισμα, οὕτω καὶ παρ' ἐκείνοις ἡ τοιάδε. Ἡ δὲ τοιαύτη τῶν Ἑλλήνων ἑορτὴ λέγεται Δημήτρια.

ξθ'. Περὶ τοῦ θρησκεύειν καὶ μυεῖσθαι.

Λέγεται, ὅτι ὁ Ὀρφεὺς Θρᾷξ ὢν τὸ γένος καὶ θεολογήσας τὰ Ἑλλήνων μυστήρια, ἐδίδαξε πῶς δεῖ τιμᾶν θεούς. Τοῦτο οὖν τὸ τιμᾶν θεοὺς ἐκάλεσαν θρησκεύειν, ὡς Θρᾳκίας οὔσης τῆς εὑρέσεως. Ἄλλοι δὲ ἠτυμολόγησαν, ὅτι τὸ θρησκεύειν παρῆκται ἀπὸ τοῦ οἱονεὶ θεοδερκεύειν, τουτέστι Θεὸν ὁρᾶν. Τὸ δὲ μυεῖσθαι εἴρηται ἢ παρὰ τὸ μυστήρια καὶ ἀπόρρητα τελεῖσθαι ἢ διὰ τὸ μύοντας τὰς αἰσθήσεις καὶ ἐπέκεινα γινομένους πάσης σωματικῆς φαντασίας, οὕτως εἰσδέχεσθαι τὰς θείας ἐλλάμψεις.

ο'. Περὶ τοῦ θύειν καὶ ἀστρονομεῖν.

Λέγεται δὲ ὅτι τὸ θύειν θεοῖς Χαλδαῖοι ἐξεῦρον, εἴτουν Κύπριοι· διαφορεῖται γὰρ ἡ ἱστορία · Χαλδαῖοι δὲ ἔθνος Περσικόν. Τὴν δὲ ἀστρονομίαν λέγονται πρῶτοι εὑρηκέναι Βαβυλώνιοι διὰ Ζοροάστρου· δεύτεροι δὲ διεδέξαντο Αἰγύπτιοι. Τὴν δὲ γεωμετρίαν εὗρον Αἰγύπτιοι διὰ τὸ τὸν Νεῖλον τὴν αὐτῶν κατάρδοντα χώραν, συγχέειν τὰ τῆς

δεσποτείας ἑκάστου γνωρίσματα· διαιροῦντες οὖν πολλάκις τὴν γῆν καὶ ποικίλοις σχηματισμοῖς χρώμενοι, ἀρχηγοὶ τῆς ἐπιστήμης γεγόνασι. Τὴν δὲ μαγείαν, φασίν, εὗρον Μῆδοι, εἶτα Πέρσαι. Διαφέρει δὲ μαγεία γοητείας καὶ γοητεία φαρμακείας τούτοις· ὅτι ἡ μὲν μαγεία, ἐπίκλησίς ἐστι δαιμόνων ἀγαθοποιῶν, πρὸς ἀγαθοῦ τινος σύστασιν· ὥσπερ τὰ τοῦ Ἀπολλωνίου Τυανέως θεσπίσματα δι' ἀγαθὸν γεγόνασι. Γοητεία δέ ἐστιν ἐπίκλησις δαιμόνων κακοποιῶν, περὶ τοὺς τάφους εἰλουμένων, ἐπὶ κακοῦ τινος σύστασιν· γοητεία δὲ ἤκουσεν ἀπὸ τῶν γόων καὶ τῶν θρήνων τῶν περὶ τοὺς τάφους γινομένων. Φαρμακεία δέ, ὅταν διά τινος σκευασίας θανατηφόρου ἢ πρὸς φίλτρον δοίη, ἢ καὶ ἄλλως πως προσαχθῇ τινι διὰ στόματος.

οα'. *Περὶ τῆς ὀνειρομαντείας.*

Τελμισσός, πόλις ἐστὶ Παμφυλίας· αὕτη δὲ παλαιοτάτη πόλις· ἦν δὲ καὶ ἐπὶ τῶν χρόνων τοῦ Κροίσου. Οὗτοι λέγονται πρῶτοι τοὺς ὀνείρους εὑρεῖν καὶ διακρίνειν τὰ τέρατα. Ἔλεγον γάρ, εἰ γέγονέ τι παράδοξον, ὅτι τόδε σημαίνει καὶ πάντως, ὡς ἂν εἶπον, συνέβαινεν ἐξέρχεσθαι.

οβ'. *Περὶ τῆς οἰωνιστικῆς.*

[1024] Τῆς δὲ οἰωνιστικῆς, τὸ μὲν ἐστιν ὀρνεοσκοπητικόν, τὸ δὲ οἰκοσκοπητικόν, τὸ δὲ ἐνόδιον, τὸ δὲ χειροσκοπητικόν, τὸ δὲ παλμαστικόν. Ὀρνεοσκοπητικὸν δέ ἐστιν, ὅταν πετομένου τοῦδε ἢ τοῦδε ὄρνιθος ἢ ἔμπροσθεν ἢ ὀπίσω ἢ δεξιὰ ἢ ἀριστερά, εἴπωμεν, ὅτι τόδε σημαίνει· λέγεται δὲ ἐξευρηκέναι πρῶτος Τηλέγονος. Οἰκοσκοπητικὸν δέ ἐστιν, ὅταν τὰ ἐν τῷ οἴκῳ συμβαίνοντα ἐξηγήσηται καὶ εἴπῃ, ὅτι τόδε σημαίνει. Ἐπειδὴ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ ἢ ὄφις ἢ μῦς ἢ ἐκενώθη ἔλαιον ἢ μέλι ἢ οἶνος ἢ ὕδωρ ἢ τέφρα ἢ ἄλλο τι, ὅτι τόδε σημαίνει· ταῦτα δὲ συνεγράψατο Ξενοκράτης. Ἐνόδιον δέ ἐστιν, ὅταν ἐξηγήσηται τὰ ἐν τῇ ὁδῷ ὑπαντῶντα· ὅταν ὅτι ἐάν σοι ὑπαντήσῃ τις τόδε βαστάζων, τόδε σοι συμβήσεται· ἐὰν ὁ δεῖνα, τόδε· ὅπερ συνεγράψατο Πόλλης. Χειροσκοπητικὸν δέ ἐστιν, ὅταν διὰ ἐκτάσεως τῶν χειρῶν καὶ διὰ τῶν ῥυτίδων εἴπωμεν, ὅτι τόδε ἢ τόδε αὐτὸν μένει ἢ ὅτι γαμεῖ ἢ παιδοποιεῖ ἤ τι τοιοῦτον· ὅπερ συνεγράψατο Ἕλενος. Παλμαστικὸν δέ ἐστι, τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον· οἷον, ἐπάλθη ὁ δεξιὸς ὀφθαλμός, τόδε σημαίνει· ἢ ὁ ὦμος ἢ ὁ μηρός, τόδε· ὃ συνεγράψατο Ποσειδώνιος καὶ ἄλλοι πολλοί.

ογ'. *Περὶ τῶν Σκυθικῶν δούλων.*

Τῶν νομάδων Σκυθῶν μέρος τι ἐξῆλθεν ἐκ τῆς Σκυθίας πλανώμενον ἐπὶ λῃστείᾳ. Εἴασαν δὲ οὗτοι οἰκέτας, ὥστε μετὰ τῶν γυναικῶν τυρεύειν τὸ γάλα. Τοὺς δὲ οἰκέτας αὐτῶν ἐξετύφλουν οἱ Σκύθαι ζηλοτυποῦντες καὶ οὕτω παρεῖχον αὐτοῖς τυρεύειν τὸ γάλα. Χρόνου

δὲ γενομένου καὶ τῶν Σκυθῶν τῶν ἐξελθόντων μὴ ὑποστρεφόντων, αἱ γυναῖκες φοιτῶσι πρὸς τοὺς δούλους τοὺς ἐκτυφλωθέντας καὶ συγγίνονται αὐτοῖς καὶ συλλαμβάνουσι καὶ γεννῶσι· καὶ γίνονται παῖδες ἀντὶ τῶν ἐξελθόντων Σκυθῶν. Ἦσαν δὲ δοῦλοι οἱ τεχθέντες κατὰ τὸ σπέρμα. Οἱ οὖν πάλαι ἐξελθόντες Σκύθαι ὑποστρέψαντες, εὗρον τούτους τοὺς γεννηθέντας ἐκ τῶν δούλων ἡβήσαντας καὶ ἐναντιουμένους αὐτοῖς· καὶ γενομένου πολέμου μεταξὺ τῶν δουλοσπόρων καὶ τῶν ἐπανελθόντων Σκυθῶν, ἡττῶνται πάνυ οἱ ἐπανελθόντες. Τούτοις οὖν ἡττηθεῖσιν, εἷς συνεβούλευσέ τις μὴ ὅπλοις αὐτοὺς πολεμῆσαι, ἀλλὰ διὰ μαστίγων. Τὸ γὰρ δι' ὅπλων, φησί, πολεμῆσαί τινας, ὡς ἀπὸ ἴσων πρὸς ἴσους ἐστὶν ὁ πόλεμος· τὸ δὲ ἀπὸ μαστίγων αὐτοῖς ἐπελθεῖν, ὡς ἀπὸ δεσποτῶν εἰς δούλους ἐστίν. Οἱ οὖν δουλόσποροι, θεασάμενοι τοὺς Σκύθας μετὰ τῶν μαστίγων, ὑπέκυψαν ὡς οἰκείοις δεσπόταις καὶ οὕτω κατελύθη ὁ πόλεμος.

οδʹ. Περὶ Θετταλικοῦ ἵππου.

Πᾶσα πόλις ἢ χώρα ἔχει τι ἐξαίρετον ἰδίωμα· οἷον, ἡ Θετταλῶν χώρα ἔσχε τοὺς ἵππους· ἡ Ἀθηναίων, τὰ μέταλλα τοῦ ἀργύρου· ἡ Ἰνδία, τὴν χρυσίτιδα ψάμμον· ὁμοίως καὶ ἡ Λακεδαιμονίων, κύνας θηρευτικὰς (ἔνθεν καὶ οἱ Λακωνικοὶ κύνες) καὶ γυναῖκας ἀνδρείας καὶ ἀπτοήτους. Ἔσχε δὲ καὶ ἡ **[1025]** Σικελία πηγὴν ὕδατος Ἀρέθουσαν οὕτω καλουμένην· ἧς ἐρασθῆναι τὸν Ἀλφειὸν ποταμὸν μυθεύουσι· τὸ δὲ ὕδωρ τῆς Ἀρεθούσης, ἀκραιφνές τε καὶ καθαρὸν καὶ γλυκύ. Λέγει οὖν ὁ θεῖος Γρηγόριος, ὅτι ὥσπερ ἔνιαι χῶραι καὶ πόλεις ἔσχον τι κατ' ἐξαίρετον ἰδίωμα, οὕτω τὸ δόγμα τῶν Χριστιανῶν πάντα ταῦτα, ὀρφανοτροφεῖα, ξενῶνας, νοσοκομεῖα, πτωχοτροφεῖα καὶ πάντα τὰ τοιαῦτα ἀγαθά.

οεʹ. Περὶ τῆς τοῦ Πλάτωνος Πολιτείας.

Πλάτων ὁ φιλόσοφος συνεγράψατο σύνταγμα, ὃ *Πολιτείαν* ἐπέγραψεν. Ἐν τούτῳ τῷ συντάγματι λέγει, ὁποίαν δεῖ γενέσθαι πόλιν καὶ ἐκ ποίων ἀνδρῶν συγκειμένην καὶ ποίοις ἔθεσι καὶ νόμοις πολιτευομένην. Αὕτη δὲ αὐτῷ ἡ πόλις, λόγῳ μόνῳ συνέστη· ἔργῳ δέ, οὔτε συνέστη, οὔτε ἐπολιτεύσατο. Ἐν ἐκείνῳ οὖν τῷ συντάγματι τοῦτο τὸ ῥησίδιον, ὅτι ὑποκείσθωσαν ἡμῖν οἱ πολῖται τάδε φθεγγόμενοι, ἵν' ἴδωμεν αὐτῶν κινουμένην τὴν ἐπίνοιαν.

οςʹ. Περὶ τῆς τοῦ Ἡσιόδου Θεογονίας.

Ἡσίοδος εἷς ἐστι τῶν ποιητῶν· οὗ πράττονται τρία ποιήματα· ἡ καλουμένη *Θεογονία*, τὰ καλούμενα *Ἔργα καὶ ἡμέραι* καὶ ἡ καλουμένη *Ἀσπίς*. Ἐν τῇ οὖν καλουμένῃ *Θεογονίᾳ* ὁ Ἡσίοδος ἄρχεται καταριθμεῖσθαι τὰς γενέσεις τῶν θεῶν· ὅτι ἐκ τοῦ χάους καὶ ἐκ τοῦ αἰθέρος ἐγεννήθη ὁ δεῖνα· ἐκ δὲ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, ὁ Κρόνος·

ἐκ δὲ τοῦ Κρόνου, ὁ Ζεύς, ὁ Ποσειδῶν, ὁ Πλούτων. Εἶτα καταφέρει σειρὰς γενῶν καὶ θεῶν καινοτέρων ὀνόματα· καὶ ὅτι οἵδε οἱ θεοί, μετὰ τῶνδε ἐπολέμησαν· καὶ οἵδε ἐνίκησαν, οἵδε ἡττήθησαν καὶ οἵδε διεσπάραξαν τόνδε ἢ τόνδε. Οἱ γὰρ Τιτᾶνες λέγονται διασπαράξαι τὸν Διόνυσον. Τὰ δὲ ὀνόματα ταῦτα, ἃ λέγει ἐνταῦθα ὁ Γρηγόριος, οἷον Κῶτον καὶ Βριάρεω, ὁ Ἡσίοδος λέγει γενέσθαι τινὰς ἀνθρώπους ἀπὸ ἑκατὸν χειρῶν ἔχοντας, οἵτινες μετὰ τῶν θεῶν ἐπολέμησαν τοὺς Τιτᾶνας. Οἱ γὰρ Τιτᾶνες μυθεύονται κατὰ τῶν θεῶν ἐπαναστῆναι, ἕως οὗ ἐκεραύνωσεν αὐτοὺς ὁ Ζεύς. Ὁμοίως δὲ καὶ περὶ τῶν δρακοντοπόδων Ἡσίοδος λέγει, ὅτι ἐγεννήθησαν ἄνθρωποι δρακοντόποδες. Κεραυνοφόρους δὲ λέγει νῦν θεοὺς ἢ αὐτὸν τὸν Δία, ὡς κεραυνὸν ἐπαφέντα τοῖς Γίγασιν ἢ Στεροπὴν ἢ Βρόντην τοὺς χαλκεύσαντας τῷ Διὶ βροντὴν καὶ τὴν ἀστραπὴν καὶ τοὺς κεραυνούς· νήσους δὲ καὶ βέλη καὶ τάφους λέγει ἐπαφεῖσθαι τοῖς Γίγασι παρὰ τῶν θεῶν. Ταῦτα οὖν μυθολογεῖ. Τὰ δὲ πικρὰ τούτων γεννήματα λέγει, ὅτι ἐκ τοῦ αἵματος τῶν Γιγάντων ταῦτα τὰ θανατηφόρα ζῷα γεγόνασιν, ἃ αὐτὸς καταριθμεῖται, οἷον τὴν Χίμαιραν, τὴν Κέρβερον, περὶ ὧν φθάσαντες εἴπομεν. Τὸ δὲ περὶ τὰς Γοργόνας, τοιοῦτόν τι ἦν· ὅτι τρεῖς ἦσαν γυναῖκες φοβερὰ τοσοῦτον ἔχουσαι τὰ πρόσωπα, ὥστε τοὺς θεωμένους αὐτὰς παραυτίκα ἀποθνήσκειν. Λέγεται δέ, ὅτι ὁ Περσεὺς τὴν μίαν τούτων ἀνεῖλε τῷ λογχοδρεπάνῳ.

οζ΄ *Περὶ Ὀρφέως καὶ κιθάρας.*

[1028] Ὀρφεὺς γέγονε μουσικός, Θρᾶξ τὸ γένος· ὃς λέγεται οὕτω προσηνῶς καὶ ἐκμελῶς ᾆσαι, ὡς ἐπακολουθεῖν τῇ ᾠδῇ αὐτοῦ, μᾶλλον δὲ τῇ μαγείᾳ, τὰς δρῦς καὶ τῶν ζῴων τὰ ἄλογα καὶ τοὺς λίθους καὶ τοὺς ποταμούς. Τούτου δὲ φέρονται ποιήματα, ἅτινα ὡς θεολογίας ἔχουσιν Ἕλληνες. Ἐν δὲ τούτοις τοῖς ποιήμασι, διὰ μυθικῶν συμβόλων λέγει τὰς τῶν θεῶν τάξεις καὶ σειρὰς καὶ τίνων τίνα ἔργα καὶ ποῖα τίνων τελέσματα καὶ τίνες τίνων δημιουργοί. Τούτου τοίνυν τοῦ Ὀρφέως ἔνια ἔπη παρατίθησιν ὁ θεῖος Γρηγόριος, ἃ εἰσι περὶ τοῦ Διὸς εἰρημένα καὶ τῆς Δήμητρος. Τὰ μὲν γὰρ πρῶτα περὶ τοῦ Διὸς λέγει, τὰ δὲ ὕστερα περὶ τῆς Δήμητρος. Καὶ ὁ νοῦς μὲν τῶν περὶ τοῦ Διὸς ἐπῶν, οὗτός ἐστιν· ὅτι Ὦ Ζεῦ ἔνδοξε καὶ μέγιστε τῶν πάντων θεῶν, περιεχόμενε τῇ κόπρῳ πάσῃ, ὅση τε προβάτων, ὅση τε ἵππων καὶ ἡμιόνων. Μηλείη δὲ κόπρος ἐστὶν ἡ τῶν προβάτων· μῆλα γὰρ τὰ πρόβατα. Διὰ τοῦδε τοῦ ἔπους δῆθεν ὁ Ὀρφεὺς ἐσήμανεν, ὅτι ὁ Ζεὺς ἄχρι καὶ τῆς κτηνώδους ὕλης ἐκπέμπει τὰς ἑαυτοῦ ζωογόνους δυνάμεις. Τοῦ δὲ περὶ τῆς Δήμητρος ἔπους ὁ νοῦς ἐστιν οὗτος· ὅτι ἐπαιρομένη ἡ θεά, τοὺς ἑαυτῆς μηροὺς ἀνεσύρατο (λέγει δὲ περὶ τῶν ἱματίων), ἵνα, φησί, τοὺς ἐρῶντας αὐτῆς ἀξιώσῃ τῆς συνουσίας. Διὰ δὲ τούτων ὁ Ὀρφεὺς αἰνίττεται, ὅτι ἡ θεία δύναμις τοῖς ἐπιθυμοῦσιν αὐτῆς, ἕτοιμος γίνεται τοῦ ἐπιδοῦναι ἑαυτὴν καὶ μυῆσαι αὐ-

τούς. Ὁ οὖν θεῖος Γρηγόριος, ὡς καὶ τούτου ὄντος αἰσχροῦ καὶ τοῦ περὶ τὸν Δία ἀκαθάρτου, διασύρει καὶ διαγελᾷ αὐτοὺς ἀξίως.

οη'. Περὶ Φάνητος καὶ Ἠρικαπαίου.

Ἐν τοῖς Ὀρφικοῖς ποιήμασιν εἰσηνέχθη τὰ δύο ταῦτα ὀνόματα μετὰ καὶ ἄλλων πολλῶν· ὧν, τὸν Φάνητα εἰσφέρει αἰδοῖον ἔχοντα ὀπίσω περὶ τὴν πυγήν. Λέγουσι δὲ αὐτὸν ἔφορον εἶναι τῆς ζωογόνου δυνάμεως ὁμοίως δὲ καὶ τὸν Ἠρικαπαῖον λέγουσιν ἑτέρας ἔφορον εἶναι δυνάμεως. Περὶ δὲ τοῦ, ὁ πάντας καταπίνων θεούς, οὐ λέγει περὶ τοῦ Ἠρικαπαίου, ἀλλὰ περὶ τοῦ Κρόνου. Λέγεται γὰρ οὗτος, οὓς ἔτεκεν υἱούς, πάλιν καταπιεῖν καὶ ἐμέσαι, οὓς ἤδη κατέπιε. Λέγεται λίθον καταπιεῖν ἀντὶ τοῦ Διὸς καὶ τοῦ λίθου κατελθόντος ἐμέσαι πάντας.

οθ'. Περὶ Ὁμήρου.

Καὶ ἡ περὶ τοῦτον πολυθρύλλητος ἱστορία. Ἐν γὰρ τοῖς ποιήμασιν αὐτοῦ ἄνω τε καὶ κάτω, Κρόνον τε καὶ Δία μυθολογεῖ καὶ Ἥραν καὶ Ἀφροδίτην, Ἀθηνᾶν τε ἐπὶ πᾶσι τούτοις· καὶ ἁπλῶς οὓς ἐκ τῆς ποιήσεως ἴσμεν. Κωμῳδοποιὸν δὲ τὸν Ὅμηρον ἐκάλεσεν, ὡς ἔνια ἀποσκώμματα εἰς θεοὺς εἰρηκότα. Τραγῳδοποιὸν δέ, ὅτι ἔνια πένθιμα περὶ τῶν θεῶν μυθολογεῖ· οἷον, ὅτι τὸν Ἥφαιστον κατεκρήμνισεν ἐν Λήμνῳ ὁ Ζεύς· καὶ ὅτι ἐτρώθη ἡ Ἀφροδίτη ὑπὸ τοῦ Διομήδους. Ταῦτα δὲ δῆθεν δακρύων ἄξια. Τῇ μὲν γὰρ τραγῳδίᾳ ἕπεται τὰ δάκρυα· τῇ δὲ κωμῳδίᾳ, ὁ γέλως.

π'. Περὶ Ὠκεανοῦ καὶ Τηθύος.

[1029] Καὶ τοῦτον δὲ τὸν μῦθον εἰσφέρουσιν οἱ ποιηταί, ὅτι ὁ Ὠκεανὸς πατήρ ἐστι πάντων τῶν θεῶν, ἡ δὲ Τηθὺς μήτηρ. Ἀνδρόγυνον δὲ ὁ Ὠκεανὸς καὶ ἡ Τηθύς· καὶ ὅτι πάλαι διέστησαν ἀπ' ἀλλήλων· διὰ δὲ δυσωπήσεως τῆς Ἥρας γίνεται πάλιν συνάφεια αὐτῶν καὶ φιλία. Ὁ δὲ μῦθος αἰνίττεται, ὅτι ὁ Ὠκεανὸς μὲν ἔστιν ἡ ὑγρὰ φύσις· ἡ δὲ Τηθὺς ἡ ξηρά, τουτέστιν, ἡ γῆ· καὶ ὅτι πάλαι τῆς ὑγρᾶς φύσεως μὴ συγγινομένης τῇ γῇ, οὐδὲν ἐζωογονεῖτο καὶ ἀπώλλυντο πάντα. Εἶτα ἡ Ἥρα, ὡς ἔφορος οὖσα τῆς συζεύξεως, καταλλάττει τὰ δύο στοιχεῖα εἰς συνάφειαν καὶ γίνεται λοιπὸν ζωογόνος.

πα'. Περὶ Διὸς καὶ Ἥρας.

Ὁ Ζεὺς ἐχαρίζετο μᾶλλον τοῖς Τρωσὶ καὶ ἐποίει ἡττᾶσθαι τοὺς Ἕλληνας διὰ τὴν ἱκεσίαν τῆς Θέτιδος, ἕνεκεν τοῦ Ἀχιλλέως, ἵνα ζητήσωσιν αὐτὸν οἱ Ἕλληνες ἡττώμενοι. Ἡ Ἥρα ἐφρόντιζε τῶν Ἑλλήνων· φροντίζουσα δέ, βουλεύεται ἀπατῆσαι τὸν Δία, πρὸς μῖξιν αὐτὸν καὶ ὕπνον ἐκβακχεύουσα, ἵνα, καθεύδοντος τοῦ Διός, ἀβοήθητοι οἱ Τρῶες γενόμενοι ἡττηθῶσιν ἀπὸ τῶν Ἑλλήνων. Ταῦτα

οὖν βουλευσαμένη, λαμβάνει τὰ πορνικὰ καλλωπίσματα πάντα ἐκ τοῦ κεστοῦ τῆς Ἀφροδίτης. Ὁ δὲ κεστὸς μυθεύεται κάμψειόν τι εἶναι, ἐν ᾧ πάντα τὰ πρὸς κάλλος καὶ εὐμορφίαν καὶ χάριτας καὶ λαμπρότητα προσώπου ἐναπόκεινται. Εἶτα κοσμησαμένη ἄνεισι παρὰ τὸν Δία καὶ κινεῖ αὐτὸν ἐκ τοῦ πλάσματος τούτου πρὸς ἡδονὴν καὶ λαγνείαν· ἐκ γῆς δὲ περιέβαλλεν ἑαυτῇ καὶ τῆς τῶν μύρων εὐωδίας. Καὶ γὰρ ἡ γῆ, φησίν, ἐβλάστησε βοτάνας, οἷον λῶτον, κρόκον καὶ ὑάκινθον, ῥόδα καὶ τὰ λοιπὰ ἀρώματα ἔργα μυρεψῶν καὶ μόσχον.

πβ'. *Περὶ τῆς Ἥρας δεδεμένης.*

Ἡ Ἥρα πολλάκις ἐζηλοτύπει τὸν Ἡρακλέα. Ἐν τῷ γοῦν ὑποστρέφειν αὐτὸν ἐκ τῆς Τροίας, ὅτε μετὰ τοῦ Τελαμῶνος αὐτὴν ἐπόρθησε, διετάραξε τὴν θάλασσαν καὶ τοὺς ἀνέμους διήγειρε· καὶ ἐχείμαζε τὸ σκάφος τῇ βίᾳ καὶ τῷ κλύδωνι τοῦ Ἡρακλέως. Τὸν δὲ ὕπνον μαγγανείᾳ τινὶ χρησαμένη προσελθεῖν ἐποίησε τῷ Διὶ καὶ ἐφύπνωσεν αὐτόν, ἵνα μὴ ἐγρηγορὼς βοηθήσῃ τῷ Ἡρακλεῖ χειμαζομένῳ. Μαθὼν δὲ μετὰ τὸν ὕπνον ὁ Ζεὺς τὸ κατασκεύασμα τῆς Ἥρας, τιμωρεῖται αὐτὴν οὕτω· Δύο ἄκμονας δήσας αὐτῇ περὶ τοὺς πόδας, περὶ δὲ τὰς χεῖρας πέδας ἀδιαλύτους, ἐκρέμασεν αὐτὴν ἀπὸ τοῦ οὐρανοῦ, τιμωρῶν αὐτήν.

πγ'. *Περὶ φόβου τῶν θεῶν.*

Παρ' Ὁμήρῳ εἰς τὴν Υ ῥαψῳδίαν, τοῦ Ἀχιλλέως κατὰ κράτος ἀριστεύοντος, φόβος ἔλαβε τὸν Δία μήπως παρὰ τὸ εἱμαρμένον ὁ Ἀχιλλεὺς πορθήσῃ τὸ **[1032]** Ἴλιον. Τοῦτο δὲ φοβούμενος, ἐ⟨πι⟩τρέπει τοῖς θεοῖς τὸν βουλόμενον ᾧ βούλεται ἀπελθεῖν καὶ βοηθῆσαι. Ἵνα οἱ μὲν τοῖς Τρωσίν, οἱ δὲ τοῖς Ἕλλησι βοηθήσωσι. Τούτων οὖν ἐπιτραπέντων, ὁ μὲν Ζεύς, κατὰ τὸν μῦθον, ἐβρόντησεν ἐκ τοῦ οὐρανοῦ· ὁ δὲ Ποσειδῶν σείει τὴν θάλασσαν· ὁ δὲ Ἅδης, σεισθέντων τῆς τε θαλάσσης καὶ τοῦ οὐρανοῦ, ἐφοβήθη μήπως σεισθείσης τῆς γῆς ἀνάρρηξις γένηται τῶν καταχθονίων καὶ δημοσιευθῇ τὰ κατ' αὐτόν. Ἔστι δὲ τὰ ἔπη ταῦτα·

Δείσας δ' ἐκ θρόνου ἆλτο καὶ ἴαχε, μή οἱ ὕπερθεν
Γαῖαν ἀναρρήξειε Ποσειδάων ἐνοσίχθων.

πδ'. *Περὶ συννεύσεως τῶν ὀφρύων.*

Ὅμηρος εἰσφέρει τὸν Δία μετὰ τὴν τῆς Θέτιδος ἱκεσίαν τὴν περὶ τοῦ Ἀχιλλέως, ὑποσχόμενον, κεκινηκότα μὲν τὰς ὀφρύας ἐν τῇ ὑποσχέσει, σείσαντα δὲ τὰς τρίχας ἐπὶ τῇ κατανεύσει τῆς κεφαλῆς καὶ συγκινήσαντα, φησί, τὸν ὅλον οὐρανὸν ἐπὶ τῇ τῶν τριχῶν κινήσει. Ἀμβροσίας δὲ τὰς τρίχας εἶπεν, οἷον, ἃς οὐδεὶς βροτῶν δύναται ἔχειν.

πε'. Περὶ τοῦ Ἄρεως τιτρωσκομένου.

Λέγει ὁ ποιητής, ὅτι ἐτρώθη ὑπὸ τοῦ Διομήδους· ταῦτα λέγει ἐν τῇ ῥαψῳδίᾳ Ε. Ἐδέθη δὲ παρὰ τοῦ Ὤτου καὶ τοῦ Ἐφιάλτου. Οὗτοι δὲ ἦσαν υἱοὶ μὲν Ἀλωέως καὶ τύραννοι τὴν φύσιν ἐγένοντο δὲ περὶ Θετταλίαν. Οὗτοι ἐμελέτησαν ἀνταρσίαν κατὰ τῶν θεῶν. Ὁ οὖν Ἄρης πρῶτος ἐπῆλθε κατ' αὐτῶν, εἶτα ἡττηθείς, ἐδέθη ἐν χαλκῷ κεράμῳ· χαλκοῦς δὲ κέραμος ἡ πόλις ἐστὶν οὕτω καλουμένη ἢ εἶδός τι δεσμοῦ δυσχεροῦς καὶ δυσλύτου. Λέγονται δὲ οἱ περὶ Ὦτον καὶ Ἐφιάλτην ἐνναέτεις ὄντες, εἶναι ἐννεόργυιοι κατὰ τὸ μῆκος, κατὰ δὲ τὸ πλάτος, ἐννεαπήχεις.

πς'. Περὶ τοῦ ἐραστοῦ τῆς Ἀφροδίτης

Ἀφροδίτη γυνὴ ἦν τοῦ Ἡφαίστου τοῦ χαλκέως. Ταύτης ἠράσθη ὁ Ἄρης καὶ ἐμοίχευσεν αὐτήν. Ὁ οὖν Ἥφαιστος μαθὼν τοῦτο, τῇ τέχνῃ αὐτοῦ ἐτεχνάσατο τὰς πάγας καὶ τίθησι τῷ Ἄρει ἐρχομένῳ ἐπὶ τῇ μοιχείᾳ τῆς Ἀφροδίτης· καὶ ἐμπίπτει εἰς τὰς πάγας καὶ κατέχεται ὁ Ἄρης καὶ φωρᾶται μοιχεύων τὴν Ἀφροδίτην. Καὶ οὐκ ἔλυσεν αὐτοὺς ὁ Ἥφαιστος, ἀλλ' εἴασεν αὐτοὺς εἰς παραδειγματισμὸν αὐτῶν, ἕως οὗ ἐκάλεσε τοὺς θεοὺς καὶ ἐδημοσίευσεν αὐτούς. Καὶ τότε οἱ θεοὶ εἰδότες τὸ πῶς θριαμβευόμενοι (ἐν ταῖς πάγαις κατεχόμενοι ἦσαν οἱ δύο, ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς), πολὺν ἐπ' αὐτοὺς κατέχεον γέλωτα· καὶ τότε λύεται ὁ Ἄρης, ὅτε μικρά τινα λύτρα δίδωσι τῷ Ἡφαίστῳ. Ἀμφιγύην δὲ τὸν Ἥφαιστον ἐκάλεσεν, ὡς χωλόν.

πζ'. Περὶ τῶν πολέμων.

Ἀθηνᾶ μὲν καὶ Ἥρα φροντίζουσαι τῶν Ἑλλήνων, ἐπολέμουν πρὸς Ἀφροδίτην καὶ Ἄρεα φροντίζοντας τῶν Τρώων. Εἴποις δὲ πολέμους καὶ τοὺς ἀπὸ τῶν Γιγάντων πρὸς τοὺς δῆθεν θεοὺς καὶ τοὺς ἀπὸ τῶν Τιτάνων πρὸς τὸν Διόνυσον.

πη'. Περὶ Κρόνου καὶ τοῦ Οὐρανοῦ.

Κατὰ τὸν μῦθον, ὁ Οὐρανός, φησί, γίνεται Κρόνου πατήρ. Ὁ Κρόνος οὖν μὴ βουλόμενος γενέσθαι αὐτῷ ἕτερον παῖδα, λαβὼν δρέπανον ἐκτέμνει τὰ αἰδοῖα τοῦ πατρὸς καὶ ῥίπτει αὐτὰ εἰς τὴν θάλασσαν καὶ ἀφροῦ **[1033]** γενομένου ἐγεννήθη ἡ Ἀφροδίτη· ἔνθεν καὶ Ἀφροδίτη ὠνομάσθη ὡς ἐκ τοῦ ἀφροῦ.

πθ'. Περὶ τῆς τοῦ Διὸς πρὸς τὸν Κρόνον ἐπαναστάσεως.

Ὁ Ζεὺς μαθών, ὅτι τεκνοφάγος ἐστὶν ὁ Κρόνος ὁ πατὴρ αὐτοῦ, ἐπανίσταται αὐτῷ καὶ ἐκβάλλει αὐτὸν τῆς βασιλείας καὶ καταταρ-ροῖ αὐτὸν μετὰ τῶν Τιτάνων. Κατὰ μίμησιν δὲ εἶπε τοῦ πατρός, ὅτι καὶ ὁ Κρόνος ἐπανέστη τῷ Οὐρανῷ καὶ ἐξέτεμεν αὐτοῦ τὰ αἰδοῖα καὶ ἔλαβε τὴν βασιλείαν. Γλυκὺν δὲ λίθον καὶ τὸν αὐτὸν πικρὸν

τυραννοκτόνον τὸν Δία καλεῖ· λίθον μέν, ἐπειδή, ὡς εἶπον, ἡ Ῥέα λίθον δέδωκε τῷ Κρόνῳ καταπιεῖν ἀντὶ τοῦ Διός· τυραννοκτόνον δὲ καλεῖ ἢ ὅτι ἐπανέστη τῷ Κρόνῳ ὁ Ζεὺς ἢ ὅτι ὁ τούτου λίθος ἐποίησεν αὐτὸν ἐμέσαι καὶ οὓς πρότερον κατέπιε.

ϟ'. *Περὶ τοῦ Κερδῴου.*

Κερδῷον θεὸν καλοῦσιν οἱ Ἕλληνες τὸν Ἑρμῆν, ὡς κέρδους περιποιητικόν. Διὸ καὶ Ἀριστοφάνης ὁ κωμικὸς ἐν τῷ δράματι τῷ *Πλούτῳ*, ἀπορῶν, τίνα δεῖ καλέσαι τὸν Ἑρμῆν, φησίν· Ἐμπολαῖον αὐτὸν ἱδρυσώμεθα, τουτέστι, κέρδους ἔφορον.

ϟα'. *Περὶ Διὸς πάντα γινομένου.*

Ὁ Ζεὺς γενόμενος ἀετὸς διὰ μαγγανείας τινός, ἥρπασε τὸν Γανυμήδην, ἐρασθεὶς αὐτοῦ πρὸς παιδεραστίαν· Φρὺξ δὲ ὁ Γανυμήδης. Ὁ δὲ μῦθος ἔχει, ὅτι ἥρπασεν ὁ Ζεὺς τὸν Γανυμήδην, ἵνα ποιήσῃ αὐτὸν οἰνοχόον, ὅταν ἀριστοποιῇ τοῖς θεοῖς· οὗτος δὲ ὁ Ζεὺς γοητείᾳ τινὶ γέγονε χρυσὸς καὶ Δανάῃ συνεγένετο· πάλιν ταῦρος, καὶ τὴν Εὐρώπην ἥρπασε· κύκνος δὲ γενόμενος, Λήδαν ἐπόρνευσε· πάλιν ταῦρος γενόμενος, τὴν *Πασιφάην* ἐπόρνευσε· σάτυρος δὲ γενόμενος καὶ τἄλλα μυρία κακὰ πράξας διὰ φιληδονίαν καὶ λαγνείαν.

[ϟβ'. De Thestii filiabus

Jam diximus Herculem una nocte cum L Thestii filiabus congressum fuisse, eumque Trivesperi nomen ex eo consecutum, quod tribus diebus procreatus sit.

ϟγ'. De Marte iræ prœside.

Mars bellorum praeses dicitur, atque iram spirans, quoniam ea in bellis indigemus ut irascibilem animae nostrae facultatem moveat.

ϟδ'. De Bacchi temulentia.

Bacchum vitis ac vini atque ipsius etiam ebrietatis praesidem esse aiunt: ipsumque etiam mero se obruentem fingunt, consilioque Junonis huic vitio sese addixisse, hoc videlicet agentis, ut ille immoderato potu mentis errorem contraheret. Ipsi enim ut Jovis filio infesta erat. Omnes enim ex Jove progenitos zelotypia insectabatur.

ϟε'. De Diana hospites odio habente.

De Tauris et Iphigenia jam verba fecimus. Diana enim apud Tauroscythas colebatur: habebantque illi Iphigeniam Agame-

mnonis filiam sacerdotem hospites ipsi immolantem. Ipsa quippe hospitum caede oblectabatur].

ϟϛʹ. *Περὶ τοῦ Λοξίου.*

Ὁ Ἀπόλλων μαντευόμενος, οὐ σαφῶς, οὐδὲ διαρρήδην τοὺς χρησμοὺς τοῖς χρησμῳδουμένοις ἔλεγεν, ἀλλ' ἀσαφῶς καὶ λοξῶς· διὸ ἤκουσε Λοξίας, ὡς τὰ[1036]ναντία τῶν ἐκβησομένων χρησμῳδῶν. Καὶ ἐκ τούτου ἠπατῶντο πολλοί· μάλιστα δὲ πάντων ὁ Κροῖσος ὁ Λυδός. Ἦν γὰρ αὐτῷ ὁ δοθεὶς χρησμὸς οὗτος·

Κροῖσος Ἅλυν διαβάς, μεγάλην ἀρχὴν καταλύσει

Οὐκ ἦν δὲ σαφὲς ποίαν ἀρχὴν καταλύσει. Νομίσας οὖν ὁ Κροῖσος, ὅτι τὴν τῶν ἐναντίων ἀρχὴν λέγει, ἐπέρασε τὸν Ἅλυν ποταμὸν καὶ τὴν οἰκείαν ἀρχὴν κατέλυσε.

ϟζʹ. *Περὶ γέλωτος ἀμετρίας.*

Χωλεύοντα θεὸν λέγει τὸν Ἥφαιστον· χωλὸς γὰρ οὗτος παρ' αὐτοῖς. Ὃν ὁρῶντες ὑπηρετοῦντα καὶ χωλεύοντα, ἐγέλων οἱ θεοί· καὶ ὅτε ταῖς πάγαις τὸν Ἄρεα ὁ Ἥφαιστος διὰ τὴν μοιχείαν συνέδησεν, ἐκάλεσε τοὺς θεοὺς καὶ πολὺν γέλωτα κατ' αὐτοῦ κατέχεον.

ϟηʹ. *Περὶ τοῦ ἐπὶ δαῖτα τρέχειν τὸν Δία.*

Ὁ Ζεὺς ἀπῆλθεν ἐν τῇ Αἰθιοπίᾳ ἐπὶ ἄριστον. Οἱ οὖν Αἰθίοπες ἀριστοποιήσαντες, ἐκάλεσαν αὐτόν τε καὶ τοὺς ἄλλους θεοὺς σὺν αὐτῷ. Τὸ δὲ ἄριστον τὸ Αἰθιοπικὸν καὶ ἡ δίαιτα αὕτη, θυσία ἦν γινομένη τῷ Διί· τὰ δὲ ἔπη εἰσὶ ταῦτα·

Ζεὺς γὰρ ἐπ' Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας,
Χθιζὸς ἔβη μετὰ δαῖτα, θεοὶ θ' ἅμα πάντες ἕποντο.

ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ
ΩΝ ΕΜΝΗΣΘΗ ΙΣΤΟΡΙΩΝ
Ο ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΗΡ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΣ
ΕΝ ΤΩ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΣΤΗΛΙΤΕΥΤΙΚΩ ΔΕΥΤΕΡΩ

α' Περὶ τοῦ Ἀριάδνης στεφάνου.

Ἀριάδνη θυγάτηρ ὑπῆρχε Μίνωος τοῦ Κρητῶν βασιλέως. Αὕτη ἠράσθη Θησέως τοῦ Ἀθηνῶν βασιλέως, ἐλθόντος ἐπ' ἀναιρέσει τοῦ Μινωταύρου. Ἐκ τοῦ οὖν Θησέως ἔλαβεν αὐτὴν ὁ Διόνυσος καὶ ἀνήγαγεν ἐν τῇ Νάξῳ καὶ συνεμίγη αὐτῇ· καὶ πρὸς τιμὴν αὐτῆς στέφανον ἐν τῷ οὐρανῷ δι' ἀστέρων ὑπεζωγράφησεν.

β'. Περὶ τῆς Βερονίκης.

[1037] Ἡ δὲ τοῦ πλοκάμου τῆς Βερονίκης ἐστὶν αὕτη· Βερονίκη γυνή τις ἦν τοῦ ἐν Ἀλεξανδρείᾳ Πτολεμαίου τοῦ Εὐεργέτου καλουμένου Τοῦ οὖν ἀνδρὸς αὐτῆς τοῦ Πτολεμαίου ὄντος ἐν πολέμοις, ηὔξατο, ὅτι εἰ ὑποστρέψει ἄτρωτος, τῶν πλοκάμων τῶν ἑαυτῆς ἀπόκαρμα ἀναθήσει ἀνάθημα ἐν τῷ ἱερῷ· καὶ ἀνέθηκεν ἡ Βερονίκη τὸν πλόκαμον ἀποκείρασα τὸν ἑαυτῆς, ὑποστρέψαντος τοῦ Πτολεμαίου. Κόνων δέ τις ἦν ἀστρονόμος ἐπὶ τῶν αὐτῆς χρόνων, ὃς πρὸς κολακείαν αὐτῆς φησιν, ὅτι οἱ θεοὶ τὸν πλόκαμον τοῦτον ἐν ἄστροις ἀνέθηκαν. Καὶ νῦν ἔστι τις βοτρυοειδὴς θέσις ἀστέρων ἐν τῷ οὐρανῷ, ὃ καλοῦσι πλόκαμον Βερονίκης.

γ'. Περὶ τοῦ κύκνου.

Ἡ δὲ περὶ τοῦ κύκνου ἐστὶν αὕτη· Ὁ Ζεὺς ἐρασθείς, ὡς μὲν τινες λέγουσι, τῆς Νεμέσεως, ὡς δὲ ἕτεροι, τῆς Λήδας καὶ βουλόμενος συγγενέσθαι αὐτῇ καὶ μὴ ὁρα[σ]θῆναι ὑπὸ τῆς Ἥρας, ἐξωμοιώθη κύκνῳ καὶ συνεγένετο τῇ ἐρωμένῃ. Νῦν οὖν οὗτος ὁ κύκνος κατεστηρίχθη ἐν τῷ οὐρανῷ· καὶ ἔστι, φησίν, ὑποζωγραφηθεὶς καὶ ἄστρον ὁ κύκνος.

δ'. Περὶ τοῦ ταύρου.

Ἡ δὲ περὶ τοῦ ταύρου ἐστὶν αὕτη· Ταῦρός τις ὑπὸ τοῦ Ποσειδῶνος ἀνεδόθη περὶ τὴν Ἑλλάδα. Οὗτος ἐλυμαίνετο τὴν χώραν καὶ ἐσίνετο πολλά. Ἐπὶ τοῦτον ἦλθεν ὁ Θησεὺς καὶ ἀνεῖλεν αὐτόν. Καὶ βουλόμενοι οἱ θεοὶ μέγα τὸ ἔργον τοῦ Θησέως δεῖξαι καὶ θεραπεῦσαι τὸν Ποσειδῶνα, κατεστήριξαν τὸν ταῦρον ἐν τῷ οὐρανῷ· καὶ νῦν ἐστι διὰ ἀστέρων ὑποζωγραφηθεὶς ὁ ταῦρος ἐν τῷ οὐρανῷ.

ε΄. Περὶ τοῦ λέοντος.

Ἡ δὲ περὶ τοῦ λέοντος ἱστορία ἐστὶν αὕτη· λέων ζῷον ἄγριον ἦν ἐν τῇ Νεμέᾳ· χώρα δὲ αὕτη τῆς Πελοποννήσου. Οὗτος οὖν ὁ λέων ἐλυμαίνετο τοὺς ἐν τῇ χώρᾳ. Εὐρυσθεὺς οὖν βασιλεύων τῶν Μυκηνῶν, καὶ μηνιῶν τῷ Ἡρακλεῖ, πέμπει αὐτὸν ἐπὶ τὸ ἀνελεῖν τὸν λέοντα· καὶ νῦν ἐστιν ὁ λέων ἐν ἄστροις.

ϛ΄. Περὶ τοῦ Ὀφιούχου.

Ἡ δὲ περὶ τοῦ ὀφιούχου ἐστὶν αὕτη· Λέγεται εἶναι οὗτος ὁ ὀφιοῦχος ὁ Ἀσκληπιός, ὁ ἔφορος τῆς ἰατρικῆς. Σύμβολον δὲ ὁ ὄφις τοῦ ἀγήρω· λέγεται γὰρ ἀποδύεσθαι τὸ γῆρας ὁ ὄφις καὶ ἀνανεοῦσθαι. Ἐπεὶ οὖν ὁ Ἀσκληπιὸς διὰ τῆς ἰατρικῆς ἀνανεοῖ τὰ ἀνθρώπινα σώματα, ποιοῦσιν αὐτὸν μετὰ τοῦ δράκοντος. Θέλοντες οὖν οἱ θεοὶ ἀντὶ ἀγάλματος αὐτὸν ἀνιερῶσαι, δι' ἀστέρων αὐτὸν ἀνιέρωσαν ἐν τῷ οὐρανῷ.

ζ΄. Περὶ τοῦ Σαλμωνέως

Σαλμωνεὺς Αἰόλου μὲν ἦν υἱός, βασιλεὺς δὲ Θετταλῶν. Οὗτος ἀσεβής, φησίν, εἰς θεοὺς γενόμενος, προσάπτων ἅρματι βυρσας ξηράς τε καὶ σκληρὰς καὶ λέβητάς τινας μετὰ τῶν βυρσῶν, ἤχους ἀπετέλει· μετὰ χεῖράς τε βαστάζων καιομένας λαμπάδας ἐμεγαλαύχει, καθάπερ ὁ Ζεὺς βροντᾶν τε καὶ ἀστρά[1040]πτειν, ἕως ὑπὸ Διὸς κεραυνωθεὶς ἀνῃρέθη· καὶ κατέλιπε θυγατέρα ἀφήλικα ὀνόματι Τυρώ. Αὕτη τραφεῖσα ὑπὸ τοῦ ἰδίου θείου πρὸς πατρὸς Κηφέως, ἠράσθη τοῦ ἐγχωρίου ποταμοῦ Ἐνιπέως. Τούτῳ δὲ τῷ ποταμῷ ὁμοιωθεὶς ὁ Ποσειδῶν συνεγένετο τῇ Τυροῖ καὶ συνέλαβε τὸν Νηλέα καὶ τὸν Πελίαν. Ἔγκυος δὲ οὖσα ἐγαμήθη ὑπὸ Κρηθέως καὶ ὕστερον ἔτεκεν ἡ Τυρώ, τῷ μὲν δοκεῖν ἐκ Κρηθέως, τῇ δὲ ἀληθείᾳ ἐκ Ποσειδῶνος· ὕστερον δὲ καὶ ἐξ αὐτοῦ Κρηθέως ἔσχε παῖδα ἡ Τυρώ.

η΄. Περὶ τοῦ Ζωπύρου.

Δαρεῖος, ὁ Περσῶν βασιλεύς, πολιορκῶν τὴν Βαβυλῶνα ἐπὶ χρόνον πολὺν καὶ δυσπορθήτου οὔσης αὐτῆς καὶ ἀσχάλλοντος ἐπὶ πολὺν καιρόν, Ζώπυρός τις ἀνδρεῖος τὴν ψυχήν, καὶ οὐκ ἄδοξος παρὰ τῷ Δαρείῳ, ὡς ἔδειξε τὸ πρᾶγμα, μηχανᾶταί τι τοιοῦτον· Κόψας ἑαυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα καὶ μάστιξιν ἑαυτὸν καταξάνας, ὅθεν αὐτομολεῖ πρὸς τοὺς Βαβυλωνίους, ὡς δεινὰ πεπονθὼς παρὰ τοῦ Δαρείου. Εἶτα ἀπελθών, προσποιεῖται εὐνοεῖν τοῖς Βαβυλωνίοις καὶ ὑποτίθεται αὐτοῖς τινα κατὰ τοῦ Δαρείου· καὶ ἁπλῶς πίστιν ἐγγεννᾷ τοῖς Βαβυλωνίοις, στρατηγήσας ὑπὲρ Βαβυλωνίων καὶ ἀνελὼν πολλοὺς τοῦ Δαρείου. Συνθεὶς δὲ σύνθημα μετὰ Δαρείου ἡμέραν ὡρισμένην, ἐν ᾗ δεῖ αὐτὸν προσβάλλειν τῇ Βαβυλῶνι, ἐν ταύτῃ πείθει τοὺς Βαβυλωνίους λαβεῖν τὰς κλεῖς τῶν πυλῶν. Εἶτα λαβών, ἤνοιξε καὶ εἰσήγα-

γε τοὺς Πέρσας· καὶ οὕτως ἐχειρώθη ἡ Βαβυλών. Ταῦτα Ἡρόδοτός φησιν ἐν τῇ τρίτῃ τῶν *Ἱστοριῶν*.

θ'. *Περὶ τοῦ Κύρου τοῦ Παρυσάτιδος.*

Δαρεῖος ὁ μικρός, ὁ υἱὸς Ξέρξου, γεννᾷ ἐκ τῆς Παρυσάτιδος δύο υἱούς, Κῦρον καὶ Ἀρταξέρξην. Ἀποθανόντος δὲ τοῦ Δαρείου, ἠμφεσβήτουν οἱ δύο περὶ τῆς βασιλείας. Καὶ τὸν μὲν Ἀρταξέρξην, ὡς πρεσβύτερον, ἦγεν ὁ χρόνος ἐπὶ τὸ βασιλεῦσαι· τὸν δὲ Κῦρον, ὡς νεώτερον καὶ φιλούμενον, ἡ μήτηρ προεβάλλετο. Ἐπικρατεῖ δὲ ὁ Ἀρταξέρξης διὰ τὸν χρόνον καὶ βασιλεύει. Ὁ οὖν Κῦρος μὴ θέλων ὑπείκειν τῷ Ἀρταξέρξῃ, αἰτεῖ τὸν ἴδιον ἀδελφὸν δοῦναι αὐτῷ τὴν τῆς Ἀσίας σατραπείαν, οἷον ἐπαρχότητα καὶ λαβὼν κατῆλθεν ἐπὶ τὴν Ἰωνίαν κἀκεῖσε καθεζόμενος, εἰς ἔννοιαν ἐλθὼν πάλιν τῆς βασιλείας καὶ πείσας Λακεδαιμονίων ἄνδρας τινὰς καὶ ἄλλους Ἕλληνας, ὡς μυρίους, συνακολουθεῖν αὐτῷ. Τούτων οὖν συνακολουθούντων ἀνῆλθεν ἕως Περσίδος· καὶ συμβολῆς γενομένης μεταξὺ τῶν Ἀρταξέρξου καὶ τῶν Κύρου, νικῶσιν οἱ τοῦ Κύρου καὶ ταῦτα ὄντες πολὺ ἐλάχιστοι πρὸς τὴν Ἀρταξέρξου στρατείαν· οἱ γὰρ Ἕλληνες ᾔδεισαν καλῶς παρατάττεσθαι· καὶ ὀλίγοι ὄντες τέχνῃ ἐνίκων τοὺς πολλούς. Ὁ γοῦν Κῦρος ἐπαρθεὶς τῇ νίκῃ, ἐφορμᾷ ἀπὸ τῆς αὐτοῦ φάλαγγος ἐπὶ τὴν φάλαγγα τοῦ Ἀρταξέρξου, ὡς δῆθεν αὐτὸν τὸν Ἀρταξέρξην κατασφάζων καὶ διαφθείρεται μόνος ὤν· καὶ οὕτω τελευτᾷ μὴ βασιλεύσας Ταῦτα λεγει ὁ Ξενοφῶν ἐν τοῖς *Ἑλληνικοῖς*.

ι. *Περὶ τοῦ Ἱστιαίου.*

[1041] Ἱστιαῖος Σάμιος μὲν ἦν τὸ γένος· φίλος δὲ γενόμενος Δαρείου τοῦ Περσῶν βασιλέως, ἐλήφθη ὑπ' αὐτοῦ ἐν Περσίδι. Ἐκεῖ δὲ διαιτώμενος, ἐπεθύμει ἰδεῖν τὴν οἰκείαν πατρίδα· μὴ ἀπολυόμενος δέ, γράφει τῷ ἰδίῳ ἀνεψιῷ τῷ Ἀρισταγόρᾳ μελετῆσαι ἀποστασίαν· καὶ πείθει δὲ καί τινας τῶν Ἰώνων συναποστῆναι. Γράφει δέ, ὡς μὴ φωραθῆναι, τὸν τρόπον τοῦτον. Λαβὼν πιστὸν οἰκέτην καὶ τούτου τὴν κεφαλὴν ξυρήσας, ἐγχαράττει τῇ κεφαλῇ ὃ ἐβούλετο δηλῶσαι· εἶτα μέλανι ἐγκαύστῳ μελαίνει τὴν χάραξιν καὶ ἀφῆκεν ἀνενεγκεῖν τὰς τρίχας· καὶ μετὰ τὸ κομάσαι αὐτόν, ἀποπέμπει λέγων τῷ οἰκέτῃ πάλιν ἐκεῖσε ἀποξυρηθῆναι, ἵνα γνῷ Ἀρισταγόρας τὰ γράμματα. Ἀναγνοὺς τοίνυν ὁ Ἀρισταγόρας καὶ μαθών, ἐποίησε τὴν ἀποστασίαν σχεδὸν πάντων τῶν Ἰώνων. Εἶτα μανθάνει ἐν Περσιδι ὁ βασιλεὺς καὶ σύμβουλος γίνεται τῷ Ἱστιαίῳ, ὡς Ἕλληνι, τί δεῖ ποιῆσαι· καὶ συμβουλεύεται παρὰ τοῦ Ἱστιαίου, αὐτὸν πέμψαι εἰς τὴν Ἀσίαν, ὡς ἱκανὸν ὄντα διαλῦσαι τὰ περὶ τῆς ἀποστάσεως. Ἐλθὼν οὖν ὁ Ἱστιαῖος ἐν τῇ Ἀσίᾳ καὶ ὡς ὕποπτος γενόμενος ὅλου τοῦ πράγματος, παρὰ τοῦ Ἀρταφέρνου τοῦ ὑπάρχου Σάρδεων ἤκουσε ταῦτα· Τοῦτο τὸ ὑπόδημα ἔρραψε μὲν Ἱστιαῖος, ὑπεδήσατο δὲ Ἀρισταγόρας· ὑπόδημα δε, τὴν ὅλην κατασκευὴν ἔλεγε. Ταῦτα ὁ Ἡρόδοτος λέγει ἐν τῇ ἕκτῃ τῶν *Ἱστοριῶν*.

ια'. Περὶ τῶν ἑκατονταχείρων.

Ὅτι γεγόνασι δύο τινές, ὁ Κότυς καὶ ὁ Βριάρεως ἔχοντες ἑκατὸν χεῖρας· καὶ οὗτοι μετὰ τῶν θεῶν ἐπολέμησαν πρὸς τοὺς Γίγαντας.

ιβ'. Περὶ τῆς ἀμπώτιδος.

Ἄμπωτις, ὡς ἤδη ἡμῖν εἴρηται, ἐναντία ἐστὶ τῇ ῥαχίᾳ. Ταῦτα δὲ πάθη ἐστὶ θαλάσσης στενῆς περικλειομένης ἢ ὑπὸ νήσων ἢ ὑπὸ γωνιῶν. Ἄμπωτις δέ ἐστιν οἱονεὶ ἀνάπωτις καὶ ἀναρρόφη⟨σις⟩ ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς τινας τῆς ὑποκειμένης γῆς καὶ μετ' ὀλίγον πάλιν ἐκφοιτῶντος. Τὸ μὲν οὖν ὑποσταλῆναι τὸ ὕδωρ ἔσω εἰς τὰ κοῖλα τῆς γῆς, λέγεται ἄμπωτις· τὸ δὲ πάλιν ἐκρεῦσαι τοῦτο, καλεῖται ῥαχία. Γίνεται δὲ τοῦτο πολλάκις τῆς ἡμέρας, μάλιστα ἐὰν πνῇ ἄνεμος. Πάσχει δὲ τὸ πάθος τοῦτο ὁ Εὔριπος περὶ τὴν Ἑλλάδα· διὸ καὶ Εὔριπος ὠνόμασται οἱονεὶ ὁ εὔτρεπτος καὶ εὐχερῶς περιπίπτων. Εἰς τοῦτον λέγεται Ἀριστοτέλης ἑαυτὸν ῥίψαι Εἴρηται δὲ ἡμῖν τοῦτο καὶ ἐν τῷ α' λόγῳ.

ιγ'. Περὶ τῶν Ἠλυσίων πεδίων.

Ὥσπερ ὁ χριστιανικὸς λαὸς ὑπογράφει τινὰ εἶναι παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑπογράφουσί τινα χῶρον, ὃν καλοῦσι Μακάρων νήσους. Καλοῦσι δὲ αὐτὸν καὶ Ἠλύσιον πεδίον, παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. Ὁ δὲ Ῥαδάμανθυς υἱὸς λέγεται εἶναι τοῦ Διός, ἔχειν δὲ τὴν δικαστικὴν ἀξίαν καὶ δικάζειν τοὺς ἐν Ἅδου· καὶ τοὺς μὲν ἀξίους κολάσεως πέμπειν παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυριφλε**[1044]**γέθοντα· τοὺς δὲ ἀγαθὰ ἐργασαμένους, παρὰ τὰς Μακάρων νήσους.

ιδ'. Περὶ τοῦ, Ἑταῖρε, καὶ Προπίνειν.

Ὁ Πλάτων καὶ πάντες οἱ φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους καλοῦσιν, οἱονεὶ φίλους. Ὁ οὖν Ἰουλιανὸς ὡς φιλοσοφήσας, οὐκ ἀπηυθαδιάζετο τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς ἄλλους πάντας, καλῶν ἑταίρους καὶ πολὺ τοῦτο τὸ ὄνομα ἐν ταῖς συνουσίαις αὐτοῦ ἦν. Τὸ δὲ *προπίνων*, τοῦτό ἐστι. Πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις ἢ χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί· ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς καὶ τότε παρεῖχον ᾧ ἂν ἠβούλοντο, χαριζόμενοι καὶ τὴν κύλικα. Καὶ ἐκαλεῖτο μὲν αὐτὸ τοῦτο, *προπίνειν*· ἡ δὲ ἡμέρα, *φιλοτήσια*. Τὸ δὲ λαρυγγίζειν, μίμησίς ἐστι φωνῆς, ὅταν τις ἐπιτερπόμενος οἷς λέγει, ἐπιβήσσει πως τῇ φωνῇ καὶ στενοῖ αὐτήν, ὥστε δοκεῖν ἐν τῷ λάρυγγι αὐτὴν παρακατέχεσθαι.

ιε'. Περὶ τῆς Ἀθηνᾶς καὶ τῶν αὐλῶν.

Ἀθηνᾶ ποτε τοὺς αὐλοὺς λαβοῦσα, παρὰ πηγὴν ἱσταμένη ηὔλισε· θεασαμένη δὲ ἐν τῷ ὕδατι τὴν ἑαυτῆς σκιάν, πεφυσημένας ἔχουσαν τὰς γνάθους καὶ ἀπρεπεῖς ἐκ τούτου φαινομένας, ἔρριψε τοὺς αὐλούς, ὡς ἀμορφίας αἰτίους. Ἐν γὰρ τῷ αὐλεῖν, τὸ πνεῦμα ἐξογκοῖ τὰς γνάθους καὶ ἀμόρφους ποιεῖ τοὺς αὐλοῦντας. Τούτους τοὺς ῥιφέντας αὐλοὺς λέγεται Μαρσύας εὑρηκέναι καὶ ἐρίσαι τῷ Ἀπόλλωνι καὶ ἡττηθῆναι καὶ ἐκδαρῆναι παρὰ τὸν ποταμόν· ἐξ οὗ Μαρσύας ὁ ποταμὸς λέγεται

ις Περὶ τῶν λίχνων δαιμόνων.

Ὅτι πάντες οἱ δαίμονες, κνίσσαις χαίροντες, λίχνοι εἰσί· μάλιστα δὲ κωμῳδεῖται ὁ Ἑρμῆς· διὸ καὶ λέγεται κρέα δήων Λακρίων. Ὡς ἀπατηλοὶ δὲ πάντες οἱ δαίμονες, ἐξαιρέτως δὲ ὁ Ἀπόλλων, ὅτι ἀπατηλοὺς ἔλεγε χρησμούς.

ιθ' Περὶ τοῦ λέβητος μὴ φθεγγομένου.

Ἡ Δωδώνη πόλις ἐστὶν ἐν τῇ Ἠπείρῳ κειμένη. Ἐν ταύτῃ ἵστατο δρῦς ἱερὰ τοῦ Διός. Καὶ ἐν ταύτῃ ἦν τὸ μαντεῖον γυναικῶν οὐσῶν προφητίδων καὶ εἰσῄεσαν οἱ μαντευόμενοι παρὰ τὴν δρῦν καὶ ἐκινεῖτο **[1045]** δῆθεν ἡ δρῦς· καὶ λοιπὸν ἐφθέγγοντο αἱ γυναῖκες λέγουσαι, ὅτι τάδε προλέγει ὁ Ζεύς. Τὸ δὲ περὶ τοῦ λέβητος τοιοῦτόν ἐστιν Ἐν ταύτῃ τῇ Δωδώνῃ λέγεται, ὅτι ἐν ὕψει τινὶ ἵστατο ἀνδριὰς βαστάζων ῥάβδον καὶ παρ' αὐτὸν λέβης τις ἵστατο. Οἱ οὖν μαντευόμενοι ἤρχοντο παρὰ τὸν τόπον τοῦτον καὶ ηὔχοντο. Ὅτε οὖν ἤθελε χρησμῳδῆσαι αὐτοῖς ὁ θεός, ὁ ἀνδριὰς ἐκεῖνος ἔπαιε τῇ ῥάβδῳ τὸν λέβητα εἶτα ἤχει ὁ λέβης καὶ ἐκ τοῦ λέβητος ἠχός τις ἀπετελεῖτο ἐναρμόνιος· καὶ ἐνεφοροῦντο αἱ προφήτιδες καὶ ἔλεγον ἃ αὐτοῖς ὁ δαίμων ἐνέβαλλε.

κ. Περὶ τῆς Πυθίας.

Φωκίς, χώρα ἐστὶν ἐν τῇ Ἑλλάδι. Ἐν ταύτῃ ἐστὶ πόλις καλουμένη Δελφοί. Ἐν ταύτῃ ἐστὶ ἱερὸν τοῦ Ἀπόλλωνος, ὃ καλεῖται Πυθώ. Ἐν τούτῳ τῷ ἱερῷ ἦν ὁ τρίπους καὶ αἱ ψῆφοι αἱ μαντικαί. Καὶ αἱ μὲν μαντικαὶ ψῆφοι ἦσαν ἐν τῇ φιάλῃ τοῦ τρίποδος. Ἡνίκα οὖν ὁ μαντευόμενος ἠρώτα περὶ τῆς μαντείας, αἱ ψῆφοι ἥλλοντο καὶ ἐκινοῦντο ἐν τῇ φιάλῃ. Τότε οὖν ἡ ⟨προφῆτις εἴτε ἱέρεια⟩ ἐνεφορεῖτο καὶ ἔλεγεν ἃ ἤθελεν ὁ Ἀπόλλων· ἐκαλεῖτο δὲ ἡ προφῆτις Πυθία. Ταύτην πληροῦσθαι εἶπεν ἐνταῦθα καὶ ἐμφορεῖσθαι καὶ ἐνθουσιᾶσθαι.

κα'. Περὶ τῆς Κασταλίας.

Πηγὴ ἦν ἐν Δάφνῃ τῇ κατὰ Ἀντιόχειαν, ἐν ᾗ λέγεται τὸν Ἀπόλλωνα παρεδρεύειν καὶ μαντείας καὶ χρησμοὺς τοῖς ἐρχομένοις

περὶ τὸ ὕδωρ λέγεσθαι· λέγεται δέ, ὅτι ἡνίκα ἐμαντεύετό τις ἐν τῷ τόπῳ τούτῳ, αὔρας τινὰς καὶ πνοὰς τὸ ὕδωρ ἀνεδίδου καὶ ἀναδιδομένων τῶν τοιούτων πνευμάτων, οἱ ἱερεῖς οἱ περὶ τὴν πηγὴν ἐνθουσιῶντες ἔλεγον, ἃ ἤθελεν ὁ δαίμων.

κβ'. Περὶ τοῦ Ἀπόλλωνος ἀφώνου

Περὶ τούτου τοίνυν τοῦ ἀνδριάντος ποῦ τε ἵστατο καὶ πῶς ἐφθέγγετο, ἡμεῖς οὐχ ἱστορήσαμεν. Δεῖ δὲ νομίζειν εἶναι τὸν ἀνδριάντα ἐν Δελφοῖς καὶ αὐτὸν φωνὴν ἄναρθρον ἀποπέμποντα. Εἰδέναι γὰρ χρή, ὅτι αἱ τῶν δαιμόνων φωναὶ ἄναρθροί εἰσι διὰ τὸ μὴ ἔχειν ὄργανα φωνητικά, ὅπως διατυπώσωσι τὴν ἐξερχομένην φωνήν.

κγ'. Περὶ τῆς Δάφνης.

Δάφνη, φησί, κόρη ὑπῆρχεν, ἐκ Λάδωνος τοῦ ποταμοῦ καὶ Γῆς, γῆς τὴν γένεσιν εὐτυχήσασα. Αὕτη, φησί, παρικαλλής τε οὖσα τῷ εἴδει καὶ ὡραιζομένη ταῖς ὄψεσι, εἰς ἔρωτα ἐκίνησε τὸν Ἀπόλλωνα· ὁ δὲ Ἀπόλλων κινούμενος ἐκ τοῦ ἔρωτος, ἐπεδίωκε τὴν Δάφνην, εἴ πως ἰσχύσει συγγενέσθαι αὐτῇ. Ἡ οὖν κόρη τὴν παρθενίαν ἐθέλουσα φυλάξαι, τῇ οἰκείᾳ μητρὶ τῇ Γῇ προσηύξατο βοηθῆσαι αὐτῇ. Ἡ δὲ Γῆ διανοίξασα τοὺς ἑαυτῆς κόλπους ἐδέξατο τὴν παῖδα καὶ ψυχαγωγῆσαι θέλουσα τὸν θεόν, φυτὸν ἀνῆκεν ὁμώνυμον τῇ κόρῃ· ὅπερ λαβὼν ὁ Ἀπόλλων, στέφεται παρὰ τὸν τρίποδα, ψυχαγωγούμενος ἀντὶ τῆς ἐρωμένης τῷ φυτῷ τῆς Δάφνης.

κδ'. Περὶ Διονύσου ἀνδρογύνου.

Τὸν Διόνυσον λέγουσι καὶ τὰ ἀνδρῶν ποιεῖν καὶ τὰ γυναικῶν πάσχειν· καὶ τὰς Βάκχας περὶ αὐτὸν [1048] μαινάδας γενομένας ἐκβακχεύειν καὶ τοὺς Σατύρους καὶ τοὺς Σειληνοὺς ἐξορχουμένους περὶ αὐτόν. Εἴπομεν δὲ πολλάκις, ὅτι αὐτὸν λέγουσιν εἶναι τοῦ οἴνου δημιουργὸν καὶ ἔφορον· καὶ ὅτι δέδωκε καὶ ταῖς γυναιξὶ καὶ τοῖς ἀνδράσι καὶ ἔπιον καὶ ἐμεθύσθησαν καὶ μεθυσθέντες μετὰ τῶν γυναικῶν χορεύουσι περὶ αὐτόν. Τοὺς δὲ Σατύρους λέγουσιν εἶναι ποιμένας· ἄλλοι δέ, θείους τινὰς δαίμονας περὶ τὸν Διόνυσον. Περὶ δὲ τοῦ φαλλοῦ ἤδη εἰρήκαμεν ἐν τῷ πρώτῳ λόγῳ, ὅτι ἀκάθαρτός τις ἦν αἰδοῖον ἔχων αἰσχρόν, ᾧ ὁμοιοῦσιν νῦν οἱ μῖμοι δερμάτινον, ὃ καλοῦσι φαλητάριον· καὶ τοῦτο ἔχουσιν ἐν τοῖς Διονυσίοις, φοροῦντες ἐν παιγνίοις καὶ ἑορτάζουσιν, ἐν ᾧ τότε ἐτέλουν ἐκεῖνοι.

κε'. Περὶ Σεμέλης.

Σεμέλη, Κάδμου ἦν θυγάτηρ. Ταύτης ἠράσθη ὁ Ζεὺς καὶ συγγίνεται αὐτῇ ἣ καὶ συλλαβοῦσα εἶχεν ἐξ αὐτοῦ τὸν Διόνυσον. Ἡ δὲ Ἥρα ζηλοτύπως φερομένη, σχηματίζεται πρόσωπον τροφοῦ ἐγνωσμένης τῇ Σεμέλῃ καὶ συμβουλεύει αὐτῇ τῇ Σεμέλῃ ἐγκύῳ οὔσῃ,

ὅτι αἴτησαι τὸν Δία συγγενέσθαι σοι ὥσπερ συγγίνεται τῇ Ἥρᾳ. Συνεγίνετο δὲ ὁ Ζεὺς τῇ Ἥρᾳ μετὰ βροντῶν καὶ κεραυνῶν. Ταῦτα δὲ συνεβούλευεν ἡ Ἥρα τῇ Σεμέλῃ, ἵνα ἐρχομένου τοῦ Διὸς μετὰ κεραυνῶν πρὸς αὐτήν, ὡς θνητὴ καταφλεχθήσεται καὶ μηκέτι ἔχοι τὴν ἀντίζηλον· ὃ δὴ καὶ γέγονε. Τοῦ γὰρ Διὸς ἐλθόντος πάλιν πρὸς τὴν Σεμέλην, ᾔτησεν ἡ Σεμέλη οὕτως αὐτῇ συγγενέσθαι, ὡς τῇ Ἥρᾳ· καὶ ὡς συνεγένετο αὐτῇ, κεραυνοῦται καὶ ἀπόλυται ἡ Σεμέλη. Καὶ τότε λαβὼν ὁ Ζεὺς τὸν Διόνυσον ἔμβρυον ὄντα, ἔρραψεν ἐν τῷ ἑαυτοῦ μηρῷ· καὶ ὕστερον ἐν τῷ ἑβδόμῳ μηνὶ ἐλθὼν ὁ Ἑρμῆς, ἀναπτύσσει τὸν μηρὸν τοῦ Διὸς καὶ γεννᾶται, ὥς φασιν, ὁ Διόνυσος· καὶ λαμβάνει αὐτὸν εἰς Νύσσαν τῆς Θρᾴκης, κἀκεῖ παρὰ τῶν νυμφῶν γαλακτοτροφεῖται

κς'. Περὶ τοῦ Ἡφαίστου.

Χωλὸς ἦν ὁ Ἥφαιστος, διὸ καὶ ἀμφιγύης· γυῖα γὰρ τὰ μέλη. Ἦν δὲ χαλκεὺς τὴν τέχνην. Τούτου γυνὴ ἦν ἡ Ἀφροδίτη καὶ ταύτην ἐμοιχεύετο ὁ Ἄρης. Εὑρίσκει οὖν ὁ Ἥφαιστος τὴν μοιχείαν γενομένην στήσας πάγας. Θεὸν δὲ αὐτὸν λέγει κατηθαλωμένον καὶ κεκαπνισμένον· αἰθάλη γάρ, εἶδος καπνοῦ παχυτέρου· ἐκεκάπνιστο δέ, ὡς Χαλκεύς. Κλυτοτέχνην δὲ αὐτὸν καλοῦσιν οἱ ποιηταί, διὰ τὸ ἔνδοξον εἶναι ἐκ τῆς χαλκευτικῆς τέχνης ἢ καὶ διὰ τὸ εὐφυῶς αὐτὴν μετιέναι. Θερσίτην δὲ αὐτὸν Ὀλύμπιον καλεῖ, διὰ τοιαύτην αἰτίαν· Ὁ Ὅμηρος εἰσφέρει τινὰ ἄνθρωπον ὀνόματι Θερσίτην καὶ χωλὸν καὶ στραβὸν καὶ κυρτὸν καὶ μαδαρὸν καὶ προπετῆ· καί, φησίν, ὁ τοιοῦτος ἠκολούθει τῷ στρατοπέδῳ, οὐ διὰ τὸ πολεμεῖν, ἀλλὰ διὰ τὸ γελᾶσθαι. Ἐπεὶ οὖν ὁ Ἥφαιστος χωλὸς ἦν καὶ κεκαπνισμένος, λέγει αὐτός, ὅτι ὡς Θερσίτης ἦν ὁ Ἥφαιστος ὑμῶν. Ὀλύμπιον δὲ αὐτὸν εἶπεν, οἱονεὶ οὐράνιον· Ὄλυμπος γὰρ ὁ οὐρανός. Ἢ πάλιν Ὀλύμπιον αὐτὸν εἶπε, διότι ἐξ Ὀλύμπου ἦν, ἥτις ἔχει τὸ ἐργαστήριον αὐτοῦ· ὃ καὶ ἕως νῦν ἐν τῇ Λυκίᾳ λέγεται εἶναι ἐν τόπῳ τινὶ τῆς Ὀλύμπου, ἐν ᾧ αὐτόματον πῦρ ἀναδίδοται καὶ **[1049]** ἐπωνόμασται Ἡφαίστειον· ἐν ᾧ τόπῳ καὶ ναὸν αὐτῷ οἱ τότε Ἕλληνες ἀνήγειραν. Ἀντικρὺ δὲ οὖσα ἡ Ὄλυμπος τῆς Κύπρου, ἔνθα φυγοῦσα ἡ Ἀφροδίτη κατῴκησε, κἀκεῖθεν ἠκολούθησε τῷ Ἄρει καὶ ἔφυγον εἰς τὸν Λίβανον κἀκεῖ τὸ πορνεῖον αὐτῆς συνεστήσατο καὶ ἔλαβεν ἐκεῖ καὶ τὸν Ἄδωνιν. Θερσίτης οὖν Ὀλύμπιος καὶ ὁ χωλὸς καὶ προπετὴς θεὸς ὑμῶν εἴρηται. Τὸ δέ, Δεσμώτης Ἄρης διὰ μοιχείαν, τῆς αὐτῆς ἐξήρτηται ἱστορίας. Μοιχεύων γὰρ ὁ Ἄρης τὴν Ἀφροδίτην, ἐδέθη ταῖς πάγαις ὑπὸ τοῦ Ἡφαίστου. Τὸ δέ, μετὰ τοῦ δειμοῦ καὶ τοῦ φόβου καὶ τοῦ κυδοιμοῦ, λέγει, ὅτι οὗτοι θεράποντες εἶναι λέγονται τοῦ Ἄρεος, υἱοὶ δὲ τοῦ πολέμου· καὶ ὅτι οὗτοι συμπεπόνθασι τῷ Ἄρει· καὶ ὅτι ὁ Ἥφαιστος οὐκ ἐφοβήθη τὸν φόβον καὶ τὸν δειμὸν καὶ τὸν κυδοιμόν. Τραυματίαν δὲ καλεῖ τὸν Ἄρεα, ἐπειδὴ ἐτρώθη ὑπὸ τοῦ Διομήδους προπητευσόμενος

ἐν τῷ πολέμῳ· καὶ ἡ περὶ τῆς Ἀφροδίτης ἱστορία ἐντεῦθεν ἐξήρτηται, ὅτι πόρνη ἦν. Ἐμοιχεύθη γὰρ ὑπὸ τοῦ Ἄρεος καὶ ὅτι καὶ τῆς μίξεως αὐτὴν λέγουσιν ἔφορον εἶναι οἱ Ἕλληνες. Διὰ τοῦτο εἶπεν αὐτὴν ὑπηρετεῖν.

κζ'. Περὶ Ἀθηνᾶς καὶ δράκοντος.

Ὁ Ζεύς, βουλόμενος ἀποκυῆσαι ἐκ τοῦ ἐγκεφάλου αὐτοῦ τὴν Ἀθηνᾶν, ἐδεῖτο συνεργοῦ τοῦ συλλαβόντος καὶ πλήξοντος τὴν κεφαλήν, ἵνα κυηθῇ· καὶ λόγους προσφέρει περὶ τούτου τῷ Ἡφαίστῳ· ὁ δὲ Ἥφαιστος οὐκ ἄλλως εἵλετο σχίσαι τὴν κεφαλὴν τοῦ Διός, εἰ μὴ τὴν γεννωμένην ἀποπαρθενεύσῃ· καὶ ὑπέσχετο ὁ Ζεύς. Λαβὼν οὖν ὁ Ἥφαιστος τὸν βουπλῆγα, τέμνει τὴν κεφαλὴν τοῦ Διὸς καὶ ἐξέρχεται ἡ Ἀθηνᾶ καὶ ἐπεδίωκεν αὐτὴν ὁ Ἥφαιστος, ἵνα αὐτῇ συγγένηται· καὶ ἐπιδιώκων ἀπεσπέρμηνεν εἰς τὸν μηρὸν τῆς Ἀθηνᾶς. Ἡ δὲ Ἀθηνᾶ λαβοῦσα ἔριον, ἐξεμάξατο τὸ σπέρμα καὶ ἔρριψεν ἐν τῇ γῇ· καὶ ἐγένετο ἐκ τῆς γῆς καὶ τοῦ ἐρίου ἄνθρωπος δρακοντόπους, ὃς ἐκαλεῖτο Ἐριχθόνιος, ἀπὸ τοῦ ἐρίου καὶ τῆς χθονὸς λαβὼν τὸ ὄνομα.

κη'. Περὶ Ἡρακλέους μαινομένου.

Μεγάρη οὕτω καλουμένη, Κρέοντος τοῦ Θηβῶν βασιλέως θυγάτηρ, ἐγαμήθη τῷ Ἡρακλεῖ καὶ ἐπαιδοποίησεν ἐξ αὐτοῦ. Ἡ δὲ Ἥρα ἀπεχθῶς πρὸς τὸν Ἡρακλέα ἔχουσα διὰ πολλά, ἐνέβαλεν αὐτῷ μανίαν καὶ μανεὶς ἀπέκτεινε τὰ ἑαυτοῦ τέκνα, ἃ ἔσχεν ἐκ τῆς Μεγάρης.

κθ'. Περὶ Διὸς πάντα γινομένου.

Λέγεται ὁ Ζεύς, ἐρασθεὶς τῆς Δανάης, χρυσὸς γενέσθαι καὶ ῥυῆναι καὶ οὕτως αὐτῇ συγγενέσθαι. Ὁμοίως ἐρασθεὶς καὶ Γανυμήδους, ἀετὸς ἐγένετο· καὶ οὕτως ἀεὶ μετεβάλλετο μαγγανείαις, πάντα γινόμενος δι' ἀκαθαρσίαν, ὁ παρ' αὐτοῖς ἐξοχώτατος θεὸς καὶ πάντας τοὺς ἄλλους θεοὺς ἀνέλκων εἰς οὐρανούς.

λ'. Περὶ τάφου τοῦ Διός.

Λέγεται ὁ Ζεὺς τραφῆναι καὶ ἀποθανεῖν ἐν τῇ Κρήτῃ καὶ ἐκεῖ εἶναι αὐτοῦ τὸν τάφον, ἐν ᾧ ἐπιγέγραπται τοῦ Διὸς τάφος, ὥστε εἶναι αὐτὸν ἔλεγχον τῶν **[1052]** λεγόντων τὸν Δία θεόν. Ἐλέγχονται γάρ, ὅτι καὶ ἄνθρωπος ἦν καὶ τέθνηκε καὶ κεῖται ἐν τῇ Κρήτῃ.

λβ'. Περὶ Νείλου.

Ἡρόδοτος οὐδὲν λέγει· ἀνέγνων δὲ παρὰ Ἀρισταινέτῳ τῷ ἱστορικῷ, ὅστις ἱστορεῖ, ὅτι ἑορτάζουσιν Αἰγύπτιοι τῷ Νείλῳ ἑορτὴν πανδημεὶ πάντες καὶ πᾶσαι ἐρχόμενοι περὶ τὰ θέατρα τῶν πόλεων, κἀκεῖσε θοινῶνται ἕκαστος, ὃ ἔχει, χορούς τε συστησάμενοι ᾄδουσι τῷ Νείλῳ ᾠδάς, ἃς τῷ Διὶ ᾄδουσιν, ὡς τοῦ Νείλου τὸ τοῦ Διὸς ἔργον

ποιοῦντος καὶ ἄρδοντος τὴν χώραν. Ἀνδρογύνων δὲ δοκεῖ λέγειν τιμάς, τὸ πανδημεὶ τοὺς ἄρρενας μετὰ τῶν γυναικῶν ἐκβακχεύεσθαι καὶ πολλάκις ἐν μέθῃ ἀσελγαίνειν.

λγ'. Περὶ Ἴσιδος καὶ Μενδησίων.

Ἡ Ἶσις τιμᾶται παρὰ τοῖς Αἰγυπτίοις καὶ μεγάλως τιμᾶται. Λέγεται δὲ αὕτη εἶναι ἡ Ἰὼ ἡ ἁρπασθεῖσα παρὰ τοῦ Διὸς ἐκ τοῦ Ἄργους καὶ μεταβληθεῖσα εἰς βοῦν. Κέρατα γὰρ περὶ τὴν κεφαλὴν τοῦ ἀγάλματος αὐτῆς ποιοῦσιν. Ὡς εἶπον δέ, τῶν πάνυ τιμωμένων ἦν παρ' Αἰγυπτίοις. Ἡ δὲ περὶ τοὺς Μενδησίους, ἐστὶν αὕτη· Τὸν Πᾶνα Μένδητα καλοῦσιν οἱ Αἰγύπτιοι, διὰ τὸ καὶ τὸν τράγον τῇ ἰδίᾳ διαλέκτῳ Μένδητα καλεῖν. Ὁ δὲ Πὰν τραγοπρόσωπός ἐστι. Σέβονται οὖν οὕτω τὸν Μένδητα τοῦτον, ἤτοι τὸν Πᾶνα, ὥστε μηδὲ γεύεσθαι αἰγῶν διὰ τὸ τοῦτον εἶδος ἔχειν τὴν τῶν αἰγῶν τὸν Πᾶνα τὸν αὐτῶν Θεόν. Οἱ δὲ Ἄπιδες, βοῦς εἰσι τιμώμενοι παρ' Αἰγυπτίοις· ἐτίκτοντο δὲ οὗτοι καθαροὶ δή τινες, ἐν τῷ πρὶν χρόνῳ καὶ σημεῖον εἶχόν τι, ὃ ἐδήλου αὐτοὺς εἶναι Ἄπιδας. Ἐγεννῶντο δὲ διὰ χρόνου πολλοῦ· ἐπὰν δὲ ἐγεννήθησαν, ἑορτὴν μεγάλην ἦγον οἱ Αἰγύπτιοι· καὶ ἱερεῖς τινες περὶ τὸν γεννηθέντα βοῦν, οἵτινες ἱεροῦντο αὐτῷ τῷ βοΐ. Τὸ δέ, γράφειν θηρία σύνθετα καὶ ἀλλόκοτα, τοῦτο λέγει, ὃ καὶ εἶδον ἐγὼ κατὰ τὴν Ἀλεξάνδρειαν, ἀγαλμάτια μικρά, ἔχοντα κεφαλὴν κυνὸς καὶ παραφυομένην κεφαλὴν ἑτέραν αἰλούρου καὶ ἑτέραν ἱέρακος καὶ ἐσέβοντο ταῦτα οἱ Ἕλληνες καὶ ἐν εἰκόσιν ἐνέγραφον. Οὐ μόνον δὲ τοιαύτην φύσιν ἐνέγραφον, ἀλλὰ καὶ ἄλλα θηριόμορφά τινα, ἃ ἐσέβοντο οἱ Αἰγύπτιοι· ἃ θέμις οὐκ ἔστι.

λδ'. Περὶ τοῦ Πριάπου καὶ τοῦ Πανός.

Λέγεται, ὅτι ὅτε οἱ μνηστῆρες τῇ Πηνελόπῃ τῇ τοῦ Ὀδυσσέως γυναικὶ παρέμενον, συνεμίγησαν αὐτῇ πάντες καὶ ἐγεννήθη ὁ Πάν, ὡς καὶ ἐν τῷ πρώτῳ **[1053]** λόγῳ εἴρηται· Πὰν δὲ ἐκλήθη, ἐπειδὴ ἀπὸ πάντων τῶν μνηστήρων συνελήφθη. Λέγουσι δὲ Αἰγύπτιοι, αὐτῆς τῆς μίξεως εἶναι ἔφορον τὸν Πᾶνα· ἔνθεν καὶ τραγοσκελῆ αὐτὸν ποιοῦσι, διὰ τὸ κατωφερῆ εἶναι τὸν τράγον περὶ τὰς μίξεις, ὃν καὶ καλοῦσιν Αἰγύπτιοι Μένδητα. Ἡ δὲ περὶ τὸν Πρίαπον, ἐστὶν αὕτη· Λέγεται μετὰ τὸ ἀνελθεῖν τὴν Ἀφροδίτην ἐκ τῆς Αἰθιοπίας, κάλλος ἀμέτρητον ἐπιφέρεσθαι· ὥστε καὶ αὐτὸν τὸν Δία ἐρασθῆναι αὐτῆς καὶ συγγενόμενον αὐτῇ, ζῆλον ἄπειρον τῇ Ἥρᾳ καταλιπεῖν. Εὐθὺς οὖν ἡ Ἥρα τὸ μέλλον προσκοπήσασα καὶ ὅτι ἤμελλε τὸ τικτόμενον ἐκ ταύτης βρέφος κάλλει ὑπερφέρειν καὶ κατακρατῆσαι πάντων τῶν ἐκ Διὸς τεχθέντων, ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης καὶ παρεσκεύασε μαγγανείᾳ τινὶ τὸ βρέφος κακόμορφον τεχθῆναι. Τεχθέντος οὖν τοῦ βρέφους ἀμόρφου καὶ ἀσήμου πάνυ, αἰσχροῦ τε καὶ περισσοσάρκου καὶ ἑωρακυῖα αὐτὸ ἡ μήτηρ, ὅτι μέλλει τὸ τεχθὲν πλεῖστον

αὐτῇ ψόγον ἐπιφέρειν, ἔρριψε λαβοῦσα εἰς ὄρος. Περιτυχὼν δέ τις τούτῳ ποιμήν, λαβὼν ἀνέθρεψε· καὶ ὡς πρὸς εὐκαρπίαν τῆς γῆς καὶ τῶν κτηνῶν καὶ τετραπόδων νομίσας εἶναι τὸ ἐκείνῳ ὑπάρχον πάθος (λέγω δὲ τὸ τοῦ αἰδοίου· εἶχε γὰρ τοῦτο ἐπάνω τῆς πυγῆς), λαβὼν ἱδρύσατο καὶ ἐτίμησε καὶ ὠνόμασε Πρίαπον· δηλῶν, κατὰ τὴν τῶν Ἰταλῶν γλῶσσαν, τὸν ἐκ πλάνης τοὺς ἐν πλάνῃ καὶ ἐρημίᾳ σῴζοντα· καὶ ἐξ ἐκείνου λέγεται παρὰ τοῖς ποιμέσιν τιμᾶσθαι ὁ Πρίαπος. Τὸν δὲ Ἑρμαφρόδιτον, ἀρρενόθηλύν τινα καὶ ἀνδρόγυνόν φασιν εἶναι καὶ γυναικὸς καὶ ἀνδρὸς αἰδοῖον φέροντα καὶ πάσχειν μὲν τὰ τῶν γυναικῶν, δρᾶν δὲ τὰ τῶν ἀνδρῶν.

λε΄. Περὶ θεῶν διεσπασμένων.

Περσεφόνη γεννᾷ τὸν Ζαγραῖον Διόνυσον, ἐκ τοῦ Διὸς συλλαβοῦσα αὐτόν. Τοῦτον γεννηθέντα οἱ Τιτᾶνες (δαιμονίων δὲ τάξεις αὗται) φθονήσαντες τῷ Διονύσῳ, ὡς ἐκ Διὸς ἔχοντι τὴν γέννησιν, διασπαράσσουσιν αὐτόν. Ἄλλοι δὲ λέγουσιν, ὅτι καθ' ὑπόθεσιν τῆς Ἥρας διεσπάσθη ὑπὸ τῶν Τιτάνων ὁ Διόνυσος. Καὶ περὶ μὲν τῶν διεσπασμένων θεῶν, ἐστὶν αὕτη ἡ τοῦ Διονύσου· περὶ δὲ τῶν περικεκομμένων, οὐδεμία τις φαίνεται ἡμῖν ἱστορία ἢ ἡ περὶ τῶν Γιγάντων. Οὗτοι γὰρ πολεμεῖν ἔθελον τοῖς θεοῖς. Οἱ δὲ θεοὶ ἀντιστρατευσάμενοι, ἐπολέμησαν καὶ κατέκοψαν αὐτούς, τοῦ Διὸς τὸν κεραυνὸν ἐπιπέμψαντος αὐτοῖς καὶ καταφλέξαντος αὐτούς.

λϛ΄. Περὶ τοῦ Κωκυτοῦ καὶ Πυριφλεγέθοντος

Ὁ Πλάτων ἐν τῷ *Φαίδωνι* περὶ τῶν λέξεων καὶ τῶν ἀποκληρώσεων τῶν ψυχῶν λέγει, ὅτι οἱ ἀδίκως βεβιωκότες, κολάζονται ἐν τῷ Κωκυτῷ καὶ ἐν τῷ Πυριφλεγέθοντι καὶ ἐν τῷ Ταρτάρῳ. Ποταμοὶ δὲ οὗτοί εἰσιν· ὁ μὲν Κωκυτός, ψυχρότατος· ὁ δὲ Πυριφλεγέθων, θερμότατος· ὁ δὲ Τάρταρος, μέσος τις τόπος τοῦ παντός, ἐν ᾧ ἀνίμησίς ἐστιν ὑδάτων καὶ κατάποσις ἄχρι τοῦ τέλματος τοῦ παντός, σκοτεινός τις καὶ ἀφεγγής· καὶ ὅτι καὶ ἐν τῷ τόπῳ τούτῳ **[1056]** κολάζονται οἱ ἄδικοι· ὁ δὲ Ἀχέρων καὶ αὐτὸς μέσος τις, ὃς καθαρσίῳ ἔοικε καὶ οὐ κολαστηρίῳ, ῥύπτων καὶ σμήχων τὰ ἁμαρτήματα τῶν ἀνθρώπων.

λζ΄. Περὶ Ταντάλου.

Ὁ μὲν Τάνταλος υἱὸς ἦν τοῦ Διός. Οὗτος, ὥς φασιν, ἠξιώθη τῆς τραπέζης τῶν θεῶν· καὶ ἀξιωθείς, ἐδημοσίευσε τὰ μυστήρια αὐτῶν καὶ κολάζεται κόλασιν διὰ τοῦτο τοιάνδε. Ἔστιν ἐν τοῖς ὑπὸ γῆν δικαιωτηρίοις, ἔχων πέτραν ἐπάνω αὐτοῦ καὶ κάτω ὕδωρ πολὺ καὶ βλαστήματα καρποφόρα· καὶ ἤρτηται ὁ λίθος κατ' αὐτοῦ. Ἐὰν οὖν, φησί, θέλῃ πιεῖν ἐκ τοῦ παρακειμένου ὕδατος, πίπτει ἡ πέτρα ἐπάνω αὐτοῦ καὶ τιμωρεῖται αὐτόν. Ἐκ τούτου φησὶν ὅτι λιμῷ καὶ δίψει τήκεται· ὁρῶν μὲν ἀφ' ὧν δεῖ φαγεῖν καὶ πιεῖν, μὴ δυνάμενος δὲ

μετασχεῖν διὰ τὴν ἐπηρτημένην κατ' αὐτοῦ πέτραν. Ἡ δὲ περὶ τοῦ Τιτυοῦ, ἐστὶν αὕτη.

λη'. Περὶ Τιτυοῦ.

Ὁ Τιτυὸς ἠράσθη τῆς Λητοῦς καὶ ἐρασθεὶς ἐκράτησεν αὐτὴν ἀπὸ τοῦ κρηδέμνου, θέλων αὐτῇ συγγενέσθαι· εἶτα Ἄρτεμις καὶ Ἀπόλλων, παῖδες ὄντες τῆς Λητοῦς, κατετόξευσαν αὐτὸν καὶ ἀνεῖλον· καὶ νῦν, φησί, κολάζεται ἐν τῷ ᾅδῃ, ἔχων τὰ βέλη ἐμπεπαρμένα ἐν τῷ ἥπατι. Ἡ δὲ περὶ τὸν Ἰξίωνα ἐστὶν αὕτη.

λθ'. Περὶ Ἰξίωνος.

Ἰξίων ἠράσθη τῆς Ἥρας· ἡ δὲ Ἥρα προσαγγέλλει τῷ Διί· ὁ δὲ Ζεὺς βουληθεὶς γνῶναι εἰ ὄντως ἠράσθη αὐτῆς, ἐξομοιοῖ νεφέλην τῇ Ἥρᾳ καὶ πέμπει πρὸς αὐτόν· ὁ δὲ Ἰξίων νομίσας αὐτὴν τὴν Ἥραν εἶναι, συμμίγνυται αὐτῇ τῇ νεφέλῃ. Καὶ ὀργισθεὶς ὁ Ζεύς, κολάζει αὐτὸν οὕτω· Τροχῷ διατείνας αὐτόν, ἐποίησεν ἀεὶ φέρεσθαι τὸν τροχόν· καὶ ἔστιν ἀεὶ οὗτος ἀνακυκλούμενος καὶ καταφερόμενος ταύτην τινὰ τιμωρίαν.

μ'. Περὶ Προμηθέως.

Ὁ Προμηθεύς, οὗτος λέγεται κλέψαι τὸ πῦρ παρὰ τῶν θεῶν καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους· καὶ ὅτι περὶ τὰ κρέατα τῆς θυσίας ἀπατήσας τὸν Δία, εἰς ὀργὰς ἐκίνησε τοῦτον διττάς. Τοῦτον οὖν θέλων τιμωρήσασθαι, ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ· τῇ δὲ νυκτὶ πάλιν ἀνεπληροῦτο· καὶ πάλιν ἤρχετο ὁ ἀετὸς ἡμέρας γινομένης καὶ ἤσθιεν αὐτό, ἕως οὗ ἐλθὼν ὁ Ἡρακλῆς, ἐτόξευσε τὸ ὄρνεον τοῦτο.

μα'. Περὶ τῆς Κυκλωπείας τιμῆς.

Ὁ Κύκλωψ, οὗτος λέγεται εἶναι ἥρως τις λῃστρικὸς καὶ ποιμήν, ὃς ᾤκει τὴν Σικελίαν, εἶχε δὲ ἕνα ὀφθαλμόν. Τοῦ οὖν Ὀδυσσέως ἀποπλανηθέντος μετὰ τὸν Τρωϊκὸν πόλεμον μετὰ τῶν ἑταίρων αὐτοῦ καὶ ἐλθόντος περὶ τὴν Σικελίαν, ὁ Κύκλωψ συνέλαβε καὶ αὐτὸν τὸν Ὀδυσσέα καὶ τοὺς ἑταίρους αὐτοῦ· καὶ τοὺς μὲν ἑταίρους αὐτοῦ πρώτους κατέφαγε, τὸν δὲ Ὀδυσσέα τηρήσας εἰς ὕστερον καταφαγεῖν οὐκ ἴσχυσε διαδράντος αὐτοῦ· διέδρασε δὲ μεθύσας τὸν Κύκλωπα καὶ τυφλώσας αὐτόν· καὶ ὑπὸ τὸ ἔριον ἑνὸς κριοῦ κατακρεμάσας ἑαυτὸν καὶ ἐξελθὼν σὺν τῷ κριῷ, οὕτως ἀπέδρα.

μβ'. Περὶ στηλῶν Ἡρακλείων.

Τοῦ Ἡρακλέους περὶ τὰ Γάδειρα ἐλθόντος καὶ μηκέτι ἰσχύσαντος περαιτέρω ἀπελθεῖν· οὔτε γὰρ περάσαι ἴσχυσε τὸν Ὠκεανόν· τὰ γὰρ Γάδειρα εἴσοδός ἐστιν ἀπὸ τοῦ Ὠκεανοῦ εἰς τὴν δυτικὴν θάλασσαν· ἄχρις οὖν τῶν Γαδείρων γενόμενος, στήλας ἔστησεν ἐκεῖ, ὡς

μέχρι τῶν ἐκεῖσε βατῆς οὔσης τῆς θαλάσσης καὶ τῆς γῆς καὶ τὸ ἐπέκεινα οὐκέτι· καὶ ἀκούει ὁ τόπος *Ἡρακλέους στῆλαι*.

μγʹ. Περὶ τοῦ φαλλοῦ.

[1057] Τοῦ Ὀσίριδος, ἤτοι Διονύσου, διασπασθέντος ὑπὸ Τυφῶνος, φασίν, ὡς ἡ τούτου ἀδελφὴ ἡ Ἶσις, τὰ τούτου μέλη σὺν πόνῳ πολλῷ συλλέξασα, μόνον τὸ αἰδοῖον οὐχ εὗρε. Τούτου χάριν εἰκόνα τοῦ αἰδοίου ποιήσασα, προσκυνεῖσθαι ὑπὸ πάντων ἐκέλευσε. Γίνεται οὖν παρ' Ἕλλησιν ἑορτὴ τοῦ φαλλοῦ, ἣν προσηγόρευσαν *Φαλλαγώγια*.

ΤΟΥ ΑΒΒΑ ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΩΝ ΕΜΝΗΣΘΗ Ο ΠΑΝΣΟΦΟΣ ΚΑΙ ΕΝ ΑΓΙΟΙΣ ΜΕΓΑΣ ΓΡΗΓΟΡΙΟΣ Ο ΘΕΟΛΟΓΟΣ ΕΙΣ ΤΟΝ ΕΠΙΤΑΦΙΟΝ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΚΑΙ ΜΕΓΑΛΟΥ ΒΑΣΙΛΕΙΟΥ

Οἱ τῶν ἔξω ῥήτορές τε καὶ σοφισταὶ βουλόμενοι τὸν ἐγκωμιαζόμενον παρ' αὐτῶν εὐγενέστατον δεῖξαι, λέγουσιν, ὡς οὗτος τὸ γένος κατάγει, εἰ τύχοι, ἀπὸ Πέλοπος ἢ Κέκροπος ἢ Ἡρακλέους ἢ τῶν ἄλλων τῶν νομισθέντων ἡρώων ἢ καὶ ἄλλως πως ἀγαθῶν γενομένων ἀνδρῶν. Φησὶν οὖν ὁ θεῖος Γρηγόριος, ὅτι οἱ τοῦ θειοτάτου Βασιλείου προπάτορες, μείζους καὶ εὐγενέστεροι ἦσαν τῶν νομιζομένων παρὰ τοῖς ἔξω εὐγενῶν. Καὶ ὁ μὲν νοῦς τοῦ ἁγίου Γρηγορίου τοῦτο βούλεται. Εἰπεῖν δὲ δεῖ τίνες οὗτοι· οἷον, ὁ Πέλοψ καὶ ὁ Κέκροψ καὶ Ἀλκμαίων καὶ ὁ Ἡρακλῆς· οἱ γὰρ τούτων ἀπόγονοι λέγονται λοιπὸν ἀπὸ μὲν τοῦ Πέλοπος Πελοπίδαι, οἱ δὲ ἀπὸ τοῦ Κέκροπος Κεκροπίδαι, οἱ δὲ ἀπὸ τοῦ Ἀλκμαίωνος Ἀλκμαιωνίδαι, οἱ δὲ ἀπὸ τοῦ Ἡρακλέους Ἡρακλεῖδαι, καὶ ἀπὸ τοῦ Αἰακοῦ Αἰακίδαι.

α'. Περὶ τοῦ Πέλοπος.

[1060] Πέλοψ υἱὸς γέγονε Ταντάλου Φρυγίας βασιλέως. Ὁ Τάνταλος δὲ οὗτος πόλεμον ἐσχηκὼς μετὰ Ἴλου τοῦ κτίσαντος τὸ Ἴλιον τὸ ἐπὶ Τροίας καὶ φοβούμενος τὴν ἧτταν, ἐπέτρεψε τῷ Πέλοπι τῷ ἰδίῳ παιδὶ λαβόντι χρήματα, ἀπᾶραι ἐπὶ τὴν Ἤπειρον, εἰπὼν ταῦτα, ὅτι ἐὰν μὲν νικήσω, ὑποστρέψεις πάλιν εἰς τὴν Φρυγίαν· ἐπὰν δὲ ἡττηθῶ, μένε εἰς τὴν Εὐρώπην. Λαβὼν οὖν ὁ Πέλοψ χρήματα, ἦλθεν εἰς τὴν Ἑλλάδα ἐν χώρᾳ Ἀπίᾳ καλουμένῃ· ἥτις Ἀπία χώρα βασιλέα εἶχε τὸν Οἰνόμαον, ἔχοντα θυγατέρα Ἱπποδάμειαν ὀνόματι. Εἶτα ἀγωνισάμενος ἐνταῦθα ὁ Πέλοψ ἱππικὸν ἀγῶνα μετὰ Οἰνομάου καὶ νικήσας ἔλαβε γυναῖκα τὴν τοῦ Οἰνομάου θυγατέρα Ἱπποδάμειαν, καὶ κατέσχε τὴν χώραν· καὶ ἀντὶ Ἀπίας ἐκάλεσεν αὐτὴν Πελοπόννησον, ὅ ἐστιν ἡ τοῦ Πέλοπος νῆσος. Πάντες οὖν οἱ ἀπὸ τοῦ Πέλοπος καλοῦνται Πελοπῖδαι· οἷον, Ἀτρεύς, Θυέστης, Ἀγαμέμνων, Μενέλαος καὶ τελευταῖος Ὀρέστης. Καὶ περὶ μὲν τοῦ Πέλοπος ταῦτα, περὶ δὲ τοῦ Κέκροπος ἤδη λέξεται.

β'. Περὶ τοῦ Κέκροπος.

Κέκροψ βασιλεὺς γέγονεν Ἀθηναίων· ὃς μεγάλως τὴν Ἀττικὴν κατεκόσμησεν. Οὗτος δέ ἐστιν ὁ διφυὴς καλούμενος· ἐκαλεῖτο δὲ διφυής, ὅτι δύο φωνὰς ἦν ἠσκημένος· μίαν μὲν τὴν τῆς Ἑλλάδος, ἑτέραν δὲ τὴν τῆς Αἰγύπτου. Λέγεται γάρ, ὅτι οἱ Ἀθηναῖοι ἄποικοί εἰσιν Αἰγυπτίων, ἀπὸ Σάεως πόλεως. Ἡγεμὼν οὖν τῆς ἀποικίας γέγονεν οὗτος ὁ Κέκροψ· καὶ ἐλθὼν εἰς τὴν Ἑλλάδα, ἔμαθε τὴν Ἑλλάδα φωνὴν καὶ τὴν Αἰγυπτίαν· καὶ ἦλθεν εἰς τὴν Ἑλλάδα φωνὴν ἔχων καὶ τὴν Αἰγυπτίων. Ὁ δὲ λόγος, ὁ λέγων αὐτόχθονας εἶναι Ἀθηναίους, μῦθός ἐστι, λαβὼν τὸ πλάσμα ἀπὸ τοῦ μηδέποτε ἀπωσθῆναι, μᾶλλον δὲ ἀναθῆναι τοὺς οἰκήσαντας εἰς τὴν Ἀττικήν. Λεπτόγεως γὰρ οὖσα ἡ χώρα, οὐ πάνυ ἦν ζηλωτὴ καὶ ἄλλους εἰσοικίσαι. Περὶ μὲν Κέκροπος ἅλις· εἰπεῖν δὲ δεῖ περὶ Ἀλκμαίωνος.

γ'. Περὶ Ἀλκμαίωνος.

Οὗτος Ἀθηναῖος ἦν τὸ γένος, ἐπίσημος λίαν, τὴν ἐλευθερίαν ἀεὶ φυλάττειν ἐθέλων τοῖς Ἀθηναίοις. Τυραννηθείσης οὖν τῆς πόλεως ὑπὸ Πεισιστράτου, ἐξῆλθεν οὗτος, μὴ φέρων ὁρᾶν δουλευούσας τὰς Ἀθήνας. Ἐξελθὼν οὖν μηχανᾶται καὶ σκοπὸν εἶχε πῶς τὴν ἐλευθερίαν ἀποκαταστήσει Ἀθηναίοις. Ἀπελθὼν οὖν εἰς Δελφοὺς εἰς Ἀπολλώνειον ἱερόν, ἐκμισθοῦται παρὰ Δελφοῖς τὸ ἱερὸν ἐπὶ μισθοφορίᾳ· ἐκμισθωσάμενος δὲ καὶ ἔχων ὑφ' ἑαυτὸν πάντας τοὺς τοῦ θεοῦ διακόνους, πείθει τὴν ἱέρειαν καὶ τὴν Πυθίαν, ἵνα εἰ ἔλθῃ ποτὲ Λακεδαιμόνιος μαντευσόμενος, μηδὲν ἄλλο λέγειν αὐτῷ ἢ ὅτι ἐλευθεροῦν τὰς Ἀθήνας λέγει ὑμῖν ὁ θεός. Τούτου συνεχῶς καὶ πλειστάκις γινομένου, παρωρμήθησαν οἱ Λακεδαιμόνιοι καὶ ἐλθόντες ἐξέβαλον ἀπὸ τῶν Ἀθηνῶν τοὺς τυράννους. Μέγα οὖν κλέος ἔσχεν ἔκτοτε ὁ Ἀλκμαίων, ἐλευθερώσας τὰς Ἀθήνας σοφίᾳ. Ἀλλὰ τοσαῦτα περὶ Ἀλκμαίωνος.

δ'. Περὶ Αἰακοῦ.

[1061] Οὗτος υἱὸς ἐλέγετο εἶναι τοῦ Διός, δίκαιος τὰ μάλιστα. Διὸ ποτὲ ἀβροχίας γενομένης ἐν τῇ Ἑλλάδι, ἦλθον πρὸς αὐτὸν οἱ προεστῶτες τῶν πόλεων, παρακαλοῦντες εὔξασθαι τῷ ἰδίῳ πατρί, ἵνα γένηται ὑετός. Ὁ δὲ στὰς καὶ εὐξάμενος, ἔλυσε διὰ τῆς εὐχῆς τοὺς αὐχμοὺς καὶ κατερρύη ὕδωρ ποτίζον τὴν Ἑλλάδα· μάλιστα δὲ καὶ ἐκ τούτου ἡ εὐσέβεια ἐδείχθη τοῦ Αἰακοῦ. Οὗτος οὖν γεννᾷ δύο υἱούς, τὸν Πηλέα καὶ τὸν Τελαμῶνα· ὧν ὁ μὲν Πηλεὺς τίκτει τὸν Ἀχιλλέα, ὁ δὲ Τελαμὼν τὸν Αἴαντα. Οἵτινες ἐκαλοῦντο Αἰακίδαι, τὴν ἀπὸ τοῦ πάππου τιμὴν ἐκ τούτου προφερόμενοι.

ε'. Περὶ Ἡρακλέους.

Οὗτος λέγεται υἱὸς γεγονέναι τοῦ Διός. Ὁ γὰρ Ζεὺς ὁμοιωθεὶς

τῷ Ἀμφιτρύωνι, συνεγένετο τῇ Ἀλκμήνῃ· καὶ ἐγεννήθη ὁ Ἡρακλῆς, ὃς καὶ τοὺς μεγάλους ἐκείνους ἄθλους διήνυσε. Πολλοὶ οὖν γεγόνασιν ἀπὸ Ἡρακλέους, ὧν πρῶτος καὶ ἔνδοξος ὁ Ὕλλος, ἐξ οὗ καὶ οἱ τῶν Λακεδαιμονίων βασιλεῖς Ἡρακλεῖδαι λέγονται.

ς΄. Περὶ τῆς Ἐλαφηβόλου καὶ Ὠρίωνος καὶ Ἀκταίωνος.

Τὴν Ἄρτεμιν λέγουσι τῆς κατὰ θήραν τοξείας εἶναι ἔφορον. Λέγεται οὖν αὕτη ἡ θεὸς βάλλειν εὐστόχως τὰς ἐλάφους, ὥστε ἀκοῦσαι τὴν Ἄρτεμιν, Ἐλαφηβόλον θεόν. Ὁ δὲ Ὠρίων καὶ ὁ Ἀκταίων, θηραταὶ καὶ οὗτοι ὑπῆρχον. Ὁ μὲν οὖν Ἀκταίων κυνηγέτης ἦν καὶ εἶδε τὴν Ἄρτεμιν γυμνήν· ἡ δὲ θεὸς ἀθέμιτον τοῦτο ὑπολαβοῦσα, τὸ τοὺς θεοὺς ἰδεῖν γυμνοὺς καὶ μάλιστα τὰς παρθένους, χολωθεῖσα, μανῆναι ἐποίησε τοὺς κύνας αὐτοῦ τοῦ Ἀκταίωνος καὶ ὡς ἔλαφον ἔχοντα κέρατα ἑώρων αὐτὸν οἱ κύνες, οὕτως ὥστε λέγεσθαι τὸν Ἀκταίωνα ὑπὸ κυνῶν συρῆναι. Καὶ ὁ Ὠρίων δέ, οὗτός ἐστιν ὁ ἐκ τοῦ οὐρῆσαι τοὺς θεοὺς ἐν τῇ βύρσῃ τοῦ βοὸς τοῦ σφαγέντος ὑπὸ τοῦ Οἰνέως τοῦ Θηβῶν βασιλέως ἐπὶ τῇ φιλοξενίᾳ τῶν θεῶν· γενόμενος δὲ Ὠρίων καὶ ὢν θηρολέτης, ἠράσθη τῆς Ἀρτέμιδος. Εἶτα ἡ θεὸς ὀργισθεῖσα, ἀνῆκε σκορπίον κατ' αὐτοῦ καὶ κρουσθεὶς οὗτος ἀπέθανε· διό ἐστιν ἐν τῷ οὐρανῷ, ὡς οἱ μῦθοι λέγουσι, μετὰ τοῦ σκορπίου.

ζ΄. Περὶ τοῦ Πηγάσου.

Τῆς Παταρικῆς Χιμαίρας ἀναφυείσης, περὶ ἧς μέμνηται καὶ οὗτος ὁ θεῖος Γρηγόριος ἐν τοῖς *Στηλιτευτικοῖς*, ἐν ἱστορίᾳ πεντηκοστῇ καὶ λυμαινομένης τὴν χώραν τῶν Λυκίων καὶ τοῦ Προίτου βασιλεύοντος τῆς Λυκίας, προσετάχθη ὁ Βελλεροφόντης ἀποκτεῖναι τὴν Χίμαιραν. Ἦν δὲ τὸ θηρίον, ὡς κἀκεῖσε παρεστήσαμεν τοιοῦτον· πρόσθε μὲν λέων, ὄπισθεν δὲ δράκων, μέσον δὲ Χίμαιρα· ἐξ ἧς Χιμαίρας τὸ πῦρ ἀνεδίδοτο καὶ ἦν δυσάλωτον τὸ θηρίον. Τὸν ἵππον οὖν Πήγασον ἐκ θεοῦ εὑρὼν ὁ Βελλεροφόντης, ὃς ἐλέγετο ἔχειν πτερά, καὶ ὕδωρ ἀπὸ τῶν ὀνύχων ἀποστάζειν, ἐλθών, σύμμαχον εὑρὼν τὴν πτῆσιν τοῦ ἵππου, διὰ τὸ εἶναι πτερωτόν, ὡς εἶπον, καὶ σφαῖραν μολίβδου περιθεὶς ἐν τῷ ἄκρῳ τοῦ δόρατος, αὐτὸς ὁ Βελλεροφόντης ἐνέβαλεν εἰς τὸ στόμα τῆς Χιμαίρας καὶ ἀπὸ τοῦ πυρὸς διελύθη ὁ μόλιβδος καὶ ἀνεῖλε τὴν Χίμαιραν.

η΄. Περὶ τοῦ λαβυρίνθου.

[1064] Ἐν τῇ Κρήτῃ τῇ νήσῳ ὄρος ἐστίν, ἐν ᾧ σπήλαιον ἀντρῶδες καὶ δύσοδον περὶ τὴν κάθοδον καὶ δυσχερὲς πάνυ περὶ τὴν ἄνοδον· ἐν ᾧ λέγεται ὁ Μινώταυρος ἐμβληθῆναι. Ἐπεὶ οὖν δυσχερὲς τὸ ἐκβῆναι τοῦ λαβυρίνθου, νῦν ὁ θεῖος Γρηγόριος ἔλαβεν αὐτὸ ἐπὶ τοῦ λόγου τῶν ἀφύκτων, ὧν οὐδεὶς ἠδύνατο ἐκφυγεῖν, ἀλλ' ἡλίσκετο. Ἐπιφέρει δὲ καὶ τὰς ἄρκυς· ἄρκυς δέ ἐστιν εἶδος δικτύου παχυσχοίνου, ὃ ἱστᾶσι πρὸς θήραν λέοντος ἢ ἄλλου τῶν ἰσχυρῶν ζῴων.

θ'. Περὶ τῶν Γαδείρων.

Γάδειρα τόπος ἐστὶ περὶ τὰ Ἑσπέρια μέρη· ὁ τόπος δὲ οὗτος, ἀποτελεύτησίς ἐστι θαλάσσης καὶ οἱονεὶ ἔκκρισις ἀπὸ τῆς ὡς πρὸς ἡμᾶς θαλάσσης, ἐπὶ τὴν Ἀτλαντίδα θάλασσαν. Λέγεται οὖν μηκέτι μετὰ τὰ Γάδειρα πλέεσθαι τὴν θάλατταν ἐκείνην, διὰ τὸ εἶναι βραχώδη καὶ σκοτεινήν. Γάδειρα δὲ ἤκουσε παρὰ τὴν γῆν καὶ τὴν δειράν· δειρὴ δὲ καλεῖται τράχηλος. Παρὰ τὸ οὖν τῆς γῆς εἶναι τράχηλον ἐκεῖσε, ἤκουσε Γάδειρα.

ι'. Περὶ ἵππου τοῦ διαρρήξαντος τὰ δεσμά.

Ὅμηρος ὁ ποιητὴς βουλόμενος τὴν Ἀλεξάνδρου ὀξύτητα τὴν περὶ τοῦ πώλου ἐκφράσαι, διὰ παραβολῆς εἰκάζει τὸν ἥρωα, ἐπειπὼν τόδε ἔπος·

Ὡς δ' ὅτε τις στατὸς ἵππος ἀποστήσας ἐπὶ φάτνης.

ια'. Περὶ τῶν σπαρέντων καὶ φυέντων αὐθημερὸν γιγάντων.

Ἐν Θήβαις τῆς Βοιωτίας λέγεται, ὅτι Κάδμος ἢ ἄλλος τις, λαβὼν τοὺς τοῦ δελφίνου δράκοντος ἔσπειρεν ὀδόντας εἰς τὴν γῆν καὶ ἀνεδόθησαν ἔνοπλοι ἄνδρες· ἀνεδόθησαν δὲ ἀπὸ μηρῶν ἕως ἄνω καὶ οὕτως ἱστάμενοι ἐπολέμουν ἀλλήλοις.

ιβ'. Περὶ τῶν ἑπταπύλων Θηβῶν.

Ὁ θεῖος Γρηγόριος περὶ θεάματα βούλεται εἰπεῖν ἡμῖν ἐνταῦθα· αἱ δὲ πύλαι, ἑπτάπυλοί εἰσιν, αἱ τῆς Ἑλλάδος, αἱ ὑπὸ Ἀμφίονος καὶ Ζήθου κτισθεῖσαι διὰ κιθάρας· αἱ δὲ Αἰγύπτιοι Θῆβαι εἰσὶν ἑκατοντάπυλοι· μεγίστη δὲ πάλαι γέγονε καὶ οὕτως μεγίστη ὥστε ἑκατὸν ἔχειν τὰς πύλας. Τὰ δὲ τείχη τὰ Βαβυλώνια λέγεται εἶναι ἰσχυρότατα· ἀπὸ γὰρ πλίνθου ὀπτῆς καὶ ἀσφάλτου λυομένης ἐκτίσθησαν καὶ τὸ πλάτος ἔχοντα πολὺ καὶ τὸ ὕψος καὶ τὴν περιφέρειαν.

ιγ'. Περὶ τοῦ Μαυσωλοῦ τοῦ Καρός.

Ὁ τάφος Μαυσωλοῦ τοῦ Καρὸς μέγιστός ἐστι καὶ αὐτός· Μαυσωλὸς γὰρ Καρίας γέγονε τύραννος· ὃς ἔκτισεν ἑαυτῷ τάφον πολυανάλωτον, ἐν χώματί τινι καὶ ἐν λιμναζούσῃ λίμνῃ ἔνδον κείμενος τοῦ τάφου· γράφεται δὲ καὶ ὁ *Καρικὸς τάφος*, ἵνα ᾖ κτητικός· γράφεται δὲ καὶ *Καρός*, ἵνα ᾖ ἐθνικὸς τοῦ Μαυσωλοῦ τοῦ Καρός. Αἱ δὲ πυραμίδες καὶ αὗται θαύματός εἰσιν ἄξιαι, ἐν τῇ Αἰγύπτῳ ἐκτισμέναι πολυανάλωτοι· ἅστινας Χριστιανοὶ μὲν λέγομεν εἶναι τὰ ὡρεῖα τοῦ Ἰωσήφ, Ἕλληνες δὲ τάφους βασιλέων τινῶν, ὧν ἐστι καὶ Ἡρόδοτος· ὡς δὲ εἰκὸς μετὰ τοὺς χρόνους τοῦ Ἰωσὴφ καὶ τὴν ἔξοδον τοῦ Ἰσραήλ, ἐποιήσαντο αὐτὰς τάφους βασιλέων οἱ Ἕλληνες. **[1065]** Περὶ δὲ τοῦ κολοσσοῦ λέγει τοῦ ἀνακειμένου ἐν Ῥόδῳ, ὅτι μέγιστός ἐστιν ἀνδριάς, χαλκὸν ἔχων πολὺν καὶ ἀξιοθαύμαστον.

ΤΟΥ ΑΥΤΟΥ ΜΟΝΑΧΟΥ ΝΟΝΝΟΥ ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΕΛΛΗΝΙΚΩΝ ΙΣΤΟΡΙΩΝ

ΩΝ ΕΜΝΗΣΘΗ Ο ΠΑΝΣΟΦΟΣ ΚΑΙ ΘΕΙΟΣ ΓΡΗΓΟΡΙΟΣ ΕΝ ΤΩ ΕΙΣ ΤΑ ΑΓΙΑ ΦΩΤΑ ΛΟΓΩ

α΄. Περὶ τοῦ Διός.

Τὸν Δία οἱ θεολόγοι τῶν Ἑλλήνων ἐκ Κρόνου λέγουσι γεννηθῆναι, καὶ γεννηθέντα περισωθῆναι τοιῶσδε· Ὁ Κρόνος τῇ Ῥέᾳ γενόμενος σύνοικος, ἅπερ ἔτικτεν αὕτη παιδία, αὐτὸς λαμβάνων κατέπινεν· καὶ οὕτως ἐπὶ πολλῶν τούτου γενομένου, ἄτεκνος ἔμενεν ἡ Ῥέα. Ὅτε οὖν ἐγέννησε τὸν Δία, ἡ Ῥέα φοβουμένη μήπως καὶ τὸ βρέφος τοῦτο καταποθὲν ἀπόληται, λίθον μὲν σπαργανώσασα, δέδωκε τῷ Κρόνῳ ὡς βρέφος καταπιεῖν· τὸν δὲ Δία ὑπερέθετο ἐν τῇ Κρήτῃ καὶ παρέσταζε τῷ βρέφει τούτῳ τοὺς Κορύβαντας καὶ τοὺς Κουρῆτας ὀρχεῖσθαι καὶ κροτεῖν καὶ κτυπεῖν τὰ ὅπλα αὐτῶν καὶ γενέσθαι τινὰ ἦχον τὸν δυνάμενον ὑποκλέπτειν καὶ παρακρούειν τὸν ἐκ τοῦ κλαυθμοῦ τοῦ παιδίου ἦχον, ἵνα μὴ μαθὼν ὁ Κρόνος ποῦ κρύπτεται τὸ παιδίον, τοῦτο λαβὼν καταπίῃ. Νῦν οὖν πατέρα μὲν μισότεκνον λέγει τὸν Κρόνον, παιδίον δὲ κλαυθμυρίζον τὸν Δία· τοὺς Κουρῆτας δὲ λέγει τοὺς μετὰ τῶν Κορυβάντων ταχθέντας παρὰ τῆς Ῥέας ὀρχεῖσθαι, δαίμονες δὲ οὗτοι οἱ Κορύβαντες· ἐνόπλιον δὲ ὄρχησιν λέγει τὴν πυρρίχιον· κτύπον γάρ τινα ἐν ταῖς ἀσπίσιν ἐποίουν οὗτοι, πρὸς τὸ ὑπερηχεῖσθαι τὸν κλαυθμὸν τοῦ παιδίου. Κρητῶν δὲ τυράννους εἶπεν, ὅτι οἱ μὲν θεολόγοι τῶν Ἑλλήνων θεὸν λέγουσι γενέσθαι τὸν Κρόνον καὶ τὸν Δία· ἡ δὲ ἱστορία ἡ δημώδης, ᾗ καὶ τίθεται ὁ θεῖος Γρηγόριος λέγων, ὅτι ὁ Ζεὺς οὗτος τύραννος ἦν Κρητῶν καὶ θέλοντες αὐτὸν θεραπεύειν οἱ ὑπήκοοι, ἐμυθολόγουν, ὡς ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχει τὴν γένεσιν, ἐπεὶ ἄνθρωπος ἦν· διὸ καὶ ἐπήγαγεν κἂν Ἕλληνες ἀπαρέσκωνται· οἱ γὰρ Ἕλληνες οὐ θέλουσιν αὐτὸν εἶναι ἄνθρωπον καὶ τύραννον Κρητῶν, ἀλλὰ θεόν.

β΄. Περὶ τῆς ἁρπασθείσης Κόρης.

Δημήτηρ θεὸς οὖσα τίκτει θυγατέρα ἀπὸ τοῦ Διός, ἥντινα ἐκάλουν καὶ Κόρην καὶ Περσεφόνην. Ταύτης ἠράσθη ὁ Πλούτων· καὶ ἥρπασε καὶ κατῆλθεν ἐν τῷ ᾅδῃ. Ἡ οὖν Δημήτηρ περιήει ζητοῦσα τὴν Κόρην **[1068]** καὶ πολλὰ πλανηθεῖσα ἦλθεν ἐν τῇ Ἀττικῇ. Ἐλθοῦσα δέ, τὸν μὲν τόπον ἐν ᾧ ἦλθεν, ἐκάλεσεν Ἐλευσῖνα παρὰ τὸ ἐληλυθέναι. Ἔμαθε δὲ παρὰ τοῦ Κελεοῦ καὶ τοῦ Τριπτολέμου, ὅτι ἡ Κόρη ἡρ-

καὶ ἔστιν ἐν τῷ ᾅδῃ. Μαθοῦσα οὖν ἡ θεὸς
πάγη ὑπὸ τοῦ Πλούτωνος, Ἀμειβομένη δὲ τοὺς ἄνδρας ὑπὲρ τῆς χά-
ταῦτα, ἔληξε τῆς πλάνης. οἷον σῖτον, κριθὴν καὶ
ριτος ταύτης, δέδωκεν αὐτοῖς τὰ σπέρματα, εἶναι ἔφορος ἡ Δημή-
όσπριον· λέγεται γὰρ τῶν σπερματικῶν καρπῶν καὶ ἅρματα πτε-
τηρ. Δοῦσα δὲ τὰ σπέρματα, δέδωκε καὶ δράκοντας καὶ τὴν κριθήν·
ρωτὰ πρὸς τὸ περιελθεῖν καὶ δοῦναι πᾶσι τὸν σῖτον σίτῳ, ἀλλὰ
οὔπω γὰρ ᾔδεισαν οἱ ἄνθρωποι ἐσθίειν ἄρτον ἢ χρῆσθαι πάντας τοὺς
νομαδικὸν βίον ἔζων· οὐ μόνον δὲ τὸν σῖτον ἀλλὰ καὶ αὐτοῖς καὶ
σπερματικοὺς καρποὺς δέδωκε· καὶ τὰ μυστήρια ἐτέλεσεν ἡ τελετὴ ἐν
ἔδειξε πῶς δεῖ τελεῖν καὶ τελεῖσθαι. Νύκτωρ δὲ ἐγίνετο Εἶπε δέ,
τῇ Ἐλευσῖνι· ἱερὸν γὰρ ἐκτίσθη ἐκεῖσαι αὐτῆς τῆς Δήμητρος. παθεῖν εὖ
καὶ τὰ μὲν ποιεῖ, τὰ δὲ πάσχει, διὰ τὸ καὶ τὴν Δήμητραν καὶ ταύτην δὲ
ἐν τῷ ἀκοῦσαι περὶ τῆς θυγατρὸς λῆξαι τῆς πλάνης τὰ μυστήρια.
ποιῆσαι εὖ τούτους, δοῦσα τὰ σπέρματα καὶ τελέσασα ἐλθοῦσα ἡ
Τὸ δέ, οἶδεν Ἐλευσὶς ταῦτα, περὶ τῆς κώμης λέγει, ἐν ᾗ καὶ σιωπῆς
Δημήτηρ ἐποίει τὰ μυστήρια. Εἶπε δέ, τῶν σεσιωπημένων τῶν τελεσθέν-
ὄντων ἀξίων, διὰ τὸ νόμον εἶναι τὸν κελεύοντα μηδένα κατέχειν καὶ
των τὰ μυστήρια δημοσιεύειν τὴν τελετήν, ἀλλὰ σιωπῇ
μὴ ἐκφέρειν πρὸς τοὺς ἀμυήτους.

γʹ. *Περὶ τοῦ ὠδίνοντος μηροῦ ἀτελὲς κύημα*

Σεμέλη, θυγάτηρ γέγονε Κάδμου τοῦ Θηβῶν βασιλέως. Ταύτης ἐρασθεὶς ὁ Ζεύς, συνεγένετο αὐτῇ, καὶ εἰς ζῆλον καὶ φθόνον ἐκίνησεν Ἥραν τὴν γυναῖκα αὐτοῦ. Ζηλοτυπήσασα οὖν ἡ Ἥρα, ἀπέρχεται πρὸς τὴν Σεμέλην καὶ λέγει αὐτῇ, ὅτι ὄντως ἀπατᾷ σε· οὐδὲ γὰρ ὁ Ζεύς ἐστιν ὁ συγγενόμενός σοι· ἐμοὶ γάρ, φησίν, ὅτε συγγίνεται, μετὰ ἀστραπῶν καὶ βροντῶν συγγίνεται. Ἐὰν οὖν ἔλθῃ πρὸς σὲ ὁ Ζεύς, εἰπὲ αὐτῷ· ὡς συγγίνῃ τῇ Ἥρᾳ, οὕτω σύνελθέ μοι. Καὶ εἰ μὲν συγγέννηταί σοι μετὰ ἀστραπῶν καὶ κεραυνῶν, τῷ ὄντι ὁ Ζεύς σοι συγγίνεται. Εἰ δὲ ἄλλως πως, οὐκ ἔστιν ὁ Ζεύς. Ταῦτα ὑποθεμένης τῆς Ἥρας, ἐλθόντος τοῦ Διὸς πρὸς τὴν Σεμέλην, ᾐτήθη παρ' αὐτῆς συγγενέσθαι αὐτῇ ὡς τῇ Ἥρᾳ. Εἶτα συγγινομένου μετὰ κεραυνῶν, μὴ ἐνεγκοῦσα ἡ Σεμέλη τοὺς κεραυνούς, ἀπέθανεν. Ὁ οὖν Ζεὺς θᾶττον τὸ ἔμβρυον ὃ ἦν ἐν τῇ Σεμέλῃ λαβών, ἔβαλεν εἰς τὸν μηρὸν καὶ ἔρραψεν, ἕως οὗ γένηται τῶν ἐννέα μηνῶν. Ἦν δὲ οὗτος ὁ Διόνυσος. Ἀτελὲς δὲ κύημα λέγει, ὅτι ὁ μηρὸς αὐτὸν ἐκύησε τοῦ Διός. Θεὸν ἀνδρόγυνον καλεῖ τὸν Διόνυσον, ὡς ποτὲ μὲν γυναικιζόμενον, τουτέστι τὰ τῶν γυναικῶν πάσχοντα· ποτὲ δὲ ἀνδριζόμενον, τουτέστι τὰ τῶν ἀνδρῶν ἐνεργοῦντα. Χορὸν δὲ μεθυόντων λέγει τοὺς Σατύρους καὶ τοὺς Βάκχους καὶ τοὺς Σειληνούς· δαίμονες δὲ οὗτοι ὀπαδοὶ καὶ ὁμόκελευθοι τοῦ Διονύσου. Αὐτοὺς δὲ τούτους λέγει καὶ στρατὸν ἔκλυτον τοὺς δαίμονας. Ἔκλυτον δὲ αὐτὸν καλεῖ, διὰ τὴν μέθην. Ἐπειδὴ γὰρ τοῦ οἴνου ἔφορος ὁ Διόνυσος, εἰκότως τοὺς σὺν αὐτῷ δαίμονας

μεθυστὰς εἰσάγει ὄντας. Τὸ δέ, Θηβαίων ἄνοια τοῦτον [1069] τιμῶσα, ὅτι Θηβαῖος ἦν τὸ γένος ὁ Διόνυσος, ὡς ἐκ τῆς Σεμέλης γεννηθείς· εἴπομεν γάρ, ὅτι Σεμέλη θυγάτηρ ἦν Κάδμου τοῦ Θηβῶν βασιλέως. Ἄνοιαν δὲ καλῶς εἶπε Θηβαίων, ἐπειδὴ ἐπὶ μωρίᾳ πολλῇ διαβάλλονται οἱ Θηβαῖοι καὶ ἔστι παροιμία ἡ λέγουσα· *Βοιωτία ὗς*. Διὰ τί δὲ ὁ κεραυνὸς προσκυνεῖται; Διότι κατέφλεξε τὴν Σεμέλην. Τὸ δέ, ὥσπερ ἄλλο τι κεφαλὴ πρότερον, ἑτέρα μὲν ἔστιν ἱστορία· ἐπειδὴ δὲ συμπλέκεται ταύτῃ, ἀναγκαῖον καὶ αὐτὴν ἐξηγήσασθαι. Ἡ κεφαλὴ τοῦ Διὸς γέγονε κεφαλή ποτε ὠδίνων, ὅτι ἐν ἑαυτῇ εἶχε τὴν Ἀθηνᾶν. Λέγεται γὰρ ἡ Ἀθηνᾶ, ὅτι ἐκ τῆς κεφαλῆς τοῦ Διὸς ἐγεννήθη· ἐκεῖ γὰρ αὐτὴν ὤδινεν ὁ Ζεὺς καὶ λαβὼν παρὰ τοῦ Ἡφαίστου μετὰ ἀξίνης κατὰ τῆς κεφαλῆς ὁ Ζεὺς ἔτεκεν ἐξ αὐτῆς τὴν Ἀθηνᾶν.

δ'. *Περὶ τῆς Ἀφροδίτης καὶ τῶν αἰσχρῶν μυστηρίων αὐτῆς.*

Λέγεται, ὅτι ἐκ τῶν αἰδοίων τοῦ Οὐρανοῦ ἔσχε τὴν γέννησιν ἡ Ἀφροδίτη· ὁ γὰρ Κρόνος, φησίν, υἱὸς τοῦ Οὐρανοῦ, λαβὼν τὸ δρέπανον, ἀπέκοψε τοῦ ἰδίου πατρὸς τὰ αἰδοῖα καὶ ἔρριψεν εἰς τὴν θάλασσαν καὶ πεσόντα ταῦτα καὶ ἀφρὸν συνάξαντα, ἀπεκύησε τὴν Ἀφροδίτην· Διὸ καὶ Ἀφροδίτη καλεῖται, ὡς ἐκ τοῦ ἀφροῦ καὶ τῆς καταδύσεως γινομένη. Διὸ εἶπεν· αἰσχρῶς γινομένης καὶ τιμωμένης. Ὁμοίως γὰρ καὶ αἱ τιμαὶ αἱ περὶ ἑαυτὴν καὶ αἱ ἑορταὶ δι' αἰσχρουργίας καὶ ἡδυπαθείας καὶ πορνείας ἐτελοῦντο, ὡς καὶ τῆς πορνείας αὐτῆς οὔσης ἐφόρου τῆς Ἀφροδίτης.

ε'. *Περὶ τῆς τῶν Ταύρων ξενοκτονίας.*

Οἱ Ταῦροι ἔθνος Σκυθικόν, καθώς φησιν ὁ Ἡρόδοτος, ἐν ᾧ ἦν ἱερὸν τῆς Ἀρτέμιδος, εἰς ὃ ἦν ἱέρεια ἡ θυγάτηρ τοῦ Ἀγαμέμνονος Ἰφιγένεια. Ἐν τούτῳ τῷ ἱερῷ πάντα ἄνθρωπον ἐπιδημοῦντα ξένον ἔθυον τῇ Ἀρτέμιδι. Καὶ περὶ ταύτης τῆς ἱστορίας ἐν τῷ *Στηλιτευτικῷ* σαφῶς λέξομεν.

ϛ'. *Περὶ τοῦ Τροφωνίου.*

Τροφώνιος καὶ Ἀγαμήδης ἀδελφοὶ δύο γεγόνασι, μάντεις τὴν τέχνην. Τούτων ὁ Τροφώνιος, ὑπὸ κενοδοξίας ὑποβρύχιος δὴ γεγονώς, ἐν σπηλαίῳ τινὶ ἀπέψυξεν. Εἶτα οἱ θεοὶ ἐλεήσαντες, φησίν, αὐτὸν τὸν τόπον ἐν ᾧ ἀπέψυξεν, ἐποίησαν μαντεύεσθαι· καὶ κατῄεσαν εἰς τὸ σπήλαιον καί τινας τελετὰς ποιοῦντες ἀνῄεσαν, ὡς χρησμοδοτισθέντες. Λέγεται δέ, ὅτι πᾶς κατελθὼν εἰς τὸ σπήλαιον ἐκεῖνο, ἐκ τοῦ λοιποῦ ἀγέλαστος ἦν.

ζ'. *Περὶ τῆς Δωδωναίας δρυός.*

Ἡ Δωδώνη πόλις ἐστὶ περὶ τὴν παλαιὰν Ἤπειρον. Ἐν ταύτῃ

ἦν δρῦς, ἐν ᾗ ἐλέγετο ὁ Ζεὺς ἐπισκιάζειν καὶ μαντείαν διδόναι τοῖς χρῄζουσι, μαντείας ἐξ αὐτῆς δρυὸς κινήματα τῷ μάντει ἐξηχούμενα.

η'. *Περὶ τῆς Κασταλίας.*

Ἔστι πηγὴ περὶ τὴν Ἀντιόχειαν, ἐν ᾗ ὁ Ἀπόλλων ἐφεδρεύει· ἐν ᾗ πηγῇ μαντεία τις ἐξεφέρετο κατὰ τὴν τοιάνδε ἐκροὴν τοῦ νάματος, οὐ κατὰ φωνήν· οὐ γὰρ φωνή τις ἐξηχεῖτο, ἀλλ' ἁπλοῦ ἤχου τινὸς καὶ πνεύματος ἀναδιδομένου καὶ ἐκροῆς, πρὸς ἅ τινες ἱστάμενοι καὶ νοοῦντες τὰ σύμβολα ταῦτα, ἔλεγον τὰ μέλλοντα.

θ'. *Περὶ τῶν κολάσεων τοῦ Μίθρου.*

[1072] Τὸν Μίθραν ἄλλοι ἄλλως ἐνόμισαν· οἱ μὲν γὰρ τὸν ἥλιον, οἱ δὲ τὸν ἔφορον τοῦ πυρός, ἄλλοι δὲ εἰδικήν τινα δύναμιν. Γίνονται δὲ τούτῳ τῷ Μίθρῃ τινὲς τελεταὶ καὶ παρὰ τῶν Χαλδαίων μάλιστα. Οἱ δὲ τελούμενοι τῷ Μίθρῃ, κατὰ βαθμόν τινα ἐτελοῦντο κολάσεων· πρότερον δὲ τὰς ἐλαφροτάτας κολάσεις παρελάμβανον καὶ εἶθ' οὕτως τὰς δραστικωτέρας· οἷον, πρότερον ἐλίμωττον αὐτοὺς τοὺς τελουμένους ἐπὶ πεντήκοντα ἡμέρας, εἰ τύχοι· εἶτα εἰ ἤγαγε καρτερικῶς, ἐποίουν αὐτὸν πάλιν ξεσθῆναι ἐπὶ δύο ἡμέρας· εἶτα πάλιν εἰς χιόνα ποιῆσαι εἴκοσιν ἡμέρας· καὶ οὕτως ἁπλῶς τὰς κολάσεις ἐπὶ τὸ μεῖζον κατὰ μικρὸν αὔξοντες· εἰ ὁ τελούμενος καρτερῶν ἐφαίνετο, τότε λοιπὸν αὐτὸν ἐτέλουν τὰ τελεώτατα.

ι'. *Περὶ τῆς Ἴσιδος.*

Ἡ Ἶσις αὕτη ἐνομίσθη τῇ Ἰῷ τῇ ἁρπασθείσῃ ὑπὸ τοῦ Διός· ὁ γὰρ Ζεύς, φησίν, ἥρπασε τὴν Ἰώ, καὶ φοβούμενος τὴν Ἥραν τὴν ἑαυτοῦ γυναῖκα, μετέβαλε τὴν Ἰὼ εἰς βοῦν καὶ ποτὲ μὲν εἰς λευκήν, ποτὲ δὲ εἰς μέλαιναν, ποτὲ δὲ εἰς ἰάζουσαν καὶ οὕτως ἐπλανᾶτο μετ' αὐτῆς. Ἦλθεν οὖν καὶ ἐν Αἰγύπτῳ πλανώμενος μετ' αὐτῆς· καὶ διὰ τοῦτο τιμῶσιν οἱ Αἰγύπτιοι τὴν Ἰώ, ἤτοι τὴν Ἶσιδα· διὸ ἐπὶ τοῦ ἀγάλματος αὐτῆς ἐπὶ τῆς κεφαλῆς κέρατα βοὸς ἐγγλύφουσιν, σημαίνοντες τῆς κόρης τὴν εἰς βοῦν μεταβολήν.

ια'. *Περὶ τῶν Μενδησίων τράγων.*

Αἰγυπτιστὶ ὁ τράγος καλεῖται μένδης. Ἐσέβοντο δὲ ἔνιοι τῶν Αἰγυπτίων τὸν τράγον ἀνακείμενον τῇ γονίμῳ δυνάμει· λέγεται γὰρ ὀχευτικὸν ζῷον εἶναι ὁ τράγος. Τοὺς οὖν τράγους οἱ οἰκοῦντες κατὰ τὸ μενδήσιον κέρας οὐκ ἤσθιον, αἰδοῖ τοῦ γονίμου θεοῦ· ἐτίμων δὲ μεγάλως καὶ τοὺς αἰπόλους τῶν τράγων. Ἦν δὲ καὶ ἱερὸν τοῦ Μένδητος παρ' Αἰγυπτίοις, ἐν ᾧ ἱερῷ τὸ ἄγαλμα τραγοσκελὲς ἦν, ὄρθιον τὸ αἰδοῖον ἔχον.

ιβ'. Περὶ τοῦ Νείλου.

Ποταμός ἐστιν ὁ Νεῖλος ἐν τῇ Αἰγύπτῳ, ὃς ὑπερεκχυνόμενος διὰ τὰς αἰτίας, ἅς φησιν ὁ πανσοφώτατος Ἡρόδοτος, τιμᾶται παρ' αὐτῶν. Ἐν γὰρ τῇ ἀναβάσει τιμῶσιν αὐτὸν ὡς θεὸν καὶ εὐφημοῦσιν ὡς εὐφορίας αἴτιον, νομίζοντες τὸ ὕδωρ τὸ αὐξανόμενον εἶναι θεόν.

ιγ'. Περὶ τῶν κνωδάλων καὶ τῶν ἑρπετῶν, ὧν ἐσέβοντο οἱ Αἰγύπτιοι.

Οἱ Αἰγύπτιοι ἐσέβοντο τὰς ἴβεις, τοὺς κροκοδείλους, τοὺς ὄφεις, τὰς αἰλούρους καί τινα τῶν ἰχθύων γένη, ἐξ ἀλόγου τιμῆς ἑαυτοῖς ἀτιμίαν πορίζόμενοι. Περὶ δὲ τούτων ἀκριβέστερόν φησιν ὁ Ἡρόδοτος, ὁ καὶ περὶ πάσης αὐτῶν τῆς θρησκείας καὶ τῶν βασιλέων ἀκριβῶς καὶ διὰ πλάτος συγγραψάμενος.

ΤΟΥ ΑΒΒΑ ΝΟΝΝΟΥ ΣΥΝΑΓΩΓΗ ΚΑΙ ΕΞΗΓΗΣΙΣ

ΙΣΤΟΡΙΑΙ ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΩΝ ΕΜΝΗΣΘΗ ΕΝ ΤΟΙΣ ΕΑΥΤΟΥ ΛΟΓΟΙΣ.

ΕΚ ΤΟΥ ΛΟΓΟΥ ΤΟΥ ΕΙΣ ΤΟΥΣ ΜΑΚΚΑΒΑΙΟΥΣ *

27 59,85,31. Ἢ μασθοὺς παρεδείκνυ καὶ τροφῆς ἀνεμίμνησκε.

Τὰ τοῦ Ὁμήρου δὲ οἶμαι ὁ θεο**28**λόγος ἐνταῦθα ἐμιμήσατο, ἐν οἷς ἐκεῖνος ποιεῖ τὴν βασίλισσαν Ἑκάβην τὸν υἱὸν αὐτῆς Ἕκτορα ἑκουσίως ἔξω τοῦ τείχους ἀπολειφθέντα καὶ μέλλοντα τῷ Ἀχιλλεῖ συμπλέκεσθαι, παρακαλοῦσαν εἰσελθεῖν καὶ σωθῆναι· λέγει δὲ καὶ οὕτω πως ὁ ποιητής·

Μήτηρ δ' αὖ ἑτέρωθεν ὠδύρετο δακρυχέουσα,
κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχεν·
Ἕκτορ, τέκνον ἐμόν, ταῦτ' αἴδεο καὶ μ' ἐλέησον
αὐτήν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἀνέσχον,
τῶν μνῆσαι, φίλον τέκος[α].

Καὶ ἔστιν ἡ ἔννοια τῶν ἐπῶν τούτων τοιαύτη, ὅτι ἡ μήτηρ τοῦ Ἕκτορος δακρύουσα καὶ τὸν κόλπον παρανοίγουσα τῇ μιᾷ χειρί, τῇ ἑτέρᾳ τὸν μαζὸν ἀνέφερε καὶ ἔλεγεν· Ὦ τέκνον, ταῦτα αἰδέσθητι καὶ ἐμὲ αὐτὴν ἐλέησον, ἐάν ποτέ σοι τὸν μασθὸν τοῦτον ἐπέδωκα ἐπιλανθάνεσθαι τῶν παιδικῶν θλίψεων ποιοῦντα, μνήσθητι νῦν τῆς ἀνατροφῆς ἐκείνης καὶ χάρισαί μοι τὸ φείδεσθαι σεαυτοῦ.

Ἐκ τοῦ εἰς τὸν Κυπριανὸν λόγου.

Οὐ κότινος ὀλυμπιακὸς οὔτε μῆλα δελφικὰ παλ**29**γνια οὔτε ἰσθμιακὴ πίτυς*. Οἱ παλαιοὶ τοῖς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Sajdak, Historia Critica Scholiastarum et commentatorum Gregorii Nazianzeni, Pars I. Gracoviae, 1914, σελ. 27-30 καὶ 298-301

α, Ἰλιαδ Χ 79 ἑξ.

** Ὁ κότινος στέφανός ἐστιν ἀπὸ ἀγριελαίας τιθέμενος ἐν τοῖς Ὀλυμπίοις, ἅπερ . αὐτῷ Διὶ ἦγον οἱ Πεισαῖοι ἐν τῇ Ἠλιακῇ μοίρᾳ· τὰ δὲ μῆλα ἐν τοῖς Πυθείοις ἐδίδοτο, ἅπερ οἱ Δελφοὶ τῷ Ἀπόλλωνι ἦγον· ἡ δὲ πίτυς ἐν τοῖς Ἰσθμίοις γέρασιν, ἅπερ Ἴσθμια τῷ Ποσειδῶνι ἦγον οἱ Κορίνθιοι ἐν τῷ Ἰσθμῷ τῆς Κορίνθου, ὕστερον δὲ καὶ σέλινα ἐδίδοτο ἐν αὐτῷ· [τὰ δὲ σέλινα ἐν τοῖς Νεμείοις] ἃ οἱ Νέμειοι ἦγον, ἢ Νεμεάται, τῷ Ἡρακλεῖ ἐν τῇ Νεμέᾳ

τεθνεῶσι θυσίας ἐτέλουν, ἃς ὠνόμαζον ἀπαρχάς. Ἐτελοῦντο δὲ ἐπ' αὐτοῖς καὶ ἀγῶνες διάφοροι καὶ τῷ νικήσαντι ἐν μὲν Ὀλυμπίᾳ τόπῳ τῆς Ἀρκαδίας κότινος ἢ στέφανος ἐδίδοτο γέρας καὶ ἔπαθλον· θαλὸς δὲ ἦν οὗτος ἐλαίας. Ἐν δὲ Δελφοῖς μῆλα, ἃ καὶ παίγνια ὁ θεολόγος ὀνομάζει διὰ τὸ παιδαριῶδες τοῦ ἐπάθλου καὶ καταγέλαστον· ἐν δὲ τῷ Ἰσθμῷ τῆς Κορίνθου πίτυος κλάδος· ἐν δὲ Νεμέᾳ σέλινα. Διὰ τοσούτων ἐπάθλων ἀγωνιζόμενοι ἔφηβοι ἐτιμῶντο, οἵτινες δυστυχεῖς ὄντες ἦσαν καὶ ἄθλιοι μεγάλων πόνων μικρὰ γέρα λαμβανόντων, οὐ μόνον δὲ ἐν τοῖς ἄλλοις, ἀλλὰ καὶ ἐν ταῖς μάστιξι καὶ ἐν ταῖς πληγαῖς διεκαρτέρουν ἐπίδειξιν δῆθεν ἀνδρείας καὶ τὰς δυστυχίας ποιούμενοι, ἵνα στέφανον φθαρτὸν λάβωσιν ἢ μῆλα ἢ πίτυν ἢ σέλινα[2]. Σοὶ δέ, ὦ Κυπριανέ, — φησὶ — θυσίαι καὶ ὑπὲρ τῶν λόγων σου καὶ ὑπὲρ τῆς ἀθλήσεως οὐ τοιαῦται παρ' ἐμοῦ προσάγονται, ἀλλὰ λόγος ἐγκωμιαστικός, κατάλληλον γέρας τοῖς τὸν Λόγον τιμῶσι εἴτε τὸν μονογενῆ καὶ ἐνυπόστατον, εἴτε τὸν τῆς σοφίας καὶ τῆς λογικῆς παιδεύσεως. Εἰ δὲ τὸ δῶρον τοῦτο ἄξιον φανεῖται καὶ τῶν λόγων σου καὶ τῶν ἄθλων, χάρις τῷ μονογενεῖ Λόγῳ τοῦ Θεοῦ· αὐτοῦ γάρ ἐστι δῶρον τὸ ἐμὲ δυνηθῆναι εἰπεῖν τι τῆς σῆς ἀρετῆς ἐπάξιον.

τῆς Ἀργολικῆς μοίρας, ἔστιν οὖν ταῦτα· κότινος, μῆλα, πιτυς, σέλινα Φέρεται δὲ περὶ τῶν ἀγώνων στιχολογεῖα τοιαῦτα·

τέσσαρές εἰσιν ἀγῶνες ἀν' Ἑλλάδα, τέσσαρες ἱροί,
οἱ δύο μὲν θνητῶν, οἱ δύο δ' ἀθανάτων·
Ζηνός, Λητοΐδαο Λητοΐδαο, Παλαίμονος, Ἀρχαιμόροιο·
ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

ΝΟΝΝΟΥ ΕΤΕΡΑ ΕΞΗΓΗΣΙΣ ΤΩΝ ΙΣΤΟΡΙΩΝ,

ΩΝ ΕΜΝΗΣΘΗ Ο ΘΕΟΛΟΓΟΣ ΓΡΗΓΟΡΙΟΣ ΕΝ ΤΩ ΕΙΣ ΤΑ ΑΓΙΑ ΦΩΤΑ ΛΟΓΩ

298 Ἕλληνας διασύρων καὶ διακωμῳδῶν ὁ θεολόγος Γρηγόριος περὶ τῶν σεβασμάτων αὐτῶν ἔφησεν ἐν τῷ εἰς τὰ φῶτα αὐτοῦ λόγῳ Κελεοὺς καὶ Τριπτολέμους δράκοντας καὶ τὰ μὲν εὖ ποιοῦντας, τὰ δὲ εὖ πάσχοντας. Οὗτος ὁ Κελεὸς τὴν Δήμητρα ἐν Ἐλευσίνῃ [τὴν Δήμητρα] ἐδεξιώσατο περιπλανωμένην ἐπὶ τῇ ἀναζητήσει τῆς θυγατρὸς αὐτῆς Περσεφόνης ἁρπασθείσης ὑπὸ Πλούτωνος, τοῦ βασιλέως τῶν καταχθονίων· δεξιωσάμενος δὲ αὐτὴν καὶ εὐχαριστηθεὶς παρ' αὐτῆς λαμβάνει δωρεὰν τοὺς σπόρους τῆς γῆς, σῖτον, κριθὴν καὶ ὄσπρια καὶ κελεύεται διατρέχειν τὴν γῆν ὁ τούτου υἱὸς Τριπτόλεμος ἐπὶ ἅρματος δρακόντων καὶ σπείρειν τοὺς σπόρους τούτους. Εὖ ποιοῦντας οὖν λέγει, ἐπειδὴ ἐδεξιώσαντο τὴν Δήμητραν· εὖ πάσχοντας δέ, ὅτι ἠμείψατο αὐτοὺς κἀκείνη. Ταῦτα δὲ μῦθοι καὶ πλάναι.

299 Ἐλευσὶς καὶ ἡ σιωπὴ αὐτοῦ. Ἐλευσὶς πόλις ἐστὶ τῆς Ἀττικῆς παραλίας, ἐν ᾗ τὰ μυστήρια τῆς Δήμητρας ἐπετελεῖτο μετὰ πολλῆς σιωπῆς, καλάθου τινὸς καταφερομένου καὶ πομπεύοντος, εἰς ὃν κάλαθον νέους ἐντιθέντες καρποὺς καὶ ἄλλα τινὰ ἀπόρρητα ποιοῦντες ἀποκαθίστων καὶ ἐκεῖ ἐμυοῦντο τελετάς τινας ἀπορρήτους, μᾶλλον δὲ ἀπηγορευμένας.

Κουρῆτες καὶ Κορύβαντες. Δαίμονές τινες περὶ τὴν Ῥέαν οἱ Κουρῆτες, οἳ καὶ Ἰδαῖοι καλοῦνται καὶ δάκτυλοι δεξιοὶ καὶ εὐώνυμοι δὲ κακοὶ δέκα. Ἰδαῖοι δέ, ἐπειδὴ εἰς τὸ Ἰδαῖον ὄρος ἐτιμᾶτο ἡ Ῥέα· δάκτυλοι δὲ οἷον ἐνεργίαι τινές· ὡς ἐκ τῆς ἐργασίας τῶν ἐντολῶν.

Φρυγῶν ἐκτομαί. Ἄττυς ὁ Φρὺξ πρῶτος ἱερατεύων τῇ Ῥέᾳ καὶ αἰσθόμενος αὐτῆς ἐρώσης αὐτοῦ ἐξέτεμεν τὰ αἰδοῖα. Ἡ δὲ καὶ οὕτως ἔμεινεν αὐτόν τε τιμῶσα καὶ τὰ ἐκτετμημένα καὶ ἐκ τούτου οἱ ἄλλοι Φρύγες ἐκτέμνονται.

Οὐδὲ Διόνυσος καὶ μηρὸς ὠδίνων ἀτελὲς κύημα, ὥσπερ ἄλλο κεφαλὴ πρότερον. Τὸν Διόνυσον ἐκ τοῦ μηροῦ τοῦ Διός φασι γεννηθῆναι καὶ τὴν Ἀθηνᾶν ἐκ τῆς κεφαλῆς τοῦ αὐτοῦ Διός· τὸν γὰρ Δία ποθήσαντα τὴν Σεμέλην ἀπαιτηθῆναι παρ' αὐτοῦ μετὰ τῆς δαιμονιώδους αὐτοῦ φαντασίας συγγενέσθαι αὐτῇ· ἡ δὲ μὴ ὑπομείνασα καταφλεχθῆναι. Τὸν δὲ αἰσχρὸν Δία φασὶν ἐλεήσαντα αὐτὴν ἀτελὲς τὸ κύημα τὸν Διόνυσον λαβεῖν εἰς τὸν μηρὸν αὐτοῦ καὶ τελεσφορῆσαι αὐτὸν ἐν αὐτῷ.

Θεὸς ἀνδρόγυνος καὶ χορὸς μεθυόντων, οὐδὲ Φαλλοὶ καὶ Ἰθύφαλλοι. Ὁ Διόνυσος τρυφερὸς ἦν καὶ γυναικεία μᾶλλον ἐσθῆτι χρώμενος, καὶ οἱ χορεύοντες αὐτῷ οἴνου πολλοῦ μετελάμβανον, ἐπειδὴ αὐτοῦ εὕρημα ἡ ἄμπελος εἶναι ἐδόκει. Τοῦ αὐτοῦ δὲ ψευδωνύμου θεοῦ καὶ οἱ Φαλλοὶ ἦσαν αἰδοίων σχήματα, ἐπειδὴ ὅτε διεσπάσθη τὸ αἰδοῖον αὐτοῦ, ἐξερρίφη ἰδίᾳ μόνον καὶ ἀντὶ τούτου ἐκτυπώματα ἐποίουν. Ἰθύφαλλοι δὲ τῶν αἰδοίων τὰ μᾶλλον ἐντεταμένα. Φαλλοὶ δὲ γλώσσημά τι καὶ ὅθεν φαελαρόν, συριστὶ ἤγουν

300 Οὐ Μίθρου κόλασις ἔνδικος, οὐδὲ Ὀσίριδος σπαραγμοί, οὐδὲ Ἴσιδος ἀτυχήματα. Μῖθρος παρὰ Πέρσαις λέγεται ὁ Διόνυσος, παρ' Αἰγυπτίοις Ὄσιρις, παρὰ Σύροις καὶ Φοινιξὶν Ἄδωνις· ὁ αὐτὸς δέ ἐστιν Μῖθρος τῷ Διονύσῳ· διεσπάσθη δὲ ὑπὸ Τυφῶνος καὶ τῶν Τιτάνων, δυνάμεων πονηρῶν ἀντικειμένων τῷ Διονύσῳ. Ὄσιρις γὰρ Αἰγύπτου παλαιότατος βασιλεύς, ἰσοθέους παρ' αὐτοῖς εἶχεν τιμὰς εὑρετὴς γενόμενος κριθῶν, σίτου, οἴνου, ἐλαίου καὶ ἄλλων χρειωδῶν πολλῶν πρὸς τὸν βίον. Τοῦτον δὲ Τυφὼν ὁ αὐτοῦ ἀδελφὸς ἐπιθέμενος μετὰ ἄλλων ἀπέκτεινεν καὶ διέστασεν πάντα τὰ μέλη αὐτοῦ καὶ ἔκρυψεν πολλαχοῦ, τὸ δὲ αἰδοῖον ἔρριψεν εἰς τὸν Νεῖλον τὸν ποταμόν. Καὶ γίνονται τελεταὶ αὐτῷ νυκτεριναὶ κατὰ τριετηρίδα. Ἶσις δέ, ἡ τούτου γυνὴ καὶ ἀδελφή, ἔφυγεν μὲν πρῶτον εἰς Φοινίκην ἔχουσα τὸν υἱὸν Ὦρον· ἐζήτει γὰρ ἀποκτεῖναι αὐτὸν Τυφών. Ὡς δὲ ἠνδρώθη ὁ Ὦρος, κατέβησαν εἰς Φοινίκην καὶ συνήχθη τὰ Ὀσίριδος μέλη πολλῷ πόνῳ καὶ ἀνηψήθη καὶ οὕτω γέγονεν διμήτωρ. Τοῦτον οἱ Ἕλληνες Διόνυσον λέγουσιν, τὴν δὲ Ἶσιν Δήμητραν. Ἢ πάλιν λέγουσιν ἀνεψηθέντα τὰ μέλη εἰς μηροῦ σχῆμα ἀποτελεσθῆναι καὶ ἔκτοτε σέβεσθαι τοὺς Αἰγυπτίους εἴδωλον μηρός.

Καὶ Ἄπιδος μὲν φάτνη. Τὸν Ἆπιν καὶ Μνεῦιν, ταύρους ὄντας, Αἰγύπτιοι νομίζουσιν μεγίστους θεοὺς προσφέροντες εἰς τιμὴν τοῦ Ὀσίριδος. Τὸν Ἆπιν λευκὸν ἐν Μέμφει καὶ τὸν Μνεῦιν μέλανα ἐν Ἡλιουπόλει. Πρῶτος γὰρ Ὄσιρις δύο βοῦς ἔζευξεν εἰς ἄροτρον. Λέγεται δὲ ὁ μᾶλλον τιμώμενος τῶν ταύρων ὁ Ἆπις, ὅτι ἤπιος ἦν καὶ πρᾶος Ὄσιρις. Καὶ τρέφεται ὁ βοῦς οὗτος ἐπιμελῶς ἐν φάτνῃ κεχρυσωμένῃ.

Οὐδὲ Ταύρων ξενοκτονία. Ἐν Ταύροις ἔθνει τῆς Σκυθίας, Ἀρτέμιδος ὀρσιλόχης ὑπῆρχεν βωμός, ἐν ᾧ καὶ Ἰφιγένεια ἱεράτευσεν, ἡ Ἀγαμέμνονος θυγάτηρ, καὶ τοὺς ἐρχομένους ἐκεῖ ξένους Ἕλληνας ἐσφαγίαζον. Ὀρσιλόχη δὲ λέγεται, ἐπειδὴ παρθένος καὶ ἐμίσει τὰς λοχάς· ὀρσιλόχη δὲ ἑρμηνεύεται ἡ ὁρμῶσα κατὰ τῶν λοχῶν, αἵτινες εἰσὶν αἱ νεωστὶ γεννῶσαι, ὅθεν αἱ μητέρες πάσχοντά τι τοῦ νηπίου ἔλεγον· ἡ Λοχεία αὐτὸ τὸ δαιμόνιον ἔκρουσεν

301 Καὶ Λακωνικῶν ἐφήβων ἐπιβώμιον αἱ-

μα μαινομένων (sic) ταῖς μάστιξιν. Ὅτι καὶ παρὰ Λακεδαιμονίοις τὸ παλαιὸν ἐγίνετο θυσία ἐφήβων εἰς τὸν βωμὸν τῆς ἐκ Ταύρων ἡκούσης Ἀρτέμιδος. Εἶτα χρόνου προϊόντος ἐσοφίσαντο τὴν θυσίαν, οὐκέτι θύοντες ἑαυτούς, ἀλλὰ τῷ ἱκανῷ ποιοῦντες τῷ βωμῷ διὰ τοῦ μαστίζειν τοὺς ἐφήβους καὶ ἐπιχέειν ἐκ τῶν μαστίγων αἷμα πολὺ τῷ βωμῷ.

Καὶ ἡ Δωδωναία δρῦς. Δένδρον ἦν δρῦς καὶ ναὸς Διὸς τοῦ Ναΐου παρ' αὐτῇ. Πελιάδες δέ, ὅ ἐστι περιστεραί, παραμένουσαι τῷ δένδρῳ προεφήτευον τοῖς αἰτοῦσι τὰ μέλλοντα. Ἦσαν δὲ γρᾶες βαρβαρικόν τι φθεγγόμεναι καὶ οἷον φωνῇ ὀρνέων· διὸ καὶ περιστερὰς αὐτὰς ἐκάλουν. Ναΐος δὲ Ζεὺς λέγεται, ἐπειδὴ ἐν Ναῷ τῷ ὄρει ἐτιμᾶτο· ναὸς δὲ λέγεται ἢ ἐκ τοῦ ἐπινεύειν τὸν θεὸν ταῖς ἱκεσίαις τῶν ἐν αὐτῷ δεομένων ἢ ἐκ τοῦ ἐν αὐτῷ νάειν τὸν θεόν, ὅ ἐστιν οἰκεῖν. Εἰσὶν δὲ εἴδη περιστερῶν· φάβοψ , ὗνις ὡς ἐκ τῆς ὕνεως, πελιὰ ἡ πεδινὴ φύσει καὶ ἡ περιστερά.

Οὐ Θρᾳκῶν ὄργια, παρ' ὧν καὶ τὸ θρησκεύειν ὡς λόγος. Θρᾷκες διαφόρους καὶ βαρβαρικὰς τελετὰς θεῶν ἐπετέλουν, οἷον ἃς παρὰ Ὀρφέως ἔμαθον καὶ τὸ θρησκεύειν ἐτυμολογοῦσιν ἐκ τούτων, ὅτι Θρᾷκες πρῶτοι τελετὰς θεῶν ἐπιμελῶς ἐξήσκησαν· οἱ δὲ τὸ θρησκεύειν ἐτυμολογοῦσιν ἀπὸ τοῦ θεῷ ἀρεσκεύειν.

Καὶ τὰ ἐπὶ γῆς Τροφωνίου παίγνια. Τροφώνιος Ἀπόλλωνος ἦν υἱὸς καὶ ἀποθανόντα ἐτίμησεν ὁ πατὴρ καὶ ἔχει μαντεῖον Λεβαδίᾳ, ἐν ᾧ οἱ εἰσιόντες ῥίπτουσιν μάζας μελιτηρὰς τοῖς ὄφεσι τοῖς αὐτόθι καὶ καθευδήσαντες ἐν τῷ ἄντρῳ ἀκούουσι φωνῆς, καὶ ἐξελθόντες διαμένουσι πάντα τὸν βίον ὠχροί.

Ταῦτα εἶπεν παίγνια ὁ ἅγιος Γρηγόριος. Λογολεσχίαι καὶ ληρήματα ἔμπρακτα, ἀπατηλαὶ δαιμόνων.

ΑΛΕΞΑΝΔΡΙΝΑ *

Ι. ΦΙΛΟΣΟΦΙΑ

Λόγ. 21 κ. 5

612 Ἑλλήνων οἱ θεολογικώτεροι καὶ μᾶλλον ἡμῖν προσεγγίσαντες ἐφαντάσθησαν μέν, ὡς ἐμοὶ δοκεῖ, περὶ δὲ κλῆσιν διηνέχθησαν, νοῦν τοῦ παντὸς καὶ τὸν θύραθεν νοῦν καὶ τὰ τοιαῦτα προσαγορεύσαντες. Ἔοικεν δὲ Ἀναξαγόραν αἰνίττεσθαι· οὗτος γὰρ πρῶτος οἷον νήφων **613** ἐφάνη παρ' εἰκῇ λέγοντας τοὺς ἄλλους νοῦν ἐνεῖναι εἰπὼν τὸν αἴτιον τῆς τάξεως καὶ τοῦ κόσμου καὶ Ἑρμότιμος ὁ Κλαζομένιος. Καὶ Ἀριστοτέλης νοῦν ἔφησέ που θύραθεν ἐπεισιέναι καὶ θεῖον εἶναι μόνον, ἀλλὰ τὸν ἐν ψυχῇ τοῦτον τῶν λογικῶν εἴρηκεν οὐσιῶν.

Λόγ. 29 κ. 8. Πῶς οὖν γεγέννηται (ὁ Χριστός); οὐκ ἂν ἦν μεγάλη ἡ γέννησις, εἰ σοὶ κατελαμβάνετο, ὃς οὐδὲ τὴν ἰδίαν ἐπίστῃ γέννησιν... Πολλὰ ἂν κάμοις πρότερον ἢ εὕροις λόγους συμπήξεως, μορφώσεως, φανερώσεως, ψυχῆς πρὸς σῶμα δεσμόν, νοῦ πρὸς ψυχήν, λόγου πρὸς νοῦν, κίνησιν, αὔξησιν, τροφῆς ἐξομοίωσιν, αἴσθησιν, μνήμην, ἀνάμνησιν, τἄλλα ἐξ ὧν συνέστηκας.

Εἰσὶ γάρ τινες (οὐκ ἄκαιρον γὰρ ἴσως τὰ κατὰ δύναμιν κἂν τούτοις ἐρεῖν), εἰσὶ λόγοι δημιουργικοὶ σχεδὸν ἄρρητοι, καθ' οὓς πρότερον πήγνυται τὸ ὑγρὸν τῆς ἡμετέρας ἀρχῆς καὶ συστάσεως, ὑπὸ τοῦ δημιουργοῦ δηλαδὴ Θεοῦ τῇ φύσει δεδομένοι, οἵτινες τὸ σῶμα (πρόσθεν, ὡς αὐτὸς οὗτός φησι), ἀπὸ χθονὸς ἄμμι κερασθέν, ὕστερον ἀνδρομένη ῥύσις ἔπλετο· τὴν ῥύσιν ταύτην τοὺς σπερματικοὺς λόγους ἔχουσαν συμπηγνῦσι καὶ συνιστῶσιν ἀπὸ τῆς ὥσπερ γῆς τινος ὑποκειμένης μήτρας τὰς τῆς συμπήξεως ὕλας συνειληφότες καὶ τῷ ἐν αὐτοῖς τεχνίτῃ λόγῳ τὴν οἰκοδομίαν τοῦ ἰδίου ἀρχιτεκτονοῦσι ναοῦ ἐπαύξοντες καὶ διαμορφοῦντες καὶ εἰς τουτὶ τὸ σχῆμα καὶ εἶδος τῷ τεχνιτεύοντι τούτῳ λόγῳ τὸ φιλοτέχνημα διεξάγοντες ἐμφανίζουσι· τοῦτο γὰρ ἡ φανέρωσις. Τὸ σπέρμα οὖν ἔσωθεν ἐξέρχεται στιφρὸν καὶ λευκόν, περίττωμά τι ὂν καθαρώτατον μεταβαλλούσης τροφῆς ὑπὸ **614** τῆς ἐντὸς θερμότητος, πολὺ ἔχον ἐν ἑαυτῷ τὸ θερμόν, ἐπεὶ κοινόν ἐστιν ὕδατος καὶ πνεύματος εἴτουν ἀέρος θερμοῦ. Ὑγρὸν οὖν, ὡς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ E. Norden, Scholia in Gr. Nazianzeni, orationes inedita, ἐν Hermes Zeitschrift fur classische philologie Berlin 1892

εἴρηται, τοῦτο ὂν καὶ ἐκ τῆς τοῦ θήλεος ὑστέρας καλουμένης, συγκινη-
θείσης ὕλης καὶ συγκραθείσης τῷ σπέρματι, πήγνυται τῇ θέρμῃ λοι-
πόν· τοῖς γὰρ σωματώδεσιν ὑγροῖς ὑπερθερμανθεῖσι περιΐσταται
καθάπερ ἐν τοῖς ἑψήμασι τὸ πέριξ ξηρὸν καὶ τοῦ μὲν θήλεος τὸ σῶμα
καὶ τὸν ὄγκον συγχορηγοῦντος, ἐκ δὲ τοῦ ἄρρενος ἡ δημιουργὸς ψυχῆς
αἰτία καὶ ὁ λόγος ὁ τῷ σπέρματι συγκαταβληθεὶς εἰδοποιῶν καὶ οἱο-
νεὶ συγκολλῶν καὶ κατοικοδομῶν τελεσφορεῖ πως τὸ ἔμβρυον καὶ
συμπήγνυσι.

Λόγ. 31 κ. 16. Φάνητας.
Τοὺς δὲ Φάνητας πλὴν ὀλίγων οἶμαι πολλοὺς ἀγνοεῖν, ὅτι εἷς
μὲν οὗτος κἂν πληθυντικῶς λέλεκται, ὑπὸ δέ τινων ἐμυθολογήθη θεο-
λογούντων δῆθεν, ὡς ἐξ ὕδατος καὶ ἰλύος ἀναδοθέντος δράκοντος
προσπεφυκυῖαν ἔχοντος λέοντος κεφαλήν, διὰ μέσου δὲ αὐτῶν θεοῦ
πρόσωπον, ὃν Ἡρακλῆν φασι κἀκ τούτων ᾠὸν γεννηθῆναι, ὅπερ ἡ τοῦ
615 γεγεννηκότος ἐκ παρατριβῆς διελοῦσα, δύναμις, Φάνης ἡμῖν
οὗτος θεὸς ἐξ αὐτοῦ ἐφάνη, ὃς τὸ μὲν τοῦ κελύφους ὡς γῆν καταλι-
πών, τὸ δὲ ὑπὲρ κεφαλῆς αἰωρήσας τὸν οὐρανὸν ἀπετέλεσεν

Λόγ. 41 κ. 2. Τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ τῶν ἔργων, ὡς δηλοῖ
καὶ ἡ τοῦ σαββάτου προσηγορία, κατάπαυσιν ἑβραϊκῶς σημαίνουσα.
Εἰ δέ τις καὶ ὑψηλότερος περὶ ταῦτα λόγος, ἄλλοι φιλοσοφείτωσαν.
Ὡς δή τινων οὐκ ἀποδεχομένων ταῦτα, ἀλλ' ἕτερα δῆθεν ὑψηλό-
τερα ἐκδεδωκότων [ἢ] τῶν μελλόντων περὶ τῆς ἑβδομάδος ἐκτίθεσθαι
ἐπισημειοῦται ὁ διδάσκαλος ὅμως τὸ σχῆμα τοῦ τοιούτου λόγου καὶ
ἐπὶ τῶν μὴ ἐνδεχομένων ἄλλως λεχθῆναι παραλαμβάνεται. Φασὶ γάρ
τινες θείαν εἶναι τὴν ἑπτάδα, ὅτι καὶ ἀμήτωρ εἴτουν ἀγέννητος καὶ
παρθένος καὶ τῇ μονάδι ἤτοι τῷ ἑνὶ θεῷ οἰκειοῦται τῷ ἀγεννήτῳ.
Διὸ καὶ ἑπτὰς τουτέστιν σεπτὰς ἀπὸ τοῦ σέβω καλεῖται.

Λόγ. 43 κ. 20. Τὸ πάντα ἐν πᾶσι κεῖσθαι μὴ
πειστέον τοῖς λέγουσιν.
Τινὲς ἐπὶ τῶν στοιχείων τοῦτο διὰ τὸ ἐν ἀλλήλοις πάντα κεῖσθαί
φασιν καὶ εὑρίσκεσθαι, ὅπερ ἀληθὲς ὂν οὐ πάνυ δοκεῖ μοι τῷ νῦν λόγῳ
οἰκείως ἔχειν. — Οὐ περὶ τῶν στοιχείων φησὶ γῆς, ὕδατος, ἀέρος, πυρός,
ἐν ἑκάστῳ γὰρ πάντως τὰ πάντα θεωρεῖται ἢ δυνάμει ἢ ἐνεργείᾳ,
ἀλλὰ περὶ τῶν λεγόντων, ὅτι καὶ ἐν θάμνῳ φοῖνιξ καὶ ἄνθρωπος, ἐν
γιγάρτῳ σταφυλῆς κάμηλος, ἐν κεγχραμίδι σύκου ἐλέφας καὶ τὰ
λοιπὰ τῶν ζῴων ἐν πόαις ἢ ἐν ἐλαίας πυρήνῃ, προσέτι τε καὶ τῶν βο-
τανῶν καὶ δένδρων ὑπαρχόντων ἑκάστων ἀλλήλοις.

Λόγ. 43 κ. 23.
616 Ὡς διαβεβλημένου μέμνηται τοῦ σοφιστικοῦ ὡς μηδὲν εἰς
ἀναγκαῖον συντείνοντος. Παιζόντων γὰρ ὡς ἀληθῶς καὶ οὐ σπουδα-
ζόντων τὸ τοιαῦτα σοφίζεσθαι, οἷον ὅτι τὰ λάχανα μεῖζον (sic) τῆς
γῆς ἐκ τοῦ ὑπερέχειν.

II. ΜΥΘΟΛΟΓΙΚΑ

Λόγ. 39 κ. 4. Οὐ Διὸς ταῦτα γοναὶ καὶ κλοπαί, τοῦ Κρητῶν τυράννου, κἂν Ἕλληνες ἀπαρέσκωνται

Κρητῶν δὲ τυράννου εἶπεν, ὅτι οἱ μὲν θεολόγοι τῶν Ἑλλήνων θεὸν λέγουσι γενέσθαι τὸν Κρόνον καὶ τὸν Δία, ἡ δὲ ἱστορία ἡ δημώδης, ἣν καὶ τίθεται ὁ θεῖος Γρηγόριος λέγων, ὅτι ὁ Ζεὺς οὗτος τύραννος ἦν Κρητῶν καὶ θέλοντες αὐτὸν θεραπεύειν οἱ ὑπήκοοι ἐμυθολόγουν, ὡς ἐκ Κρόνου θεοῦ καὶ Ῥέας ἔχει τὴν γένεσιν, ἐπεὶ ἄνθρωπος ἦν.

617 Λόγ. 43 κ 37 Καί τι σύντομον φθέγξομαι· νεκρὸς ἐντεθεὶς ὡς τάφῳ τινὶ τῷ φορείῳ (δηλ. ὁ Βασίλειος) νέος ἐπάνεισιν, εὐσθενής, ἄνω βλέπων... τοῦτο προσκείσθω τοῖς παλαιοῖς διηγήμασιν, ὅτι πονος ὑγείαν χαρίζεται καὶ προθυμία νεκροὺς ἀνίστησι καὶ πηδᾷ γῆρας χρισθὲν τῷ Πνεύματι

Τὸ «προθυμία νεκροὺς ἀνίστησι» ὑπερβολικῶς ἐκ τῆς δημώδους εἴληπται παροιμίας.

618 Λόγ. 39 κ 4 Φρυγῶν ἐκτομαί. (Ἐξηγεῖ ὁ Κοσμᾶς ὁ Ἱεροσολυμίτης): Ἄχρι δὲ τοῦ παρόντος τινὲς περὶ τὰ ὀρεινὰ τῆς Καρίας Ἕλληνες ἀλόγιστοι κατατέμνουσιν ἑαυτοὺς τῷ παλαιῷ ἔθει τούτῳ κρατούμενοι.

619 Λόγ. 39 κ. 5. Ἑκάτης.

Τὴν Ἑκάτην θεὸν ὀνομάζουσιν οἱ Ἕλληνες καὶ οἱ μὲν αὐτὴν λέγουσιν εἶναι τὴν Ἄρτεμιν, οἱ δὲ τὴν σελήνην, ἄλλοι δὲ ἰδικήν τινα θεὸν ἐν χάσμασιν ἐκτόποις φαινομένην τοῖς ἐπικαλουμένοις αὐτήν. Μάλιστα δὲ φαίνεται τοῖς καταρωμένοις, τὰ δὲ φάσματα αὐτῆς δρακοντοκέφαλοι ἄνθρωποι καὶ ὑπερμήκεις ἢ ὑπερμεγέθεις, ὥστε ἐκ μόνης τῆς θέας καταπλῆξαι καὶ δειματῶσαι τοὺς ὁρῶντας.

Λόγ. 39 κ. 42. Τί φήσω πρὸς τοὺς τὴν Ἀστάρτην προσκυνοῦντας ἢ τὸ Χαμὼς βδέλυγμα Σιδωνίων ἢ τοῦ ἄστρου τὸν τύπον;

Ἀστάρτη, ἣν καὶ Ἀσταρὼθ ὀνομάζουσι, τὴν παρ' Ἕλλησιν Ἀφροδίτην, ἧς Σολομὼν τέμενος ᾠκοδόμησε. Ἄστρου δὲ τύπον τῆς αὐτῆς φησιν Ἀφροδίτης λεγόμενον ἄστρον· εἰς γὰρ τύπον αὐτῆς φάσκουσιν εἶναι καὶ τοῦτο, ἄστρον τύπον ἑωσφόρου ἐν ἄκροις μετώποις τοῦ ἀγάλματος ἐκ λίθου διαφανοῦς καὶ ἐξαιρέτου κεχαραγμένον. — Ἀστάρτη ἐστὶν εἴδωλον παρὰ τὸ ἄστρον Ἀστράτη καὶ ἐν ὑπερβιβασμῷ Ἀστάρτη.

Λόγ. 43 κ. 21. Μίδας.

Ἄλλοι δ' ἱστοροῦσιν, ὅτι ζήσας ἐν βίῳ χρησμὸν λαβών, ἅρματι διελάσαι καὶ οὗ ἂν κατασχεθῇ πόλιν δομήσασθαι, καθ' ὃν **620** οὖν

τόπον ἄγκυρα, ἤγουν σιδήριον πλοίου ποταμίου ἐπέσχε τὸ ἅρμα, οἰκοδομεῖ πόλιν, ἥ ἐστι τῶν Γαλατῶν Ἄγκυρα. Ἄλλοι δέ, γράφουσί τινες, οὐχὶ θανεῖν ἐκεῖνον, | ἅρμα δ' ἐλάσαντα χρησμοῖς ἀγκύρᾳ κρατηθῆναι, | καὶ κτίσαι πόλιν Ἄγκυραν Γαλατικὴν πρὸς Ἄλυν· οὕτω φυγεῖν τε τὴν λιμὸν καὶ τὸν ἐκ ταύτης μόρον.

III. ΣΧΟΛΙΑ ΦΙΛΟΛΟΓΙΚΑ

Λόγ. 43 κ. 22. Τίς δὲ γραμματικὴν τοσοῦτος, ἢ γλῶσσαν ἐξελληνίζει καὶ ἱστορίαν συνάγει καὶ μέτροις ἐπιστατεῖ καὶ νομοθετεῖ ποιήμασιν;

Τῆς γραμματικῆς ἴδιον καὶ τοῦτο, ὅ ἐστιν οὐ μόνον τὸ πᾶσαν ἱστορίαν μυθικὴν ἐπιστημόνως ἀποδιδόναι καὶ συνάγειν, ἀλλὰ καὶ τὰς καθ' ἱστορίαν ἀποδιδομένας τῶν λέξεων μὴ ἀγνοεῖν, ἐπειδὴ οὐ πασῶν διὰ τῆς ἀναλογίας τὴν γνῶσιν ἔχομεν, ἀλλ' ἔστιν, ἃ καὶ ἀπὸ
621 μόνης τῆς χρήσεως ἱστοροῦμεν. Γραμματικὴ ἐπισταμένη καὶ γινώσκουσα καὶ οἷον δεσποτικῶς ἐπιστατοῦσα διατάσσεται ἐκτάσεις τε καὶ συστολὰς καὶ χώρας ἑκάστου ποδὸς ὡς ἐπὶ παρατάξεως ἀποδιδοῦσα κατὰ τὰς διαφόρους τῶν ποιημάτων λογομετρίας καὶ πάσης στιχῶν τομῆς καὶ συνθήκης καὶ τῆς λοιπῆς ῥυθμῶν φροντίζουσα τεχνολογίας καὶ παρατηρήσεως.

Λόγ. 42 κ. 7. Πῆξον, τῶν αὐλαιῶν μὴ φείσῃ[1].

Αὐλαῖαι δὲ τὰ παραπετάσματα λέγονται τῆς σκηνῆς. Δεῖ οὖν τῶν αὐλαιῶν περισπωμένως ἐκφέρειν, πολὺ γὰρ τοῦτο καὶ παρὰ τοῖς θύραθεν, οὐχ ἥκιστα δὲ καὶ παρὰ τῇ θείᾳ Γραφῇ εὑρήσεις . ἡ δὲ βαρύτονος καὶ πολλὴ φερομένη τάσις ἔχει μέν τινα λόγον ἀπὸ τῆς Ὁμηρικῆς χρήσεως τῆς, αὖλιν ἔθετο[a], ἀλλ' οὐκ ἐπὶ τῆς τοιαύτης εὑρίσκεται σημασίας ἐκείνη· τὸν γὰρ αὐλισμὸν τῶν Τρώων, ἀλλ' οὐχ ἁπλῶς σκηνὴν ἤ τι τῶν ταύτης ὑποσημαίνει μερῶν

Λόγ. 43 κ. 35. Ταῦτα γὰρ Μωϋσέως ἦν καὶ Ἠλίου.

Ἔδει βαρυτόνως ἐκφέρεσθαι οὕτως. Ἠλίου, ὡς κοχλίου, ἀλλ' ἐπεκράτησεν περισπᾶσθαι κατὰ τὴν γενικήν· εἰ δὲ κατὰ τὴν εὐθεῖαν οὕτως ἀναγνῷς ὁ Ἠλιὰς λέγων, ὡς βάρβαρον, εἰ μονόπτωτον βαρυνθήσεται.

Λόγ. 43 κ. 52. Εἶεν. Ἃ δὲ αὐτῷ διείλεκται τῷ βασιλεῖ..., τί χρὴ καὶ λέγειν;

Εἶεν ταῦτα μὲν οὕτως. Ἡ ἐκ τῆς προσῳδίας καὶ τοῦ πνεύματος καὶ κατὰ τῆς σημασίας ἐστὶ φανερά, τοῦ γὰρ πρώτου ει ψιλουμένου

---

1 Ἠσ Ν. 54,2.
α. Ἰλιάδ Ι' 232.

καὶ περισπωμένου, τοῦ δευτέρου δασυνομένου· οὕτως γὰρ οἱ τεχνικοὶ προάγουσι καὶ τὰ ἀκριβῆ δείκνυσι τῶν ἀντιγράφων. Παρατηρητέον δέ,
622 ὡς ἐπίρρημα ὂν συντακτικὸν καὶ περιοριστικόν, οὐκ ἐπὶ ἀναπαύσει τελείου λόγου, ἀλλ' ὅταν ὁ δὲ σύνδεσμος καὶ ἕτερόν τι ἐπιφέρων ἐπιλέγεται. Ἐν ἀρχῇ δὲ λόγου εὑρισκόμενον ἀντὶ παρακελεύσεως εἴληπται. Ὁμοίως τὸ ἄγε. Ἴσως ἀπὸ τοῦ εἶα κατὰ τρόπον τοῦ α εἰς ε ὡς ἕνεκα ἕνεκεν. Εἶεν· ὑπάρχοιεν. Ἦσαν. Ἢ ἄγε δή· καὶ ταῦτα μὲν οὕτως. Εἶεν ἄγε δή, συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. Γίνεται δὲ ἀπὸ τοῦ εἶα τοῦ παρακειμένου ἐπίρρημα εἶεν ἀντὶ τοῦ ταῦτα μὲν δὴ οὕτως. Ἔστι γὰρ ἐπίρρημα ἀφοριστικόν, ἐπὶ γὰρ τοῖς ἤδη εἰρημένοις ἐπιλεγόμενον ἀφορίζει αὐτά. Ἐπεὶ οὐδὲν ἐκώλυε, τοῖς σεσημειωμένοις ὅμοια αὐτὰ (δηλ. διότι καὶ καθότι) καθίστασθαι τῷ εὐοῖ, εἶἕν καὶ ἔτι τῷ παρ' Ἀττικοῖς ταῶς. Εἶἕν· ἄγε δή, συγκατάθεσις μὲν τῶν εἰρημένων, συναφὴ δὲ πρὸς τὰ μέλλοντα. Δασύνεται δὲ καὶ τὸ ἕν, εἶἕν εἰσὸ (τοῦτο προσθέτει)· ὅτι μὲν οὖν καὶ ἄλλα ἐσημειοῦτο ἕνεκα τοῦ ἐπὶ τέλους πνεύματος, εἴρηται καὶ ἐν τῷ περὶ δασείας καὶ ψιλῆς.

Λόγ. 38 κ. 12 Ἐπεὶ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς 623 ἐπηρείᾳ, ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα καὶ ἣν προσήγαγεν ὡς πιθανωτέρα (φεῦ τῆς ἐμῆς ἀσθενείας ἐμὴ γὰρ ἡ τοῦ προπάτορος), τῆς μὲν ἐντολῆς ἐπελάθετο τῆς δοθείσης καὶ ἡττήθη τῆς πικρᾶς γεύσεως, ὁμοῦ δὲ τοῦ τῆς ζωῆς ξύλου. διὰ τὴν κακίαν ἐξόριστος γίνεται .., καὶ τοῦτο πρῶτον γινώσκει τὴν ἰδίαν αἰσχύνην καὶ ἀπὸ Θεοῦ κρύπτεται· (ἡ ἀπόδοσις ἄρχεται) κερδαίνει μέν τι κἀνταῦθα κτλ.

Εἰς τὸ ἐπηρείᾳ διαστολὴ διὰ τὸ ἐπιφερόμενον ὑποτακτικὸν ἄρθρον, καὶ εἰς τὸ ἁπαλωτερα ὁμοίως, εἰς δὲ τὸ πιθανωτέρα ἡ ἀνυπόκριτος· τὸ δὲ μεταξὺ ἀναφωνούμενον εἰς τὸ προπάτορος οὐχὶ τελείαν, τὴν δὲ ἀνυπόκριτον ἕξει, καὶ τὰ λοιπὰ οὕτως μέχρι τοῦ κρύπτεται, ἐνταῦθα δὲ τὴν ἀνυπόκριτον διὰ τὴν ἀπόδοσιν. Ἀλλ' ἐπὶ τῶν ἀνταποδοτικῶν ὀρθῶν περιόδων τῶν διὰ μακροῦ ἀποδιδομένων τὰ μεταξὺ ἐπεμβαλλόμενα καὶ ἀναφωνούμενα μέχρι μὲν δυοῖν ἢ καὶ τριῶν κώλων τὴν ἀνυπόκριτον ἔχει, μετὰ δὲ ταῦτα τῷ λόγῳ τῶν αἰτημάτων, οἱ τεχνικοί φασι, πρὸς τὰ ἐπιφερόμενα στίζονται τὴν ὑπόκρισιν ἀμαυροῦντα. Διὸ εἰς μὲν τὸ πιθανωτέρα ἡ ἀνυπόκριτος, εἰς δὲ τὸ προπάτορος τελεία, καὶ τὰ λοιπὰ πρὸς τὰ ἐπιφερόμενα. Τὸ δὲ κρύπτεται καὶ αὐτὸ τὴν ἀνυπόκριτον ἔχει τὴν ὑπόκρισιν ἀποτελέσαν. Ἐπεὶ δὲ φθόνῳ διαβόλου καὶ γυναικὸς ἐπηρείᾳ, ἥν τε ἔπαθεν ὡς ἁπαλωτέρα καὶ ἣν προσήγαγεν ὡς πιθανωτέρα — φεῦ τῆς ἐμῆς ἀσθενείας, ἐμὴ γὰρ ἡ τοῦ προπάτορος. Τῆς μὲν ἐντολῆς ἐπελάθετο.......... καὶ ἀπὸ Θεοῦ κρύπτεται — κερδαίνει κτλ.

624 Λόγ. 43 κ. 14. Ποθῶ μὲν γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος καὶ τοῦ καιροῦ τούτου λαβόμενος, καὶ τῶν κατ' ἐμαυτόν τι προσθεῖναι τοῖς εἰρημένοις ... — φιλεῖ γὰρ οὔτε ὄψις ῥᾳδίως ἀναχωρεῖν τῶν τερπνῶν θεαμάτων... οὔτε λόγος τῶν ἡδίστων διηγημάτων· — δέδοικα δὲ τὸ φορτικὸν τῆς ἐγχειρήσεως.

Τοῦ μὲν ἡ ἀπόδοσις 'δέδοικα δέ', ἀλλ' οὐχ ὑποστικτέον πρὸ τοῦ δέ, ἄτεχνον γάρ, ἀλλὰ τὴν ἄνω θετέον πρώτην, ἄνω μὲν κατὰ τὸ ἄκρον τοῦ ν καὶ τῆς στιγμῆς τιθεμένης καὶ τῆς φωνῆς ῥιπτουμένης, αὐτίκα μέντοι τοῦ ἑξῆς συναπτομένου μικρᾶς τινος ἀνακωχῆς, ἀλλ' οὐκ ἐπὶ πολὺ διὰ τὸ ἐκκρεμὲς τῆς διανοίας τῆς ἠρεμίου γινομένης. Τὰ δὲ διὰ μέσου τὴν ἀνυπόκριτον ἕξει.

Λόγ. 43 κ. 16. Ἡ πομπὴ δέ· διατάξαντες ἑαυτοὺς στοιχηδὸν .... οἱ τελοῦντες τῷ νέῳ τὴν πρόοδον ἐπὶ τὸν λουτρὸν προπέμπουσιν.

Ἡ πομπὴ δέ· λείπει τὸ 'ἐστὶν αὕτη' Τὰ ἐλλιπῆ τῶν κώλων ἢ τῶν κομμάτων τῶν τελείων στίζονται ταῖς στιγμαῖς, ὡς τὸ 'ἀλλ' εἰ μὲν δώσουσι γέρας'[α]. Ὁμηρικόν. Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοί, | ἄρσαντες κατὰ θυμόν, ὅπως ἀντάξιον ἔσται· | εἰ δέ κε μὴ δώωσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι | ἢ τεὸν ἢ Αἴαντος ἰὼν **625** γέρας ἢ Ὀδυσῆος.

Λόγ 43 κ. 13. Ἄλλαι μὲν γὰρ τῶν πόλεων ἄλλοις ἀγάλλονται καλλωπίσμασι..., τῇ δὲ λόγοι τὸ γνώρισμα, ὥσπερ ἐν τοῖς ὅπλοις • ἢ τοῖς δράμασι τὰ ἐπίσημα.

Δράματά φασι τῶν ποιητικῶν, ὅσα μὴ ἐκ προσώπου τῶν ποιητῶν, ἀλλ' ἐκ διαφόρων ἀπαγγέλλεται προσώπων, οἷα τὰ τῶν κωμικῶν μὲν καὶ τραγικῶν ἅπαντα, ἔνια δὲ καὶ τῆς ἄλλης ποιήσεως. Ἐν οὖν τοῖς εἰσαγομένοις ἐν τοῖς δράμασι τούτοις προσώποις ὑπὸ τῶν ποιητῶν, οἷον ὡς βασιλέως τινὸς λέγοντος ἢ ἰδιώτου ἢ ἀνδρὸς ἢ γυναικὸς ἢ παιδίου, ἐπίσημά τινα τῷ μὴ βασιλικῷ τυ**626**χὸν βασιλικὰ ἐπετίθεσαν προσώπῳ καὶ παιδίου καὶ γυναικὸς ἔστιν ὅτε καὶ ἀνδρί, καὶ ῥήτορος καὶ φιλοσόφου τετελευτηκότων τῷ ἰδιώτῃ καὶ ἀμαθεῖ. Καὶ ἐν τοῖς ὅπλοις δὲ τοῖς πολεμικοῖς σύμβολά τινα καὶ ἐπίσημα ὁμοίως τάξεως ἑκάστης γνωρίσματα.

627 Λόγ. 21 κ. 11. Λέγω δὲ ταῦτα οὐκ ἐπὶ τὴν θεότητα φέρων τὴν πλάσιν..., ἐπὶ δὲ τούτων θεωρῶν ὡς ἐπὶ σκηνῆς τὰ νοούμενα.

Ὡς ἐπὶ τύπου καὶ εἰκόνος. Σκηνὴ γὰρ καὶ σκηνικὰ ποιήματά εἰσι τὰ λεγόμενα δραματικά, ἐν οἷς πρόσωπά τινα εἰσάγονται ὑπὸ

α. Ἰλιάδ. Α 135.

τῶν ποιητῶν ἐσκευασμένα εἰ τύχοι βασιλικῶς μὴ βασιλικὰ ὄντα καὶ στρατηγικῶς μὴ στρατηγικὰ καὶ τῶν τεθνηκότων εἰκόνας καὶ σχήματα μόνα δηλοῦντα.

Κἂν ἰατρὸν ἢ ῥ ή τ ο ρ α σχηματίσηται μῖμος. Εἴθε, φησί, μοιχείας αὐτοῖς μίμησις ἤρκει καὶ μὴ πολὺ δεινοτέραν αὐτῆς ἐπετήδευον, πεπορνευμένον ὑποκρινόμενοι. Τίνα δὴ βλάπτειν ἡγῇ τὴν ὑπόκρισιν; Αὐτόν, εἰπέ μοι, τὸν κεχρημένον ἢ τὸν θεώμενον οἴει θ η λ ύ ν ε ι ν; Σὺ μὲν ἀμφοτέρους ἐρεῖς, ἐγὼ δὲ οὐδέτερον. Ο ὐ γ ὰ ρ σ υ ν α λ λ ο ι ο ῦ τ α ι τ ο ῖ ς ἐ σ θ ή μ α σ ι ν ἡ ψυχή, κἂν συνᾴδοντά τις τῷ σχήματι φθέγξηται· οὔτε γὰρ ἀνδρεῖον ἡ λεοντῆ τὸν Ἀριστοφάνους ἐποίει Ξανθίαν, οὔτε δειλὸν ἡ γ υ ν α ι κ ε ί α σ τ ο λ ὴ τὸν Πηλέως· κἂν ἐγὼ τὸ σχῆμα τοῦτο τῆς Ἀττικῆς ἀποθέμενος ἀναλάβω στρατιώτου σκευήν, οὐ γενήσομαί τις πολεμικός. Καὶ τί με δεῖ πρὸς ὑμᾶς ἐμαυτῷ παραδείγματι χρήσασθαι; Παίζουσι πόλεμον ἐνίοτε μῖμοι καὶ γίνεται ὁ μὲν σ τ ρ α τ η γ ὸ ς μέν τις τῶν Τρώων, ἕτερος δέ τις τῶν Μυρμιδόνων, ἄμφω δὲ μένουσι τὴν ἔμφυτον ἔχοντες δύναμιν, οὐ τὴν πεπλασμένην ἰσχύν. Ἔνι καὶ σ τ ρ α τ ι ώ τ α ς ἰ δ ε ῖ ν κ α ὶ ῥ η τ ό ρ ω ν ἀκοῦσαι, δυεῖν ἐνίοτε μίμων τοῦ μὲν ἀλόγιστόν τινα μιμουμένου, τοῦ δὲ καλῶς ἐν λόγοις ἀχθέντα, ὥστε γελωμένου μὲν ἐκείνου, κροτουμένου δὲ τούτου, λογισμὸς εἰσέρχεται τοῖς θεωμένοις ὡς δεῖ παίδευσιν μὲν ἀγαπᾶν κτλ..

630 Λογ. 30 κ. 6 Δ ρ α μ α τ ο υ ρ γ ε ῖ τ α ι.

Πραγματεύεται, πράττεται ἢ μᾶλλον πλάττεται καὶ προσωποποιεῖται. Τοιαῦτα γὰρ τὰ δραματικὰ ποιήματα, οὐ μόνον γὰρ λόγους πλάττουσιν ἐν αὐτοῖς οἱ ποιηταί, ἀλλὰ καὶ πρόσωπα οἷον βασιλέων ἢ ῥητόρων ἢ καὶ πραγμάτων αὐτῶν, οἷον σοφίας ἢ πενίας καὶ πλούτου καὶ λόγους αὐτοῖς περιτιθέντες ἐκφέρουσιν.

Λόγ. 2 κ. 49. Τ ρ ι β ώ ν ι ο ν.

Τριβώνιον πᾶν λέγεται τὸ παχὺ περιβόλαιον παρὰ τὸ τρίβειν, ἢ τὸ ἀναβόλιον ἢ μανδύαν νοητέον.

Λόγ. 8 κ. 18. Μ ὴ π ρ ό τ ε ρ ο ν ἀ ν ή σ ε ι ν ἢ τ ῆ ς ὑ γ ε ί α ς τ υ χ ε ῖ ν ἀ π ε ι λ ο ῦ σ α.

Ἀπειλοῦσα· ἤτοι ἰσχυριζομένη καὶ ἀπαιτοῦσα ὡς χρέος τὴν ῥῶσιν ἢ καὶ εὐχομένη. Οἶδε γὰρ καὶ τοῦτο σημαίνειν ἡ λέξις. Ὅμηρος «οὐδ' ἠπείλησεν ἄνακτι»[α], ἀντὶ οὐκ ηὔξατο.

Λόγ. 18 κ. 25. Ὁ κ ί ν δ υ ν ο ς ἦ ν ὤ τ ω ν θ λ ῖ ψ ι ς ἢ π α ρ ε ι ῶ ν ὕ β ρ ι ς ἢ π ὺ ξ κ α τ ὰ κ ό ρ ρ η ς[β].

Ἔν τισι ἀντιγράφοις νώτων θλῖψιν εὑρίσκομεν ὡς κατὰ νῶτον μαστίζεσθαι. Ἄμεινον δὲ ὤτων γράφεσθαι ὡς ἂν ταῖς χερσὶ τῶν ὤτων θλιβομένων. Ὕβριν δὲ παρειῶν τοὺς κατὰ τὰς σιαγόνας παταγμούς. Πὺξ δὲ κατὰ κόρρης ἤτοι τὸ αὐτὸ ἢ ἐκεῖνο μὲν ἡπλωμένων ἐγγὺς τῶν

α. Ἰλιάδ. Ψ 863. β. Πρβλ. Θεόκριτ. 14,34

δακτύλων (φύσας [sic] οἱ πολλοὶ ταύτας καλοῦσι), εἴσω δὲ 631 καμπτομένων καὶ πὺξ γενομένων, τοῦτο ὃ καὶ γρόνθον φασίν. Πὺξ οὖν κατὰ κόρρης, τουτέστιν κεφαλῆς, ἣν καὶ κόρσην Ὅμηρός φησιν ἀντιστοιχοῦντος τοῦ σ τῷ ρ.

Λόγ. 19. Εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν.

Εἴη δ' ἂν ἐξισωτὴς ὁ τῶν δημοσίων διορθωτὴς καὶ κατὰ ἀναλογίαν τῶν ἀγρῶν τοὺς φόρους καὶ τὰ τέλη τάττων· ἐπόπτας τούτους οἶδε καλεῖν ἡ συνήθεια. Πβλ. Σούδα ἐξισωτής· ὁ ἐπόπτης.

Λόγ. 15 κ. 23. Τῇ μάζῃ καὶ τοῖς πιτύροις.

Μᾶζα μὲν τροφὴ ἐξ ἄρτου καὶ ἀλεύρου γάλακτι δεδευμένη κυρίως, ἀλλὰ γὰρ καὶ πᾶσα ἀρτώδης βρῶσις ὑγρῷ τινι μεμαγμένη μᾶζα εἴρηται. Πίτυρα δὲ τὸν εὐτελῆ καὶ πιτυρίαν ἄρτον φασί, τὸν ἐκ τοῦ σκυβάλου τοῦ σίτου φυρώμενον, ὃ καὶ πίτυρον εἴρηται.

Λόγ. 29 κ. 18. Τὸν ὁμώνυμόν σοι θεὸν καὶ παρέγγραπτον, ἡμῖν δὲ ἀληθινόν.

Παρέγγραπτος ὁ παρὰ τὸ προσῆκον γεγραμμένος, ὁ νόθος· ἢ παρ' ὅσον τὰ μὲν ὁμόλογα καὶ ἀναμφήριστα ταῖς γραφαῖς ἐν ταῖς σελίσιν εἴσω, τὰ δ' ἄλλως ἐν ὑπονοίαις πεσόντα τῶν λόγων καὶ μὴ τὸ βέβαιον ἔχοντα ἔξω παρεγγράφεσθαι εἴωθεν Παρέγγραπτος· νόθος, παραγεγραμμένος.

Λόγ. 31 κ. 2. Ἀποκνήσαντες. [sic]

Εἰς ὄκνον καὶ ῥᾳθυμίαν ἐλθόντες. Εἴρηται ἀπὸ τοῦ ὄκνου, ὁ δὲ ὄκνος φόβου εἶδος. Διαιρεῖται γὰρ ὁ φόβος εἰς ὄκνον, ὅς ἐστιν φόβος μελλούσης ἐνεργείας, εἰς κατάπληξιν, ἥ ἐστιν φόβος ἐκ μεγάλης φαντασίας, εἰς ἔκπληξιν, ἥ ἐστι φόβος ἐκ συνήθους φαντασίας, εἰς ἀγωνίαν, ἥ ἐστιν φόβος διαπτώσεως ἤγουν ἀποτυχίας, εἰς αἰδῶ, ἥ ἐστι φόβος προσδοκίας ψόγου, εἰς αἰσχύνην, ἥ ἐστι φόβος ἐπὶ αἰσχρῷ πεπραγμένῳ.

632 Λόγ. 36 κ. 6. Σβεστηρίοις ὀργάνοις.

Εἰσί τινα σβεστήρια φλογὸς ὄργανα, σίφωνας ταῦτα καλοῦσιν, οἷς ὕδατος πληρουμένοις ἀναφυσῶντές τε καὶ τῷ πνεύματι τὸ ὕδωρ διωθοῦντές τε καὶ διασκεδαννύντες ὀμβρηδὸν κατὰ τοῦ πυρὸς ἀποτεφροῦσι τὰς φλόγας.

IV. ΠΟΙΚΙΛΑ

Λόγ. 25 κ. 6. Ταύτης καρπὸς τῆς φιλοσοφίας οὐ λόγῳ πλαττόμεναι πόλεις....., οὐδὲ γραμμαί τινες οὐδαμοῦ κείμεναι οὐδὲ ἀστέρων πλοκαὶ καὶ σχήματα κατὰ τῆς προνοίας ἐπινοούμενα.

Ἀπορεῖται, πῶς οἷόν τέ ἐστιν εἶναι γραμμὰς μηδαμοῦ κειμένας. Οἱ γεωμέτραι ἀπὸ τῶν αἰσθητῶν τουτωνὶ γραμμῶν, οἷον εὐθείας

ταυτησί — καὶ καμπύλης Λ καὶ ξυστροειδοῦς m τῶν ἐνταυθοῖ καὶ γραφομένων καὶ κειμένων καὶ ὁρωμένων, τῷ λόγῳ χωρίζοντες ἀπὸ τῆς ὕλης καὶ τῶν σωμάτων καὶ τῶν αἰσθητῶν ἀΰλως νοοῦσι ταύτας καὶ ἀφέτως, ἀφ' ὧν καὶ τὰ πολυειδῆ σχήματα συντιθέασι τῆς γεωμετρίας. ἐκ τούτων οὖν καὶ οἱ ἀστρονομίας μεταποιούμενοι καὶ ἀστρολογίας τοὺς σχηματισμοὺς τῶν ἀστέρων διατυποῦσι καὶ τὰ λεγόμενα θεμάτια συντιθέασι καὶ καταγράφουσι τοὺς ἀστέρας, ἐξ ὧν καὶ γινώσκειν καὶ προλέγειν οἴονται τὰ ἐσόμενα.

Λόγ. 31 κ. 10. Γεννᾶσθαι λέγεται οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ μόνον οὐδὲ ἐξ ἑτέρων ἕτερα, ἀλλὰ καὶ ἐξ ἑτέρων τὰ αὐτὰ καὶ ἐκ τῶν αὐτῶν ἕτερα

Ἐξ ἰλύος κεστρέων εἶδός τι μικρὸν γεννᾶται, ἐν δὲ τούτου ἀφύης ἕτερον εἶδος, κεστρέων τε καὶ ἀφύης ἀφρῖτις. Ἐξ ὑαίνης καὶ λύκου ὁλόλυκος[1], ἐξ ἀλώ**633**πεκος καὶ κυνὸς ἄρρενος ἀλωπός, ἐκ δὲ θηλείας κύων Λακωνική. Ἀριστοτέλης φησί[α], ἐξ ἡγεμόνων καὶ βασιλέων λεγομένων μελισσῶν αὐτούς τε τοὺς ἡγεμόνας γεννᾶσθαι καὶ τὰς μελίσσας, ἕτερόν τι εἶδος παρ' ἐκείνους, ἐκ δὲ μελισσῶν τοὺς κηφῆνας. Ἐκ γῆς διαφορα ζῷα καὶ σκώληκες γεννῶνται παντοῖοι καὶ ἐκ κοπρίας κάνθαροι καὶ μηλολόνθαι, ἐκ δὲ κάμπης ἐρεβίνθων αἱ λεγόμεναι ψυχαὶ καὶ τὰ πηνία καὶ ὕπερα, ἕτερα καὶ ἕτερα τῶν γεννώντων ζῷα. Καὶ αἱ πυγολάμπιδες ὁμοίως, ἐκ τούτων δὲ οἱ καλούμενοι βόστρυχοι, ἐκ δὲ τοῦ λεγομένου ξυλοφθόρου χρυσαλλίς[β].

Λόγ 33 κ. 6. Ἡμῖν δέ φησι (δηλ. τοῖς ἀκολούθοις τοῦ Ἀρείου) τείχη καὶ θέατρα ... καὶ τὸ ἄτοπον τοῦτο ἔργον, ὁ ὑποχθόνιος καὶ ἀέριος ποταμός.

Τὸν ἐκ τῶν ἑσπερίων τῆς βασιλευούσης φερόμενον ποταμὸν λέγει καὶ μεσον τέμνοντα ταύτην καὶ ὧδε καὶ ὧδε μεριζόμενόν τε καὶ διανεμόμενον, οἴκοις τε καὶ δοχείοις καὶ βαλανείοις ἀρκοῦντα καὶ πᾶσαν ἐμπιμπλῶντα τὴν μεγαλόπολιν καὶ μέχρις αὐτῶν τῶν βασιλείων χωροῦντα, ἄφθονόν τε καὶ ἀέναον χορηγοῦντα τὸ ῥεῖθρον. Ἐπειδὴ ἀνω**634**μάλου τῆς ἐν ᾗ φέρεται γῆς ὑπαρχούσης τῇ μὲν ὁμαλῶς ἐν ἐπιπέδοις ἐκθέει, τῇ δὲ καὶ ὑποχθόνιος ῥαγέντων τῶν ὑψωμάτων τῆς γῆς τρέχει καὶ δομήμασι κυλινδρικοῖς σφιγγόμενος καὶ κρυπτόμενος, οὐκ ἀπεικότως ὁ ὑποχθόνιος καὶ ἀέριος εἴρηται. Αἴρεται γὰρ ἐν τοῖς ὑποκαθημένοις τῆς γῆς καὶ ταῖς φάραγξιν ὑψοῦ καὶ ὡς ἐν ἀέρι αἰωρεῖται· καὶ οἰκοδομαῖς γάρ τισι τεχνηταῖς καὶ πυργίσκοις

1. Διὰ πόθον ξενικῶν ἐρώτων τῷ λύκῳ μίγνυται (δηλ. ἡ ὕαινα) καὶ τὸ τεχθὲν οὔτε λύκῳ τὴν μορφὴν ἔχει ὁμοίαν οὐθ' ὑαίνῃ φέρει παραπλησίαν, ἀλλόκοτον δὲ ὅλως ἐστὶ καὶ δεινῶς ἄγριον, ὅθεν δή τινα λόχμην ἢ καὶ πέτραν ὑποδυόμενον ἀνθρώποις ἐπιτίθεται καὶ ποιμνίοις, ταύτῃ τοι καὶ μονόλυκον αὐτὸν οἱ νομεῖς καλοῦσιν ἀπὸ τοῦ ἤθους.

α Πρβλ Περὶ ζῴων γενέσεως 759α21. β. Αὐτόθι 19

συνεχέσιν ἄνεισιν, ἐν οἷς συνεχεῖς ἁψῖδες, ὥσπερ ἐν ὤμοις τισὶν ὑποκαθήμεναι, φέρουσι τὸν ῥοῦν ἀνεμποδίστως τῷ ὄντι ἀέριον.

Λόγ. 33 κ. 6. Καὶ ὁ λαμπρὸς στῦλος οὑτοσὶ καὶ ἀπόβλεπτος καὶ ἀγορὰ πλήθουσα καὶ δῆμος κυμαίνων καὶ ἀνδρῶν εὐγενῶν συνέδριον ἐπαινούμενον.

Τὸν τοῦ φόρου, οἶμαι, λέγει κιόνα· οὗτος γὰρ τῶν ἄλλων ὁ περίβλεπτός τε καὶ λαμπρότατος. Φασὶν δὲ τοῦ ἡλίου τὴν στήλην εἶναι τοῦ πάλαι 'Απόλλωνος καθ' Ἕλληνας. Καὶ δῆλον ἐκ τῆς ἐπαγομένης ἀγορᾶς καὶ πληθούσης καὶ τοῦ κυμαινοντος δήμου τοῦ τε τῶν εὐγενῶν ⟨καὶ⟩ ἐπαινουμένου συνεδρίου· ᾄδεται γὰρ ἐν τῷ οὕτω πως καλουμένῳ σεννάτῳ [sic] βουλὴν τῶν εὖ γεγονότων εἶναι καὶ συνέδριον φρονήσει καὶ συνέσει καὶ λόγῳ κοσμουμένων δικαστῶν, «θεμιστευόντων ἀνδρῶν» καὶ «νείκεα λυομένων» κατὰ τὴν ποίησιν. «Θεμιστεύοντα νέκυσσιν»[α] «ἄκριτα νείκεα λύσω»[β].

Φασὶ τὸν στῦλον οὕτω μέγαν εἶναι, ὡς ἔνδον αὐτοῦ ἄνοδόν τε εἶναι καὶ κάθοδον, δι' ἧς οἱ βουλόμενοι ἀνίασι καὶ κατίασι. Οἶμαι δὲ περὶ τοῦ ξηρολόφου (sic) λέγειν, ὅτι ἐκεῖσε πρώην ἦν ἀγορά.

Λόγ. 33 κ. 7. Δεῖ τεθνάναι ἡμᾶς, ὅτι μὴ πόλιν ἠγείραμεν..., μηδὲ ἱππικοῖς μεγαλαυχοῦμεν .... καὶ μαρμάρων πολυτελείαις καὶ γραφαῖς καὶ κεντήσεσι χρυσαυγέσι τε καὶ πολυειδέσι μικροῦ μιμουμέναις τὴν φύσιν.

Κεντητὰς γραφὰς ἤτοι τὰς ἐν ὑφάσμασί τισιν χρυσονήμοις κεντουμένας ἢ τὰς διὰ τῶν χρυσῶν τε καὶ ἀργυρῶν ψηφίδων ἐν τοῖς τοίχοις γραφομένας κατὰ μίμησιν ἀνθρωπίνων εἰκόνων καὶ ζῴων καὶ παντοδαπῶν φυτῶν τε καὶ **635** δένδρων, ἔστι δ' ἐν οἷς καὶ γῆ καὶ θάλασσα, οὐ μόνον δέ, ἀλλὰ γὰρ καὶ οὐρανὸς καὶ ἥλιος γράφεται καὶ σελήνη καὶ ἄστρα καὶ πᾶν ὅπερ εἰς κτίσιν ἦλθε καὶ εἰς ὄψιν ἀνθρωπίνην ὑποπέπτωκεν. 'Ετόλμησε δὲ ἡ τέχνη καὶ πορρωτέρω τούτων ἀναβεβηκέναι καὶ ταῖς ἀσωμάτοις προσελθεῖν οὐσίαις καὶ σχῆμα καὶ μορφὴν περιθεῖναι καὶ γραφῇ παραδοῦναι κατὰ τὰς τῶν θεοπτικῶν ἀνδρῶν ὁράσεις καὶ ἐξηγήσεις.

Λόγ. 33 κ. 8. Τὸ δὲ μὴ στωμύλον εἶναι ποῦ στήσεις, μηδὲ γελοιαστήν τινα..., μηδὲ ... τὸν Ζεύξιππον ἐπισκέπτεσθαι;

Ἢ τὸν ἐν ᾧ τοὺς ἵππους ζευγνύουσι τόπον αἰνίττεται, εἴτουν τὸ ἱπποδρόμιον ἢ τὸ θρυλλούμενον τοῦ Ζευξίππου λοετρόν, τὸ τῆς περιωνύμου χαλκῆς ἐγγυτάτω, πάλαι μὲν καὶ μεγέθει καὶ κάλλει πολλῶν ὑπερφέρον, νυνὶ δὲ ὀνόματι μόνον γνωριζόμενον.

Λόγ. 43 κ. 63. Τί μοι πρὸς τοῦτο τὸ ἔργον ἑπτάπυλοι Θῆβαι καὶ Αἰγύπτιαι καὶ τείχη

α 'Οδυσ λ 569. β. 'Ιλιάδ. Ξ 205,304

Βαβυλώνια καὶ Μαυσώλου Καρικὸς τάφος καὶ πυραμίδες καὶ κολοσσοῦ χαλκὸς ἄμετρος ἢ ναῶν μεγέθη καὶ κάλλη τῶν μηκέτι ὄντων, ἄλλα τε ὅσα θαυμάζουσιν ἄνθρωποι; Ἐπὶ τούτοις (δηλ. τοῖς ζ' θεάμασιν) οὖν τὰ ἕτερα δύο αἰνίττεται τῶν θαυμαζομένων τό τε Καπιτώλιον Ῥώμης καὶ τὸ Ἀδριανοῦ ἱερὸν Κυζίκου.

640 Λόγ. 27 κ. 7. Ἐπεὶ δὲ ἀπεσκευασάμεθα τοῦ λόγου τὸ ἀλλότριον. Ἀντὶ τοῦ ἀπεθέμεθα καὶ ἀπεβαλόμεθα. Ἀποσκευάσασθαι δὲ κυρίως ἐστὶν τὸ καταθέσθαι καὶ ἀπορρῖψαι τὰ σκεύη, ἃ τοῖς πολεμοῦσιν ἀκολουθεῖ· τοὺς δὲ φέροντας σκευοφόρους καλοῦσιν. Ἔστι δὲ ταῦτα ἐν ἱματίοις καὶ στρώμασι καὶ τοῖς τοιούτοις ἄλλοις· ἀποσκευασμένοις δὲ τοὺς σκευοφόρους νεανίαι δὲ σὺν ὅπλοις φυλάττουσιν, μὴ δυσμενεῖς ἐπελθόντες τῶν σκευῶν ὁμοῦ καὶ τῶν ἀνδρῶν κύριοι γένωνται.

Λόγ. 28 κ 25 Πόθεν δὲ μελίσσαις τε καὶ ἀράχναις τὸ φίλεργον καὶ φιλότεχνον; Τουτέστιν, τὰς αἰτίας τῆς συνέσεως διερμήνευσε τούτο τῆς φιλεργίας τῶν μελισσῶν.

Λόγ. 28 κ 25 Οὗτος (ὁ Λαβύρινθος) δὲ ὑπὸ δώδεκα βασιλέων τὴν ἀρχὴν Αἰγύπτου ἔνσπονδος διανειμάμενος δόξαν αὐτῷ καὶ τοῦτο ὁμοῦ κατεσκευάσθαι λέγεται. [Οὗτος δὲ (δηλ. ὁ λαβύρινθος) ὑπὸ δώδεκα βασιλέων τὴν ἀρχὴν Αἰγύπτου ἐνσπόνδως διανειμαμένων, δόξαν αὐτοῖς καὶ τοῦτο, ὁμοῦ κατεσκευάσθαι λέγεται]. Αἰγύπτιοι... ἐστήσαντο δυώδεκα βασιλέας... οὗτοι ἐπιγαμίας ποιησάμενοι ἐβασίλευον νόμοισι τοισίδε χρεώμενοι. ... **641** καὶ δή σφι μνημόσυνα ἔδοξε λιπέσθαι κοινῇ, δόξαν δέ σφι, ἐποιήσαντο λαβύρινθον.

Λόγ. 29 κ. 1. Τὸ τοῦ τάχους ἐπισφαλές. Σφάλλεται γὰρ ὡς ἐπίπαν τὸ ταχος. Τοῦτο ἐναντίον ἐστὶ τῷ λέγοντι· τὸ ταχύ, μῆτερ, ἐπαφρόδιτόν ἐστι. Σφάλλεται γὰρ ὡς ἐπίπαν τὸ τάχος καὶ οὕτως οὐ πάντῃ ἐπαινετὸς τῷ λέγοντι ὁ λόγος· τὸ ταχύ, μῆτερ, ἐπαφρόδιτον (δηλ. ἐστί).

ΣΧΟΛΙΑ ΑΝΩΝΥΜΟΥ

ΕΙΣ ΤΟΝ ΠΡΩΤΟΝ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΛΟΓΟΝ

[1205] 58,288,2. Σ τ η λ ι τ ε υ τ ι κ ό ς. Ὁ στηλιτευτικὸς οὑτοσὶ λόγος, ψόγος ἐστὶ τῶν Ἰουλιανῷ πεπραγμένων. Διαφέρει δὲ ψόγος στηλιτευτικοῦ, ὅτι ὁ μὲν ψόγος διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται, οἷον γένους, ἀναστροφῆς, πράξεων, συγκρίσεως· ὁ δὲ στηλιτευτικὸς διὰ τῶν πράξεων μόνον· εἰ τύχοι δέ, καὶ συγκρίσεως. Στηλιτευτικὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῆς στήλης. Στήλη δὲ ἐστι λίθος ἢ χαλκὸς ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾧ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. Εἰδέναι δὲ χρὴ ὅτι πολλάκις εὐεργεσίαι ταῖς στήλαις ἐνεγράφοντο.

[1208] 58,288,3. Ἐ ν ω τ ί σ α σ θ ε. Ἐν τοῖς ὠσὶ θέσθε.

58,288,5. Π ε ρ ι ω π ῆ ς. Περιωπή, ἐστὶ τόπος ὑψηλός εἴρηται δὲ ἀπὸ τοῦ περισσῶς ὁρᾶν ἐκεῖθεν. Ὢψ γὰρ ποιητικῶς ὁ ὀφθαλμός· καὶ τὸ ἄποπτον δὲ ἀπὸ τοῦ ἀφορᾶν εἴρηται. Καλῶ γοῦν ἅπαντας, φησίν, ἔκ τινος ὑψηλοῦ καὶ μεσαιτάτου τόπου, πολὺ τὸ ἀφορᾶν τοὺς καλουμένους ἐμοὶ παρέχοντος.

58,288,7. Γ ε ν ή σ ε σ θ ε. Οὐχ ὅτι νῦν ἀκούουσιν οἱ γενησόμενοι (πῶς γάρ;), ἀλλ' ὅτι καὶ αὐτοὶ ὕστερον ἀκούσονται τῶν λόγων ἐντυγχάνοντες, ὥσπερ καὶ ἡμεῖς οἱ νῦν ἐν τῷ κόσμῳ τούτῳ διάγοντες.

28,288,8. Δ ύ ν α μ ι ς. Ἀκούσατε καὶ ὑμεῖς.

28,288,12. Δ ρ ά κ ο ν τ α. Καθελοῦσι, ἀπὸ τοῦ κοινοῦ

58,288,18. Τ α ῦ τ α. Τὸν οὐρανὸν καὶ τὴν γῆν

58,288,21. Κ ω ν σ τ α ν τ ί ο υ. Σαμείωσον, πῶς ἐν ὅλῳ τῷ στηλιτευτικῷ καλῶς μέμνηται Κωνσταντίου τοῦ βασιλέως· οὐδὲ ἐν τοῖς ἄλλοις μὲν αὐτοῦ κακίαν αὐτῷ μαρτυρῶν, ἀλλ' ἁπλότητα μᾶλλον καὶ κουφότητα· ἐνταῦθα δὲ καὶ σαφῶς ἐπαινῶν. Καὶ μὴ θαυμάσῃς. Ὁ γὰρ κατὰ τοῦ εἰδωλολάτρου ζῆλος διήλλαττεν αὐτὸν ὁλοτελῶς, καὶ φίλον ἐποίει γνήσιον τῶν οὐ κατὰ κακίαν, ὡς αὐτός πού φησιν, ἀλλὰ δι' εὐηθείας λελυπηκότων. Ἐπεὶ καὶ τὸ ἄλλο ἦθος τοῦ Πατρὸς τοιοῦτον, ἐν τῷ ὑπερβάλλοντι κακῷ συγγινώσκειν τοῖς μικρότερον ἀγνοοῦσιν [τοῖς μικρότερον αὐτοῦ τὸ εἰρηνικὸν ἀγνοοῦσιν]. Ἀνάγνωθι αὐτοῦ τὸν *Εἰρηνικόν*, καὶ πάλιν τὸν *πρὸς Εὐνομιανούς*, ἔνθα φησί· Φιλοσόφει μοι περὶ κόσμου καὶ ὕλης, εἶτα περὶ Χριστοῦ παθημάτων καὶ τὰ ἑξῆς.

---

* Κατὰ τὴν ἔκδοσιν J.-P. M i g n e. Patrologiae Cursus Completus, Series Graeca, τόμ 36, στ. 1250-1244 καὶ 1245-1255.

58,288,22. Αἴσθησις. Ἰσοκρατικόν, ἀντὶ τοῦ, ἐάν τις αἴσθησίς ἐστι τῶν τῇδε ἀκούειν.

58,288,22. Τοῦ δέ. Τούτου δὲ τοῦ Κωνσταντίου ἡ ψυχὴ δηλονότι καὶ πάντων τῶν ἄλλων βασιλέων πλέον ἀκουέτω.

58,288,24. Βεβαιωσάμενος. Ἀντὶ τοῦ, βεβαιώσας καὶ κυρώσας.

58,288,25-26. Ὦ τῆς ἐπηρείας. Τοῦτο μεταξὺ νόησον πρὸ τῆς ἀποδόσεως. Ἐπήρειαν δέ, ἣν αὐτὸς ἐπηρεάσθη Κωνστάντιος, ἀγνοήσας τὸ τοιοῦτον κακόν.

58,288,27. Ἐπιτρέφων. Θεῖος γὰρ αὐτοῦ ἦν.

58,288,29 Βασιλεῦσαι. Ἀντὶ τοῦ, ποιῆσαι βασιλεῦσαι.

58,288,30. Ἡσθείη. Χαρείη.

58,288,32. Ἱερώτερον. Τὸν λόγον.

58,288,32. Ἐναγεῖς. Μυσαρούς, ἀκαθάρτους.

58,289,1. Περιουσία. Ἀντὶ τοῦ, περιττεῦον καὶ πλεονάζον καὶ λίαν εὔπορον.

28,289,3. Ἡ τοῦ αἰῶνος. Καλὸς ὁ προ(σ)διορισμός. Παίδευσις γὰρ καὶ τὸ καθ' ἡμᾶς μυστήριον, ἀλλ' οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων αὐτοῦ, ἄνωθεν δὲ παρὰ τοῦ Πατρὸς τῶν φώτων

58,289,4 Διαπορευομένη. Ἐστὶ δηλονότι.

58,289,5. Ἐκείνη. Ἡ ἄσοφος σοφία.

58,289,5. Τοιούτοις. Ἐπισημοτέροις καὶ ὀνομαστοτέροις.

58,289,11. Περιστήσει τῇ χάριτι. Ἀντὶ τοῦ, κύκλῳ στήσει (τίς θέατρον περιστήσει). Τίς δώσει μοι τοιούτους, φησίν, ἀκροατάς, ὥστε καὶ ἀξίους εἶναι τῆς χάριτος; Ποίας; Ἣν ὁ Θεὸς ἡμῖν ἐχαρίσατο καθελὼν τὸν τύραννον.

[1209] 58,289,12. Παρισούμενον. Παραμετρούμενον.

58,289,14. Λόγῳ. Οὐ μόνον, φησί, τῷ Θεῷ Λόγῳ ἡ διὰ λόγου χάρις οἰκειοτάτη καὶ πρεπωδεστάτη τῶν ἄλλων χαρίτων, ἃς αὐτῷ προσφέρομεν, ἀπὸ τῶν ὑπαρχόντων ἕκαστος, οἷα διαφερόντως ταύτῃ τῇ Λόγου προσηγορίᾳ χαίροντι μετὰ τῶν ἄλλων προσηγοριῶν, ὧν ὀνομάζεται, θύρας, φέρε εἰπεῖν, ζωῆς, ἀληθείας, φωτός. Οὐ μόνον οὖν τῷ Θεῷ Λόγῳ, φησίν, ἡ διὰ λόγου χάρις οἰκειοτάτη τῶν ἄλλων ἐν ἄλλοις χαρίτων, ἀλλὰ καὶ τῷ τυράννῳ πρέπουσα κόλασις, λόγῳ κολάζεσθαι τῷ στηλιτευτικῷ τούτῳ ἀνθ' ὧν εἰς τοὺς λόγους παρανομῶν ἑάλω. Ἡ δὲ παρανομία, ὅτι τοὺς Χριστιανοὺς παιδεύεσθαι τὴν κοινὴν ταύτην παίδευσιν ἐκώλυεν. Ἔστι δὲ καὶ ἄλλως τὸ χωρίον ἐξηγήσασθαι, εἰ λόγον ἐνταῦθα νοήσαιμεν τὸν κοινὸν ἁπάντων ἀνθρώπων, ὃς τοῦ τε εὐλόγου καὶ τοῦ ἀλόγου μέσος ἕστηκεν· ὧν τὸ μὲν εὔλογον ἕξις αὐτοῦ καὶ σχέσις, τὸ δὲ ἄλογον στέρησις. Οὐ μόνον οὖν τῷ λόγῳ τούτῳ ἡ διὰ λόγου χάρις οἰκειοτάτη, χαίροντι διαφερόντως καὶ μάλιστα τῇ τοῦ λόγου προσηγορίᾳ καὶ δυνάμει μετὰ τῶν

ἄλλων εὐλόγων ὧν ὀνομάζεται, φέρε εἰπεῖν, παιδεύσεως, σοφίας, ἀρετῆς, ἀλλὰ κἀκείνῳ πρέπουσα δίκη καὶ τὰ ἑξῆς. Ἀριστείδη δὲ τὸ ἐνθύμημα.

58,289,20. Π ρ ῶ τ ο ν μ έ ν. Δύο φησὶν αἰτίας τῆς ἀλογίας τῆς ἐκείνου, ἣν εἰς τοὺς λόγους πέπονθεν· πρῶτον μὲν ὅτι κακουργότατα τὴν ἐπωνυμίαν τοῦ λόγου μετωνόμασεν ἐπὶ τὸ δοκοῦν, οὐκέτι λόγους, ἀλλ' Ἑλλήνων παίδευσιν ἢ σοφίαν προσαγορεύων, ἀγνοῶν ὁ δειλός, ὅτι οὐ καθ' ὃ Ἕλληνες, ἀλλὰ καθ' ὃ ζῷα λογικὰ ἐφιλοσόφησαν· εἰ δὲ τοῦτο, πάντων ἀνθρώπων, ἀλλ' οὐ τῶν Ἑλλήνων ἡ παίδευσις· δεύτερον δὲ ὅτι λανθάνειν ἡμᾶς ἐνόμισεν, εὐτελοῦς τινος ἀποστερῶν τῶν τοιούτων λόγων, οἳ τῆς εὐγλωττίας ὀλιγωροῦντες, τῆς ἀληθείας ἐχόμεθα. Ἄλλως. Οὕτω διαλύσας τὴν φράσιν, σαφέστερον νοήσεις καὶ βέλτιον· εἰ λήσειν ἡμᾶς ὑπελάμβανεν, οὐ μέλλων ἀγαθοῦ τινος ἀποστερήσειν ἡμᾶς, ἀλλὰ φοβούμενος τοὺς τῆς ἀσεβείας ἐλέγχους, οἳ καὶ πάλιν τούτους περιφρονοῦμεν τοὺς λόγους, τὴν ἰσχὺν ἔχοντας οὐκ ἐν τῇ γνώσει τῆς ἀληθείας, ἀλλ' ἐν τῷ κόμπῳ καὶ τῷ σεμνῷ τῆς λέξεως. Οὐκ ἔλαθεν οὖν ἡμᾶς τοὺς ἐλέγχους μᾶλλον φοβούμενος ἢ τῶν λόγων ἀποστερεῖν ἐπειγόμενος.

58,289,22. Φ ῶ ρ α ς. Ἀντὶ τοῦ, κλεπτας, ὅθεν καὶ τὸ ἐπαυτοφώρῳ, ἀντὶ τοῦ, ἐπ' αὐτῇ κλοπῇ.

58,289,29. Ὧ ν. Ὥντινων, φησίν, ἐνθυμημάτων τῆς ἀληθείας ἀδυνατώτερον ἐπισχεθῆναι ἡμᾶς. Ἀδύνατον δὲ καὶ τῶν λόγων ἐπισχεῖν ἡμᾶς καὶ τῆς γνώσεως αὐτῆς· οὐ μόνον δέ, ἀλλὰ καὶ τοῦ τὸν Θεὸν ὁμολογεῖν γλώσσας ἔχοντας ἀδυνατώτερον ἐπισχεθῆναι. Οὕτως οὖν νοήσεις· ὧν ἐνθυμημάτων καὶ γνώσεως τῆς ἀληθείας καὶ τοῦ τὸν Θεὸν ὁμολογεῖν ἀδυνατώτερον ἡμᾶς εἶρξαι τὸν τύραννον τῶν λόγων.

58,269,31. Λ ό γ ο ν. Τὸν ἀληθῆ δηλονότι.

58,289,36. Θ α ρ ρ ο ῦ ν τ ο ς. Πιστεύοντος.

[1212] 58,290,1. Κ α τ ὰ γ ά ρ. Κατὰ γὰρ τῶν ἀγωνιζομένων οἱ στέφανοι, ἀντὶ τοῦ, ὑπὲρ τῶν ἀγωνιζομένων (Δημοσθέν.), ὅπερ μέγιστόν ἐστι καθ' ὑμῶν ἐγκώμιον.

58,290,18. Π α ν η γ υ ρ ι σ μ ό ν. Ὁ γὰρ παρὼν λόγος, ψόγος ὢν τῆς Ἰουλιανοῦ κακίας καὶ στήλη τῆς ἀσεβείας ἀθάνατος, τοῦ πανηγυρικοῦ εἴδους ἐστί. Τὸ γὰρ πανηγυρικὸν τῆς ῥητορικῆς εἶδος εἰς ψόγον διῄρηται καὶ ἐγκώμιον, ὥσπερ τὸ δικανικὸν εἰς κατηγορίαν καὶ ἀπολογίαν καὶ τὸ συμβουλευτικὸν εἴς τε παραίνεσιν ἀστασίαστον καὶ εἰς ὁμώνυμον τῷ γένει συμβουλήν.

58,290,19. Ε ἰ ς χ ο ρ ε ί α ν. Τέσσαρας εἰς τὴν πανήγυριν μοίρας καλεῖ, ὧν ἡ δευτέρα εἰς δύο διῄρηται. Καὶ πρώτην μὲν καλεῖ ἐκείνην, ὅσοι νηστείαις καὶ δεήσει προσκείμενοι παρεκάλουν τὸν Θεὸν δοῦναι λύσιν τῶν τότε κατεχόντων ἀνιαρῶν· δευτέραν δὲ καλεῖ τὴν εἰς δύο διῃρημένην, εἴς τε πεπονθότας ἐν τοῖς σώμασιν, εἴς τε πεπον-

θότας ἐν τοῖς ἐντὸς καὶ περιῃρημένους χρήματα, δυναστείαν, κτήματα καὶ πατρίδος μὲν ἀπελαθέντας, τῶν δὲ οἰκείων καὶ φιλτάτων διαζευχθέντας· τρίτην, ὅσοι τὴν μὲν ὁμολογίαν εὐσεβεῖς ὄντες, τοὺς δὲ τῆς Προνοίας λόγους ἀγνοοῦντες διὰ τῶν ἐναντίων πολλάκις παρ' ἐλπίδα διοικουμένης, τήν τε πρόσκαιρον τῶν ἐναντίων εὐημερίαν οὐ φέροντες, δοῦλοι τῶν παρόντων ἀεί εἰσι, τοῖς δὲ ὕστερον θαύμασι βεβαιοῦνται πρὸς τὴν ἀλήθειαν· τετάρτην καλεῖ μοῖραν ἐκείνους, ὅσοι περὶ τὴν τοῦ κόσμου τουτου σκηνὴν τὰς ψυχὰς ἐπτόηνται, προτρέπων τούτους τοῖς Ἡσαΐου ῥήμασιν, ἀποστήσαντας τὸ νοερὸν τῆς ψυχῆς ὄμμα τῆς τῶν ὁρωμένων ἀπάτης καὶ πλάνης γνῶναι λοιπὸν τὸν ὄντως ὄντα Θεόν· πέμπτην ἐπιζητεῖ συμπανηγυρίσαι μοῖραν αὐτῷ, ἢ τέως μεν τοῦ χοροῦ τοῦ διδασκάλου διεστη, μικρὸν δὲ ὕστερον εἰς ταὐτὸν ἐλθεῖν ἐκ μετανοίας ἐλπίζεται.

58,290,26 Κ α ι. Ἢ ὁ καὶ σύνδεσμος περιττεύει ἢ ταῦτα τοῖς ἄνω συνάψας, οὕτω στήσεις τὴν φράσιν· Κἀκείνους, φησίν, ὁ λόγος εἰς χορείαν συγκαλεῖ, ὅσοι μεγάλους ἀνατλάντες ἀγῶνας καὶ πολλαῖς πληγέντες τοῦ καιροῦ προσβολαῖς καὶ τὰ μὲν σώματα κάμνοντες, τὰς δὲ ψυχὰς ἀήττητοι μενοντες καὶ πάντα ἰσχύοντες ἐν Χριστῷ[1] θέατρον ἐγενήθησαν τῷ κοσμῳ[2]. Οὕτω στήσεις τὴν φράσιν.

58,290,30. Δ ὴ λ έ γ ε τ α ι. Τοῖς πολλοῖς καὶ ταπεινοῖς τὴν διάνοιαν. Τοῖς γὰρ ὀλίγοις καὶ ὑψηλοῖς μία πατρὶς ὡς ἀληθῶς καὶ μήτηρ ἡ ἄνω Ἱερουσαλήμ. Νομίζεται γάρ, οὐκ ἔστι δὲ κατὰ ἀλήθειαν ἡμῖν ἐν γῇ πατρίς, ἢ ὅλως τι τῶν ἀπηριθμημένων τῷ Πατρί.

58,291,5. Τ ο ι ο ύ τ ο ι ς. Οἷον τοῖς νῦν, τῷ καταλυθῆναι τὸν τύραννον καὶ τὴν εὐσέβειαν εἰς τὸ ἀρχαῖον ἐπανελθοῦσαν μᾶλλον παρρησιάσασθαι.

58,291,7. Ἐ π τ ο η μ έ ν α ς. Εἴρηται ἀπὸ τοῦ πτοεῖσθαι καὶ φοβεῖσθαι. Ὁ γάρ τινι πράγματι προστετηκώς, περιδεής ἐστι, μήπως ἀφαιρεθῇ αὐτοῦ.

58,291,14. Κ ί β δ η λ ο ν. Οὐ νόθον, ἀλλὰ καθαρὰν καὶ γνησίαν. Εἴρηται ἀπὸ ἱστορίας. Οἱ Ἀθηναῖοι Χίους μισοῦντες, ἐν τοῖς ἀδοκίμοις ἑαυτῶν νομίσμασι Χ **[1213]** ἐγχαράττοντες ἐκάλουν χίβδηλα· εἶτα πρὸς τὸ εὐφωνότερον μετέβαλον τὸ Χ εἰς Κ.

58,291,22. Π ε ρ ι έ π ω. Περιέπω εἴρηται ἀπὸ τοῦ, πέριξ ἕπειν, ὅ ἐστιν ἀκολουθεῖν.

58,291,25. Μ ί α ν. Τέσσαρας ἀρτίως μοίρας καλέσας εἰς τὴν πανήγυριν, δύο νῦν ἀποκηρύττει ταύτης, ἐκβάλλει καὶ ἀπελαύνει, ἐκείνους τε ὅσοι μικρᾶς αὐτοῖς τοῦ καιροῦ προσβολῆς γενομένης, εὐθὺς τῆς ἀληθείας ἀπέστησαν, ἀρνησάμενοι τὴν εὐσέβειαν· καὶ τοὺς τούτων χείρους, ὅσοι τῷ καιρῷ μηδὲ πρὸς ὀλίγον ἀντιστατήσαντες, αὐτεπάγγελτοι πρὸς τοὺς ἐχθροὺς μεθηρμοσαντό τε καὶ δὴ μετετάξαντο.

1. Πρβλ. Φιλιπ. 4,13. 2 Πρβλ. Α Κορ 4,9

58,291,30. Ἐπιπολαίως. Κούφως, ἐλαφρῶς, ἀρρίζως.

58,292,18. Ἀνυπονόητον. Ἰουβιανοῦ βασιλεύοντος, ὁ λόγος οὗτος καὶ ὁ μετ' αὐτὸν ἀμφότεροι λέγονται. Μετὰ γὰρ τὸν ἀσεβέστατον Ἰουλιανὸν Ἰουβιανὸς βασιλεύει.

58,292,34. Κόματα. Τὴν Ἰουλιανοῦ κακίαν. Ἐπὶ δύο γὰρ ἔτη ὁ τρισκατάρατος ἐβασίλευσεν· ἐπὶ δὲ πέντε ἔτη Καῖσαρ ἐγένετο προβαλλομένου αὐτὸν Κωνσταντίου.

58,293,22. Ἀποκαραδοκοῦσα Ἐπιμελῶς ἐπιτηροῦσα καὶ ἀπεκδεχομένη.

58,295,21. Ἐν τέλει. Τὸ τέλος πολλαχῶς λέγεται. Τέλος γὰρ ἡ ἀρχή, ὡς νῦν· τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσι· τέλος καὶ τὸ δαπάνημα, ὅθεν καὶ πολυτελές, τὸ πολυανάλωτον· τέλος καὶ τὸ πέρας· τέλος καὶ τὸ τάγμα κατὰ στρατὸν *Ἐν τελέεσσιν* (Ὅμηρος).

58,295,27. Πρὸ τούτων. Πρὸ τῆς ἀποστάσεως καὶ τῆς ἐπαναστάσεως.

58,297,8. Προβλήματος. Τὸ γὰρ φαινόμενον Ἰουλιανοῦ πρόβλημα πρὸ τῆς βασιλείας εὐσεβὲς ἐδόκει καὶ ἥμερον.

58,298,1. Σήραγγες. Αἱ ὑπὸ γῆν ἐπιμήκεις ῥήξεις, οἱονεὶ φλέβες τινὲς οὖσαι τῆς γῆς, ἃς ὑποτρέχον τὸ ὕδωρ ἐπιζητεῖ διέξοδον. Ἐντεῦθεν καὶ σηραγγώδης τόπος εἴρηται διατετρημένος.

58,298,7. Κρατοῦντος. Ὡς εἰ ἔλεγεν Εἰς ὅσον αὐτῷ συνῆν ὁ πρεσβύτερος ἀδελφός, ἐκώλυεν αὐτὸν τῆς φανερᾶς αὐτοῦ καὶ τελειωτάτης ἀπονοίας.

58,298,9. Σύνεσιν. Ἢ ὁμοιός τις αὐτὸν ἐνόει ἐκ τῶν λεγομένων ἢ συνετὸς Χριστιανὸς ᾐσθάνετο, ὅτι οὐχ ὑγιαίνει κατὰ τὴν σωτήριον ἡμῖν φιλοσοφίαν.

58,298,24. Τῷ ὄντι. Ὅ, φησίν, εὐχερές ἐστι, τοῦτο δυσχερὲς ἡ κακία ποιεῖ. Φύσει μὲν γὰρ εὐχερὲς τὸ φυλάξαι τὰ ἀγαθὰ ἤδη κτηθέντα, δυσχερὲς δὲ τὸ κτήσασθαι· ἀλλ' ἡμεῖς ἐν ταῖς εὐπραγίαις ὑβρίζοντες τοὐναντίον ποιοῦμεν, εὐχερὲς μὲν τὸ κτήσασθαι, δυσχερὲς δὲ τὸ φυλάξαι. Ἔστι δὲ Δημοσθενικόν.

58,298,30. Ἐναντία ἐναντίοις. Ἔστι τις ἐναντίος τῇ κακίᾳ καὶ ἀντεισάγει αὐτῷ τὸ ἐναντίον τῇ κακίᾳ, ἔμμισθον τὴν ἀρετὴν καὶ ἐπὶ τοῦ ἐναντίου τὸ ἐναντίον.

58,298,35. Μέσην. Πρῶτον ἡ ἁμαρτία, εἶτα δεύ**[1216]**τερον ἡ ταπείνωσις καὶ τρίτον ἡ κατὰ τὸ φυλάξαι τὸ λόγιον Κυρίου διόρθωσις. Μέση τοίνυν, ὡς ὁρᾷς, ἀμφοῖν ἡ ταπείνωσις.

58,299,4. Ὁ βίος λαμβάνει. Ὁ βίος λαμβάνει πέρας καὶ τοῦ πεποιηκότος Καίσαρα τὸν ἀδελφὸν τοῦ Ἰουλιανοῦ καὶ τοῦ πεπονθότος τὴν σφαγὴν αὐτοῦ τοῦ Καίσαρος. Ἀμφοτέρων ὁ βίος, φησίν, ὅρον καὶ πέρας εἶχεν· οὐκ ἀμφοτέροις δέ, ἀλλὰ μόνῳ τῷ Καίσαρι ἡ βασιλεία καὶ ὁ βίος ὅρον εἶχον.

58,299,8. Οὐκ ἐπαινήσειεν. Δι' ὧν, φησίν, αἰτιῶν

θατέρου τῶν βασιλέων κατηγορήσομεν, διὰ τούτων τὸν ἕτερον τῶν αἰτιῶν καὶ μέμψεων ἀπολύσομεν· οἷον, κατηγοροῦμεν μὲν τοῦ ἑνὸς ἁμαρτίαν τινά. Διὰ ταύτης τὸν ἕτερον αἰτίας ἀπολύσομεν· καὶ ἐπὶ τοῦ ἑτέρου ὁμοίως

58,299,30. Ἀπερίσκεπτος. Ἀνενδοίαστος.

58,299,35. Ἀκμῇ βραχείᾳ. Ἀκμὴ καιροῦ, ἡ εὐτυχία· οὕτω καὶ Ἰσοκράτης· Κράτιστον μὲν τῆς ἀκμῆς τὸν καιρὸν τυγχάνειν. Εὐτυχίαν δὲ νῦν τὴν τοῦ βασιλέως Ἰουλιανοῦ.

58,299,36. Τῷ παλαμναίῳ. Τῷ φονικῷ δαίμονι. Παλαμναίους γὰρ ἔλεγον τοὺς ὠμοτάτους καὶ τιμωρητικοὺς δαίμονας.

58,300,19. Ἐπιδημία. Πρὸ γὰρ τῆς τοῦ Σωτῆρος ἐπιδημίας βουλὴ παρὰ Ῥωμαίοις ἦν, ἤτοι Σύγκλητος· ἥτις βουλὴ κατ' ἐνιαυτὸν δύο ὑπάτους ἐχειροτόνει, οἳ τοὺς πολέμους [πολεμίους] ἐπιστεύοντο, ἄλλων τὰ πολιτικὰ διοικούντων. Ἡνίκα δὲ μετὰ τῶν ὑπάτων ἐν τοῖς πολέμοις ἐδυστύχουν, δικτάτορα προέβαλλον, τὸν μόναρχον, ὃς μῆνας εἶχεν ἕξ, [μῆνας ἦρχε μόνους ἕξ].

58,301,1. Ἀδελφοῦ σφαγῆς. Τὸν γὰρ Ἰουλιανοῦ ἀδελφὸν ἐναντίως ἔχοντα αὐτῷ, ἀνεῖλεν ὁ Κωνστάντιος.

58,301,35 Πλατωνες αὐτόν. Ἡ τοῦ Πλάτωνος φιλοσοφία διῃρέθη εἰς Στωικοὺς καὶ Περιπατητικούς· καὶ τῆς μὲν Στοᾶς (ἣ καὶ Ποικίλη ἐλέγετο διὰ τὰ ἐν αὐτῇ γεγραμμένα, οἷον, ἡ ἐν Σαλαμῖνι ναυμαχία ἢ τὰ κατὰ Μαραθῶνα) ἡγήσατο ὁ Χρύσιππος, τοῦ δὲ Περιπάτου, ἤτοι τοῦ Λυκείου, Ἀριστοτέλης, Πλάτων δὲ τῆς Ἀκαδημίας.

58,301,37. Κομψὰ λαρυγγίζοντες. Κομψόν, ἐστὶ τὸ εὐπρεπὲς καὶ χαρίεν· κόμπον δὲ τὸ μέγα. Λαρυγγίζειν δέ ἐστι τὸ τὸν λάρυγγα πρὸς εὐφημίαν ἄγειν ἢ μελέτῃ ἤ τισι κλύσμασιν.

58,301,40. Ἐκ τῶν τριόδων. Τοὺς εὐκαταφρονήτους καὶ εὐτελεῖς, ἐκ τῶν τριόδων εἶναί φησιν.

58,302,3. Ὀβολόν. Ὀβολὸς παρ' Ἀθηναίοις ἐστὶ χαλκός, ὥς φησι Διόδωρος ὁ Σικελιώτης.

58,302,7. Εἰς ἡδονήν. Οἱ τοῦ Ἐπικούρου καὶ τοῦ Πύρρωνος, θεὸν εἶναι τὴν ἡδονὴν ὁρίζουσι· τοῦτο συλλογιζόμενοι, ὅτι εἰ πάντα, ἀγαθά τε καὶ αἰσχρά, δι' ἡδονὴν γίνεται, θεὸς ἄρα ἡ ἡδονή· μὴ συνιέντες ὅτι τὰ μέν, εἰς ἡδονὴν αἰσχρὰν καὶ ὀλέθριον, τὸ δέ, εἰς θείαν καὶ σωτήριον, τὰ δέ, μέσα πως, οἷον τὸ φαγεῖν συμμέτρως, τὸ λούσασθαι, τὸ περὶ πολιτικῶν εἰπεῖν καὶ τὰ ὅμοια.

58,302,11. Οὐ συνεῖδε. Τὰ παρ' αὐτῆς δό**[1217]**γματα οὐδεὶς αὐτῶν κατενόησεν, ὅτι πολλῆς ἀνοίας καὶ πλάνης ἀνάμεστα.

58,302,18. Μᾶλλον. Τῆς ἀληθείας, δηλονότι. Ἡ γὰρ πιθανότης ἐγγίζουσα τῇ ἀληθείᾳ, τοὺς πολλοὺς ἀπατᾷ.

58,302,26. Φιλοσοφίαν καὶ βασιλείαν. Λόγος ἦν φιλοσοφεῖν [τῶν τότε φιλ.] δοκούντων, ὅτι τότε πόλεις καλῶς [κα-

λῶς αἱ πόλεις] πράξουσιν, ὅταν βασιλεῖς φιλοσοφήσωσιν ἢ οἱ φιλόσοφοι βασιλεύσωσι· τοῦτο γοῦν αὐτῶν διασύρει νῦν ὁ θεῖος Γρηγόριος.

58,302,30. Μεγάλη προσηγορία. Εἰπών, ὅτι οὐ τὸ ἅρπαγμα βασιλείαν χαρίζεται, ἐπιφέρει λέγων, ὅτι τρία ἐστὶ καθ' ἃ δικαίως καὶ νομίμως τις βασιλεύει, γέρας ἀρετῆς τὴν τιμὴν λαβὼν ἢ ὅτε ὁ χρόνος τοῦτο χαρίζηται [ἢ γὰρ ὁ χρόνος τοῦτο χαρίζεται] δείξας ἐκεῖνον παντοίαις ἀρεταῖς καὶ μεγίσταις εὐδοκιμοῦντα καὶ διαπρέποντα· ἢ βασιλέως δοκιμασία καὶ κρίσις ἢ ψῆφος τῆς [καὶ ψῆφος· ἢ κρίσις] τῆς συγκλήτου βουλῆς κοινή. Ὁ μὴ καθ' ἓν δὲ τούτων κρατήσας, τύραννος μᾶλλον ἢ βασιλεύς.

58,302,33. Δεύτερον δέ. Οὐ περιέμεινε γὰρ τὸν θεῖον καὶ βασιλέα τῆς τιμῆς αὐτὸν ἀξιῶσαι, ἀλλ' ἑαυτὸν ἔστεψεν.

58,303,3. Οὐκ ἐπήρθη. Οὐκ ἐπήρθη μὲν εἰς τὴν κακίαν ὑπὸ τῆς τοῦ Θεοῦ κυβερνήσεως. Ἀντὶ τοῦ, οὐχ ἡ κυβέρνησις τοῦ Θεοῦ ἐπῆρεν αὐτὸν εἰς κακίαν, ἀλλ' οὐδὲ ἐπεσχέθη ὑπ' αὐτῆς προελόμενος ἅπαξ τῆς εὐσεβείας τὴν ἀσέβειαν.

58,303,6. Τῷ λαθεῖν. Τῷ λαθεῖν τοὺς βαρβάρους δηλονότι.

58,303,12. Κλέψας τινί. Ἀντὶ τοῦ, διά τινος τῶν ἐν τοῖς βασιλείοις, προδιδόντος καὶ μηνύοντος ἐκείνῳ τὸν καιρὸν καθ' ὃν ἐπιχειρεῖν δεῖ καὶ οὕτω νομίζων δεῖν αὐτὸν ῥυσθῆναι.

58,303,15. Εὔστοχοι. Μέγιστον σημεῖον καὶ ἐναργὲς ἡ κατὰ τὴν Περσίδα σφαγὴ Ἰουλιανοῦ, τοῦ μὴ κατὰ πρόγνωσιν αὐτὸν βασιλεῦσαι τούτων. Εἰ γὰρ τοῦτο ἦν καὶ ἐκστρατεύοντι αὐτῷ τὴν ἧτταν ἐδήλωσαν ἄν, καὶ ἐν Πέρσαις ὄντι τῷ παραπλῆγι, τὴν ὑπὸ τοῦ αὐτομόλου ἀπάτην προεῖπον ἄν.

58,303,23. Γενναιοτάτου. Καὶ γὰρ ἤδη βασιλεύοντι τῷ Ἰουλιανῷ τὸ περιγενέσθαι τοῦ στρατοῦ καὶ τῆς δυνάμεως, ἥτις αὐτῷ τὴν φυγὴν οὐ συνεχώρει, πολὺς ἀγὼν καὶ δυσχέρεια γέγονε.

58,304,31. Ἀφαγνίζεται. Ἀνάγνους ἀπεργάζεται. Τὸ γὰρ ἀφαγνίζεσθαι ἐναντίον ἐστὶ τῷ ἁγνίζειν.

58,304,40. Ἐπισημῆναι. Τὸ Θεῖον δηλονότι. Ἐπὶ γὰρ ταῖς μεγίσταις μεταβολαῖς καὶ μεγάλα τὰ σημεῖα εἰώθασι γίνεσθαι.

58,305,4. Θυομένῳ. Αἱ τοιαῦται μεσότητες τὴν ἀναφορὰν ἔχουσιν ἐπὶ τὸν κύριον, ἤτοι τὸν κτήτορα· οἷον, οἰκοδομεῖ μοι οἰκίαν ὁ οἰκοδόμος, οἰκοδομοῦμαι δ' ἐγώ.

58,305,8. Παρεσχεδίασε. Ἀντὶ τοῦ, παρὰ τὸ ὂν καὶ τὴν ἀλήθειαν ἐξέλαβε καὶ ἐκ τοῦ εὐθέως τοῖς παροῦσι παρερμηνεύσας ἐψεύσατο.

58,305,10. Ἕλκεται. Ταῦτα πρὸς τὸ σπλάγχνον ἔχει [1220] τὴν ἀναφοράν, ἐν ᾧ ὁ σταυρὸς σὺν τῷ κύκλῳ ἐφάνη. Ἐδήλου γάρ, ὅτι δεῖ τὸν σταυρὸν βασιλεύειν. Ὁ γὰρ στέφανος βασιλείας σημεῖον, εἰ

καὶ ἑτέρως ὁ ἄθεος ἐκεῖνος καὶ παραπλὴξ φησιν, ὅτι περιγραφὴν καὶ παῦλαν δηλοῖ ὁ κύκλος τῆς τοῦ σταυροῦ καὶ χριστιανῶν βασιλείας.

58,305,13. Ἐ π ρ υ τ α ν ε ύ ε τ ο. Ὠκονόμητο.

58,306,16. Α ὐ θ α δ ι ά ζ ε σ θ α ι. Ἐπὶ κακοῦ μέν, ὡς τὰ πολλά, εἴρηται τὸ αὐθαδιάζεσθαι, οἷον ἐπὶ τοῦ θρασύνεσθαι καὶ προπετεύεσθαι καὶ σὺν ἀπονοίᾳ κινεῖσθαι· νῦν δὲ ἐπὶ καλοῦ εἴρηται τῷ Πατρί, ἀντὶ τοῦ, ἀπομάχεσθαι.

58,306,22. Τ έ χ ν η ς Ἀπόδοσις. Ὡς τὸ μὲν φανερῶς ἀνελέσθαι τὸν πόλεμον, τὸ καὶ τὸ συμβήσεται· εἰ δὲ μετὰ τῆς τέχνης στρατεύσειε καὶ τὰ ἑξῆς

58,307,4 Π ᾶ σ α ἔ φ ε σ ι ς. Πρώτη τάξις τῶν ἐπαινετῶν τὸ ἀγαπᾶν τὸ καλὸν δι' αὐτὸ τὸ καλὸν καὶ μὴ δι' ἄλλο τι· ὅπερ ἐστὶ βέλτιον καὶ τῶν ἐπὶ πλεῖστον ἀρετῆς προελθόντων. Δευτέρα τάξις, τὸ ἀγαπᾶν τὸ καλὸν δι' ἐλπίδα καὶ προσδοκίαν μισθοῦ. Τρίτη τάξις, τῷ φόβῳ κολάσεως ποιεῖν τὸ ἀγαθόν.

58,307,15-16. Μ ε γ α λ ο π ρ ε π έ ς. Μικροψυχίαν ἅμα καὶ δουλοπρέπειαν τοῦ τυράννου καταγινώσκει Ἰουλιανοῦ· διὰ τὸ μὴ φανερῶς, ἀλλὰ τεχνικῶς καὶ δολερῶς διώκειν τὸ σωτήριον δόγμα.

58,307,22. Ἄ λ η π τ ο ς. Ὧν δήμων καὶ πόλεων ἡ αὐθάδεια ληφθῆναι καὶ κρατηθῆναι χαλεπὸν ἢ ἀδύνατον ἦν.

58,307,24 Ἄ γ ρ α φ ο ν. Ἔοικε τοῦτο, τῷ συγγραφικῷ ἐκείνῳ. Ὁ γὰρ δυνάμενος παῦσαι, περιορῶν δέ, ἀληθέστερον τοῦτο δρᾷ.

58,307,26. Ἡ μ ε ρ ώ τ ε ρ ο ν. Ὡς ἐκεῖνος ἐνόμιζε δῆλον ὅτι· διὰ τοῦτο καὶ ἐπιφέρει εὐθέως τὸ δῆθεν. Οὕτως οὖν νοήσεις, ἵνα τὸ ἐναντιοφανὲς ἐκφύγῃς. Ποῖον τοῦτο; Ἀνωτέρω τὸ μὲν φανερῶς καὶ δημοσίᾳ βιάζεσθαι, βασιλικὸν ὁμοῦ καὶ μεγαλόψυχον ἐνομίζετο, τὸ δὲ τεχνικῶς πειρᾶσθαι πείθειν, δουλοπρεπές τε ἅμα καὶ ἀγεννές. Πῶς οὖν ἐνταῦθα, τὸ μετὰ τέχνης πειρᾶσθαι πείθειν ἡμερώτερον καὶ βασιλικώτερον; Ἐναντίον μὲν οὐκ ἔστιν, ἐναντιοφανὲς δέ, πλὴν ὡς ἐκεῖνος ᾤετο οὕτως· ὅτι καὶ ἐπιφέρει, εἰς ἑαυτὸν δῆθεν φέρει τὸ τῆς πειθοῦς. Οὐ γὰρ κατ' ἀλήθειαν ἐκείνου ἦν ἡ πειθώ, σοφίσματα δὲ τοῦ δημιουργοῦ τῆς κακίας, ὀργάνῳ κεχρημένου τῷ τυράννῳ.

58,307,27. Δ ι ε σ ώ σ α τ ο. Οὐδὲ τὴν δοκοῦσαν πειθὼ μέχρι τέλους ἐφύλαξεν, ἀλλὰ λοιπὸν ἐτράπη καὶ εἰς τὸ φανερῶς βιάζεσθαι

58,307,35. Λ ί α ν ἀ π ά ν θ ρ ω π ο ν. Πῶς τὸ φιλάνθρωπον ἀπάνθρωπον; Ὡς μὲν αὐτὸς ἔλεγεν, ὑπὸ φιλανθρωπίας ἡμᾶς ἐβιάζετο· ὡς δὲ ἡ ἀλήθεια, ἀπάνθρωπον ἦν αὐτῷ τὸ δοκεῖν φιλάνθρωπον.

58,307,36. Π ι θ α ν ό ν. Πρότερον μὲν γὰρ ἐπειρᾶτο σοφίσμασί τισι καὶ παραλογισμοῖς χρώμενος πείθειν· ὡς δὲ τῆς πειθοῦς ἐξασθενῶν διημάρτανε καὶ προσεβιάζετο ὑλακτῶν καὶ ἀγριαινων ὥσπερ τι θηρίον ἀνήμερον. Καὶ οἱ ὑπὲρ τῆς ἀγριότητος ἀπολογούμενοι, ἔλεγον, ὅτι ὑπὸ χρηστότητος πολλῆς καὶ **[1221]** τοῦ τοὺς χριστιανοὺς ἐθέλειν πρὸς τὸ κρεῖττον μεταστῆσαι ἀγριαίνει καὶ βιάζεται

58,307,37. Ἀ π ο τ υ γ χ ά ν ω ν. Τοῦτο ποῖον; Τὸ βούλεσθαι τὸν Ἰουλιανὸν δοκεῖν εἰκότως βιάζεσθαι.

58,307,40. Π ά γ α ι ς. Καὶ ἡ παγὶς καὶ ἡ πάγη εἴρηται.

58,307,40. Ε ἷ ς γ ε τ ρ ό π ο ς. Εἷς τῶν δύο ἢ πάγης ἢ διωγμοῦ· ἦν δ' αὐτῷ πάγη μὲν οἱ λόγοι, διωγμὸς δὲ τὸ βιάζεσθαι.

58,308,2. Π ᾶ σ ι δ ι ώ κ τ α ι ς. Οὕτως ἐν τοῖς πολέμοις οἱ Ἀθηναῖοι πρώτοις ἐπεχείρουν τοῖς ἰσχυροτέροις, τοὺς ἀσθενεστέρους τέως ἐάσαντες· ὅτι τῶν κρειττόνων χειρωθέντων ῥᾳδίως οἱ χείρους ἁλώσονται.

58,308,6. Τ ὰ β α σ ί λ ε ι α. Τῷ τὴν ἀρχὴν ἐγχειρῆσαι τοῖς ὁμοίοις αὐτῷ τὴν ἀσέβειαν.

58,308,8. Μ ε γ ά λ ῳ β α σ ι λ ε ῖ. Μέγαν βασιλέα οἶμαι λέγειν αὐτὸν Κωνστάντιον [τὸν ὑπ' ἐκείνου δολοφονηθέντα], μείζονα δὲ τὸν Χριστόν.

58,308,10. Ε ὔ π ι σ τ ο ν. Εὐχερῶς πειθόμενον.

58,308,15. Ἤ λ π ι ζ ε ν. Τοιοῦτοι γὰρ οἱ πονηροί, τοῖς ἀεὶ παροῦσι δουλεύοντες καὶ μηδενὶ γνησίως.

58,308,16. Δ ι ώ κ τ η ς. Διάβολος δηλονότι οὐχ ὅτι δ' ἑκών, ἀλλ' ἄκων οὐκ ἔδωκε, τοῦ Θεοῦ μὴ συγχωρήσαντος τὸ πᾶν ὑφελέσθαι διὰ σπλάγχνα ἐλέους αὐτοῦ[1].

58,308,18. Ὄ φ ε ω ν. Ὁ γὰρ κρεμασθεὶς ὄφις τὴν ἁμαρτίαν ὑπεδήλου καὶ ὑπηνίττετο καταλυθησομένην ἐν τῷ σταυρῷ.

58,308,22. Τ ῶ ν κ ά τ ω. Τῶν ἀρχομένων καὶ μὴ ὄντων ἐν περιφανείᾳ καὶ εὐδοξίᾳ ταύτῃ τῇ φαινομένῃ.

58,308,27. Σ υ ν θ ή μ α τ ο ς. Σύνθημά ἐστι τὸ [τὶ] σημεῖον καὶ σύμβολον τοῦ στρατοῦ, ὃ καλοῦσι βάνδον. Λέγει δὲ νῦν τὸ ἔχον ἐπὶ τοῦ ἄκρου τὸν σταυρὸν τὸν σωτήριον, ὃ κατὰ τῶν ἐναντίων ἀρραγὲς ἵσταται τρόπαιον. Πάλιν, τὰ καλούμενα παρὰ Ῥωμαίοις σίγνα καὶ βάνδα, ταῦτα ὁ Ἀττικίζων συνθήματα καὶ σημεῖα καλεῖ. Καὶ εἴ τι μὲν σύνθημα, τοῦτο καὶ σημεῖον, οὐκ εἴ τι δὲ σημεῖον, τοῦτο ἤδη καὶ σύνθημα. Ἔστι γὰρ σύνθημα τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον σύμβολον, πρὸς τὸ μὴ ἀγνοεῖσθαι αὐτοὺς ἀλλήλοις· οἷον ἀρχάγγελος [ἀρχάγγελε] Θεοτόκε, Χριστὸς βασιλεύει.

58,208,28-29. Κ α μ ά τ ω ν. Ἀντὶ τοῦ, καταλῦον τῶν πόνων τὸ στράτευμα.

58,308,33. Ἐ π' ἄ κ ρ ω ν. Ἀντὶ τοῦ, ἐπ' ἄκρων καμάκων καὶ καλάμων· αὐτὸ γὰρ τὸ δόρυ τὸ βαστάζον τὸν σταυρὸν ἢ βασιλέως πρόσωπον ἢ χάσμα δράκοντος, κάμαξ ἀκούει, οἱονεί τις κάλαμος.

58,308,34. Φ ο λ ί σ ι ν. Φολὶς ἀντὶ τοῦ ἡ λεβηρίς· ἔστι δὲ τὸ δέρμα τοῦ ὄφεως, ἤτοι αἱ λεπίδες τοῦ δέρματος.

---

1 Πρβλ Λουκ 1,78

58,308,38. Ἀ π α ι δ ε υ τ ό τ α τ ε. Πεπαίδευτο μὲν γὰρ τὰ μικρὰ ταῦτα, ὅσα ἐν γράμμασι καὶ φωναῖς εἰς ἀέρα διαλυομέναις, ἀπαιδευτότατος δὲ τὰ σωτηριώδη καὶ παραμένοντα τοῖς κτησαμένοις.

[1224] 58,309,4 Ὀ λ ί γ ο ι ς. Τὸ μυστήριον ἡμῶν τοῖς μὲν ὀλίγοις, ἀντὶ τοῦ, καθαροῖς καὶ ὀξυτάτοις τὴν θεωρίαν· παλαιὸν τοῖς γε πολλοῖς καὶ χαμαὶ ἐρχομένοις, νέον δὲ τοῖς ὀλίγοις καὶ ὑψηλοτέροις πρόσφατον

58,309,18. Μ ά ρ τ υ ρ α ς. Οὐδὲ μάρτυρας τὸ ἐπὶ σοὶ γενέσθαι ἐσπούδακας· φθάσας γὰρ εἶπεν, ὅτι ἐφθόνει ἡμῖν καὶ τῆς τοῦ μαρτυρίου τιμῆς

58,309,31 Α ἱ ἐ π ι φ ά ν ε ι α ι. Ὧν ἁγίων τὸ ἐπιφαίνεσθαι τοῖς καμνουσι κατὰ θάλατταν ἢ ἄλλως κινδυνεύουσι καὶ ὧν τὸ διὰ προρρήσεων προμηνύειν καὶ προλέγειν τὰ μέλλοντα.

58,310,13 Σ χ έ δ ι α. Τὰ ἐξ αὐτοσχεδίου γινόμενα.

58,310,13 Α ὐ τ ο υ ρ γ ό ν. Αὐτουργὸν στρατηγίαν ἣν βασιλεὺς δι' ἑαυτοῦ βασιλεύει καὶ στρατηγεῖ.

58,310,24-25. Ἀ π α θ ο ῦ ς ἔ ρ ω τ ο ς. Ἔχομεν ἐν ἡμῖν αὐτοῖς καὶ ὀργὴν καὶ ἔρωτα καὶ εἴ τι τοιοῦτον ἄλλο ἐν τῇ ἡμετέρᾳ φύσει παρὰ Θεοῦ τοῖς ἀνθρώποις ἐμφυτευθέν· ἃ κατὰ τὸ αὐτεξούσιον ἐπὶ τὸ χεῖρον ἡμεῖς παρατρέποντες, τὸ τῶν κρειττόνων ἐρᾶν παρωσάμενοι, τῶν σωματικῶν καὶ ἀστάτων ἀθλίως ἐπιθυμοῦμεν· ὡσαύτως καὶ τοῦ θυμοῦσθαι κατὰ τῶν παθῶν ἀφέντες, τοῖς ὁμοφύλοις ἡμῶν οὐκ ὀρθῶς ἀγριαίνομεν.

58,311,42. Π έ ρ σ α ι. Ἐν οἷς καὶ δίκην ἔδωκε, τῆς μὲν ἀσεβείας οὐκ ἀξίαν μέν, δίκην δὲ ὅμως ἐν τῷ παρόντι ἱκανήν.

58,312,2. Κ α ὶ τ ο ῦ τ ο. Τὸ καθ' ἡμῶν σπούδασμα. Οὐκ ἦν τῷ Ἰουλιανῷ μέσον τοῦ τε ἐκφαίνειν καὶ τοῦ κρύπτειν παντελῶς· ἀλλ' οὕτω τῆς μανίας εἴχετο καὶ παραπληξίας, ὥστε ἄνω καὶ κάτω τὸ καθ' ἡμῶν μῖσος καλῶν [ἴσ. στρέφων] οὐκ ἐπαύετο. Εἰ δὲ μετρίως γοῦν ἐσωφρόνει, ὀλιγάκις μὲν ἔλεγε καὶ ὑπεδήλου τὴν γνώμην, τὰ πολλὰ δὲ σιωπῶν ἀπέκρυπτε. Τοῦτο γὰρ μέσον ἐστὶ τοῦ τε ἐκλαλεῖν καὶ τοῦ πάντα πᾶσι μὴ ἐκφαίνειν.

58,312,13. Τ ῆ ς ν έ α ς. Ἔλεγον γὰρ οἱ τὰ τοῦ Ἰουλιανοῦ φρονοῦντες, ὅτι νῦν εἰς ταὐτὸ συνῆλθε φιλοσοφία τε ἅμα καὶ βασιλεία.

58,312,13. Θ α υ μ α σ τ ῆ ς. Ἐν εἰρωνείᾳ ταῦτα.

58,312,17. Ἡ δ ρ ό μ ο ς. Ἐν ἄλλοις, ἥ, μετὰ τῆς δασείας· τουτέστιν, ἥτινι φιλοσοφία καὶ βασιλείᾳ· τόδε μὲν καὶ τόδε τὰ μέχρι λόγου ἀγαθά. Δῆμοι δὲ στασιάζοντες καὶ τὸ [καὶ τὸ] κακά, ἃ μὴ μέχρι λόγου, ὥσπερ τὰ καλά, ἀλλ' αὐτῷ τῷ ἔργῳ πάρεστιν ὁραν.

58,312,20. Π ε ρ ι θ ρ υ λ λ ε ῖ σ θ α ι. Περιηχεῖσθαι μάτην.

58,312,24. Ἡ π ρ ὸ ς ε ὐ δ ο ξ ί α ν. Οὕτω θέλει ὡς νομίζω· ἃ ταῦτα κακὰ πρὸς εὐδοξίαν τῷ Ἰουλιανῷ κάλλιστα εἶχεν ὡς αὐτὸς

ὥστε ἢ τῷ κοινῷ τῶν Ῥωμαίων πρὸς ἀσφάλειαν (τὸ κείμενον δὲ οὕτως ἔχει) ἢ πρὸς εὐδοξίαν ἐκείνῳ, ἀντὶ τοῦ, ἃ ὡς ἤδη ὑπέλαβεν.

58,312,26. Ὅ σ τ ι ς ἄ ν. Ποῖα ταῦτα; Τὸ λέγειν τοὺς Ἕλληνας ὅτι νῦν εἰς ταὐτὸν ἦλθον βασιλεία καὶ φιλοσοφία. Κἀντεῦθεν εὐδαίμονες, φησίν, οἱ ἄνθρωποι πρὸς τὴν χρυσῆν ἐκείνην γενεὰν ἐπανελθόντες.

58,312,41. Δ ι ά θ ε σ ι ν. Διάθεσιν ἐνταῦθα ἀντὶ τῆς ἕξεως εἶπεν. Ἡ μὲν γὰρ διάθεσις προϊοῦσα, ἕξις γίνεται, ἡ δὲ ἕξις βέβαιόν τι καὶ τέλειον ἀγαθὸν ἐν τῇ ψυχῇ καθίσταται Ἔχομεν δὲ ἡμεῖς οἱ χριστιανοὶ **[1225]** τὸ μέγα τῆς πίστεως ἡμῶν μυστήριον, οὐ κατὰ διάθεσιν, ἀλλὰ σὺν Θεῷ φᾶναι, κατὰ τὸ μεῖζον καὶ κρεῖττον, τὴν ἕξιν. Οὐκοῦν τῷ τῆς διαθέσεως ὀνόματι ἀντὶ τῆς ἕξεως ὁ Πατὴρ ἐχρήσατο.

58,314,12. Λ ό γ ῳ. Ἐπιδιόρθωσις τοῦτο Τί λέγω ταῖς ἀγγελικαῖς παρατάξεσι; Καὶ λόγῳ μόνῳ τοὺς πονηροὺς ἐχθροὺς ἀμύνεσθαι εὔκολον ἦν αὐτῷ.

58,314,3. Ἀ π ο π ε μ π ό μ ε θ α Διά τι τὰ τοιαῦτα τῶν γελοίων εἰς τὸ θέατρον ἀποπέμπομεν; Ἐπεὶ οὐδέποτε νικήσομεν τοὺς ἐκεῖ παίζοντας τοῖς τοιούτοις τῶν γελοίων. Κόρρην δὲ λέγει τὴν κεφαλήν, ἣν εἰώθασι πατάσσειν οἱ μίμοι παίζοντες

58,314,7. Τ ῷ Μ ί ν ω ο ς. Μίνως υἱὸς ὢν τοῦ Διός, δίκαιος ἄνθρωπος ἐνομίζετο. Ὃ οὖν λέγει ὁ θεῖος Γρηγόριος τοῦτό ἐστιν· ὅτι ὁ Ἰουλιανὸς τὴν ἑαυτοῦ πονηρίαν δι' ἐπιπλάστου ἤθους ἀπέκρυπτεν, ἄδικος ὢν ἐν δικαίῳ σχήματι.

58,314,8. Ἐ π ι ε ι κ ῶ ς. Ἀντὶ τοῦ, ἐν ἐπιεικείας πλάσματι καὶ προσχήματι· τὸ δ' ἐπίρρημα τοῦτο σημαίνει καὶ τὸ πάνυ καὶ τὸ παράδοξον καὶ παρ' ἐλπίδα καὶ τὸ μετὰ ἐπιεικείας καὶ χρηστότητος, ὥσπερ νῦν. Σημαίνει καὶ τὸ μετρίως, ἤτοι συμμέτρως.

58,314,19. Β α σ ι λ ε ύ ο ν τ α ς. Καταγινώσκοντός ἐστι βασιλέων φανερῶς.

58,314,21-22. Σ υ γ κ ρ ο τ ε ῖ ν. Ἐν μὲν ἑτέροις, τὸ συγκροτεῖν ἀντὶ τοῦ διδάσκειν εἴρηται· ἐνταῦθα δὲ ἐπὶ τοῦ συνάγειν καὶ συνάπτειν καὶ συνιστᾶν. Συγκροτεῖ οὖν, ἀντὶ τοῦ, συνδεῖ καὶ πρὸς ἁρμονίαν ἄγει. Τὸ δὲ δεῖ, ἀντὶ τοῦ, χρή, εἴρηται. Τό, δεῖ, τέσσαρα ἔχει τὰ σημαινόμενα. Δεῖ γάρ, ἀντὶ τοῦ, χρή· καὶ δεῖ, ἀντὶ τοῦ, χρεία ἐστίν Οἷον «δεῖ δὲ χρημάτων καὶ ἄνευ τούτων οὐδὲν ἔστι γενέσθαι τῶν δεόντων»[α]. Καὶ δεῖ, ἀντὶ τοῦ, δεσμεῖ· καὶ δέει, ἐν διαλύσει ἀντὶ τοῦ, ἀπέχει.

58,314,24 Π λ ά σ μ α σ ι ν. Ἐν ἀνδριάσι καὶ εἰκόσι γραπταῖς

58,314,29 Σ υ ν θ ή μ α σ ι ν. Ἃ καλοῦσιν κοδικίλλια Τοῖς τῶν ἀρχόντων συνθήμασιν, εἴτ' οὖν συμβόλοις.

58,314,35. Δ η λ η τ ή ρ ι α. Παρὰ τὸ δηλήσασθαι, τὸ βλάπτειν.

α. Δημοσθ. Ὀλυνθ Α, 20.

58,314,37. Γαῖς εἰκόσι Διὰ τὴν μηχανὴν ταύτην καὶ τὸν δόλον, ὃν ἡμῖν ἤγειρεν.

58,315,1-2. Πρόσχημα. Ἀντὶ τοῦ, πρόφασιν μέν, καὶ πλάσμα, καὶ παραπέτασμα δόλου.

58,315,11 Αἴσχιον. Τὸ ἁπλοῦν αἰσχρόν, τὸ συγκριτικὸν αἴσχιον.

58,315,15 Φθάνοντος. Καταλαμβάνοντος. Οὐ γὰρ νῦν προλαμβάνοντος

58,315,16 Σχεδιασθεῖσα. Ἐκ τοῦ εὐθέως καὶ παραχρῆμα ἐφευρεθεῖσα

58,315,18. Πάλιν Ἀντὶ τοῦ, πάλιν τὸ προκάλυμμα, καὶ καταπέτασμα τοῦ σοφίζεσθαι καὶ τεχνάζεσθαι τὸν δόλον προβάλλεται.

58,315,19. Φαρμαχθῆναι. Μιχθῆναι καὶ συμπλακῆναι καὶ συντεθῆναι

58,315,21 Μεθ' ὧν. Ἀλογίας καὶ ἀπληστίας.

58,315,21 Σχῆμα. Ποῖον σχῆμα; Τὸ νόμον δοκεῖν βασιλικῆς δωρεᾶς ἀρχαιοτέρας.

[1228] 58,315,39. Ἄλυτον. Οὐ δεῖ δὲ οὕτως, ἀλλ' ἐπιστροφῇ και μετανοιᾳ τὸ εὐσεβὲς εὐθὺς ἀναλαμβάνειν καὶ ἀνακτᾶσθαι.

58,316,5. Κύλικι. Κύλιξ εἶδος ποτηρίου καὶ φιάλης· ὡς, πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

58,316,11. Ζήλῳ καὶ θυμῷ. Ζῆλός ἐστιν, ὡς ἤδη πολλάκις εἶπον, ἐπιθυμία τινὸς καλοῦ, ἐγγινομένη τῇ ψυχῇ ἄνευ τοῦ φθονῆσαι τῷ κεκτημένῳ. Ἐπεθύμουν καὶ οὗτοι μιμήσασθαι ἁγίους μάρτυρας, τὸ ὑπὲρ τοῦ Χριστοῦ ἀποθανεῖν ἐκ μετανοίας γνωσιμαχήσαντες, μᾶλλον δὲ τῇ ὕστερον τοῦ κακοῦ συναισθήσει καὶ γνώσει, τῆς προλαβούσης ἀγνοίας καὶ σοφιστικῆς καὶ ἀπατηλῆς ἀρνήσεως τὸ ἁμάρτημα διὰ τῆς ὁμολογίας ἐξαφανίζοντες.

58,316,39. Μήνυμα Τοῦ κακοῦ τοῦ μικρὸν ὕστερον ἐσομένου δῆλον ὅτι· ἐξαίφνης γὰρ ἀναδοθὲν τὸ πῦρ ἕλκεται ποταμοῦ δίκην ἐπὶ τὸ πολύ.

58,317,1. Δόγματος. Καθ' ὃ μὴ φανερῶς τέως ὁ τύραννος ἐβιάζετο.

38,317,5. Ἵνα ἐάσω. Τὸ καθ' ὑποσιώπησιν σχῆμα, δι' οὗ λέγων ἐξ ἐπιδρομῆς, δοκεῖ μὴ λέγειν.

58,317,6. Πληρούμενα. Παρ' ἑκάστοις τῶν δήμων δηλονότι.

58,317,8-9. Ὑπὲρ τούτων. Ὑπὲρ τῶν οἴκων τῶν ἱερῶν, λαϊκοὺς ἢ διακόνους, μᾶλλον δὲ πάντας ἁπλῶς τοὺς ὑπὸ τοῖς ἱερεῦσιν.

58,317,21. Ἡλιουπολιτῶν. Ἧ δὲ ἦν, τὸ χριστιανοὺς ὁσημέραι παίειν ὁμοῦ καὶ κτείνειν.

58,317,38. Ὀφθεῖσαν. Μίξεως φύσις ἣν ὁμοίαν οὐκ ἔχουσα. Τίς γὰρ λέγεται πλὴν τούτων, κριθαῖς μῖξαι σάρκας ἀνθρώπων, καὶ τροφὴν τοῖς χοίροις παραθεῖναι;

58,318,34-35. Π ά σ η κ α ὶ τ ύ χ η. 'Αντὶ τοῦ, πλουσίῳ καὶ πένητι καὶ ἄρχοντι καὶ ἀρχομένῳ καὶ δούλῳ καὶ ἐλευθέρῳ.

58,319,8. Κ α ὶ τ ῷ μ ὲ ν τ ὰ ς σ ά ρ κ α ς. Τοῖς σφηξὶ καὶ ταῖς μελίσσαις. Ἴσμεν δὲ ἐκεῖνο, ὅτι ἀρρενικοῦ καὶ θηλυκοῦ συνημμένων, κἂν πλεῖον ᾖ τὸ θηλυκόν, ἓν δὲ τὸ ἀρσενικόν, τὸ ἀρσενικὸν ἐπικρατεῖ.

58,319,13. Σ ύ μ β ο λ ο ν. Εἴποι ἄν τις ἴσως· ἰδοὺ καὶ οἱ ἅγιοι προσέχειν ἴσασι συμβόλοις. Λέγομεν οὖν, ὅτι ἐκεῖνοι καθαροὶ καὶ ἅγιοι ὄντες καὶ διαυγέσιν ἀεὶ τοῖς τῆς ἀληθείας κατόπτροις ἐνατενίζοντες, πάντα καθαρῶς ἑώρων. Κἀντεῦθεν οὐδέν ἐστι τῶν μακαρίων ἐκείνων ἀνδρῶν, ὃ μὴ σὺν ἀληθείᾳ ἢ μὲν ἐλέγετο ἢ δὲ ἐπράττετο· ἡμεῖς δὲ τούτου τοῦ μέτρου καὶ τοῦ ὕψους τῆς ἀρετῆς πλεῖστον καὶ πάνυ ὁμολογουμένως ἀπολειπόμενοι, οὐδενὶ τοιούτων ἐπιχειρεῖν, ἢ ὅλως προσέχειν, ὀφείλομεν, οἷς ὀλίγα μὲν τὰ τῆς ἀληθείας αἰνίγματα, πλείστη δὲ ταύτης ἡ ἄγνοια.

58,319,23. Χ ρ υ σ ο ῦ ν. 'Απήτουν γὰρ αὐτὸν ἢ τὸν ναὸν αὐτοῖς ἀναδείμασθαι καὶ ἀνοικοδομῆσαι ὃν καθεῖλεν ἢ χρυσίον οὐκ ὀλίγον εἰς τὴν οἰκοδομίαν ἀποτῖσαι· ὕστερον δὲ καὶ εἰς ὀλίγον πάνυ καταστάντες, οὐδ' ὡς πειθόμενον ηὕρισκον. Ὧ δῆλον ἐγένετο, ὡς ὑπὲρ εὐσεβείας μᾶλλον ἢ ἀδυναμίας, ἐκείνῳ τὰ τῆς ἐνστάσεως εἶεν. Εἰς ὅσον μὲν γὰρ τὸ πλεῖον **[1229]** ἀπῄτουν, ὑπόνοια ἦν τοῦ, διὰ τῆς τῶν χρημάτων ἀπορίας, ἀλγηδόνας ἀνάγκη φέρειν· ἐπειδὴ δὲ κατιόντες εἰς νόμισμα ἦλθον, τότε σαφῶς ἐγνώσθη (ἐνεδίδου γὰρ οὐδ' οὕτως), ὡς οὐ τῇ τῶν χρημάτων ἀπορίᾳ τὰς βασάνους ὁ γέρων ὑπέμεινεν, ἀλλ' ὑπὲρ τοῦ μὴ μέγα ἢ μικρὸν τοῖς βασανισταῖς προέσθαι τὸν ἀριστέα.

58,320,24. Δ ι ώ ρ υ ξ ι. Ἔστιν αὐτὸς ὁ πορθμός· διωρυχὴ δὲ αὐτὸ τὸ διορύσσειν, ἵνα διώρυξ ᾖ πορθμός Λέγεται καὶ ταύτην ἔχειν τὴν διαφορὰν ἡ διωρυχὴ πρὸς τὴν διώρυχα, ἣν ἔχει ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν· κἀκεῖ γὰρ ἡ ἐλευθέρωσις πρὸς τὴν ἐλευθερίαν ὁδός ἐστι.

58,320,26. Ψ υ χ α γ ω γ ί α. 'Αντὶ τοῦ, ἐπὶ τῷ ψυχὰς δῆθεν ἐκ τοῦ ᾄδου ἀναγαγεῖν πρὸς τὴν μαντείαν.

58,320,26. Ν ε ν ο μ ι σ μ έ ν α ι ς. Γοήτων γὰρ μᾶλλον ἢ Ἑλλήνων ἐστί.

58,320,38. Μ έ σ η ν β α δ ί ζ ω ν. 'Αντὶ τοῦ, μήτε Ἕλλησι λίαν, μήτε χριστιανοῖς προσκείμενος, ἀλλὰ πρὸς ἀμφοτέρους μέσως πως ἔχων. Ἄλλως· 'Απόδοσις· τίς οὐκ οἶδεν ὅτι δήμου τινὸς ἐπιμανέντος ἡμῖν, ἐπειδὴ μέσην βαδίζων ὁ τοῦ ἔθνους ἄρχων, ἄτιμος ἐκρίνετο; Τὸ γὰρ μετρίως καὶ μέσως πως ἔχειν περὶ ἡμᾶς, ἔγκλημα μέγα 'Ιουλιανὸς ἐποιεῖτο.

58,321,5. Π ρ ό γ ρ α μ μ α. Οἱ 'Αθηναῖοι βουλεύειν τῆς βουλῆς μελλούσης, ἢ μέλλοντος ἐκκλησιάζειν τοῦ δήμου, προέγραφον, ὅτι

τῇδε τῇ ἡμέρᾳ ὁ δῆμος ἐκκλησιάζει ἢ ἡ βουλὴ βουλεύει καὶ τοῦτο ἐκάλουν πρόγραμμα.

58,321,11. Νέον θεόν. Ἰουλιανὸν δηλονότι

58,322,10. Πρῶτος ἐνυβρίσας. Πρῶτος οὐχὶ πάντων τῶν διωξάντων, ἀλλὰ πρῶτος τῶν ἐν ἐκείνῳ τῷ διωγμῷ, τουτέστι τῷ ἐσχάτῳ. Οὐ γὰρ εἷς γέγονε διωγμὸς ἀδιάκοπος ἀπ' ἀρχῆς μέχρι τέλους, ἀλλὰ πολλοὶ κατὰ καιρούς, ὧν ἕκαστος ὅρον ἔσχε τοῦ Κυρίου τὴν ἀντίληψιν

58,322,20-21. Κεχρῆσθαι. Μισθὸν ἀπῄτει τοὺς χριστιανοὺς τοῦ χρήσασθαι τοῖς δικαστηρίοις, τὸ θυμιᾶσαι ἐπὶ τῶν βωμῶν τῶν ἔμπροσθεν τῶν δικαστηρίων. τοσούτου μικροῦ καὶ εὐτελοῦς πράγματος.

58,322,24 Κοινή. Ὡς εἰ ἔλεγεν· Ὁρᾶτε οἵαν ὠμότητα καὶ ἀπανθρωπίαν καθ' ἡμῶν διενοεῖτο ὁ παμμίαρος.

58,322,33 Φονευτοῦ Φονευτοῦ καὶ παρανόμου κατ' ἀλήθειαν, προστάτου καὶ νομοθέτου κατὰ τοὺς τὰ ἐκείνου σέβοντας.

58,322,36 Νομου. Πάνυ μὲν οὖν ταῦτα πάντα τοῦ τῶν χριστιανῶν νόμου καὶ οὐκ ἀρνούμεθα κἂν σὺ πλέον μανῇς καὶ μεῖζον μετὰ τῶν σῶν δαιμονων ὑλακτῇς. Ἀλλ' οὐ πάντων, ὦ τρισάθλιε σύ, τὸ πρὸς ἄκρον τοῦ καλοῦ καὶ τῆς ἀρετῆς ἀναβαίνειν, οὐδὲ τῶν πρὸς βίαν ταῦτα καὶ τυραννιδα (ἦ γὰρ ἂν οὐχ οὕτω καλόν), ἀλλὰ τῶν ἐπ' ἐξουσίας καὶ γνώμης τῆς ἡμετέρας· εἶτα σὺ ταῦτα καταναγκάζεις ποιεῖν, τίς ὢν καὶ ποθεν καὶ τινος τοῦ παραδείγματος τῶν πρὸ σοῦ βασιλέων; Εἷς ἡμῖν βασιλευς, ὦ τύραννε σὺ καὶ τῆς κατ' οὐρανὸν βασιλείας ἐχθρέ, ὃς τούτων ἡμᾶς ἀπαιτήσει τοὺς λόγους καὶ τὰς εὐθύνας, εἴτε κολάσων εἰς **[1232]** περας χρηστόν τε ὁμοῦ καὶ σωτήριον εἴτε καὶ ἄλλως ἡμᾶς ἐλεήσων πρὸς ἄκραν ἐλάσει φιλοσοφίαν ἢ μὴ δυνηθέντας ἢ τό γε ἀληθέστερον εἰπεῖν, οὐ πάνυ φροντίσαντας, ἀλλ' ἡττηθέντας πηλοῦ καὶ κόσμου καὶ τῆς ἐν τούτοις συγχύσεως. Ταῦτα μὲν ζητήσει παρ' ἡμῶν ἐκεῖνος ἐν δέοντι· σοὶ δὲ τί προσήκει καὶ διαφέρει, ὦ ἀσεβέστατε τύραννε,

58,323,6. Σηκοῖς. Ὁ μὲν σηκὸς καὶ τὸ τέμενος σημαίνει τὸ ἱερὸν ὅλον· ὁ δὲ ναὸς σημαίνει τὸ θυσιαστήριον, ἐν ᾧ ἡμῖν μὲν ἡ θεία τῶν μυστηρίων πρόκειται τράπεζα, Ἕλλησι δὲ τὸ βδελυρὸν ἐν τούτῳ εἴδωλον εἱστήκει. Ἐντεῦθεν καὶ τὸ κρέας τῷ μίλτῳ χριόμενον καὶ ἑψόμενον ἐν Ἀλεξανδρείᾳ, ἀπὸ σηκοῦ ἐκαλεῖτο, οἱονεὶ ἀπὸ τοῦ ἱεροῦ. Ἐκεῖσε γὰρ ἐν τῷ ἱερῷ γενόμενον πρῶτον ἐπράθη. Πτολεμαῖος γὰρ ὁ Φιλάδελφος, εἷς τῶν ιβ' Πτολεμαίων, τοῦτο τὸ κρέας ἐπιτηδεύει διὰ δύο αἰτίας, ἤ, ὅπερ ἀληθές, ὅτι ὁ Ἀλεξάνδρειος ἄρτος ἄναλτος ὤν, ποιεῖ τὴν καλουμένην ἕλμινθον, ταύτας δὲ οὐδὲν οὕτως ἀναιρεῖ ὡς ἡ ἐκ Σινώπης μίλτος (ἣν καὶ Συνωπίδιον καλοῦσιν ἐκ τῆς πόλεως)· ἢ ὅτι οἱ ἀστρολόγοι ἔλεγον Πτολεμαίῳ, ὡς ἐθέλοντα τὸν Ἄρην ἀπὸ τοῦ θέματος τῆς πόλεως ταῦτα φοινίσσεσθαι διαπαντός. Ἡ μίλτος

οὖν, φασί, μετὰ τοῦ κρέως προτιθεμένη, τὴν ἡδονὴν ἀποπληρώσει τῷ Ἄρει.

58,323,7. Θ α υ μ ά ζ ω. Ἀντὶ τοῦ, καταγινώσκω.

58,323,10. Π ε ρ ι ω θ ῶ ν. Σημειωτέον, ὅτι τὸ περιωθεῖν καὶ διώκειν τοὺς ἐμμένοντας, τοῦ ἀρνήσασθαι μεῖζόν ἐστιν.

58,323,15. Ἕ ξ ε ω ν. Τῶν ἕξεων τῆς λογικῆς οὐσίας. Σημείωσαι δέ, ὅτι ἡ ἕξις καὶ ἐπὶ κακίας λέγεται. Τινὲς γὰρ ἐπὶ τῆς ἀρετῆς μόνης ἠξίουν λέγεσθαι, ἐπὶ δὲ κακίας τὴν στέρησιν.

58,323,15. Ἀ π ο κ ε κ ρ ί σ θ α ι. Χωρὶς ἀποδεδόσθαι.

58,323,17. Ν ι κ ή σ ο μ ε ν. Ὡς ἡμεῖς μὲν τὴν κρείσσονα μοῖραν ἔχοντες, ὅπερ οὐ δώσουσιν οἱ Ἕλληνες.

58,323,23. Φ ε ι δ ο μ έ ν ω ν. Τῶν χριστιανῶν. Ἡμεῖς γὰρ ἐν τοῖς τῆς ἡμετέρας ἰσχύος καιροῖς, Ἑλλήνων καὶ παντὸς ἔθνους ἄλλου ἐφείδομεν.

58,323,27. Π α ρ ρ η σ ί α ς. Καὶ ἀναγινώσκουσιν οἱ Ἕλληνες καὶ δικάζονται καὶ τὰ ἄλλα πράττουσιν ὅσα πολῖται, μηδενὸς χριστιανῶν κωλύοντος, πλὴν εἰ κωλύοιντο φανερῶς καὶ δημοσίᾳ δυσσεβεῖν. Οὐ γὰρ θέμις εὐσεβείας πανταχοῦ κρατούσης παρρησιάζεσθαι τὴν ἀσέβειαν.

58,323,33. Ἐ γ κ α λ ο ῦ ν τ ε ς. Καλῶς πάνυ. Οὕτω γὰρ κακῶς τοὺς χριστιανοὺς ἐποίουν ἰσχύοντες, ὥστε ἐγκαλεῖν αὐτοῖς καὶ τὴν ἐν τῷ πράττειν καλῶς τὴν εἰς τοὺς Ἕλληνας φιλανθρωπίαν καὶ ἡμερότητα.

58,323,36. Ἐ π ι τ α τ τ ο μ έ ν ο ι ς. Ἡμῖν, χριστιανοῖς δηλονότι.

58,323,37. Κ ί ν δ υ ν ο ς. Ἐπιστήσεις ἐνταῦθα, πᾶς ὁ πρὸς τὸ τῆς ἀπογνώσεως βάραθρον ἐξωθούμενος, ὡς χριστιανοὶ μὲν ἅπαντες, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν. Εἰ δέ τις εἰς τὸ ἄκρον τῆς ἀρετῆς ἀφικέσθαι οὐ δύναται, ἀλλὰ μέσην τινὰ βαδίζει, τῶν τοιούτων κίνδυνος μὲν οὐδείς, ἥττων δὲ ἡ τιμὴ καὶ ἡ τῆς μεσότητος ἀμοιβή.

[1233] 58,324,14. Π ρ ο σ κ ε ί μ ε ν ο ς. Προσυπακουστέον τὸ τυγχάνει.

58,324,19. Τ ὰ θ ε ῖ α λ έ γ ω. Ἀντὶ τοῦ, τοὺς λόγους λέγω τοὺς εἰς τὰ θεῖα κηρύγματά τε καὶ δόγματα καὶ τὰς ἐντεῦθεν ἐλπίδας.

58,324,20. Π ί ν δ α ρ ο ν. Πίνδαρος εἷς ἐστι τῶν πρὸς λύραν λεγόντων. Οὗτος οὖν ὁ λυρικὸς τέσσαρας γράφει νίκας, αἳ καὶ πράττονται. Ἐν τῇ μιᾷ τοίνυν τῶν νικῶν ἐκεῖνό φησιν· ὅτι τὸ οἰκεῖον ἕκαστον πιέζει κακόν· ὅ ἐστι, πάντα ἄνθρωπον τὸ ἴδιον ἀνιᾷ κακόν.

58,324,27. Τ ε λ χ ῖ ν ε ς. Παρ' Ἕλλησιν φθονεροί τινες δαίμονες.

58,324,33. Κ ἄ ν τ ι δ ί κ α ι ο ν δ ό ξ ῃ ς. Οὐκ εἶπε, κἄν τι δίκαιον εἴπῃς, ἀλλά, δόξῃς λέγειν. Σοῦ δὲ δοκεῖν τὸ δίκαιόν τι λέγειν.

Δόξομεν καὶ ἡμεῖς ἡττᾶσθαι καὶ διὰ τὴν δόξαν ἀνιασόμεθα μέν, οὐ μεμψόμεθα δέ.

58,324,36. Καὶ τὸ Ἑλληνίζειν. Θουκυδίδης ὁ Ἀθηναῖος συγγραφεὺς μάρτυς ἡμῖν, ὡς οὐ τῆς θρησκείας ἀλλ' Ἕλληνος καὶ τῶν ἐκείνου παίδων ἡ Ἑλληνίζουσα διάλεκτος. Οὕτω γάρ φησιν ἐν τῷ προοιμίῳ τῆς ἑαυτοῦ συγγραφῆς· δοκεῖ δέ μοι, οὐδὲ τοὔνομα τοῦτο ξύμπασά πω εἶχεν, ἀλλὰ τὰ μὲν πρὸ Ἕλληνος τοῦ Δευκαλίωνος καὶ πάνυ οὐδὲ εἶναι ἡ ἐπίκλησις αὕτη, κατὰ ἔθνη δὲ ἄλλα τε καὶ τὸ Πελασγικὸν ἐπιπλεῖστον, ἀφ' ἑαυτῶν τὴν ἐπωνυμίαν παρέχεσθαι. Ἕλληνος δὲ καὶ τῶν παίδων αὐτοῦ ἐν τῇ Φθιώτιδι ἰσχυσάντων καὶ ἐπαγομένων αὐτοὺς ἐπ' ὠφελείας εἰς τὰς ἄλλας πόλεις, καθ' ἑκάστους μὲν ἤδη τῇ ὁμιλίᾳ μᾶλλον καλεῖσθαι Ἕλληνας, οὐ μέντοι πολλοῦ γε χρόνου ἠδύνατο καὶ ἅπασιν ἐκνικῆσαι. Τεκμηριοῖ δὲ μάλιστα Ὅμηρος. Πολλῷ γὰρ ὕστερος ἔτι καὶ τῶν Τρωικῶν γενόμενος, οὐδαμοῦ τοὺς ξύμπαντας ὠνόμασεν, οὐδ' ἄλλους ἢ τοὺς Ἀχιλλέως ἐκ τῆς Φθιώτιδος, οἵπερ καὶ πρῶτοι Ἕλληνες ἦσαν· Δαναοὺς δὲ ἐν τοῖς ἔπεσι καὶ Ἀργείους καὶ Ἀχαιοὺς ἀνακαλεῖ. Οὐδὲ μέν, οὐδὲ βαρβάρους εἴρηκε, διὰ τὸ μηδὲ Ἕλληνάς πω, ὡς ἐμοὶ δοκεῖ, ἀντίπαλον εἰς ἓν ὄνομα ἀποκεκρίσθαι.

58,324,15. Καὶ τὰ δηλούμενα. Τῶν δηλουμένων, τὰ μὲν μιᾷ προσηγορίᾳ καὶ τῇ αὐτῇ λέξει διάφορά ἐστι τῷ σημαινομένῳ, οἷον ἡ κυρίου φωνὴ καὶ τὸ στοιχεῖον. Πὴ μὲν γὰρ σημαίνει τὰ γράμματα, πὴ δὲ τὰ στοιχεῖα, ἤτοι τὰς ποιότητας ἐξ ὧν τὰ σώματα· τὰ δὲ διαφόροις ὀνόμασι ταῦτά ἐστιν, οἷον, κρεῖττον, ἄμεινον, βέλτιον, κάλλιον· καὶ ἑστίασις καὶ εὐωχία.

58,324,21. Ἱεροφάνταις. Παρὰ τὸ τὰ ἱερὰ ἐκφαίνειν. Εἰσὶ γὰρ οἱ ἱερουργοί

58,324,26. Παιδεραστεῖν. Τὸ παιδεραστεῖν εἴτ' αἰσχρῶς εἴτε σωφρόνως, πᾶσι μὲν Ἕλλησι, μάλιστα δὲ τοῖς Ἀθηναίοις ἔννομον ἦν. Καὶ Πέρσαι δέ, καθ' Ἡρόδοτον, τοῖς παισὶν ἐμίγνυντο, παρ' Ἑλλήνων τοῦτο μαθόντες.

58,324,26. Ἢ τὸ πορνεύειν. Τὸ πορνεύειν τοὺς ἄνδρας καὶ πορνεύεσθαι τὰς γυναῖκας μάλιστα παρὰ Κορινθίοις ἔθος ἦν· παρ' οἷς καὶ γεγόνασιν αἱ περιβόητοι πόρναι ἐκεῖναι, ὧν καὶ ἡ Λαῒς καὶ ἡ Κύκνα καὶ ἡ Σαλαβακχώ. Ἡ γὰρ Φρύνη Ἀθηνὶς ἦν.

[1236] 58,325,28. Ἔκκριτον. Ἀντὶ τοῦ, ἐξαίρετον καὶ γνωριμώτατον.

58,325,30. Τῶν κοινῶν. Οἷον πρόβατον, βοῦν.

58,325,39. Περὶ ταὐτὸν ἄμφω. Περὶ τὸ Ἑλληνίζειν ἥ τε γλῶσσα καὶ ἡ θρησκεία. Εἰ δὲ καὶ τὸ ἑλληνίζειν ταὐτόν, τὸ ἑλληνίζειν κατὰ τὴν φωνὴν τό τε ἑλληνίζειν κατὰ τὴν θρησκείαν ἀλλήλων κατ' ἄμφω πολλῷ διέστηκεν.

58,326,4. Τούτου. Τοῦ κομψοῦ.

58,326,4. Ἀποκλήρωσις. Ἀντὶ τοῦ, τίς ἡ οἰκειότης καὶ σχέσις τοῦ πράγματος. Εἴρηται δὲ ἀπὸ τοῦ κλήρου ἢ τῆς κληρονομίας ἢ τοῦ μέτρου τῆς γῆς. Ἐν ἀμφοτέροις γὰρ σχέσις ἐστὶ καὶ οἰκειότης κληρούχῳ·

58,326,9-10. Ἑλλάδος φωνῆς. Καὶ Ἑλλὰς γυνὴ καὶ φωνή, ὥσπερ καὶ Περσὶς φωνὴ καὶ γυνὴ καὶ χώρα. Οὕτω καὶ Καισάρεια γυνὴ καὶ Ἀντιοχεία καὶ φωνὴ ὁμωνύμως τῇ πόλει καὶ Ἀρμενία γυνὴ καὶ φωνὴ ὁμώνυμος τῇ χώρᾳ. Ἄλλως. Ζητῶν εὑρίσκω μὴ κανονικῇ ἀκολουθίᾳ τινὶ δύνασθαι καθυποβάλλεσθαι τὰ ἐθνικὰ ταῦτα ὀνόματα. Ἰδοὺ γὰρ Πάγασα μὲν ἡ πόλις, ὁ δὲ πολίτης εὑρέθη τριχῶς, Παγασεύς, Παγασσαῖος, Παγασίτης· καὶ πάλιν, Αἰγαῖος καὶ Αἰγαιότης. Ἀλλ' ἐπὶ μὲν τῶν ἐν Κιλικίᾳ Αἰγῶν, Αἰγαῖος ὁ πολίτης· ἐπὶ δὲ τῶν ἐν Μακεδονίᾳ Αἰγῶν, Αἰγαιώτης· ἐπὶ δὲ τῶν ἐν τῇ Ἀκτῇ Αἰγαιεύς· αἱ δὲ Πάγασαι τῆς Θετταλίας ἀπὸ τοῦ τὴν Ἀργὼ παγῆναι κατὰ τὸν τόπον, εἴρηται. Οὐ μόνον δὲ Ἀλεξανδρεία γυνή, ἀλλὰ καὶ Ἀλεξανδρίς· οὕτω καὶ Καππαδοκίς.

58,326,19-20. Οὔτε τέχνη τις. Ἡ μὲν ἐπιτήδευσις ἐπὶ πλεῖόν ἐστι τῆς τέχνης. Ἐπιτηδεύει γὰρ καὶ τὰ μετὰ τέχνης καὶ χωρὶς γινόμενα· οἷον τὸ εὔχεσθαι, τὸ νηστεύειν, τὸ σωφρονεῖν, τὸ ἁπλῶς καὶ ἀφελῶς ζῆν. Καὶ εἴ τι μὲν τέχνη, τοῦτο καὶ ἐπιτήδευσις οὐκ, εἴ τι δὲ ἐπιτήδευσις, τοῦτο ἤδη καὶ τέχνη.

58,326,25. Πάντα δὲ εἰς μέσον. Τὰ τοιαῦτα λογίζεσθαι καὶ διεξέρχεσθαι τῆς σῆς ἱερᾶς καὶ θεοφιλοῦς ὑπῆρχε ψυχῆς, οὐ τῆς δαιμονιώδους ἐκείνης τοῦ δυσσεβοῦς καὶ τῶν ὁμοίων.

58,326,28. Φοινίκων τὰ γράμμ⟨ατα⟩. Πρώτους λέγουσι γράμματα τυπῶσαι τοὺς Αἰγυπτίους, ἔπειτα συναγαγεῖν Φοίνικας καὶ εἰς Ἑλλάδα κομίσαι Κάδμον τοῦ Ἀγήνορος, ἀπὸ Φοινίκης εἰς τὴν Ἑλλάδα παραγενόμενον. Διὸ καὶ φοινίκια αὐτὰ προσαγορευθῆναι. Εἶναι δὲ τὸ παλαιὸν γράμματα ις΄· α, β, γ, δ, ε, ι, κ, λ, μ, ν, ο, π, ρ, σ, τ, υ, ὕστερον δὲ καὶ προσευρεθῆναι ὀκτώ· ὑπὸ μὲν Παλαμήδου τέτταρα, ξ, θ, φ, χ· ὑπὸ Σιμωνίδου δὲ τοῦ μελοποιοῦ, τὰ ὑπόλοιπα τέτταρα, η, ζ, ψ, ω.

58,327,30-31. Πονηρὸν σύνταγμα. Τὸ τῆς ἐπαναστάσεώς φησι σύνταγμα, κατὰ τοὺς ὅρους καὶ νόμους οὓς προσέθηκεν, ὥστε τῆς παιδεύσεως ἀμοίρους εἶναι χριστιανοὺς τῆς ἐκ πολλῶν συνεστηκυίας, καὶ λοιπὸν ταύτῃ διέλοιτο ἐπ' αὐτῷ τὸ σύνταγμα καὶ τὸ σύστημα τῶν λόγων. Ἀλλ' εἴθε, φησί, καὶ τὸ σύνταγμα αὐτὸ κατὰ τῆς εὐσεβείας τάχιστα διελύθη· οὕτω γὰρ ἂν πλείστων ἡμεῖς κακῶν ἀπηλλάγημεν.

58,328,17-18. Προτελείων. Προτέλειοι εὐχαί, αἱ περὶ νοσούντων καὶ ἀποδήμων παρ' ἡμῖν καὶ καρπῶν καὶ τῶν τοιούτων.

[1237] 58,328,28. Μέχρι τῆς ὀνειρώξεως. Εἴτε τρισαθλίῳ μᾶλλον Ἰουλιανῷ κέρδος ἦν τὸ βασιλεῦσαι μέχρι τῆς ἐν

ὕπνοις ὄψεως· εἴπερ ἡμῖν μὲν οἱ στέφανοι πλείους ἐπὶ πλεῖον ἀγωνιζομένοις καὶ πρὸς μηδένα τῶν ἀνταγωνιστῶν κρατουμένοις, ἐκείνῳ δὲ μείζων ἡ βάσανος, ὅσῳ καὶ πλεῖον τοὺς ἁγίους ἐκόλαζεν, ὡς οὖν ἐγὼ κρίνω. Ὁ γὰρ ἅγιος πατὴρ ἀμφίβολον αὐτὸ τέθεικε. Μᾶλλον Ἰουλιανῷ κέρδος ἦν τὸ θᾶττον ἀπελθεῖν καὶ ταύτῃ τῇ οὐρανίῳ δίκῃ ἔλαττον τῆς τιμωρίας ὀφλῆσαι. Ἡμῖν μὲν γὰρ ἀθλήσασι καὶ νενικηκόσι, μείζων ἡ φιλοτιμία καὶ εὐδοξία, ὅ τε παρὰ Θεοῦ ἔπαινος ὁμοῦ τε καὶ στέφανος πάσης φιλοτιμίας ὑψηλότερός τε καὶ μακαριστότερος, μὴ προελθοῦσι δὲ εἰς ἀγῶνα τοσοῦτον καὶ ἄθλησιν, τῷ μηδένα διώκειν, κίνδυνος οὐδείς. Ὀνείρωξιν δὲ λέγει τὴν διὰ τῶν ὀνείρων φαντασίαν, τὴν ὄψιν τὴν ἐν τοῖς ὕπνοις. Ὀνειρώττω δὲ τὸ ῥῆμα, ἀντὶ τοῦ, δι᾽ ὀνείρων βλέπω. Τὸ δὲ ὀνειροπολεῖν, ἐγρηγορότος ἐστὶν ἐνύπνιον. Τὸ γὰρ τοῖς πολλοῖς ἀποφαντάζεσθαι σημαινόμενον, τοῦτο παρὰ τοῖς πεπαιδευμένοις τὸ ὀνειροπολεῖν δηλοῖ. Φαντάζεσθαι δὲ κυρίως ἐστὶ τὸ φαίνεσθαι.

58,328,29. Πιθήκων μιμήματα. Ἁλίσκονται οἱ πίθηκοι μὴ ὄντες ἄνθρωποι οὕτως οὖν καὶ Ἰουλιανὸς μᾶλλον ἑάλω τὰ χριστιανῶν μιμούμενος, τῷ διδασκαλεῖα καὶ τὰ τοιαῦτα ἱδρύσασθαι διανοεῖσθαι.

58,328,39. Οὐδὲν δὲ οἷον. Ἀντὶ τοῦ, οὐδὲν περιττόν, ἢ οὐδὲν δυσχερές.

58,328,41. Πέρας τῶν συνελεύσ⟨εων⟩. Ἀπὸ τῶν Ἑλληνικῶν δηλονότι. Τί δὲ ἄλλο ἦν τὸ πέρας τῶν συνελεύσεων αὐτῶν ἢ ματαιότης, πολὺ μὲν τὸ δυσσεβές, πλεῖον δὲ τὸ ἀνυπόστατον ἔχουσα;

58,329,11. Τὴν μακαρίαν· Ἐκκλησίαν, πολιτείαν δηλονότι. Τὸ δὲ μακαρίαν, κατ᾽ εἰρωνείαν εἴρηται.

58,329,14-15. Γέλωτα ἐν δακρύοις. Καλλιμάχειον τοιοῦτο φέρεται. Ἐπεὶ θεὸς οὐδὲ γελᾶσαι ἀκλαυστὶ μερόπεσσιν ὀιζυροῖσιν ἔδωκεν.

58,329,22. Γραψάτωσαν. Ἀντὶ τοῦ, λογογραφείτωσαν αὐτούς, οἵτινες κατὰ τὸ σχῆμα προκαθέζεσθαι μέλλουσιν.

58,329,23. Ταινία. Ἔστι διάδημα κεφαλῆς ἐξ ὑφάσματος ἀντὶ στεφάνου τῷ μετώπῳ προστιθεμένη ταύτῃ καὶ γυναῖκες στεφανοῦνται, καὶ μάλιστα αἱ Ῥωμαῖαι καὶ πολλοῖς πολλάκις παρὰ τοῖς συγγραφεῦσι ποιεῖται τόδε τὸ ῥῆμα, ταινιῶ, ταινιοῖς.

58,329,32. Ταῦτα μὲν δή. Ἀντὶ τοῦ, ταῦτα μὲν τοῦτον ἔχει τὸν τρόπον.

58,329,33. Ὑποφήτας. Ὑποφήτης ἐστὶ ὁ ὑπηρέτης καὶ ὑπαναγινώσκων τοῖς προεδρεύουσιν ἱερεῦσιν, ὡσανεὶ εἴποιμεν ἀναγνώστας ἢ διακόνους.

58,329,38-39. Αἱ τούτοις ἐπαφίεμεν. Τοῖς θεοῖς δηλονότι, παρὰ τῶν γενναιοτάτων γιγάντων. Ὁ γὰρ Ἐγκέλαδος, ὡς ληροῦντές φασιν, ἐπαφῆκε τῷ Διὶ τὴν Σικελίαν, εἶτα ταύτην ὁ Ζεὺς

κατ' ἐκείνου τρέψας ἔθαψεν αὐτόν, καὶ ὑπόκειται τῇ Σικελίᾳ ὁ Ἐγκέλαδος.

58,329,40. Πικρὰ τούτων. Τῶν γιγάντων.

58,329,40. Χίμαιρα. Χίμαιρα καλεῖται ἡ αἴξ ἡ ἐν [1240] χειμῶνι γεννηθεῖσα. Νῦν δὲ περὶ τῆς Παταρικῆς φησι.

58,329,41. Φιλοτιμία παντὸς κακοῦ. Ἀντὶ τοῦ ἀφθονία, δαψίλεια, πολυτέλεια. Ὡς δὲ πολλάκις εἶπον, τρία ἐστὶ τὰ σημαινόμενα τοῦ ὀνόματος· φιλονεικία, κενοδοξία ἤτοι ὑπερηφανία, καὶ τρίτον τὸ δαψιλὲς καὶ φιλόδωρον.

58,329,7. Ἄλλης φείδεσθαι. Φείδεσθε, οἱ Ἕλληνες ὑμεῖς. Διὰ τὴν εἰρωνείαν εἶπε, μεγαληγορίας.

58,329,36. Μοιχάδος. Ἡ μοιχὰς ἢ μοιχαλὶς οὐκ εἴρηται. Χρῶνται δὲ ἀντὶ τοῦ ὀνόματος τῇ μετοχῇ οἱ συγγραφεῖς, οἷον ἡ μοιχευομένη. Ἀλλ' οἱ ἅγιοι Πατέρες οὐκ ἐφρόντισαν τῆς πάσης ἀκριβείας τῶν εὐτελῶν λεξυδρίων τούτων, ὡς Θεοῦ ἄνθρωποι, ἀλλ' ἔστιν ἣ παρεῖδον ἑκόντες, τὴν τῶν πραγμάτων ἀλήθειαν προτιμήσαντες ἣ οὔτε ὑψοῦσθαι, οὔτε ταπεινοῦσθαι τοῖς ὀνόμασι πέφυκε. Λάκων δὲ Λάκαινα, ὡς δράκων δράκαινα. Μοῖραι δὲ Πελοποννήσου αὗται· Λακωνική, Ἠλιακή, Μεσηνιακή, Ἀργολική, Ἀρκαδική.

58,331,6. Τῶν νενομισμένων. Περὶ φύσεως δηλονότι.

58,331,7. Διὶ μῆτιν. Λῆρος ὡς ἀληθὲς πολύς τε καὶ αἴσχιστος τὰ παρ' Ἕλλησι θεῖα δοκεῖ καὶ σεβάσμια οὐ μόνον δέ, ἀλλ' οὐδὲ παλαιόν τι μάθημα παρ' αὐτοῖς, ὡς αὐτοί φασιν, οὔτε τῶν ἀνθρωπίνων οὔτε τῶν θείων. Ἕλληνες ἀεὶ παῖδές ἐστε, φησί που τῶν ἑαυτοῦ διαλόγων ὁ Πλάτων, παρὰ γὰρ Ἕλλησι μάθημα παλαιὸν οὐκ ἔστιν· εἴρηται ἐν τῷ Κριτίᾳ πρὸς Σόλωνα μεγαλοφρονοῦντα παρά τινι τῶν ἐν Ἡλίου πόλει τῇ κατ' Αἴγυπτον ἱεροπροφητῶν, εἰδότος ἅμα καὶ μαρτυροῦντος, ὅτι πολλοὶ νεώτεροι τῶν ἄλλων οἱ τὴν Ἑλλάδα χώραν οἰκήσαντες. Οἵ τε γὰρ ἄνωθεν ἐξ ἀρχῆς αὐτὴν οἰκήσαντες, οἵ τε μετ' ἐκείνους αὐτὴν αὐξήσαντες, οἱ μὲν ἐξ Αἰγύπτου, οἱ δὲ ἐκ τῆς Ἀσίας ἐλθόντες κατέμενον. Ὡς Δαναὸς ὁ πεντήκοντα θυγατέρων πατήρ, ὡς Πέλωψ, ὡς Κάδμος, ὡς Φοῖνιξ.

58,331,10. Καὶ φιλοτιμείσθωσαν. Ἀντὶ τοῦ, ἀλλὰ καὶ μεγαφρονείτωσαν.

58,331,13. Γυμνοὺς θεολ⟨όγους⟩. Τοὺς ἄνευ τινὸς προκαλύμματος θεολογήσαντας.

58,331,17. Ἐν πλάσμασι. Ἀντὶ τοῦ, ἐν πλαστικῇ καὶ ζωγραφικῇ.

58,331,20. Ἐνὸν εὐσεβ⟨εῖν⟩. Πῶς οὐκ εὔηθες, ἐνὸν τὸ εὐσεβεῖν ἀζημίως, αἱρεῖσθαι μετὰ ζημίας ἀσεβεῖν;

58,331,27. Ἐπαινοῦσι τούς. Τοὺς ποιητάς.

58,331,28. Οἷς τὸ μή. Οἷς, ποιηταῖς δηλονότι.

58,331,30. Τῶν νόμων. Τῶν ἑλληνικῶν δηλονότι.

58,331,30-31. Ὁμοῦ καὶ δημοσίᾳ. Οὐδὲν γὰρ ἄλλο ἢ κωμῳδιοῦσιν οἱ ποιηταὶ τοὺς θεούς. Ἔστι δὲ ἣ καὶ τραγῳδοῦσι, τὰς ἐκείνων συμφορὰς δημοσιεύοντες.

58,331,34. Τῆς διπλόης. Ἀντὶ τοῦ διπλοῦ. Διπλοῖ γὰρ οἱ πλεῖστοι τῆς θείας Γραφῆς λόγοι. Ἄλλο γὰρ τῷ φαινομένῳ δηλοῦντες, ἄλλο νοεῖν τῷ κρυπτομένῳ διδόασι. Τὸ δὲ τῆς διπλόης ὄνομα, παρὰ τοῖς ἁγίοις Πατράσιν εὕρηται.

58,331,36. Ὥσπερ τι σῶμα καλόν. Σῶμα λάβοις [1241] τὸν κρυπτόμενον νοῦν, ἐσθῆτα τὸ φαινόμενον γράμμα.

58,331,40. Δυσχεράνοιεν. Οἱ μὲν Ἀττικοὶ τὸ δυσχεραίνω πρὸς αἰτιατικὴν συντάττουσι, νυνὶ δὲ ὁ Πατὴρ πρὸς δοτικὴν συνέταξεν, ἀντὶ τοῦ, δυσχεραίνω ἐπ' αὐτῷ· περὶ αὐτῶν δὲ λέγει τῶν δηλουμένων καὶ νοουμένων καὶ τῶν αὐτῶν ἐμφάσεων.

58,332,1. Τίς ἡ σύνεσις. Διὰ πετρῶν τῷ ῥοθίῳ κεκαλυμμένων πρὸς λιμένα ἐπείγεσθαι. Πρόβολοι δὲ καὶ ὕφαλοι, ἀφανῆ βράχη· οἷόν ἐστιν ὑπὸ τὴν ἅλα, τουτέστι τὴν θάλασσαν.

58,332,2. Θεωρητικὸς τόπος. Ἀντὶ τοῦ, δογματικός. Ἐν ἄλλοις δὲ τρόπος εὑρίσκεται.

58,332,8. Τῶν ὑποθέσεων. Ἀντὶ τοῦ, ἀρχῶν καὶ κρηπίδων καὶ θεμελίων· τὸ γὰρ φαινόμενον παρ' Ἕλλησιν ὑπὲρ τὸ ἀλληγορούμενον καὶ νοούμενον κάλλιον.

58,332,10. Αὐτοῦ Τὰ παρ' Ἕλλησιν οὐ συμβαίνουσιν ἀλλήλοις, ὡς πολλάκις τὰ τῷ ἑνὶ εἰρημένα ἀνδρί, ἄλλῳ καὶ ἄλλῳ δοκεῖν εἰρῆσθαι, ἀλλὰ μὴ αὐτῷ.

58,332,13. Πλάττειν αὐτούς. Ἄρα ταῖς τοῦ Ἰσοκράτους παραινέσεσι χρώμενοι δυνήσονται σφᾶς αὐτοὺς βελτίους ποιεῖν καλῶς; Μὴ τιμάτωσαν οὖν τοὺς θεούς. Ἐκεῖνοι γὰρ καὶ πρὸς ἀλλήλους στασιάζουσι καὶ μᾶλλον ἄδικοι καὶ ἀκόλαστοι ἢ δίκαιοι καὶ σώφρονες, ὥστε μισεῖν τοὺς θεοὺς ἄξιον τόν γε σώφρονα καὶ δίκαιον εἶναι βουλόμενον· μισεῖν δὲ καὶ τὸν Ἰσοκράτην αὐτὸν εὔλογον καὶ εἴ τις ἄλλος αὐτοῖς παρόμοιος, ὅτι πολλὰ καὶ ἀγαθὰ ἐπαινέσαντες καὶ πονήσαντες, πονηροὺς θεοὺς τιμᾶν εἰσηγήσαντο.

58,332,15. Ἄριστον ὁμόνοια. Κατ' ἀπόφασιν ἀναγνωστέον.

58,332,18. Τίσι τοῦτο διδάξουσι. Τὴν ὁμόνοιαν δηλονότι.

58,332,26. Πρὸς τὴν κρείσσω. Δῆλον ὅτι πρὸς τὴν ἀρετὴν λέγει.

58,332,28. Ἔνθα τὸ κακόν. Ἔνθα φησίν, ἐν τῷ χρῆσθαι τοῖς κακοῖς. Δῆλον ὅτι καὶ τὸ κακὸν εἶναι ἄνθρωπον, οὐ μόνον οὐκ ἄτιμον, ἀλλὰ καὶ τίμιον, ὡς θεῶν τινος προϊσταμένου τῆς κακίας ἐκείνης, ἤτοι τοῦ πάθους οὗ ἡ κακία, ἤτοι τὸ πάθος ἐστὶ τιμώμενον βωμοῖς

καὶ θυσίαις. Οὕτως ὀρθῶς νοήσεις λαμβάνων τὴν αἰτιατικὴν ἀντὶ τῆς γενικῆς. Ὥσπερ τὸ ἐξὸν καὶ παρόν, ἀντὶ τοῦ, ἐξόντος καὶ παρόντος, λαμβάνομεν· οὕτω κἀνταῦθα ἀντὶ τοῦ, θεῶν τινος προϊσταμένου, ληπτέον τὴν αἰτιατικήν.

58,332,33. Δεύτερον αὐτοῖς. Δεύτερον εἶπεν, ἐπειδὴ πρότερον ἔταξεν... ὅπερ... ἔχειν οὐ δύνανται, τὴν ὁμόνοιαν.

58,332,34. Τὴν πρώτην αἰτίαν. Ἀντὶ τοῦ, τοὺς γονεῖς μετὰ θεῖον.

58,332,42-43. Σακέλλιον. Σακέλλιον ῥωμαϊκὴ λέξις ἐστί, φυλακὴν τῶν χρημάτων σημαίνουσα, ὅθεν καὶ σακελλάριον καλοῦσι τὸν ταμίαν καὶ φύλακα τῶν χρημάτων.

58,333,5. Φρυξὶ μειρακίσκοις. Μειρακίσκος εἴ-**[1244]** ρηται καὶ μειράκιον, ἀπὸ τοῦ μεῖον καὶ ἧττον εἰρεῖν καὶ λέγειν τῶν ἀνδρῶν τὸν νέον.

58,333,16. Λοιβαῖς. Ἀντὶ τοῦ, σπονδαῖς Εἴρηται παρὰ τὸ λείβειν καὶ στάζειν καὶ σπένδειν.

58,333,17. Πῶς ταῦτα. Εἰπὼν τὰ τῶν Ἑλλήνων καὶ δείξας πάντα οὐ μέσης καὶ τῆς τυχούσης ἀλογίας καὶ βδελυρίας μεστά, τὰ ἡμέτερα λοιπόν, ὡς ἂν ἐν κεφαλαίῳ καὶ βραχεῖ λόγῳ, διεξέρχεται, ὑψηλὰ πάντα καὶ πανταχοῦ θεῖα δημοσιεύων.

58,333,19. Τὸ γενέσθαι κακόν. Οὐ τὸ γενέσθαι κακὸν ἔγκλημα ἡμῖν μόνον, ἀλλὰ καὶ τὸ πρὸς κακίαν ὁρμῆσαι καὶ μόνον τῇ διανοίᾳ συνθέσθαι.

58,333,23. Ἐπίορκον δέ. Τί λέγω, φησίν, ὅτι βαρύτατον χριστιανοῖς ἐπίορκον ὀμόσαι, ὅπου γε καὶ αὐτὸ τὸ εὐορκεῖν μόνοις ἡμῖν ἀπηγορευμένον ἐστίν; Οὐ γὰρ μόνον τὰ ἀποτελέσματα, ἀλλὰ καὶ τὰς ἀρχὰς τῶν φαύλων ἐκκόπτειν ὁ λόγος ἐθέλει.

58,333,29. Τῷ ἀθανάτῳ. Ἀντὶ τοῦ, τῷ λογικῷ.

58,333,30. Μηδὲ τῶν μικρῶν. Οἷον τὸ μόνον ἐμβλέψαι γυναῖκας πρὸς τὸ ἐπιθυμεῖν καὶ συνθέσθαι τῇ ἐπιθυμίᾳ.

58,333,32. Νόμους. Κατὰ τοὺς πολιτικοὺς δηλονότι· καὶ κατ' αὐτὸν δὲ τὸν παλαιὸν καὶ θεῖον νόμον, ἐπεὶ σκιὰ καὶ τύπος ἦν τῆς κατὰ Χριστὸν τελειότητος. Οὐ γὰρ ἔφη Μωϋσῆς· οὐχ ὁρμήσεις, οὐδὲ τὴν ἀρχὴν ἐπιχειρήσεις ἐπιθυμῆσαι ἢ φονεῦσαι, ἀλλ', οὐκ ἐπιθυμήσεις τοῦδε[1], «οὐ μοιχεύσεις»[2], «οὐ φονεύσεις»[3]· ὥστε καὶ οὗτος οὐ τῆς ἀρχῆς, τοῦ δὲ τέλους ἐπικόπτει.

58,333,36. Παρακαλεῖν. Ἀντὶ τοῦ, προτρέπειν εἰς ἀρετήν.

58,334,2. Μὴ προβαίνειν τῷ καλῷ. Ἄτοπον, λέγει ὁ Πατήρ, χριστιανοὺς ὄντας, μὴ ἀναβαίνειν τῇ ἀρετῇ καὶ λαμπροτέρους γίνεσθαι ταῖς ἐπιδόσεσιν. Οἱ γὰρ ἐν ἑνὶ καλῷ διὰ παντὸς στρεφόμενοι, παισὶν ἐοίκασιν, οἱ παιδιὰν εἰώθασι ταύτην παίζειν· ἀκρο-

---

1. Πρβλ. Ἔξ. 20,17 2. Ἔξ. 20,13. 3. Ἔξ. 20,15

πήνιον ἐπί τινος λείου χωρίου θέμενοι καὶ τοῦτον ἱμᾶσι παίοντες περιστρέφουσιν, ἐξ οὗ συμβαίνει μίαν καὶ τὴν αὐτὴν ἀεὶ κινεῖσθαι τὴν κίνησιν, οὐ προϊοῦσιν ἐπί τι ἄλλο, ἀλλὰ τὸ στάσιμον ἔχουσιν. Ἐν ἄλλῳ στρομβῶν περισπωμένως. Τὰ δὲ τοιαῦτα, φησὶν ὁ κανών, ὅτι, εἰ μὲν προσηγορικὰ εἶεν, βαρύνονται· εἰ δὲ ἐπίθετα, ὀξύνονται. Στρόμβος· στρομβός. Ἐπιστατέον οὖν τῇ λέξει πῶς νοεῖται. Αἱ στροφαὶ οὖν καλοῦνται στρόμβοι, τὸ δὲ στρεφόμενον ἀκροπήνιον.

58,334,3. Κακία δοκεῖ. Ὅρα πῶς κακίαν εἶπεν εἶναι καὶ δοκεῖν τὸ μένειν ἐν τῷ αὐτῷ καὶ μὴ προϊέναι ἐπί τι μεῖζον ἀγαθόν. Ἐπ' ἀληθείας δὲ οὕτως ἐσμὲν κατὰ τὸ ἠθικὸν οἱ νῦν χριστιανοί· οἱ πλεῖστοι δ' ἡμῶν καὶ κατ' αὐτὸ τὸ θεωρητικόν, ὡς ὁ ἐν εἰκόνι γραπτὸς ἄνθρωπος, ὃς σχῆμα μὲν ἀνθρώπου φέρει καὶ τύπον, κίνησιν δ' οὐκ ἔχει οὐδ' ἐνέργειαν, ἀλλ' ἀξιοῦται μὲν τῆς κλήσεως, ἀλλοτριοῦται δὲ τῆς πράξεως. Τοιοῦτοι νῦν οἱ πλείους τῶν χριστιανῶν, ὃ καὶ δακρύειν ἄξιον, ἐπεὶ καὶ πρῶτος ἐγώ.

ΑΝΩΝΥΜΟΥ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ ΔΕΥΤΕΡΟΝ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΛΟΓΟΝ

[1245] 58,335,6. Σ κ ο π ό ν. Εἰς ὃν σκοπὸν οὐκ οἶδα, φησίν, εἴ τις ἄλλος ἐπεχείρησεν εἰπεῖν. Ἀντὶ τοῦ, οὐκ οἶδα, εἰ προλαβὼν ἄλλος τὴν ἀξίαν τοῦ τυράννου τελευτὴν τῷ λόγῳ διεξῆλθεν.

58,335,8-9. Ε ἰ ρ η μ έ ν ο ι ς π ρ ο σ θ ε ῖ ν α ι. Ποῖον τοῦτο; Τὸ προσθεῖναι τοῖς προτέροις λόγοις τὴν δικαίαν, ἐπὶ τῷ τυράννῳ, τοῦ Δεσπότου ψῆφον.

58,335,9. Ἀ ν τ ι τ α λ α ν τ ε ύ ε τ α ι. Ἀντὶ τοῦ, σταθμίζεται καὶ ἐξετάζεται.

58,335,12. Σ υ μ φ ο ρ ά ν. Ἀρειανῶν δηλονότι.

58,335,13. Σ ω φ ρ ο ν ί ζ ε ι ν. Ἀναστέλλειν.

58,335,13. Ἐ π ί σ τ α τ α ι μ έ τ ρ ο ι ς. Ἐπληρώθη μέχρι τούτου τὸ προοίμιον.

58,335,17. Ἀ ν ο ν ή τ ο υ ς μ ε τ α μ ε λ ε ί α ς. Εἰκότως. Ἐν τῷ πάσχειν ἀνάγκης ἐστίν, οὐ τρόπου γνῶσιν ἔχοντος ἡ μεταμέλειαν.

58,335,19. Ἐ κ τ ρ α γ ῳ δ ή σ ε ι ε ν. Ὅσα ἢ περὶ τοὺς θείους οἴκους παρανομήσασιν ἢ τὸ καὶ τὸ ποιήσασιν, τίς ἂν ἀξίως ἐκτραγῳδήσειεν; Ἀπὸ κοινοῦ γὰρ τοῦτο δεῖ λαβεῖν.

58,335,22. Ν ε α ν ι ε υ σ α μ έ ν ο ι ς. Τὸ νεανιεύεσθαι ἐντεῦθεν εἴρηται, ὅτι νεανίσκοι κατὰ τὴν ῥώμην ἰσχύοντες σεμνύνονται ταύτῃ καὶ πάνυ φιλοτιμοῦνται. Νεανιεύεσθαι γοῦν ἐστιν, ἡνίκα τις δυνάμενος, φιλοτιμεῖται τῇ δυναστείᾳ καὶ σεμνύνεται

58,335,24. Ὑ π ε ρ β ή σ ο μ α ι. Τὸ κατὰ ἀποσιώπησίν ἐστι σχῆμα, ἐν ᾧ τελείως ἀποσιωπῶντες τὰ πράγματα, ἔμφασιν αὐτῶν μόνην παρέχομεν.

58,335,32. Τ ὸ Π ν ε ῦ μ α ἐ ν υ β ρ ί σ α ς. Καὶ ἐνυβρίζω τὸ πρᾶγμα καὶ ἐνυβρίζω τῷ πράγματι.

58,336,8. Ἐ π ι θ ε ι ά ζ ω ν. Ἀντὶ τοῦ, τὰ θεῖα λόγια, τὰ παρὰ τοῖς Ἰουδαίοις διαμαρτυρόμενος, οἷον τοὺς κουφοτάτους Ἰουδαίους παρορμῶν δῆθεν καὶ παρακαλῶν εἰς τὴν κάθοδον καὶ τὴν τοῦ ἱεροῦ οἰκοδομήν· διαμαρτύρεται δῆθεν τὸν Θεὸν αὐτῶν καὶ τὰς ἐκείνου προρρήσεις, ὅτι δὴ μὴ κωλύοι τὸν καιρὸν τῆς καθόδου ἐπιστάντα, ἀλλὰ καὶ συνεπιλαμβάνεσθαι ταύτης ἕτοιμος εἴη. Ἐπὶ τούτου τοῦ σημαινομένου καὶ παρὰ τῷ συγγραφεῖ, τὸ ἐπιθειάζειν εὑρέθη.

58,336,19. Ἐ λ ά τ τ ω ν ο μ ί ζ ε ι ν. Εἴ τι δήποτε ἐποίουν, ἕκαστον ἔλαττον ἐνόμιζον, ἧς ὤφειλον προθυμίας.

58,336,20. Λ α ί λ α π ο ς. Λαῖλαψ ὁ μετὰ συστροφῆς ἄνεμος· βρασμὸς δὲ γῆς, εὔδηλον ὅτι σεισμός.

58,336,23. Βοήθειαν. Ὥρμησαν δηλονότι, νομίζοντες ὑπὲρ αὐτῶν γεγενῆσθαι τὸ θαῦμα. Ἄλλοι δὲ ἄλλως εἶχον καὶ γνώμης καὶ ὁρμῆς.

58,336,27-28. Κατάπληξιν. Θαυματουργεῖ τὸ θεῖον ἐν τοῖς τοιούτοις καιροῖς δυοῖν ἕνεκα· ἵνα καὶ τοὺς ἀσε[1248]βεῖς τῆς ἀσεβείας στήσειε καταπλαγέντας καὶ τοὺς εὐσεβεῖς εὐσεβεστέρους ἐργάσαιτο εἰς τὴν πίστιν τῷ γεγονότι βεβαιωθέντας.

58,336,32. Νάδαβ καὶ Ἀβιούδ. Ἐν ᾧ πρὸς δοτικὴν ἀπήντησε, δοτικὴν δεῖ λαβεῖν καὶ τὸ προηγούμενον, ἵν' ᾖ, ἢ τῷ περὶ τῷ Νάδαβ καὶ Ἀβιοὺδ θαύματι, ἀντὶ τοῦ, ἐπ' αὐτοῖς θαύματα προθέσεως ἐνταῦθα, ἀντὶ τῆς προθέσεως λαμβανομένης. Ἴσασι δὲ οἱ Ἀττικίζοντες καὶ τὴν περὶ αὐτῷ φωνὴν ἀντὶ τῆς περὶ αὐτοῦ λέγειν.

58,336,33. Ἀκρωτηριᾶσαν. Τυχὸν χειρῶν ἢ ποδῶν ἢ ῥινὸς ἢ ὠτίων. Σημείωσαι δὲ τὴν σύνταξιν ὅτι ἠκρωτηρίαζεν αὐτὸν τοῦδε τοῦ μέλους. Ἀκρωτηριάζειν δέ ἐστι, τὸ ἀποκόπτειν τὰ ἄκρα.

58,337,3. Τὸ κομψόν. Τὸ κομψὸν ἐπὶ τεσσάρων εἴρηται· ἐπὶ τοῦ κεκαλλωπισμένου γυναίου τυχὸν ἢ μειρακίου ἢ ἐπὶ τοῦ ὑπερηφάνου ἢ ἐπὶ τοῦ ῥᾳδίου καὶ ὑγιοῦς ἢ ἐπὶ τοῦ ἀστείου καὶ χαρίεντος. Εἴρηται δὲ ὡς ἀπὸ τοῦ κόμπου.

58,337,14. Ἐκ τῶν οὐρανίων. Τὰ γὰρ ἄνω καὶ τὰ κάτω ἑνὸς Δεσπότου δοῦλα τοῦ δημιουργήσαντος. Εἰκότως οὖν καὶ τὰ ἄνω τοῖς ἡμετέροις οἶδε συμπάσχειν.

58,337,18-19. Ὅτι καὶ πόλεις. Ποίας ἄρα πόλεις ἐκ τῆς οἰκουμένης ἐνταῦθα λέγει, αἳ καὶ πελάγεσιν ἐπεκλύσθησαν καὶ σεισμοῖς κατηνέχθησαν;

58,337,24. Ἐν γειτόνων Ἐν γειτόνων, διὰ τοῦ ν γραπτέον· δύο γάρ εἰσι μέρη λόγου· ἀντὶ τοῦ, ἐν τοῖς τῶν γειτόνων.

58,337,25. Πολλοῦ χρόνου. Ἀντὶ τοῦ, χρείαν εἶναι πολλοῦ χρόνου εἰς τὸ ὀρθῶσαι αὐτάς.

58,337,34. Πάσης ἱστουργικῆς. Ἀντὶ τοῦ, ὑφαντικῆς. Ψηφῖδος, ὡς οἶμαι, Μουσωνέως ἢ ἃς καὶ ἐν τοῖς ἐσθήμασι τέχνη ἐκαλλώπισε.

58,337,36-37. Συνθήματος. Ἔστι σύνθημα κυρίως τὸ σημεῖον τὸ παρὰ τοῦ στρατηγοῦ τοῖς στρατιώταις διδόμενον, ὥστε ἀλλήλους κατὰ τὴν μάχην μὴ ἀγνοεῖν. Ἔστι δὲ καὶ καταχρηστικῶς σύνθημα, ὃ συνθέμενος λέγει ἢ πράττει. Παρὰ γὰρ τὸ συνθέσθαι εἴρηται.

58,337,41. Καὶ μυηθῆναι. Τὸ μυηθῆναι αἰτιατικῇ καὶ γενικῇ συντάσσεται.

58,338,2. Κεφάλαιον. Τὸ καίριον καὶ συνεκτικόν.

58,338,7. Φιλανθρωποτάτην. Τοῦτο κατ' εἰρωνείαν.

58,338,13. Ὑφίεσθαι. Ὑφίεσθαι, ἐστὶ τὸ ὑποπίπτειν καὶ δεδιέναι. Κἀντεῦθέν τι προδιδόναι ὡς ποιῆσαι δυνάμεθα, ἐν ᾧ ὑποχω-

ρεῖν μὲν ἔστιν, ἀλλὰ μετὰ κακίας τῆς τοῦ ὑποπεπτωκότος καὶ δεδιότος προδιδόναι τι τῶν εἰς δύναμιν. Τὸ οὕτως οὖν μετὰ τοιαύτης κακίας ὑποχωρεῖν, δειλίας ἐστί· τὸ δὲ μετὰ λογισμοῦ βουλομένους ὀρθῶς ὑποχωρεῖν, ἀσφαλείας ἐστίν, οὐ δειλίας. Ἐν ἑκατέρῳ μὲν οὖν, ἔν τε τῇ δειλίᾳ, ἔν τε τῇ ἀσφαλείᾳ ὑποχωρεῖν ἔστιν, ἀλλ' ἐπὶ μὲν τῆς δειλίας, μεθ' ἧς εἰρήκαμεν κακίας ὑποχωροῦμεν, ἐπὶ δὲ τῆς ἀσφαλείας ὑποχωροῦμεν μετὰ σώφρονος λογισμοῦ... τροῦν... αὐτοὺς .. ἐγ. . ἐγχείρο... ἡμᾶς... νον εὑρίσκομεν.

[1249] 58,338,14. Ὠθίζεσθαι. Ὠθίζω καὶ ὠθίζομαι τὸ ῥῆμα· τὸ δὲ ὄνομα ὠθισμός.

58,338,24. Ἀπερισκέπτως. Ἀβασανίστως.

58,338,29. Οἳ δίκας. Οἳ δίκας ἔδοσαν ὁρμῆς ἀλογίστου, καταλυθέντες ἐν Περσῶν ὅροις, ἐν ἀκμῇ τῆς εὐτυχίας, ἵν', ὅ φησιν ἡ τραγῳδία, μὴ ὀνειδίζω τὴν τύχην. Οὕτως ὑπερβαντα σε δεῖ νοῆσαι.

58,338,34. Καλλιέρημα. Ἔστι τὸ τοὺς θύοντας, ἤτοι τοὺς θυομένους αἰσίων καὶ δεξιῶν ἐπιτυχεῖν τῶν ἀπὸ τοῦ ἥπατος σημείων. Καλῶν οὖν ἐπιτυχὼν ὁ παραπλὴξ ἐκεῖνος, ὡς ᾤετο, ὅ ἐστι καλλιερήσας, ἔλεγεν, ὡς εἰ οὕτως ἐπ' αὐτῶν ἀποβαίη τῶν ἔργων, πάντας παραστήσω τοὺς χριστιανοὺς καὶ θύσω τοῖς δαίμοσιν. Ἄλλως καλλιερῶ σημαίνει τὸ δεξιῶν ἐπιτυχεῖν σημείων ἐν τῷ θύειν ἀπὸ τοῦ ἥπατος. Ἐν τούτῳ γὰρ ἐφαίνετο τὸ ἐποβησόμενον ἢ χρηστὸν ἢ τοὐναντίον ἀνιαρόν, ὡς ἐνόμιζον οἱ ἀνόητοι. Καλλιερεῖν γοῦν ἔλεγον, ἡνίκα τῶν ἱερείων καλῶν καὶ αἰσίων ἐτύγχανον.

58,338,39. Ἀσσυρίων. Ἀντὶ τοῦ, διὰ μέσης τῶν Ἀσσυρίων ῥέων. Ὥσπερ γὰρ τὸ μὲν διαπλεῖν, τὸ ἐπὶ τοῦ μέσου πλεῖν· τὸ δὲ περιπλεῖν, τὸ κύκλῳ πλεῖν· τὸ δὲ παραπλεῖν, τὸ παρὰ τὴν γῆν· οὕτω κἀνταῦθα τὸ διαρρεῖν, τὸ διὰ μέσου ῥεῖν· τὸ δὲ παραρρεῖν καὶ παραμείβεσθαι τὸ κατὰ μίαν τοῦ τόπου πλευρὰν ῥεῖν, τὸ δὲ περιρρεῖν, τὸ πανταχόθεν.

58,338,41. Ταύτην ἑλών. Ἀντὶ τοῦ, τὴν Ἀσσυρίων λαβὼν καὶ δενδροτομήσας. Εἰκότως. Ταύτης γὰρ ἔδει πρώτης κρατῆσαι καὶ οὕτως ἐπιχειρῆσαι Πέρσαις ἀνατολικωτέροις οὖσιν Ἀσσυρίων.

58,339,1. Ἀμφότερα. Ὅτι καὶ ἦλθε ταχέως καὶ Πέρσαι ἑκόντες ὑπεχώρουν εἰς τοὔμπροσθεν αὐτὸν ἐπαγόμενοι.

58,339,6. Ψάμμου ποδῶν ὑποσπασθείσης. Ὁ βαδίζων ἐπὶ ψάμμου, εἴ τις ἄφνω ταύτην ὑποσπάσειε λαθών, ἀνάγκῃ πεσὼν οὐ βαδίζει· καὶ ἄλλως δέ, βρεχομένων αἰγιαλῶν τῶν ποδῶν ὑποσπᾶται ἡ ψάμμος.

58,339,9. Τενάγεσιν. Τέναγός ἐστιν ἰλὺς ἐπιπολάζοντος ὕδατος ὀλίγου καὶ βοτάνης ἐπιφαινομένης τῷ ὕδατι. Ἕλος δέ, ἐστὶν ἰλὺς ὕδατος ἐπικεχυμένου πολλοῦ καὶ βαθείας ὕλης ἢ παπύρου ἢ καλάμου ἐκφυομένης ἀεὶ τοῦ πηλοῦ καὶ ὑπερανεστηκυίας τοῦ ὕδατος.

58,339,9-10. Ὀχυρωτέραν. Ὀχυροῦται καὶ ἐχυροῦται.

Ἐχυρωτέρα διὰ τοῦ ω· ἡ γὰρ β΄ συλλαβὴ συστέλλεται· καὶ τὸν μὲν κανόνα τῶν τε συγκριτικῶν καὶ τῶν ὑπερθετικῶν οὐκ ἀγνοοῦμεν, καθ' ὃν τὰ τοιαῦτα συστέλλεταί τε καὶ ἐκτείνεται.

58,339,11. Φυσική. Φυσικὴν ἀσφάλειαν τὸ τέναγος, χειροποίητον δὲ τὸ τεῖχος καὶ τὸν τάφρον καλεῖ.

58,339,15. Διεξελάσαι. Ἵνα μὴ διὰ μέσου τῶν πόλεων ἐν τῷ ποταμῷ διεξελάσων τὸ ναυτικὸν κινδυνεύσῃ, ἀπορρήξας τὸν ποταμὸν καὶ ἀποκόψας ἔτρεψεν.

58,339,15-16. Ἐξ ὑπερδεξιῶν. Ἀντὶ τοῦ, ἐκ τῶν ὑψηλοτέρων. Τὸ ὑψηλότερα γάρ, φασίν, ὑπερδέξια. Ὑψηλότερα δ' ἐπέκειτο τῷ Εὐφράτῃ τὰ δύο πολίσματα, Κτησιφῶν καὶ Κωχή.

[1252] 58,339,15-16. Κατόπιν ἑαυτοῦ. Κατόπιν ἑαυτοῦ ποιεῖται τὴν Κτησιφῶντα καὶ τὴν Κωχήν. Ἀδύνατον γὰρ αὐτὰς ἑλεῖν· παρῆλθεν αὐτὰς ἐάσας ὀπίσω.

58,339,19. Ἐκ διώρυγος. Ἦν καὶ προτέρα, φησίν, ἡ διώρυξ, ἐπεσκεύασε δ' αὐτὴν καὶ ἐπώρυξεν Ἰουλιανός.

58,339,24 Κατὰ μετώπου. Περσικὴ δύναμις οὐκ ᾠήθη δεῖν ἀντίπρωρος καὶ ἀντιπρόσωπος σταθεῖσα μάχεσθαι.

58,339,26. Παρείκοι. Τὸ παρείκοι, ἀντὶ τοῦ, τὸ ὑποχωροῦν τῷ ἀνθρώπῳ ἢ καὶ ἄλλῳ ζῴῳ καὶ ὑποδεχόμενον ἐν κρημνῷ τυχόν, ἢ δυσχερείᾳ· οὕτω καὶ παρὰ τοῖς συγγραφεῦσιν. Ἄλλως, ἀντὶ τοῦ, ἔνθα ἂν οἱ λόφοι καὶ τὰ στενὰ ὑποδέχοιτο αὐτούς.

58,339,27. Τῆς διόδου. Δίοδος, ἐστὶν ἡ διὰ μέσου λόφων τινῶν ὁδός, ἔξοδον ἔχουσα εἰς τὸ καταντικρύ· ἡ δὲ ἔξοδον οὐκ ἔχουσα, εἴσοδος.

58,339,33. Εὔνους δὲ τοῖς Ρωμαίων. Διὰ τὸ προσκεκρουκέναι δῆλον ὅτι. Οὕτω μέν, ὡς ἀρτίως εἶπον, ἡ Βαβυλὼν ἐπὶ Δαρειου, διὰ τῆς τοῦ Ζωπύρου τόλμης ἑάλω. Ἐπὶ δὲ τοῦ Κύρου οὕτω· Μέγα ὄρυγμα παρὰ τὸν Εὐφράτην ὁ Κῦρος ποιήσας καὶ τὸν ποταμὸν ἐκεῖ παρατρέψας καὶ ταύτῃ τὸν μεταξὺ τῆς πόλεως πόρον ξηράνας (διαρρεῖ γὰρ τὴν Βαβυλῶνα ὁ Εὐφράτης), δι' ἐκείνου εἰσελθών, οὕτως εἷλε τὴν πόλιν.

58,339,37. Οὕτως ἐπίμαχον. Ἀντὶ τοῦ, εὐχερὲς εἰς τὸ πολεμεῖσθαι. Ἡ γαστὴρ οὖν εὐποροῦσα τροφὰς ἔχειν καὶ τὸ ἕτοιμον ἔχειν τὴν ἐκ τῆς τροφῆς σωτηρίαν, εὐχερῆ πρὸς τὸ πολεμεῖσθαι ποιεῖ τὸν στρατὸν καὶ φιλόνεικον δέ. Εὐπορῶν γὰρ τροφῶν οὐκ ἐγκρατεύεται, ἀλλὰ φιλονεικεῖ φαγεῖν.

58,340,5. Προσῆν ὁ γέλως. Διὰ τί προσῆν ὁ γέλως; Ἐπειδὴ σχεδὸν ἑαυτὸν διεχρήσατο Ἰουλιανὸς ἐμπρήσας τὸν σῖτον.

58,340,25. Ὦσαι. Ὠθῆσαι, ἐστὶ ῥῆμα, καὶ τὴν μέσην συλλαβὴν ὑφελόντες λέγουσιν ὦσαι· δῆλον δέ ἐστιν, ὅτι ξίφος, ὅπερ νοήσεις ἔξωθεν.

58,340,30. Σπλάγχνων ἀπαιτεῖται. Ἀνθρωπίνων

σπλάγχνων δηλονότι. Θυομένων γὰρ αὐτῷ πολλῶν πρὸ τοῦ πολέμου χριστιανῶν καὶ ἡπατοσκοπίης ἐνταῦθα γινομένης, προέλεγον οἱ μάντεις ἐκ ταύτης, ὅτι δὲ νικήσει τὸν πόλεμον· καὶ ὁ μάταιος ἐπίστευσε. Πιστευθέντων οὖν παρὰ Ἰουλιανοῦ κακῶς τῶν ἀνθρωπίνων δηλονότι σπλάγχνων.

58,341,5-6. Ὁ μετ' ἐκεῖνον ἀναρρηθείς. Ἰουβιανὸς δεξάμενος τὴν βασιλείαν μετὰ τὸν ἀσεβέστατον Ἰουλιανόν, ὃς συμβᾶσι τοῖς Πέρσαις μετὰ τὴν νίκην, τὸ νῦν καλούμενον Νήστιμον Ῥωμαίων ὄν, ἀναγκαίως ὑπὲρ τῆς τοῦ στρατοῦ σωτηρίας Πέρσαις παρέδωκεν.

58,341,10. Τοῦ στρατοῦ παρεικότος. Πῶς, φησίν, οὐ δυνατὸς ἦν; Τοῦ στρατοῦ παρειμένου καὶ παραλελυμένου καὶ κατὰ τὰς χεῖρας καὶ κατὰ τὰς ἐλπίδας.

58,341,13-14. Καὶ γὰρ νόμος. Ἰσοκράτης ἐν τῷ Εὐαγόρᾳ περὶ αὐτῶν λέγει, ὡς ἠρκοῦντο τῷ κύριοι τῶν σωμάτων γενέσθαι.

[1253] 58,341,14. Δείσαντες ἄλλο. Καὶ ἄλλο τι φοβηθέντες, φησίν. Ποῖον; Μὴ ἀπογνόντες οἱ Ῥωμαῖοι τὴν ἑαυτῶν σωτηρίαν ἀνδριώσονται πλέον καὶ τῶν ἐχθρῶν κρατήσουσι. Μία γὰρ τοῖς ἡττηθεῖσι σωτηρία, τὸ μὴ προσδοκῆσαι σωτηρίαν· ἀλλ' οὕτως αὐτοῖς ἐπιπεσεῖν τοῖς κεκρατηκόσιν ὡς τεθνηξομένοις. Καὶ τοῦτό τινός ἐστιν ἐνθύμημα τῶν παρὰ Ῥωμαίων ἀρχαίων.

58,341,16. Πυρφόρον. Πυρφόρους φησὶ τοὺς ἱερέας τοὺς τὸ ἐπιβώμιον παρανάπτοντας. Ἐν τοῖς γοῦν πολέμοις εἰώθασι τῶν ἱερέων οἱ νενικηκότες φείδεσθαι. Ἐπὶ δὲ τῶν παντελῶς ἡττημένων καὶ συμπατηθέντων ἐν τῷ πολέμῳ, εἰώθασιν, ὑπερβολῇ χρώμενοι, οὕτω λέγειν· Οὕτως ἀπώλοντο, ὥστε οὐδὲ πυρφόρος, ταὐτὸν δὲ εἰπεῖν, ἱερεύς, ὑπελείφθη τῷ στρατῷ.

58,341,19. Προλαβεῖν εὐημερίας. Καὶ τὸ βραχύ τι κατὰ τὸν πόλεμον εὐημερῆσαι, ἱκανόν ἐστιν ὑποθέσθαι καὶ πρὸς τὸ μέλλον ἐλπίδα μεγίστην.

58,341,25. Ὧν. Συνθηκῶν δηλονότι.

58,341,25. Ἐκεῖνον. Ἰουλιανόν.

58,341,25. Τοῦτον. Τὸν διαδεξάμενον δηλονότι.

58,341,25. Ὁμώνυμον ἐκείνοις. Τὴν Κωνσταντίνου πόλιν φησὶν ὁμώνυμον ἐκείνοις, Κωνσταντίνῳ καὶ Κωνσταντίῳ.

58,342,2. Γέρας. Τὴν ἀκουομένην φησὶ φωνήν.

58,342,14. Τάξιν ἐνόπλιον. Ὁ μὲν ἀνὴρ ἔνοπλος, ἡ δὲ πρᾶξις ἐνόπλιος, οἷον ὄρχησις ἐνόπλιος, τάξις ἐνόπλιος.

58,342,17. Καὶ γεννάδας. Τί δεῖ λέγειν τὸ καὶ τό; Ἀλλ' Ἰουλιανὸς αὐτός, ὁ ἄρτι τυραννήσας μᾶλλον ἢ βασιλεύσας, ἀπαντήσας καὶ αὐτὸς προέπεμπε.

58,342,20. Χάριν. Βασιλικὴν τιμὴν τῷ κατοιχομένῳ διδούς, βασιλικὴν ἀντελάμβανε μετὰ τῆς ἁλουργίδος τὸ σῶμα παραπέμπων.

58,342,33. Δημοσίαις. Βλασφημούσαις αὐτὸν καὶ κατα-

ρωμέναις αὐτῷ. Καὶ μάλιστα οἱ Ἀντιοχεῖς πολλὰ εἰς αὐτὸν ἀπέσκωπτον.

58,342,33. Βωμολόχοις. Βωμολόχους λέγομεν τοὺς εὐτελεῖς καὶ πένητας· τουτέστι, τοὺς περὶ τὸν βωμὸν λοχῶντας καὶ προσκαθεζομένους αὐτῷ, ἵνα τις εὐποιήσῃ αὐτοῖς διδούς τι πρὸς τὴν ἀναγκαίαν τροφήν. Βωμολόχοι δὲ καὶ οἱ ὄρνιθες οἱ τὸν βωμὸν περιιπτάμενοι καί τι κρέας ἀπὸ τῶν ἐντόμων ἁρπάζοντες, οἷον κόρακες, ἰκτῖνες καὶ τὰ τοιαῦτα τῶν ὀρνέων. Ἡ λέξις οὖν ἐπὶ τῶν εὐτελῶν λέγεται.

58,342,35. Μῖμοι γελοίων. Προηγοῦντο, φησί, τοῦ λειψάνου τοῦ δυσσεβοῦς Ἰουλιανοῦ οἱ ἀπὸ τοῦ θεάτρου αὐληταὶ καὶ ὀρχησταί, ὥσπερ ἦν ἄξιον. Ἐπομπεύετο τοίνυν καταυλούμενος καὶ κατορχούμενος καὶ διὰ τὴν ἄρνησιν τῆς πίστεως καὶ διὰ τὴν ἧτταν τοῦ πολέμου.

58,342,41 Τάφος ἐξάγιστος. Τὸ ἄγος πάντοτε ἐπὶ κακοῦ λαμβάνεται τοῦ μύσους· ἁγιστείαν δὲ καὶ ἁγιστεύειν, ἐπὶ τοῦ καθαροῦ καὶ ἁγίου. Ἁγιστεύει ἀντὶ τοῦ, καθαρεύει.

58,343,1. Δυσὶ καὶ τρισί. Οὐκ ἀγνοῶν, ὅτι μείζω [1256] ἂν εἰργάσατο τῇ πολιτείᾳ κακά, εἰ μὴ ταχέως ὁ Θεὸς αὐτὸν ἐξέκοψεν. Εἶχε γὰρ περὶ αὐτὸν τοιούτους τινὰς ἀσεβεῖς καὶ ἀθέους, οἳ ταχέως ἂν τὴν πολιτείαν ἐδῄωσαν, εἰ μὴ τὰ πράγματα ταχεῖαν ἔλαβε τῶν λυπούντων ἀπαλλαγήν.

58,343,13. Ἀμπώτιδας. Ἄμπωτις, ὡς ἤδη εἴρηται, ἐναντία ἐστὶ τῇ ῥοθίῳ. Ταῦτα δὲ πάθη ἐστὶ θαλάττης στενῆς περικλειομένης ἢ ὑπὸ νήσων ἢ ὑπὸ γωνιῶν. Ἄμπωτις δέ ἐστιν, οἷον εἰ ἀνάπωτις καὶ ἀναρρόφησις ὑποστελλομένου τοῦ ὕδατος εἰς μυχούς τινας τῆς ὑποκειμένης γῆς καὶ μετ' ὀλίγον πάλιν ἐκφυτοῦντος. Τὸ μὲν οὖν ὑποσταλῆναι λέγεται ἄμπωτις, τὸ δὲ πάλιν ἐκρεῦσαι λέγεται ῥαχία. Τοῦτο δὲ γίνεται πολλάκις τῆς ἡμέρας καὶ μάλιστα ἐὰν πνέῃ ἄνεμος. Πάσχει δὲ τοῦτο ὁ περὶ τὴν Ἑλλάδα Εὔριπος, ὃς καὶ εἴρηται ἀπὸ τοῦ εὐτρέπεσθαι, οἱονεὶ εὔτρεπτος καὶ εὐχερῶς πίπτων.

58,343,16. Ἠλυσίων. Ὥσπερ ὁ χριστιανικὸς λόγος ὑπογράφει τινὰ παράδεισον, οὕτω καὶ οἱ Ἕλληνες ὑπογράφουσί τι χωρίον, ὃ καλοῦσι Μακάρων νήσους. Καλοῦσι δὲ αὐτὸ Ἠλύσιον πεδίον, παρὰ τὸ ἐλεύσεσθαι ἐκεῖσε τοὺς καλῶς βεβιωκότας. Ὁ δὲ Ῥαδάμανθυς, υἱὸς τοῦ Διός, δικαστὴς ἐν ᾅδου, τοὺς μὲν ἁμαρτάνοντας παρὰ τὸν Κωκυτὸν καὶ τὸν Πυριφλεγέθοντα πέμπει, τοὺς δὲ ἀγαθοὺς εἰς τὰς Μακάρων νήσους.

58,343.24. Ἑταῖρε. Ὁ Πλάτων καὶ οἱ φιλόσοφοι τοὺς γνησίους ἐραστὰς τῶν λόγων ἑταίρους καλοῦσιν, οἱονεὶ φίλους· ὁ δὲ Ἰουλιανὸς ὡς φιλοσοφήσας, οὐκ ἀπαυθαδίζεται τῇ βασιλείᾳ, ἀλλ' ἐμιμεῖτο δῆθεν Πλάτωνα καὶ τοὺς φιλοσόφους, ἑταίρους πάντας καλῶν· καὶ πολὺ τοῦτο τὸ ὄνομα ἐν ταῖς συνουσίαις αὐτοῦ· τὸ δὲ προπίνω,

τοῦτό ἐστι. Πάντες οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες πάνδημον ἑορτήν, ἐν χρυσαῖς φιάλαις ἢ ἀργυραῖς κιρνουμέναις, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοί, ἀπέπινον δὲ μικρὸν ἐκ τῆς κύλικος καὶ τότε παρεῖχον ᾧ ἂν ἐβούλοντο, χαριζόμενοι τὴν κύλικα. Τοῦτο δὲ ἦν σύμβολον φιλίας πολλῆς. Καὶ τοῦτο μὲν ἐκαλεῖτο προπίνειν· ἡ δὲ ἡμέρα, φιλοτησία. Τὸ δὲ λαρυγγίζειν, μίμησίς ἐστι φωνῆς, ὅταν τις τερπόμενος οἷς λέγει, ἐπί—ησι— πως τῇ φωνῇ καὶ στενοῖ αὐτήν.

58,350,34. Ὑ π ο ρ ρ ε ῖ. Ἀντὶ τοῦ, πίπτει καὶ μαραίνεται. Εἴρηται γὰρ ἀπὸ μεταφορᾶς τῶν ἀνθῶν.

58,350,38. Κ ώ μ ο ι ς. Κωμάζειν, ἐστὶ μετὰ μέθης αἰσχρῶς ᾄδειν. Κῶμος δὲ τὸ ὄνομα.

58,350,40. Σ τ έ ψ ω μ ε ν. Ῥόδοις τυχὸν ἢ κρίνοις ἢ μυρρίναις ἢ λωτῷ ἢ δάφνῃ.

58,351,2. Σ υ ν α υ λ ί α ι ς. Συναυλία ἐστὶν ἡνίκα δύο ἢ καὶ πλείους αὐληταὶ συναυλοῦσιν ἅμα, εἴτε ὅμοιον, εἴτε διάφορον· ὁ μὲν καλάμῳ, ὁ δὲ κέρατι, ὁ δὲ τῷ χαλκῷ ἐναυλεῖ. Λέγομεν δὲ συναυλίαν καὶ κιθάρας ἅμα συγκρουομένης αὐλῷ καὶ συμφθεγγομένης.

58,351,3. Ἱ ε ρ ο μ η ν ί α ς. Τὰς νουμηνίας οἱ Ἕλληνες ἱερομηνίας ἐκάλουν κυρίως· καταχρηστικῶς δὲ καὶ τὴν ἑορτήν

[1255] 58,351,10. ⟨Ἔχω⟩ τ ι κ α ὶ μ ῦ ρ ο ν. Τὸν Χριστόν, μῦρον γὰρ ἐκκενωθὲν τὸ ὄνομα αὐτοῦ[1].

58,351,12. Εἴ θ ε μ ο ι. Κἀμοὶ γένοιτο, ὀψὲ γοῦν καὶ μόγις, διὰ τῶν σῶν εὐχῶν, ἅγιε Πάτερ, ἐπειδὴ πάντα δυνατὰ τῷ Θεῷ

58,351,20. Κ α ὶ π ο μ π ε ύ ε ι ν. Πομπεύειν καὶ ἐπὶ καλοῦ λέγεται καὶ ἐπὶ κακοῦ· ἐπὶ καλοῦ μέν, ἡνίκα τῆς ἑορτῆς οὔσης προϊόντες ἐπ᾽ ἀγορᾶς βαδίζωμεν, εἰς τιμὴν κεκοσμημένοι τῆς πανηγύρεως· ἐπὶ κακοῦ δέ, ὡς ὅταν ἐν τῇ πομπῇ τῷ Διονύσῳ οἱ Ἕλληνες ἐφ᾽ ἁμαξῶν προϊόντες ἀλλήλους ἔλεγον κακῶς, καὶ πρὸς τὸ μὴ αἰσχυνθῆναι, προσωπεῖα, λέγοντες, ἐφόρουν οἱ πλεῖστοι. Ἐντεῦθεν καὶ πομπεύειν λέγομεν, τοὺς φαῦλόν τι δράσαντας καὶ διὰ τῆς ἀγορᾶς μεθ᾽ ὕβρεως ἀγομένους.

58,351,23. Λ υ γ ι σ μ ά τ ω ν. Λύγισμα, ἐστὶ θηλυδριώδης μετὰ τοῦ ἀκκίζεσθαι καὶ θρύπτεσθαι γινομένη τῶν ἀσέμνων ὁμιλία καὶ λυγίζεσθαι μέν ἐστι, τὸ τεχνικῶς ὀρχεῖσθαι καὶ θρύπτεσθαι, ἤτοι τοῖς μέλεσι καὶ τῇ φωνῇ κατακλώμενον ἀκκίζεσθαι· θρύπτεσθαι δέ ἐστι, τὸ ἄνευ φωνῆς καὶ τέχνης ἀκκίζεσθαί τε καὶ κατακλᾶσθαι τοῖς τοῦ σώματος μέλεσιν. Εἴρηται δὲ ἀπὸ τοῦ λύγου. Λύγος δὲ λέγεται παροξυτόνως τὸ ἱμαντῶδες φυτόν. Οὐ γοῦν λυγίζων στρέφεται, καθὰ καὶ τὸ φυτὸν ἐκεῖνο, ἀκκιζόμενος καὶ θρυπτόμενος· εὔδηλον δέ, ὡς ὀξυνόμενον τὸ λυγὸς ὄνομα, σημαίνει ποιητικῶς τὸν ὄλεθρον. Λύγος δὲ

---

1 Πρβλ. Ἀσμ 1,2

εἴρηται καὶ παθητικὴ φωνή· λυγίζεται, ἀντὶ τοῦ στρέφεται αἰσχρῶς καὶ ὀρχηστικῶς.

58,351,24. Σ ύ ν ν ο ι α ν. Ἰσοκράτης ἡμᾶς ἐδίδαξε τίς ὁ σύννους καὶ τίς ὁ σκυθρωπός· ὅτι ὁ μὲν κατηφής, ἀεὶ καὶ αὐθάδης ὁ δὲ σύννους ὁ διὰ παντὸς προσέχων ἑαυτῷ καὶ συνών, ἔν τε τῷ προσέχειν ἑαυτῷ τὸν νοῦν συνάγων

58,351,31 Π α ρ α ι ν έ σ ε ω ς. Τὸ ἑορτάζειν νοητῶς, ἀλλὰ μὴ κατὰ τοὺς ἄφρονας αἰσθητῶς.

58,352,6 Κ ο λ α σ τ α ί. Ἀντὶ τοῦ, κολάσωμεν αὐτούς· μετροῦμεν τὴν κόλασιν, φησίν, ἐν ᾧ μὴ κολάσαι κατ' ἐξουσίαν ἰσχύσαμεν, ἐάσωμεν οὖν — ετρα κολάζεσθαι τοὺς ἐχθροὺς τῷ συνειδότι πληττομένους κατὰ τὴν τραγῳδίαν. Ἡ σύνεσις γὰρ ἀπόλλυσι τὸν δεινὰ εἰργασμένον

58,353,25. Π ε ῖ σ α ι Διὰ τοῦ πεῖσαι τοὺς πεπονθότας ἔτι ζῶντας, δῆλον ὅτι, φέρειν καρτερῶς, ἃ πεπόνθασιν.

58,353,1. Ἀ ρ ι θ μ η θ ή σ ε τ α ι. Οὕτως ἡ φράσις, μετ' ἐκείνων ἀριθμηθήσεται καὶ πρὸ ἐκείνων ὁ Ἰουλιανός· οὐ τῷδε καὶ τῷδε κολαζόμενος, ἀλλ' ὀψόμεθα τίσι καὶ οἵοις κολαζόμενος, τοῖς ἐκεῖθεν.

58,353,5 Κ ε ι ρ ό μ ε ν ο ς. Ὁ Προμηθεὺς λέγεται κλέψαι τὸ πῦρ παρὰ τῷ Θεῷ καὶ ἐνεγκεῖν εἰς ἀνθρώπους· καὶ ὅτι περὶ τὰ κρέα τῆς θυσίας ἀπατήσας τὸν Δια, εἰς ὀργὴν ἐκίνησεν αὐτὸν διττῶς. Τοῦτον θέλων τιμωρήσασθαι, ἐποίησεν ἀετὸν κατεσθίειν αὐτοῦ τὸ ἧπαρ· καὶ τὴν μὲν ἡμεραν κατησθίετο τὸ ἧπαρ, τὴν δὲ νύκτα πάλιν ἀνεπληροῦτο, καὶ πάλιν ἔρχεται ὁ ἀετὸς καὶ ἤσθιεν αὐτό, ἕως οὗ ὁ Ἡρακλῆς ἐλθὼν **[1256]** ἐτόξευσε τὸ ὄρνεον τοῦτο. Αὕτη οὖν ἐστιν ἡ περὶ τοῦ κείρεσθαι τὸ ἧπαρ ὑπὸ τῶν ὀρνίθων ἱστορία.

58,353,11. Ξ ε ι ν ή ι ο ν. Ὁ ἐπίλογος ἐνταῦθα· ἔστι δὲ παρῳδία ἀπὸ τῆς Ὁμήρου ποιήσεως τῆς Ὀδυσσείας. Εἰσελθὼν ἐν σχήματι πτωχοῦ μετὰ τὴν ἐπάνοδον εἰς τὰ ἑαυτοῦ Ὀδυσσεύς, εὗρεν εὐωχουμένους ἐν αὐτῇ τοὺς μνηστῆρας· καὶ πρῶτον τῷ Ἀντινόῳ προσελθών, ὡς ἂν ἐπὶ μάχην αὐτὸν ἐρεθίσαι, προσεποιεῖτο δεῖσθαι τροφῆς οἷα πτωχός τις καὶ ἀλήτης. Ὁ δὲ οὐκ ἐδίδου· Ὀδυσσέως δὲ ἐπιμένοντος καὶ τὰ μὲν ἐνοχλοῦντος, τὰ δὲ καὶ ὀνειδίζοντος, ὁ Ἀντίνοος μέρος τι ποδὸς βοείου λαβὼν κατακοντίσας ἐπαφῆκεν Ὀδυσσεῖ· καὶ τὴν μὲν βολὴν διέφυγεν Ὀδυσσεύς, εὐθὺς δὲ τείνας τὸ τόξον βάλλει τὸν Ἀντίνοον· εἶτα μεγαλαυχῶν ἐπὶ τούτῳ καὶ λόγῳ, τὸν ἐχθρὸν ἀμύνεται τοιῷδε. Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον ἀντὶ τοῦ, τοῦτό σοι προσφέρω ξεινήιον ἀντὶ τοῦ βοείου ποδός, ὃν ἐμοῦ κατηκόντισας. Ἀντὶ ποδὸς δὲ νῦν νοήσεις ἀντὶ τοῦ καθ' ἡμῶν διωγμοῦ καὶ τῆς εἰς ἡμᾶς καὶ τοὺς λόγους παρανομίας τοῦ παραπλῆγος Ἰουλιανοῦ.

58,353,20. Ἀ ν τ ί θ ε τ ο ι. Τὸ ἀντίθετον καὶ πρὸς γενικῆς καὶ πρὸς δοτικῆς συντάττεται, ὥσπερ καὶ τὸ ἴσον· κἀντίθετος αὐτῷ εἰμι καὶ αὐτοῦ· τουτέστι, ἀντίπαλος, ἐναντίος, ἀνταγωνιστής.

58,353,36. Ψηφολογικῶν. Ψηφολόγοι, οἱ ψηφοκλέπται. Ψηφολογικοὶ τοίνυν λόγοι, οἱ πλανῶντες ὥσπερ οἱ ψηφοκλέπται τοὺς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων.

58,353,38. Δορκαλίσι. Δορκαλίδες ὄργανά εἰσι κολαστικά· ἴσως δὲ αἱ μάστιγες αἱ ἀπὸ ἱμάντων δορκάδος οὕτω λέγονται, ὡς ὑστριχίδες αἱ ἀπὸ τριχῶν ὑός. Ἔστι δὲ καὶ ὑστριχὶς θηρίον τι τρίχας ἔχον ὑός, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

58,354,2. Πορφυρίου. Πορφύριός τις ἀμαθής. Ἄλλος καθ' ἡμῶν, μᾶλλον δὲ καθ' ἑαυτοῦ μανεὶς προλαμβάνει τῷ χρόνῳ τὸν Ἰουλιανόν. Τούτου τοὺς κιβδήλους λόγους πάνυ τιμῶσιν οἱ Ἕλληνες.

58,354,3. Μισοπώγωνος. Πολλὰ τῶν Ἀντιοχέων ἀποσκωψάντων εἰς αὐτὸν Ἰουλιανὸν καὶ τὸν πώγωνα, ὃν ἔτρεφε φιλοσοφεῖν προσποιούμενος, λόγον γράφει οὗ ἡ ἐπιγραφὴ *Ἀντιοχικὸς ἢ Μισοπώγων*. Ἐν τούτῳ τῷ λόγῳ χαριεντιζόμενος καὶ σεμνυνόμενος γράφει οὕτω ἀπέριττον ἔχειν σῶμα, ὡς μηδέποτε ἀπεπτῆσαν ἐκ κόρου καὶ πλησμονῆς.

58,354,11. Παρανάλωσας. Ἀντὶ τοῦ ἀνάλωσας. Εὐρυθμίας γὰρ ἕνεκα πρόσκειται. Ἀλλαχοῦ δὲ παρανάλωμά ἐστι τὸ ἐπισυμβαῖνον ἔκ τινος τύχης, οἷόν ἐστι καὶ τὸ πάρεργον καὶ παρεμπόρευμα. Παραδείγματος δὲ χάριν ὑποκείσθω τοιαῦτα τῇ θεωρίᾳ. Στρατηγὸς ἐν μάχῃ τοὺς πολεμίους κόπτων καὶ κτείνων, ἀγνοήσας τῶν ὁμοφύλων τινὰς συνανεῖλε. Γέγονεν οὖν αὐτῷ ἀνάλωμα μὲν οἱ πολέμιοι, παρανάλωμα δὲ οἱ πολῖται διὰ τὴν ἄγνοιαν ἀναιρεθέντες. Προῆλθέ τις εἰς τὴν ἀγοράν, τόδε τι ποιήσων, ἔλαιον τυχὸν ἢ ἱμάτιον ὠνησόμενος. Μεταξὺ ἄλλο παρέμπεσεν, ὠνήσατο, **[1255]** καὶ γέγονεν αὐτῷ ἔργον μὲν τὸ πρῶτον, πάρεργον δὲ τὸ δεύτερον. Πάλιν, τὴν ἐμπορίαν ἔμπορος οἶνον ἔχων ἢ ἔλαιον, μεταξὺ σῖτον εὑρὼν ἐπ' εὐκαιρίας εὔωνον καὶ τοῦτον ὠνήσατο. Καλοῦσι μὲν ἐμπορίαν τὴν συνήθη καὶ πρώτην, παρεμπόρευμα δὲ τὸ δεύτερον ἐξ εὐκαιρίας. Καὶ εἴ τι μὲν παρεμπόρευμα, τοῦτο καὶ πάρεργον· οὐκ, εἴ τι δὲ πάρεργον, τοῦτο ἤδη καὶ παρεμπόρευμα καλεῖται· ἀλλ' ἐκεῖνο τὸ πάρεργον καλεῖται παρεμπόρευμα, ὃ δευτέρῳ λόγῳ κατὰ συμβεβηκὸς ἐξ εὐκαιρίας εἰς ἐμπορίαν τις ἔλαβεν.

58,354,12. Ἐρυγάς. Τὸ ὄνομα ἐρυγή· τὸ δὲ ῥῆμα ἐρυγγάνω ἀντὶ τοῦ ἐρεύγομαι.

ΤΟΥ ΑΓΙΟΥ ΔΩΡΟΘΕΟΥ

ΕΡΜΗΝΕΙΑ ΤΙΝΩΝ ΡΗΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ, ΨΑΛΛΟΜΕΝΩΝ ΜΕΤΑ ΤΡΟΠΑΡΙΩΝ ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΠΑΣΧΑ

ΔΙΔΑΣΚΑΛΙΑ ΚΒ'.

[1821] Α'. Ἡδέως ἐλάλουν ὑμῖν ὀλίγα περὶ τῶν ψαλμῶν ὧν ψάλλομεν, ἵνα μὴ ἀπομετεωρίζεσθαι πρὸς τὸ μέλος, ἀλλ' ἵνα καὶ αὐτὸς ὁ νοῦς ὑμῶν κατὰ ἀναλογίαν συμπεπύρωται τῇ δυνάμει τῶν λόγων. Τί ἐψάλλομεν ἄρτι; Ἀναστάσεως ἡμέρα· καρποφορήσωμεν ἡμᾶς αὐτούς. Ἐπειδὴ τὸ παλαιὸν οἱ υἱοὶ Ἰσραὴλ ἑορταῖς ἢ ταῖς πανηγύρεσι προσέφερον δῶρα τῷ Κυρίῳ κατὰ νόμον, οἷον, θυσίας, ὁλοκαυτώματα, ἀπαρχὰς καὶ ὅσα τοιαῦτα· παραινεῖ ὑμῖν ὁ ἅγιος Γρηγόριος ἑορτάσαι ὥσπερ ἐκεῖνοι τῷ Κυρίῳ καὶ παρακελεύεται λέγων· Ἀναστάσεως ἡμέρα ἀντί, τῆς ἁγίας ἑορτῆς ἡμέρα, θείας πανηγύρεως ἡμέρα, τοῦ Πασχα τοῦ Χριστοῦ ἡμέρα. Τί ἐστι Πάσχα Χριστοῦ; Τὸ Φασὲχ ἐποίησαν υἱοὶ Ἰσραήλ, ὅτε ἐξῆλθον ἐκ τῆς Αἰγύπτου· τὸ δὲ νῦν Πάσχα, ὃ προτρέπεται ἡμᾶς ὁ ἅγιος Γρηγόριος ἑορτάσαι, ἡ ψυχὴ ἐπιτελεῖ ἢ ἐξέρχεται ἀπὸ τῆς νοητῆς Αἰγύπτου, τοῦτ' ἔστι, τῆς ἁμαρτίας. Ὅτε γὰρ διαβαίνει ἡ ψυχὴ ἀπὸ τῆς ἁμαρτίας πρὸς τὴν ἀρετήν, τότε ποιεῖ τὸ Φασὲχ τῷ Κυρίῳ, ὡς εἶπεν Εὐάγριος. Πάσχα Κυρίου, διάβασις ἀπὸ κακίας. Σήμερον οὖν Πάσχα Κυρίου λαμπρᾶς ἑορτῆς ἡμέρα, τῆς Χριστοῦ ἀναστάσεως ἡμέρα, τοῦ τὴν ἁμαρτίαν ἀνασταυρώσαντος καὶ ὑπὲρ ἡμῶν ἀποθανόντος καὶ ἀναστάντος. Προσενέγκωμεν οὖν καὶ ἡμεῖς δῶρα τῷ Κυρίῳ θυσίας, ὁλοκαυτώσεις, μὴ ἀλόγων ζώων, ὧν Χριστὸς οὐ βούλεται· θυσίαν γὰρ καὶ προσφορὰν ἀλόγων οὐκ ἠθέλησε καὶ ὁλοκαυτώματα μόσχων καὶ προβάτων οὐκ εὐδόκησε. Καὶ Ἡσαΐας λέγει· «Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος»[1], καὶ τὰ ἑξῆς. Ἀλλ' ἐπεὶ ὁ Ἀμνὸς τοῦ Θεοῦ ἐτύθη ὑπὲρ ἡμῶν, κατὰ τὸν Ἀπόστολον λέγοντα· «καὶ γὰρ τὸ Πάσχα ἡμῶν ἐτύθη **[1824]** Χριστός»[2] ἵνα ἄρῃ τὴν ἁμαρτίαν τοῦ κόσμου καί· κατάρα ὑπὲρ ἡμῶν γέγονε, κατὰ τὸ γεγραμμένον· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· ἵνα ἡμᾶς ἐξαγοράσῃ ἐκ τῆς κατάρας τοῦ νόμου[3]· καί, «ἵνα υἱοθεσίαν ἀπολάβωμεν»[4]· ὀφείλομεν καὶ ἡμεῖς τί ποτε ἀρέσκον αὐτῷ προσενέγκαι δῶρον ἡμῶν.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 88 στ 1821.

1 Ἡσ. 1,11. 2. Α' Κορ. 5,7. 3. Πρβλ Γαλ 3,13 4 Γαλ 4,5.

Β΄. Ποῖον οὖν δῶρον ἢ ποίαν θυσίαν ὀφείλομεν προσενέγκαι τῷ Χριστῷ ἐν τῇ τῆς ἀναστάσεως ἡμέρᾳ, ἵνα ἀρέσῃ αὐτῷ, ἐπειδὴ οὐ βούλεται ἀλόγων ζώων θυσίας; Αὐτὸς πάλιν ὁ ἅγιος καὶ τοῦτο διδάσκει ἡμᾶς· εἰπὼν γάρ· ἀναστάσεως ἡμέρα, ἐπήγαγε, καρποφορήσωμεν ἡμᾶς αὐτούς· ὡς λέγει καὶ ὁ Ἀπόστολος· «παραστήσατε τὰ σώματα ὑμῶν θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Κυρίῳ, τὴν λογικὴν λατρείαν ὑμῶν»[1]. Πῶς οὖν ὀφείλομεν παραστῆσαι τὰ σώματα ἡμῶν θυσίαν ζῶσαν, ἁγίαν τῷ Θεῷ; Τῷ μηκέτι ποιεῖν τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν ἡμῶν· ἀλλὰ πνεύματι περιπατεῖν καὶ ἐπιθυμίαν σαρκὸς μὴ ἐκτελεῖν[2]. Τοῦτο γάρ ἐστι τὸ νεκρῶσαι τὰ μέλη τὰ ἐπὶ τῆς γῆς[3]. Αὕτη λέγεται θυσία ζῶσα· ἐπειδὴ τὸ ἄλογον τὸ εἰς θυσίαν ἀπαγόμενον, ἐνιαυτῷ θυσιάζεται καὶ ἀποθνήσκει. Οἱ ἅγιοι ἑαυτοὺς καρποφοροῦντες τῷ Θεῷ, ζῶντες θυσιάζουσι τῷ Θεῷ ἑαυτοὺς καθ' ἑκάστην ἡμέραν, ὡς λέγει Δαβίδ, «ὅτι ἕνεκα σοῦ θανατούμεθα ὅλην τὴν ἡμέραν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς»[4]. Τοῦτό ἐστιν ὃ λέγει ὁ ἅγιος Γρηγόριος· καρποφορήσωμεν ἡμᾶς αὐτούς, τοῦτ' ἔστι, θυσιάσωμεν ἡμᾶς ἑαυτούς, θανατώσωμεν ἡμᾶς ἑαυτοὺς ὅλην τὴν ἡμέραν, καθὼς καὶ οἱ ἅγιοι πάντες ἕνεκεν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἕνεκεν τοῦ ὑπὲρ ἡμῶν ἀποθανόντος. Πῶς δὲ ἐθανάτωσαν ἑαυτούς; Μὴ ἀγαπήσαντες τὸν κόσμον μηδὲ τὰ ἐν κόσμῳ[5], καθὼς λέγει ἐν ταῖς καθολικαῖς Ἐπιστολαῖς ἀλλ' ἀποταξάμενοι τῇ ἐπιθυμίᾳ τῆς σαρκὸς καὶ ἐπιθυμίᾳ τῶν ὀφθαλμῶν καὶ τῇ ἀλαζονείᾳ τοῦ βίου[6]· τοῦτ' ἔστι φιληδονίας, φιλαργυρίας, κενοδοξίας καὶ ἄραντες τὸν σταυρὸν καὶ ἀκολουθήσαντες τῷ Χριστῷ καὶ τὸν κόσμον ἑαυτοῖς σταυρώσαντες καὶ ἑαυτοὺς τῷ κόσμῳ. Περὶ τούτων λέγει ὁ Ἀπόστολος· «οἱ δὲ τοῦ Χριστοῦ τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις»[7]. Ἰδοὺ οὕτως ἐθανάτωσαν ἑαυτοὺς οἱ ἅγιοι.

Γ΄. Πῶς δὲ καὶ ἐκαρποφόρησαν ἑαυτούς; Μὴ ζήσαντες ἑαυτοῖς, ἀλλὰ ταῖς ἐντολαῖς τοῦ Θεοῦ, ἑαυτοὺς καταδουλώσαντες καὶ ἀφέντες τὰ θελήματα αὐτῶν ἐν τῇ ἐντολῇ καὶ τῇ ἀγάπῃ τοῦ Θεοῦ καὶ τοῦ πλησίον, καθὼς εἶπεν ὁ ἅγιος Πέτρος· «ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι»[8]. Τί ἀφῆκε; Μὴ γὰρ χρήματα εἶχεν ἢ κτήματα ἢ χρυσὸν ἢ ἄργυρον· σαγήνην εἶχε καὶ αὐτὴν πεπαλαιωμένην, ὡς εἶπεν ὁ ἅγιος Ἰωάννης ὁ Χρυσόστομος, καὶ ἀφῆκεν, ὡς εἶπε, πάντα τὰ θελήματα αὐτοῦ, πᾶσαν προσπάθειαν τοῦ αἰῶνος τούτου, ὡς εἶναι δῆλον ὅτι καὶ χρήματα εἰ εἶ**[1825]**χεν ἢ περιουσίαν, κἀκείνων κατεφρόνει καὶ ἄρας τὸν σταυρόν, ἠκολούθησε τῷ Χριστῷ, καὶ κατὰ τό· «ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός»[9]. Ἰδοὺ οὕτως ἐκαρποφόρησαν ἑαυτοὺς οἱ ἅγιοι, νεκρώσαντες ἑαυτούς, ὡς εἴπομεν,

---

1. Ρωμ. 12,1 2. Πρβλ. Γαλ. 5,16. 3. Πρβλ. Κολ. 3,5. 4. Ψαλ. 43,23 Ρωμ 8,36. 5. Πρβλ. Α' Ἰω. 2,15. 6. Πρβλ. Α' Ἰω. 2,16. Γαλ. 6,14. 7. Γαλ. 5,24. 8 Ματθ. 19,27 9. Γαλ. 2,20.

ἀπὸ πάσης προσπαθείας καὶ ἰδίου θελήματος, καὶ μόνῳ Χριστῷ καὶ ταῖς ἐντολαῖς αὐτοῦ ζήσαντες. Οὕτως καὶ ἡμεῖς καρποφορήσωμεν αὐτοὺς ἡμᾶς, ὡς διδάσκει ὁ ἅγιος Γρηγόριος· ἡμᾶς γὰρ θέλει τὸ τιμιώτατον τοῦ Θεοῦ κτῆμα. Ἀληθῶς πάντων τῶν ὁρωμένων κτισμάτων τιμιώτερον ὁ ἄνθρωπος. Ἐκεῖνα μὲν γὰρ λόγῳ παρήγαγεν ὁ δημιουργὸς εἰπών· γενηθήτω τόδε, καὶ ἐγένετο[1]· καὶ πάλιν· «ἐξαγαγέτω ἡ γῆ»[2] τόδε, καὶ ἐγένετο· καί· «ἐξαγαγέτω τὰ ὕδατα»[3], καὶ ὅσα τοιαῦτα. Τὸν δὲ ἄνθρωπον ἰδίαις χερσὶν ἔπλασε καὶ κατεκόσμησε καὶ πάντα μὲν ἐκεῖνα εἰς ὑπηρεσίαν καὶ ἀνάπαυσιν τοῦ ἀνθρώπου ἔταξεν· αὐτὸν δὲ καὶ βασιλέα τούτων πάντων κατέστησε καὶ τῆς τρυφῆς τοῦ παραδείσου ἀπολαύειν ἐποίησε. Καὶ τὸ θαυμασιώτερον, ὅτι καὶ ἐκπεσόντος αὐτοῦ ἐκεῖθεν διὰ ἰδίας ἁμαρτίας, πάλιν διὰ τοῦ αἵματος τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ ἀνεκαλέσατο· ὥστε πάντων τῶν ὁρωμένων τιμιώτατον κτῆμα Θεῷ ὁ ἄνθρωπος, καὶ οὐ μόνον τιμιώτατον, ὡς εἶπεν ὁ ἅγιος, ἀλλὰ καὶ οἰκειότατον, «ποιήσωμεν γὰρ ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν»[4]. Καὶ πάλιν «ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον· ἐν εἰκόνι Θεοῦ ἐποίησεν αὐτόν»[5], «καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς»[6]. Αὐτὸς δὲ ὁ Κύριος ἡμῶν ἐπιδημήσας πρὸς ἡμᾶς, ἀνθρώπου μορφὴν ἀνέλαβε, σαρκα ἀνθρώπου, καινοῦ ἀνθρώπου, καὶ ἁπλῶς εἰπεῖν, πάντα γίνεται, πλὴν τῆς ἁμαρτίας ὁ ἄνθρωπος.

Δ'. Προσῳκειώσαμεν καὶ διὰ τοῦτο τὸν ἄνθρωπον, οἷον εἰπεῖν, ἰδιοποιήσαμεν. Καλῶς οὖν καὶ ἁρμοδίως εἶπεν ὁ ἅγιος, τὸ τιμιώτατον κτῆμα ὁ ἄνθρωπος· εἶτα ἔτι σαφέστερον ἐπιφέρει. Ἀποδῶμεν τῇ εἰκόνι τὸ κατ' εἰκόνα· πῶς καὶ τοῦτο; Παρὰ τοῦ Ἀποστόλου μάθωμεν λέγοντος· «καθαρίσωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος»[7]· ποιήσωμεν καθαρὰν τὴν εἰκόνα ἡμῶν, καθὼς ἐλάβομεν αὐτήν· ἀποσμύξωμεν αὐτὴν τοῦ ῥύπου τῆς ἁμαρτίας, ἵνα φανῇ τὸ κάλλος αὐτῆς διὰ τῶν ἀρετῶν. Περὶ τούτου τοῦ κάλλους εὔχεται ὁ Δαβὶδ λέγων· «Κύριε ἐν τῷ θελήματί σου παράσχου τῷ κάλλει μου δύναμιν»[8]. Ἐκκαθάρωμεν οὖν τὸ κατ' εἰκόνα ἡμῶν· θέλει γὰρ αὐτῷ παρ' ἡμῶν ὁ Θεὸς καὶ ἔδωκε «μὴ ἔχον σπῖλον ἢ ῥυτίδα ἤ τι τῶν τοιούτων»[9]. Ἀποδῶμεν τῇ εἰκόνι τῷ «κατ' εἰκόνα»[10]. Γνωρίσωμεν ἡμῶν τὸ ἀξίωμα· μάθωμεν ποίων μεγάλων ἀγαθῶν ἠξιώθημεν· μάθωμεν «κατ' εἰκόνα»[11] τίνος γεγόναμεν· μὴ ἀγνοήσωμεν τὰ μεγάλα τὰ παρ' αὐτοῦ δωρηθέντα ἡμῖν, διὰ μόνην τὴν αὐτοῦ ἀγαθότητα, οὐ διὰ τὴν ἡμετέραν ἀξίαν· **[1828]** γνῶμεν ὅτι κατ' εἰκόνα γεγόναμεν Θεοῦ τοῦ ποιήσαντος ἡμᾶς[12]. Τιμήσωμεν τὸ ἀρχέτυπον. Μὴ καθυβρίσωμεν τοῦ Θεοῦ τὴν εἰκόνα καθ' ἣν γεγόναμεν. Τίς βουλόμενος εἰκόνα γράψαι βασιλικὴν τολμᾷ βάλλειν χρῶμα σαπρὸν ἐν τῇ εἰκόνι καὶ ἀτιμάσαι τὸν

---

1. Πρβλ. Γεν. 1,3. 2. Γεν. 1,11,24. 3. Γεν 1,20 4 Γεν 1,26. 5. Γεν. 1,27. 6. Γεν. 2,7. 7. Β' Κορ. 7,1. 8. Ψαλ. 29,8. 9. Ἐφ. 5,27. 10 Γεν. 1,27. 11 Ἐνθ' ἀν. 12. Πρβλ. Ψαλ 94,6

βασιλέα καὶ τιμωρηθῆναι; Ἀλλὰ βάλλειν πάντα χρώματα ἔντιμα καὶ λαμπρὰ ἄξια τῆς τοῦ βασιλέως εἰκόνος. Ἔσθ' ὅτε δὲ καὶ πέταλα χρυσᾶ ἐντίθεται ταῖς εἰκόσι τῶν βασιλέων καὶ σπουδάζει πάσας τὰς αἰσθητὰς τοῦ βασιλέως, καθὸ ἐνδέχεται, ἐνθεῖναι τῇ εἰκόνι, ἵνα βλέπῃ τις τὴν εἰκόνα, περιέχουσαν ὅλον τὸν βασιλικὸν χαρακτῆρα καὶ νομίζῃ ὅτι σχεδὸν αὐτὸν τὸν βασιλέα βλέπει, αὐτὸ τὸ ἀρχέτυπον. Ἔστι γὰρ ἡ εἰκὼν ἔνδοξος καὶ λαμπρά. Καὶ ἡμεῖς οὖν μὴ ἀτιμάσωμεν τὸ ἀρχέτυπον ἡμῶν· Θεοῦ κατ' εἰκόνα γεγόναμεν· ἀλλὰ καὶ καθαρὰν καὶ ἔντιμον τὴν ἰδίαν εἰκόνα ποιήσωμεν καὶ ἀξίαν τοῦ ἀρχετύπου. Εἰ γὰρ ὁ τὴν εἰκόνα τοῦ αἰσθητοῦ καὶ ὁμοιογενοῦς ἀτιμάσας βασιλέως κολάζεται, τί ὀφείλομεν ἡμεῖς παθεῖν καταφρονοῦντες τῆς ἐν ἡμῖν θείας εἰκόνος καὶ μὴ καθαράν, ὡς εἶπεν ὁ ἅγιος, τὴν εἰκόνα ἀποδιδόντες;

Ε'. Τιμήσωμεν οὖν τὸ ἀρχέτυπον, γνῶμεν τοῦ μυστηρίου τὴν δύναμιν καὶ ὑπὲρ τίνος Χριστὸς ἀπέθανεν. Ἡ δύναμις τοῦ μυστηρίου τοῦ θανάτου τοῦ Χριστοῦ, αὕτη ἐστίν· ἐπειδὴ τὸ «κατ' εἰκόνα»[1] ἡμῶν ἠφανίσαμεν διὰ τῆς ἁμαρτίας καὶ διὰ τοῦτο ἐνεκρώθημεν[2], ὡς λέγει ὁ Ἀπόστολος, τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις. Ὁ κατ' εἰκόνα ἑαυτοῦ ποιήσας ἡμᾶς Θεός, οἰκτειρήσας τὸ ἴδιον πλάσμα καὶ τὴν ἰδίαν εἰκόνα, δι' ἡμᾶς γέγονεν ἄνθρωπος καὶ τὸν ὑπὲρ πάντων κατεδέξατο θάνατον, ἵνα ἡμᾶς τοὺς νεκρωθέντας ἐπαναγάγῃ πρὸς τὴν ζωήν, ἐξ ἧς ἐξεπέσαμεν διὰ τῆς παρακοῆς. Αὐτὸς γὰρ ἐν τῷ ἁγίῳ αὐτοῦ σταυρῷ ἀναβὰς καὶ ἀνασταυρώσας τὴν ἁμαρτίαν, δι' ἣν καὶ ἐξεβλήθημεν ἐκ τοῦ παραδείσου, «ᾐχμαλώτευσεν αἰχμαλωσίαν»[3], καθὼς γέγραπται. Τί ἐστιν «ᾐχμαλώτευσεν αἰχμαλωσίαν»; Ὅτι ἀπὸ τῆς παραβάσεως τοῦ Ἀδὰμ ᾐχμαλώτευσεν ἡμᾶς ὁ ἐχθρὸς καὶ ὑποχειρίους εἶχε. Λοιπὸν οὖν ἐξερχόμεναι αἱ ψυχαὶ ἀπὸ τοῦ σώματος τῶν ἀνθρώπων εἰς τὸν ᾅδην ἀπήρχοντο· ἐνέκλειστο γὰρ ὁ παράδεισος. Ἀναβὰς οὖν ὁ Χριστὸς εἰς τὸ ὕψος τοῦ ἁγίου καὶ ζωοποιοῦ σταυροῦ, τῆς αἰχμαλωσίας, ἧς ἡμᾶς ᾐχμαλώτευσεν ὁ ἐχθρὸς διὰ τῆς παραβάσεως, ἐρρύσατο ἡμᾶς διὰ τοῦ ἰδίου αἵματος· τοῦτ' ἔστιν, ἀφήρπασε πάλιν ἡμᾶς ἐκ τῆς χειρὸς τοῦ ἐχθροῦ καὶ οἱονεὶ ἀντῃχμαλώτευσεν ἡμᾶς νικήσας καὶ καταβαλὼν τὸν αἰχμαλωτεύσαντα ἡμᾶς. Διὰ τοῦτο λέγεται αἰχμαλωτίζειν αἰχμαλωσίαν· αὕτη ἐστὶν ἡ δύναμις τοῦ μυστηρίου· διὰ τοῦτο ὁ Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανεν, ἵνα ἡμᾶς τοὺς νεκρωθέντας, ὡς εἶπεν ὁ ἅγιος, ἐπαναγάγῃ πρὸς τὴν ζωήν. Ἐρρύσθημεν οὖν ἐκ τοῦ ᾅδου διὰ τῆς φιλανθρωπίας τοῦ Χριστοῦ καὶ ἐν ἡμῖν ἐστι τὸ ἀπελθεῖν εἰς τὸν παράδεισον. Οὐκέτι γὰρ τυραννεῖ καθὼς τὸ πρότερον, οὐδὲ ἔχει δεδουλωμένους ἡμᾶς.

Ϛ'. Μόνον φροντίσωμεν, ἀδελφοί, καὶ φυλάξωμεν [1829] ἑαυτοὺς ἀπὸ τῆς κατ' ἐνέργειαν ἁμαρτίας. Προεῖπον γὰρ ὑμῖν πολλάκις, ὅτι πᾶσα ἡ κατ' ἐνέργειαν ἁμαρτία πάλιν ὑποχειρίους ἡμᾶς ποιεῖ· ἐπειδὴ ἑκόντες ἑαυτοὺς καταβάλλομεν καὶ καταδηλοῦμεν.

1 Ἔνθ' ἄν 2 Πρβλ. Κολ. 3,5. 3. Ψαλ. 67,19. Ἐφ. 4,8.

Οὐκ ἔστι γὰρ αἰσχύνη καὶ μεγάλη ταλαιπωρία μεθ' ὃ ἐλυτρώσατο ἡμᾶς ἐκ τοῦ ᾅδου διὰ τοῦ ἰδίου αἵματος καὶ μεθ' ὃ ἀκούομεν ταῦτα, ἐὰν πάλιν ἀπέλθωμεν ἑαυτοὺς εἰς τὸν ᾅδην; Ἆρα οὐκ ἐσμὲν ἄξιοι καὶ ἔτι χείρονος καὶ ἐλεεινοτέρας κολάσεως; Ὁ Θεὸς ὁ φιλάνθρωπος ἐλεήσει ἡμᾶς καὶ δώσει ἡμῖν νῆψιν τοῦ συνιέναι καὶ βοηθεῖν ἑαυτοῖς, ἵνα εὕρωμεν μικρὸν ἔλεος.

ΕΡΜΗΝΕΙΑ ΤΩΝ ΡΗΤΩΝ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΨΑΛΛΟΜΕΝΩΝ ΕΙΣ ΤΟΥΣ ΑΓΙΟΥΣ ΜΑΡΤΥΡΑΣ

ΔΙΔΑΣΚΑΛΙΑ ΚΓ'.

Α'. Διὰ τοῦτο καλόν ἐστι τὸ ψάλλειν ἐκ τῶν λόγων τῶν ἁγίων θεοφόρων, ἐπειδὴ πανταχοῦ σπουδάζουσιν ἀεὶ διδάσκειν ἡμᾶς πάντα τὰ συντείνοντα πρὸς φωτισμὸν τῶν ψυχῶν ἡμῶν· ἐν οἷς καὶ πρόκειται ἡμῖν ἐξ αὐτῶν τῶν προσφόρων λόγων καὶ αὐτὴν τὴν δύναμιν τῆς ἐπιτελουμένης μνήμης ἀεὶ μανθάνειν, εἴτε Δεσποτική ἐστιν ἑορτή, εἴτε ἁγίων μαρτύρων, εἴτε πατέρων ἁπλῶς, οἱαδήποτε ἡμέρα ἁγία καὶ περιφανής. Ὀφείλομεν οὖν καὶ ἡμεῖς μετὰ νήψεως ψάλλειν καὶ τιθέναι τὸν νοῦν ἡμῶν εἰς τὴν δύναμιν τῶν λόγων τῶν ἁγίων· ἵνα μὴ μόνον τὸ στόμα, καθὼς λέγει εἰς τὸ *Γεροντικόν*, ἀλλὰ καὶ ἡ καρδία ἡμῶν μετὰ στόματος ψάλλῃ. Ἐμάθομεν οὖν ἐκ τοῦ προτέρου ψαλμοῦ ὀλίγα κατὰ τὴν δύναμιν ἡμῶν περὶ τοῦ ἁγίου Πάσχα· ἴδωμεν πάλιν τί θέλει διδάξαι ἡμᾶς καὶ περὶ τῶν ἁγίων μαρτύρων ὁ ἅγιος Γρηγόριος. Λέγει γὰρ καὶ ὁ εἰς αὐτοὺς ψαλμὸς ὃν εἴπομεν ἄρτι ἐκ τῶν λόγων αὐτοῦ. Ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικά· καὶ τὰ ἑξῆς. Τί ἐστιν, ἱερεῖα ἔμψυχα; Ἱερεῖόν ἐστιν πᾶν τὸ ἀφιερωμένον εἰς θυσίαν Θεῷ· ὑπόθου πρόβατον ἢ βοῦς ἤ τι τῶν τοιούτων. Διὰ τί οὖν λέγει περὶ τῶν ἁγίων μαρτύρων, ἱερεῖα ἔμψυχα; Ὅτι τὸ πρόβατον τὸ εἰς θυσίαν προσαγόμενον πρῶτον σφάζεται καὶ ἀποθνήσκει· εἶθ' οὕτως μερίζεται καὶ κατατέμνεται τῷ Θεῷ. Οἱ δὲ ἅγιοι μάρτυρες ζῶντες κατετέμνοντο τὰς σάρκας ξεόμενοι, βασανιζόμενοι, μελοκοπούμενοι. Ἔσθ' ὅτε γὰρ καὶ χεῖρας αὐτῶν ἀπέκοπτον οἱ δήμιοι καὶ πόδας καὶ γλώσσας καὶ ὀφθαλμοὺς ἐξώρυττον, καὶ ἐπὶ τὸ τούτων ἔξεον τὰς πλευράς, ὥστε καὶ αὐτὴν φαίνεσθαι τὴν κατασκευὴν καὶ τὴν ἁρμονίαν τῶν ἐντοσθίων αὐτῶν. Ταῦτα δὲ πάντα, ὡς εἶπον, ζῶντες ὑπέμενον οἱ ἅγιοι ἔτι ἔχοντες τὰς ἑαυτῶν ψυχὰς καὶ διὰ τοῦτο λέγονται ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα δὲ λογικά. Διὰ τί; Ἐπειδὴ ἄλλο ἐστὶ θυσία. Ἔστιν ὅτε οὐ προσφέρουσιν ὅλον τὸ πρόβατον, ἀλλὰ μόνον τὴν ἀπαρχὴν αὐτοῦ, καθὼς λέγει ἐν τῷ νόμῳ· τὸν βραχίονα τὸν δεξιὸν καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφρούς[1] καὶ τὰ ὅμοια τούτοις· ταῦτα οἱ προσφέροντες, θυσίας προσῆγον· οἱονεὶ τὴν ἀπαρχὴν προσέφερον· καὶ αὕτη

1. Πρβλ. Λευϊτ. 7,34. 3,4.

λέ[1832]γεται θυσία. Ὁλοκαυτώματα δέ ἐστιν ὅτε ὅλον τὸ πρόβατον ἢ τὸν βοῦν ἢ εἴ τί ἐστι τὸ προσφερόμενον, καίουσιν ὅλον, ὡς λέγει ἐκεῖ, κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐντοσθίοις[1] ἔσθ' ὅτε δὲ καὶ τὴν βύρσαν καὶ τὴν κόπρον καὶ ἅπαξ ἁπλῶς, ὅλον ἐξ ὅλου κατακαίουσιν. Αὕτη λέγεται ὁλοκαύτωσις. Οὕτως ἐπετέλουν καὶ τὰς θυσίας καὶ τὰς ὁλοκαυτώσεις οἱ υἱοὶ Ἰσραὴλ κατὰ τὸν νόμον

Β'. Σύμβολα δὲ ἦσαν αἱ θυσίαι ἐκεῖναι καὶ αἱ ὁλοκαυτώσεις τῶν ψυχῶν τῶν θελουσῶν σωθῆναι καὶ ἑαυτὰς προσενέγκαι τῷ Θεῷ. Καὶ λέγω ὑμῖν καὶ περὶ τούτων ὀλίγα ἐξ ὧν εἶπον οἱ Πατέρες, ἵνα ὅτε ἀναγινώσκετε αὐτά, ἀνάγητε μικρὸν τὰ νοήματα ὑμῶν καὶ πιαίνηται ἡ ψυχὴ ἡμῶν. Τὸν βραχίονα λέγουσιν εἶναι τὴν πρακτικήν· λαμβάνονται δὲ εἰς ταύτην αἱ χεῖρες, καθὼς καὶ διαφόρως εἴπομεν, ὁ βραχίων ἡ δύναμίς ἐστι τῆς χειρός· προσέφερον οὖν τὴν δύναμιν τῆς δεξιᾶς χειρός, τοῦτ' ἔστι τῶν ἀγαθῶν ἔργων· τὴν δεξιὰν γὰρ εἰς τὸ ἀγαθὸν λαμβάνουσι, καὶ τὰ ἄλλα πάντα ὅσα εἴπομεν· οἷον ὁ λοβὸς τοῦ ἥπατος, καὶ οἱ δύο νεφροί, καὶ τὸ στέαρ τὸ ἀπ' αὐτῶν, καὶ ἡ ὀσφὺς καὶ τὸ στέαρ τὸ ἐπὶ τῶν μηρῶν καὶ ἡ καρδία καὶ τὸ στηθήνιον καὶ ὅσα τοιαῦτα. Ὁμοίως καὶ ταῦτα σύμβολά εἰσι. Ταῦτα γὰρ πάντα, ὡς λέγει ὁ Ἀπόστολος, τυπικῶς συνέβαινεν ἐκείνοις. «Ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν»[2]. Καὶ λέγω ὑμῖν πῶς ἡ ψυχή, ὡς λέγει ὁ ἅγιος Γρηγόριος, τριμερής ἐστιν. Ἔχει γὰρ τὸ ἐπιθυμητικὸν καὶ τὸ θυμικὸν καὶ τὸ λογικόν. Προσέφερον οὖν τὸν λοβὸν τοῦ ἥπατος. Τὸ ἧπαρ λαμβάνουσιν οἱ Πατέρες εἰς τὴν ἐπιθυμίαν· ὁ δὲ λοβὸς τοῦ ἥπατός ἐστι τὸ ἄκρον αὐτοῦ. Προσέφερον οὖν ἐκεῖνοι συμβολικῶς τὸ ἄκρον τοῦ ἐπιθυμητικοῦ μέρους, τοῦτ' ἔστι τὴν ἀπαρχὴν αὐτοῦ, τὸ καλλιστεῦον καὶ τιμιώτερον μέρος αὐτοῦ· ὅπερ σημαίνει, τὸ μηδὲν πρὸ τοῦ Θεοῦ ἀγαπᾶν, μηδὲν ἐκ πάντων τῶν ἐπιθυμητικῶν προτιμᾶν τῆς εἰς τὸν Θεὸν ἐπιθυμίας. Εἴπομεν γὰρ ὅτι τὸ τιμιώτερον αὐτῷ προσέφερον· καὶ οἱ νεφροὶ δέ, καὶ τὸ στέαρ τὸ ἀπ' αὐτῶν καὶ ἡ ὀσφὺς καὶ τὸ στέαρ τὸ ἐπὶ τῶν μηρῶν, τὸ αὐτὸ κατὰ ἀναλογίαν τινὰ σημαίνουσιν· ἐκεῖ γὰρ λέγουσιν εἶναι τὴν ἐπιθυμίαν. Ἰδοὺ ταῦτά ἐστι τὰ σύμβολα τοῦ ἐπιθυμητικοῦ μέρους. Τοῦ δὲ θυμικοῦ σύμβολόν ἐστιν ἡ καρδία· ἐκεῖ γὰρ λέγουσιν εἶναι τὸν θυμόν, καὶ τοῦτο σημαίνει καὶ ὁ ἅγιος Βασίλειος λέγων· «θυμός ἐστι ζέσις τοῦ περικαρδίου αἵματος». Τὸ δὲ στηθήνιον σύμβολόν ἐστι τοῦ λογικοῦ· τὸ γὰρ στῆθος εἰς τοῦτο λαμβάνουσι. Διὰ τοῦτο καὶ τὸν Μωσέα λέγουσιν ἐνδύοντα τὸν Ἀαρὼν τὸ ἔνδυμα τὸ ἀρχιερατικόν, ἐπὶ τοῦ στήθους αὐτοῦ διδόναι τὸ λόγιον, κατὰ τὴν τοῦ Θεοῦ διαταγήν. Ταῦτα οὖν πάντα, ὡς εἴπομεν, σύμβολά εἰσι τῆς ψυχῆς τῆς διὰ τῆς πρακτικῆς σὺν Θεῷ καθαιρούσης ἑαυτὴν καὶ ἐπὶ τὸ κατὰ φύσιν ἐπανερχομένης. Λέγει γὰρ Εὐάγριος, ὅτι κατὰ φύσιν ἐνεργεῖ ψυχὴ λογική, ὅταν τὸ μὲν ἐπιθυμητικὸν μέρος αὐτῆς, τῆς ἀρε-

1. Πρβλ Λευϊτ 4,11 2. Α' Κορ. 10,11.

τῆς ἐφίεται, τὸ δὲ θυμικόν, ὑπὲρ ταύτης ἀγωνίζεται, τὸ δὲ λογικόν, ἐπιβάλλει τῇ θεωρίᾳ τῶν γεγονότων.

[1833] Γ'. Ὅτε οὖν προσέφερον πρόβατον ἢ βοῦν ἢ ἄλλο τι τοιοῦτον εἰς θυσίας, ταῦτα ἐλάμβανον οἱ υἱοὶ Ἰσραὴλ ἐκ τοῦ προσφερομένου καὶ ἐπετίθουν ἐπὶ τὸ θυσιαστήριον ἔναντι Κυρίου καὶ λέγεται θυσία. Ὁλοκαύτωμα δέ ἐστιν, ὅτε ὅλον ἐξ ὅλου τὸ ἱερεῖον προσέφερον καὶ κατέκαιον αὐτὸ οὕτως, ὡς ἔστι σῶον, ὁλόκληρον, τέλειον· καθὼς καὶ ἀνωτέρω εἴπομεν, τοῦτο τῶν τελείων ἐστὶ σύμβολον· τοῦτο τῶν λεγόντων ἐστί, τό· «ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι»[1]. Εἰς τοῦτο τὸ μέτρον ὁ Κύριος προετρέπετο ἐκεῖνον ἐλθεῖν τὸν εἰπόντα αὐτῷ, ὅτι «ταῦτα πάντα ἐφύλαξα ἐκ νεότητός μου»[2]. Ἀπεκρινατο γὰρ αὐτῷ λέγων, ὅτι «ἕν σοι λείπει»[3]. Ποῖον; Τό· «ἆρον τὸν σταυρόν σου, καὶ δεῦρο ἀκολούθει μοι»[4]. Οἱ οὖν ἅγιοι μάρτυρες οὕτως προσήνεγκαν ὅλους ἑαυτοὺς τῷ Θεῷ καὶ οὐ μόνον ἑαυτούς, ἀλλὰ καὶ τὰ ἑαυτῶν καὶ τὰ περὶ αὐτούς. Ἄλλο γάρ ἐσμεν ἡμεῖς, καθὼς λέγει ὁ ἅγιος Βασίλειος, καὶ ἄλλο τὸ ἡμέτερον καὶ ἄλλο τὸ περὶ ἡμᾶς· ταῦτα καὶ ἄλλοτε εἶπον ὑμῖν. Ἡμεῖς ἐσμεν ὁ νοῦς καὶ ἡ ψυχή, ἡμέτερον δὲ τὸ σῶμα· τὰ δὲ περὶ ἡμᾶς, κτήματα καὶ αἱ λοιπαὶ ὗλαι. Προσήνεγκαν οὖν ἑαυτοὺς οἱ ἅγιοι τῷ Θεῷ ὅλῃ καρδίᾳ, ὅλῃ ψυχῇ, ὅλῃ ἰσχύϊ, κατὰ τὸ γεγραμμένον· «ἀγαπήσεις Κύριον τὸν Θεόν σου, ἐν ὅλῃ τῇ καρδίᾳ σου καὶ ἐν ὅλῃ τῇ ψυχῇ σου καὶ ἐν ὅλῃ τῇ διανοίᾳ σου»[5]. Οὐ μόνον γὰρ τέκνων καὶ γυναικῶν καὶ δόξης καὶ χρηματων καὶ τῆς λοιπῆς ἁπάσης περιουσίας κατεφρόνησαν, ἀλλὰ καὶ αὐτῶν τῶν ἰδίων σωμάτων· καὶ διὰ τοῦτο λέγονται ὁλοκαυτώματα. Λογικὰ δέ, ἐπειδὴ λογικὸν ζῷον ὁ ἄνθρωπος καὶ θύματα τέλεια Θεῷ. Εἶτα τὸ ἑξῆς. Θεὸν γινώσκοντα καὶ Θεῷ γινωσκομενα πρόβατα. Πῶς Θεὸν γινώσκοντα; Ὡς αὐτὸς ὁ Κύριος ἔδειξε καὶ ἐδίδαξεν εἰπών· «τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι», «καὶ γινώσκω τὰ ἐμὰ καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν»[6]. Διὰ τί εἶπε· «τὰ πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούουσι»; Ἀντὶ τοῦ, λόγῳ μου ὑπακούουσι καὶ τὰς ἐντολάς μου φυλάττουσι καὶ διὰ τοῦτο γινώσκουσί με· διὰ γὰρ τῆς φυλακῆς τῶν ἐντολῶν ἐγγίζουσιν οἱ ἅγιοι τῷ Θεῷ καὶ ὅσον ἐγγίζουσιν αὐτῷ, τοσοῦτον γινώσκουσιν αὐτὸν καὶ γινώσκονται ὑπ' αὐτοῦ, ἐπεὶ ὁ Θεὸς τὰ πάντα γινώσκει καὶ τὰ κρυπτὰ καὶ τὰ βαθέα καὶ τὰ μὴ ὄντα. Διὰ τί οὖν λέγει περὶ τῶν ἁγίων Θεῷ γινωσκόμενα; Ὅτι, καθὼς εἶπον, διὰ τῶν ἐντολῶν ἐγγίζοντες αὐτῷ, γινώσκουσιν αὐτὸν καὶ γινώσκονται ὑπ' αὐτοῦ. Ὅταν γὰρ ἀποστρεφεταί τις καὶ μακρύνει ἑαυτὸν ἀπό τινος, τοσοῦτον λέγεται ἀγνοεῖν ἐγγίζων· ὁμοίως λέγεται γινώσκειν καὶ γινώσκεσθαι· κατὰ τοῦτο οὖν λέγεται καὶ ὁ Θεὸς ἀγνοεῖν τοὺς ἁμαρτωλούς, καθὸ μακρύνουσιν

1. Ματθ 19,27 2. Ματθ. 19,20,21 Λουκ. 18,21. 3 Λουκ. 18,22
4. Ματθ. 19,21 Λουκ. 18,22 5. Ματθ. 22,37 Μάρκ 12,35. Λουκ 10,27.
6. Ἰω. 10,27,14.

ἑαυτοὺς ἀπ' αὐτοῦ. Διὰ τοῦτο καὶ αὐτὸς ὁ Κύριος τοῖς τοιούτοις λέγει· «ἀμὴν λέγω ὑμῖν, οὐκ οἶδα ὑμᾶς»[1]. Οἱ οὖν ἅγιοι, καθὼς πολλάκις εἶπον, ὅσον κτῶνται διὰ τῶν ἐντολῶν τὰς ἀρετάς, τοσοῦτον προσοικειοῦνται τῷ Θεῷ, καὶ ὅσον προσοικειοῦνται αὐτῷ, τοσοῦτον γινώσκουσιν αὐτὸν καὶ γινώσκονται ὑπ' αὐτοῦ. Ὧν ἡ [1836] μάνδρα λύκοις ἀνεπίβατος. Μάνδρα λέγεται τόπος περιπεφραγμένος, ἔνθα συνάγει ὁ ποιμὴν τὰ πρόβατα καὶ φυλάσσει, ἵνα μὴ διαρπασθῶσιν ὑπὸ λύκων ἢ ἀπὸ ληστῶν συληθῶσιν. Ἐὰν δὲ ὑπάρχῃ ἡ μάνδρα ἀπὸ οἱουδήποτε μέρους σαθροτέρα, εὑρίσκεται εὐεπίβατος καὶ εὐχερῶς ἐπιβουλεύεται καὶ ὑπὸ τῶν λύκων καὶ τῶν ληστῶν. Ἡ οὖν μάνδρα τῶν ἁγίων πανταχόθεν ἠσφάλισται καὶ πεφύλακται, ὥσπερ εἶπεν ὁ Κύριος, ἔνθα «κλέπται οὐ διορύσσουσιν»[2], οὔτε ἄλλο τι τῶν βλαβερῶν ἐπιβουλεῦσαι δύνα[ν]ται. Εὐξώμεθα οὖν, ἀδελφοί, ἵνα καὶ ἡμεῖς ἀξιωθῶμεν συμποιμανθῆναι αὐτοῖς καὶ εὑρεθῆναι καὶ ἐν τῷ τόπῳ τῆς μακαρίας τρυφῆς ἐκείνης καὶ τῆς ἀναπαύσεως αὐτῶν· κἂν γὰρ οὐκ ἐφθάσαμεν τὴν κατάστασιν τῶν ἁγίων, κἂν οὐκ ἄξιοί ἐσμεν τοῦ εἶναι ἐν τῇ δόξῃ αὐτῶν. Ἀλλὰ δυνάμεθα μὴ ἐκπεσεῖν τοῦ παρεδείσου, ἐὰν νήφωμεν καὶ βιάζωμεν ἑαυτοὺς μικρόν, ὡς λέγει καὶ ὁ ἅγιος Κλήμης, κἂν μὴ στεφανῶταί τις, ἀλλὰ σπουδάσῃ μὴ μακρὰν εὑρεθῆναι τῶν στεφανουμένων. Ὥσπερ γὰρ ἐν τῷ παλατίῳ εἰσὶ μεγάλαι καὶ λαμπραὶ στρατιαί, ὑπόθου τὴν σύγκλητον, τοὺς πατρικίους, τοὺς στρατηλάτας, τοὺς ὑπάρχους, τοὺς σελεντιαρίους· εἰσὶ γὰρ αὗται πολύτιμοι στρατιαί. Εἰσὶ δὲ καὶ ἄλλοι τινὲς ἐν τῷ αὐτῷ παλατίῳ στρατευόμενοι ὀλίγων νομισμάτων· ὅμως λέγονται καὶ αὐτοὶ στρατεύεσθαι τῷ βασιλεῖ, καὶ εἰσιν ἔσω ἐν τῷ παλατίῳ, κἂν τὴν δόξαν τῶν μεγάλων οὐκ ἔχωσιν· ἀλλὰ τέως εἰσί. Συμβαίνει δὲ ὅτι καὶ κατὰ μικρὸν προκόπτοντες, τυγχάνουσι καὶ αὐτοὶ μεγάλων στρατιῶν καὶ λαμπρῶν ἀξιωμάτων. Οὕτως καὶ ἡμεῖς σπουδάσωμεν ἐκφυγεῖν τὴν κατ' ἐνέργειαν ἁμαρτίαν, ἵνα τέως ἐξειλήσωμεν τοῦ ᾅδου· καὶ οὕτως δυνάμεθα διὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας καὶ αὐτῆς τῆς εἰσόδου τοῦ παραδείσου τυχεῖν, εὐχαῖς πάντων τῶν ἁγίων. Ἀμήν.

---

1 Ματθ 25,12 2 Ματθ 6,20

ΞΕΝΙΖΟΥΣΑ ΕΞΗΓΗΣΙΣ ΛΟΓΙΟΥ ΤΙΝΟΣ*

[163] Λόγος Λʹ.

«*Ἀναστάσεως ἡμέρα*» Ἡ σήμερον δηλονότι. «*Καὶ ἡ ἀρχὴ δεξιά*»· τῆς ἱερωσύνης μου, καὶ διὰ τοῦτο φαιδρυνθῶμεν τῇ πανηγύρει καὶ ἀλλήλους φιλικῶς ἀσπασώμεθα... καὶ ξενιζούσῃ ἐξηγήσει. Πολλοὶ τῶν καταστησαμένων τὰς θεολογικὰς τέχνας (οὐ γὰρ θεολόγος μόνον ὁ μέγας οὗτος Γρηγόριος, ἀλλὰ καὶ ῥήτωρ, εἰ καί τις ἄλλος ἀκριβέστατός τε καὶ δοκιμώτατος), τὸν εἰς τὴν βραδυτῆτα λόγον καὶ εἰς τὸ σεβάσμιον Πάσχα ἐπέγραψαν, ἐξ αὐτοῦ τοῦ προοιμίου εἰς τὴν τοιαύτην ἐνεχθέντες ἐπιγραφήν. *Ἀναστάσεως* γάρ, φησίν, *ἡμέρα* καὶ *εἴ τί μοι μέμφοισθε τῆς βραδυτῆτος*· διὰ μὲν γὰρ ἐκεῖνο εἰς τὸ Πάσχα ἐπέγραψαν, διὰ δὲ τοῦτο τὴν ἑτέραν προσθήκην ἐπιγράψαι πεποιήκασι καὶ δύο τὰς ὑποθέσεις τῷ τοιούτῳ λόγῳ ἐπέθεντο. Εἶτα μερίζουσιν ἐφ᾽ ἑκατέρας τὸν ἅγιον καὶ τὰς μὲν τῶν ἐννοιῶν ἀποπληροῦσι τῇ ἀναστάσει, τὰς δὲ ἀποδιδόασι τῇ βραδυτῆτι· καὶ τὴν μὲν τῆς πανηγυρικῆς ἰδέας ἐχομένην τίθενται, τὴν δὲ τῆς δικανικῆς ἀντιστατικῶς τὰς λύσεις ἐφερμηνεύοντες, ὡς παρὰ μέρος ἐν τῷ αὐτῷ λόγῳ τὸν μέγαν τοῦτον ἄνδρα πανηγυρίζειν τε καὶ δικάζειν. Αἷς ἐξηγήσεσιν ἐγὼ ἐντυχὼν τὸ μέν τί μοι τῶν λεγομένων ἤρεσε, τῷ δ᾽ οὐκ ἐθέμην, ἑτέραν δὲ αὐτὸς ἐτραπόμην τήν, ὡς οἶμαι, βελτίονα. Μία γὰρ ἐνταῦθα ἡ ὑπόθεσις τοῦ λόγου πέφυκεν, ἡ εἰς τὴν βραδυτῆτα, περὶ ἧς δι᾽ ὅλου τοῦ λόγου ἐπαγωνίζεται. Μεγαλοφυὴς δὲ καὶ τῷ ὄντι οὐρανογνώμων ὁ μέγας οὗτος ὑπάρχων πατὴρ μυστηριωδῶς καὶ κεκρυμμένως καὶ τὸ ὅλον τελεστικῶς τὴν ἀπολογίαν ποιεῖται, εἰ καὶ ὁ Σικελιώτης διδασκόμενος ἀφαιρεῖται τούτων τὴν ἔμφασιν. Ἐπεὶ γὰρ συμβὰν οὕτως ἐν τῇ τῆς Ἀναστάσεως ἡμέρᾳ τὴν ὑπὲρ τῆς βραδυτῆτος ἀπολογίαν ἐνεστήσατο, ἑορταστικῶς τε καὶ οἷον πλαγίως πρὸς τοὺς δόξαν[164]τας κατηγορεῖν ἀπολελόγηται· ὧν δὴ ὥσπερ ἀπογνόντων τοῦ μεγάλου πατρὸς καὶ διὰ τὴν ἐποχὴν τῆς γλώττης ὡς νεκροῦ τούτου καταψηφιζομένων, ἀναστάσεως, φησίν, ἡμέρα· ἰδοὺ γάρ, φησίν, ὁ μετὰ τῶν καταβάντων εἰς ᾅδου λελογισμένος ὑμῖν, ἐζώωμαι τὴν σήμερον καὶ ἀνέστηκα. *Καὶ ἡ ἀρχὴ δεξιά*. Ἀρχὴ γὰρ οὐ τοῦ προοιμίου, ἀλλὰ τοῦ περὶ τῆς βραδυτῆτος ἀπολόγου· δεξιὰ γὰρ τῷ ὄντι τὸ ἀναστάντα τινὰ καὶ οἷον ἐπὶ σταθηροῦ καὶ βεβηκότος φρονήματος πρὸς τοὺς κατηγοροῦντας ἀπολογεῖσθαι...

---

* Ἐξήγησις κατὰ τὰ ὑπομν. Νικήτα Ἡρακλείας, Βασιλείου τοῦ Μικροῦ καὶ Γεωργίου Μοκήνου. Κατὰ τὴν ἔκδοσιν τοῦ J. Sajdak, Historica Critica σελ. 163-164.

ΒΑΣΙΛΕΙΟΥ ΚΑΙ ΑΛΛΩΝ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ *

Λόγος Ι. Περὶ θεολογίας ⟨ΚΗ'⟩.

[903] 59,221,4. Οἱ πάντ' εἰδέναι βρενθυόμενοι.

59,221,13. Καταβεβλακευμένοις. Μωραίνουσι. Ξενοφῶν ἐν τῷ περὶ ἱππικῆς βλακὸν τὸν νωθρὸν ἐκάλεσεν, ὅπερ τοῖς προκειμένοις συνᾴδει· τὰ ὦτα διεφθαρμένῳ καὶ νοθρῷ τὴν διάνοιαν.

59,226,8. Σφαδάζουσα. Σχετλιάζουσα χαλεπῶς φέρουσα. Οὕτως Ἀττικοί.

59,235,15. Ἀγνοῶν καὶ αὐτὸ τοῦτο τὴν ἄγνοιαν. Ἀγνοεῖν ἄγνοιάν ἐστιν τὸ ἐξ ἄκρας ἀνοίας καὶ ἀμαθίας μηδὲ αὐτὸ τοῦτο νοεῖν καὶ συναισθάνεσθαι, ὅτι ἀμαθαίνει καὶ ἀνοηταίνει καὶ οὐκ οἶδεν οὐδὲ ὅτι ἀγνοεῖ ἐννοεῖ καὶ αἰσθάνεται, ὅπερ ἐστὶν ἡ λεγομένη διπλῆ ἄγνοια. Οὕτω δὲ Πλάτων βούλεται ταύτην καλεῖν, πρῶτος εἰς ταύτην ἐληλυθὼς τὴν ἔννοιαν

59,237,19. Τὸ ὀκνεῖν φοβεῖσθαί ἐστι καὶ ἀναβάλλεσθαι ἐπὶ μελλούσης ἐνεργείας, ἣν ἐνεργήσειεν ἄν τις.

Λόγος Β'. Εἰς Κυπριανὸν ⟨ΚΔ'⟩.

59,181,24. Ἐμπύρευμα. Κυρίως βραχύ τι λείψανον πυρὸς ἐναπομένον τῇ σποδιᾷ. Εἴρηται δὲ ἐπὶ λειψάνου γνώσεως, ἀρετῆς καὶ κακίας, μνήμης καταχρηστικῶς.

Λόγος Γ'. Εἰς τοὺς Μακκαβαίους ⟨ΙΕ'⟩.

59,84,17. Κατά. Σημαίνει δὲ ἡ πρόθεσις καὶ ... ὁμοιότητα. Φερεκράτης· μιξόφρυξ, μέλαινα ἐπιεικῶς κατ' ἐμέ, ἀντὶ τοῦ ὁμοία ἐμοί. Ὁμοίως καὶ Ἡρόδοτος κέχρηται ἐν τῇ β' περὶ ἴβιδος.

Περὶ Ἁγίου Πνεύματος ⟨ΛΑ'⟩.

59,267,18. Ἀποκνήσαντες. Εἰς ὄκνον καὶ ῥαθυμίαν ἐλθόντες. Εἴρηται ἀπὸ τοῦ ὄκνου. Ὁ δὲ ὄκνος φόβου εἶδος. Διαιρεῖται γὰρ ὁ φόβος εἰς ὄκνον, ὅς ἐστι φόβος μελλούσης ἐνεργείας, εἰς κατάπληξιν, ἥ ἐστι φόβος ἐκ μεγάλης φαντασίας, εἰς ἔκπληξιν, ἥ ἐστι φόβος ἐκ συνήθους φαντασίας, εἰς ἀγωνίαν, ἥ ἐστι φόβος διαπτώσεως ἤγουν ἀποτυχίας, εἰς αἰδῶ, ἥ ἐστι φόβος [904] προσδοκίας ψόγου, καὶ αἰσχύνην, ἥ ἐστι φόβος ἐπ' αἰσχρῷ πεπραγμένῳ.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca τ. 36. στ. 903-916.

59,270,37 Π ό θ ε ν Τινὲς συνάπτουσιν ἐγκλίνοντες τὸ πόθεν, ὡς ὀξυνομένου δῆθεν, ἀγνοοῦντες ὅτι βαρύτονον ὄν, ἀντὶ ἀποφάσεως κεῖται ἐπίσης τῷ οὐδαμῶς. Πολὺ δὲ τοῦτο παρὰ τῇ τραγῳδίᾳ καὶ τοῖς κωμικοῖς καὶ τῷ Πλάτωνι.

59,273,38 Λέγει ἐκ τῆς ἑλληνικῆς ματαιότητος εἰς τὴν Ἐκκλησίαν εἰσφρῆσαι ὑποβάσεις τινὰς τῶν οὐσιῶν, ἐκ τῶν ἀνωτάτω καὶ θείων μέχρι καὶ τῶν ἐσχάτων παραδιδούσαις. Πολλὰ τοιαῦτα *Ἰουλιανὸς* ὁ τὰς χαλδαϊκὰς γράψας ὑποτυπώσεις ματαιολογεῖ. Οὐχ ἧττον δὲ καὶ οἱ τούτου ἐβαττολόγησαν ἐξηγηταί, Πορφύριος καὶ Ἰάμβλιχος καὶ Πρόκλος ὁ Πλατωνικός, ἀπὸ τοῦ πρώτου αἰτίου καθυπόβασιν πάντα βαθμηδὸν κατιέναι κατὰ σειρὰς σειρὰς ἄχρι τῶν τελευταίων καὶ τὴν τῶν ὄντων, ὡς οὗτοί φασι, ἀποπεράτωσιν ὡς ἐκ τούτων καὶ περὶ τῶν ἀχρόνως καὶ ἀπαραλλάκτως τὸ ἔστιν ἐχόντων καὶ ὁμοούσιον θείων ὑποστάσεων καὶ τούτους τὰ τοιαῦτα συλλογιζομένους κατασοφίζεσθαι.

59,277,7 Δ ι α γ ρ ά ψ ο μ ε ν. Τουτέστιν ἀθετήσομεν τὸ ἀγέννητον

Εἰς ἑαυτὸν καὶ πρὸς τοὺς λεγοντας τὴν καθέδραν ἐπιθυμεῖν Κωνσταντίνου πόλεως ⟨ΛΣΤ΄⟩.

60,46,31 Κ ο μ ψ ῶ ν· Τὸν ἀλαζονικὸν ἡ λέξις σημαίνει καὶ στωμύλον καὶ τὸν κόλακα καὶ ἡδύν.

60,49,4 Ἐ ρ ι κ ν ω μ έ ν ω ν: ῥυτιδομένων ῥυσῶν.

Εἰς τὸ⟨ν⟩ ἀπολογητικὸν διὰ τὸ μὴ καταδέξασθαι τὸν πρεσβύτερον.

58,249,38. Μ η δ α μ ο ῦ κ ι β δ ή λ ο υ ἠ χ ή ν: Μεταφορικῶς ἀπὸ τῶν ἀδοκίμων νομισμάτων, οἷς Ἀθηναῖοι μίσει τῷ πρὸς τοὺς Χίους τὸ χ στοιχεῖον ἐπέγραφον καὶ τῷ δακτύλῳ ἀνακρούοντες ἐτεκμαίροντο ἤχῳ τὸ εὔροιζόν τε καὶ δόκιμον. Ἀπὸ τοῦ ἀδοκίμου οὖν χρυσίου τε καὶ ἀργυρίου εἴρηται

58,266,31. Ἀ π ο δ υ σ π ε τ ε ῖ: Δυσχεραίνει καὶ δυσκόλως φέρεται καὶ ἐπιπηδᾷ.

Εἰς Γρηγόριον ἐπίσκοπον Νύσσης ⟨ΙΑ΄⟩.

[905] 59,55,28. Θ ώ μ ε θ α τ α ῖ ς ἀ κ ο α ῖ ς θ ύ ρ α ν. Πῶς οἷόν τέ ἐστιν τιθέναι ἀκοαῖς καὶ καταφράττειν, ὥστε μὴ ἀκούειν; ἔστιν γάρ τινα τῶν λεγομένων μηδὲ ἀκούειν, ὡς ἐν θύρᾳ τῶν ὄντων κλειομένων. Ἔστιν δὲ καὶ καλῶς ἀνοιγομένων ἀκούειν ἀγαλλίασιν καὶ εὐφροσύνην. Κλείεσθαι δὲ δεῖ οὐ κατὰ τὸν Ἰθακήσιον ἐκεῖνον κηρῷ, ἀλλὰ λόγῳ καὶ νόμῳ[ν] θείῳ, ὡς μὴ τὰ τῶν Σειρήνων καὶ ἡδονῶν ἐπάσματα ἐπαΐειν κατακηλοῦντα καὶ πρὸς ὄλεθρον κατασπῶντα.

59,23,21. Κ ο μ ψ ο ί: Εἶτουν κομπηροὶ καὶ ὑπερήφανοι.

Περὶ δογμάτων καὶ καταστάσεως ἐπισκόπου σχεδιασθείς ⟨Κ⟩.

59,142,21-22. Οἷον μ ύ σ α ν τ α τ ὰ ς α ἰ σ θ ή σ ε ι ς. Τουτέστι κλείσαντα, καμμύσαντα καὶ συστείλαντα.

ΑΝΩΝΥΜΟΥ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Λόγος ε′ ⟨ΙΕ′⟩

59,89,25. Θεατρίσασα. Ὡς ἐν πομπῇ καὶ θεάτρῳ προπέμψασα. Τοὺς γὰρ ἀριστεῖς καὶ βασιλεῖς καὶ στρατηγοὺς τοὺς νενικηκότας καὶ τοὺς πολεμίους ἡττήσαντας καὶ ὑποσπόνδους πεποιηκότας, μετὰ τῶν λαφύρων καὶ τῶν αἰχμαλώτων ἐστεφανωμένους διὰ μέσης ἦγον δορυφοροῦντες τῆς πόλεως καὶ εὐφημοῦντες. Τοῦτο οὖν πομπεύειν καὶ θεατρίζειν ἐκάλουν καὶ παραπέμπεσθαι ὑπὸ τῶν πολλῶν.

Λόγος ς′ ⟨ΚΔ′⟩.

59,181,24. Μέγα μνήμης ἐμπύρευμα. Κυρίως λείψανον πυρὸς ἐναπομένον τῇ σποδιᾷ. Εἴρηται δὲ καὶ ἐπὶ λειψάνου γνώσεως, ἀρετῆς, κακίας.

59,181,38. Οὐδὲν αἱρεῖ με τῶν ὅσα τερπνὰ τοῖς ἄλλοις. Ἐπαίρει, λαμβάνει καὶ καταδουλοῖ καὶ πρὸς ἑαυτὸν ἕλκει.

Λόγος ζ′ ⟨ΙΘ′⟩.

59,135,14-15. Φθέγξομαι τοιγαροῦν οὐ μαλακόν τι καὶ ἀναβεβλημένον, οὐδὲ τῆς ἡδίστης τῆς πολλῆς ἁρμονίας: Οὐχ ἁπαλὸν καὶ ἔκλυτον καὶ ὕπτιον, ἢ ἀνακεκρουμένον καὶ ἄρυθμον καὶ ἐμμελὲς μᾶλλον, οἷον τὰ τῶν κιθαρῳδῶν εἰσιν ᾄσματα, τῆς ἡδονῆς μόνον ἐκλύοντα καὶ ἐκθηλύνοντα τὸν ἀκούοντα. ἀλλὰ λίαν ἀνδρικόν, φησί, καὶ σύντονον.

59,136,34. Θεωρία ἡ νοερὰ λέγεται ἐνέργεια, ἐξ οὗ καὶ θεωρητικὴ φιλοσοφία ἡ νῷ μόνῳ θεωρουμένη.

59,136,34. Θεωρίαν εὔστοχον. Εὐεπίκουλον.

59,138,17. Σοφίζεσθαι ἐστι τὸ λόγοις ἀπατᾶν.

59,138,35. Μεταποιηθῶμεν τῆς ἐκεῖθεν λαμπρότητος. Τοῦτο τὸ ἀντιποιεῖσθαι σημαίνει καὶ ἀντέχεσθαι. Πλάτων ἐν τῷ *Πολιτικῷ*· ἥκιστα βασιλικῆς μεταποιούμενος τέχνης.

Λόγος θ′ ⟨ΜΓ′⟩.

[906] 60,145,11. Ἡ κατὰ τὰ φιλικὰ σχέσις ... τριττή, ἢ ὡς ποιημάτων πρὸς ποιητὰς ἢ ὡς πατέρων πρὸς υἱοὺς ἢ φίλου πρὸς φίλον.

60,145,14-15. Λίαν κρυπτόντι καὶ ὕφαλον. Ἐκ παραλλήλου τὸ αὐτό, ἐκ μεταφορᾶς τῶν ὑφάλων πετρῶν, αἷστισι διὰ τὸ κρύπτεσθαι ὑπὸ τῶν ὑδάτων τῆς θαλάσσης αἱ νῆες προσοκέλλουσιν.

60,145,22. Τρίβωνες δὲ περιβλήματά τινα, τῶν ῥητόρων μὲν ἐρυθροί τε καὶ φοινικοί, φαιοὶ δὲ τῶν φιλοσόφων. Παράσημον δὲ τοῦτο ἦν αὐτοῖς καθ' ἑκάστην φορούμενον, ὡς τοῖς πολιτευομένοις τὸ νυνὶ σκαραμάλιον.

60,147,20 Περὶ τῆς στροφῆς τῆς σφενδόνης Γύγου: Πλάτων μὲν ἐν *Πολιτείᾳ* φησί, ὡς ὁ Γύγης Λυδὸς μὲν τὸ γένος ἦν, ποιμὴν δὲ τὸ ἐπιτήδευμα καί ποτε ποιμαίνων ἐν ὄρει εὗρεν ἐν σπηλαίῳ ἵππον χαλκοῦν καὶ τούτου ἐντὸς νεκρὸν ἄνθρωπον, δακτύλιον φοροῦντα, ὃν λαβὼν ἔσχε. Καὶ ὅτε μὲν ἐβούλετο ἀφανὴς γενέσθαι· στρεπτὸς γὰρ ἦν ὁ δακτύλιος τὴν σφενδόνην ἔστρεφεν· ἐμφανίζεσθαι δὲ τοῖς παροῦσιν ἐθέλων, ἐν τάξει μένειν ἠφίει. Οὗτός ποτε πρὸς τὰ βασίλεια τῶν Λυδῶν γενόμενος καὶ στρέψας τὴν σφενδόνην, ἀφανίζεται καὶ εἰσιὼν κτείνει τὸν βασιλέα, καὶ ἔσχεν αὐτοῦ τὴν γυναῖκα. Πλάτων δὲ εἰσφέρει τὸν μῦθον, ὅτι ὁ δικαιος ἀνὴρ κἂν τοῦ Γύγου λάβοι τὸν δακτύλιον, ὡς μὴ ὁρᾶσθαι, οὐδὲ οὕτω ὤφειλεν ἀδικεῖν. Δεῖ γὰρ τὸ καλὸν δι' αὐτὸ ἐπιτηδεύεσθαι καὶ μὴ δι' ἄλλο τι. Ἡρόδοτος δέ φησι, ὡς ἐπιτροπῇ τῆς δεσποίνης ἀναιρεῖ τὸν ταύτης γαμέτην Γύγης.

60,147,39 Εἰ καὶ πεζοὶ παρὰ Λύδιον ἅρμα ἐθέομεν: Παροιμία ἐπὶ τῶν ἐρίζειν ἐθελόντων καὶ μὴ καταλαμβανόντων ὅτι τάχιστα τὰ δύο ἅρματα. Εἰ καὶ πεζοὶ οὖν, φησί, ἦμεν, ἀλλ' ὅμως τάχιστα ἐπίσης ἐθέομεν κατὰ τὸ Λύδιον ἅρμα, ἐχόμενοι τῶν μαθημάτων. Ἢ ἡμεῖς οἱ λοιποὶ ὡς πεζοὶ ἦμεν μὴ καταλαβόντες τὸν Βασίλειον, ὥσπερ Λύδιον ἅρμα τάχιστα τοῖς μαθήμασι φερόμενον. Πέλοψ ὁ Λυδὸς ἅρμα ἔχων ἐξαίρετον πολλοὺς νικήσας προσκαλεῖτο ὡς ἀγῶνα τὸν νικήσαντα τοῦτον ἔχειν τὴν αὐτοῦ θυγατέρα. Ἡμεῖς τοίνυν παραλύδον ἅρμα ἐθέομεν, ἀντὶ τοῦ ἀπελειπόμεθα, ὡς τοῦ ταχέος ἅρματος διὰ τοῦτο Λυδίου δεικνυμένου.

60,148,5. Μολιόνη τις γυνὴ περὶ τὴν Θρᾴκην οἰκοῦσα υἱοὺς ἔσχεν, Ὦτον καὶ Ἐφιαλτην, οἳ κατ' ἐνιαυτὸν ηὐξάνοντο, ὡς ἡ παλαιοτάτη(;) εἶχε, κατὰ μὲν τὸ μῆκος πῆχυν ἕνα, κατὰ δὲ τὸ πλάτος τριπάλαιστον. Ὑβρισταὶ δὲ οὗτοι γεγόνασι καὶ ὑπερήφανοι, καί ποτε ἐβουλεύσαντο τὴν Ὄσσαν ἐπιθεῖναι τῷ Ἄθῳ· — ὄρη δὲ ταῦτα κατὰ τὴν Θρᾴκην — καὶ δι' αὐτῶν ἀνιέναι εἰς **[907]** τὸν Ὄλυμπον θεοῖς μάχεσθαι οἷς Ζεὺς ὀργισθεὶς κεραυνὸν ἐπαφῆκε, καὶ ἀπώλλοντο διὰ τὴν ὑπερηφανίαν, κεραυνωθήσεσθαι τῇ μητρὶ προκεχρησμῴδητο.

60,155,12. Τάριχος λέγεται πᾶν τὸ παττόμενον ἁλσὶ καὶ ἰσχνὸν καὶ κατεσκελετευμένον τῶν ἰχθύων καὶ τῶν ἄλλων κρεῶν.

60,157,21-22. Τὸ δὲ μέγιστον τῷ πάντας ἡττᾶσθαι τῆς αὐτοῦ διανοίας: Ἰσοκράτειον ἐν τῷ πρὸς Νικοκλέα· ἀρχικὸς εἶναι, φησί, βούλοιο μὴ χαλεπότητι, μηδὲ τὸ σφόδρα κολάζειν, ἀλλὰ τῷ πάντας ἡττᾶσθαι τῆς σῆς διανοίας.

60,167,7-8. Οὐδὲ δὴ (ἐδεήθη) δημοσίου κηρύγματος τοῦ, Κράτης Κράτητα Θηβαῖον ἐλευ-

θεροῖ: ὁ Κράτης φιλόσοφος ἦν κυνικός. Οὗτος, ὡσπερεὶ μερίζων ἑαυτὸν εἴς τε τὸν Κράτητα καὶ τὸν περὶ οὗ τὴν φωνὴν ἀφίησιν, ἔφη· ὦ ἄνδρες, ὁ Κράτης, τουτέστιν ἐγώ, τὸν Κράτητα, τουτέστιν ἐμέ, τὸν Θηβαῖον ἐλευθεροῖ, ἀντὶ τοῦ, ἐγὼ ἐμαυτὸν ἐλευθερῶ. Μηδὲ δουλῶσθαι χρήμασι ἢ κτήμασι. 'Αφεὶς γὰρ τὴν τοὺς συμπολίτας καὶ τὰ ἑαυτοῦ πάντα, οὕτως τὴν φωνὴν ταύτην ἀφῆκεν.

60,167,39. Εἴσω τὰ κάλλη στρέφων. Τὰ ἔξω καὶ σωματικὰ εἴσω μεταστρέφων κάλλη, ὡς μὴ τὴν ἔξω καλλύνειν σπεύδειν, ἀλλὰ τὴν ἔνδον καὶ ψυχικὴν φαιδρύνειν ὡραιότητα

Λόγος ια' ⟨Μ'⟩.

60,92,26. Περιάμματα. Τὰ κατὰ τὰς χεῖρας καὶ τοὺς βραχίονας καὶ τοὺς αὐχένας κλωσμάτιά τινα βεβαμμένα καὶ σελήνια μηνίσκων χρύσεα καὶ ἀργύρεα ἢ καὶ τῆς εὐτελεστέρας ὕλης, τὰ ἀπὸ τῶν γραϊδίων τοῖς βρέφεσιν ἐπιδεσμούμενα· *ἐπᾴσματα* δὲ τὰ ὑπὸ τῶν αὐτῶν τοῖς νηπίοις ἐπᾳδόμενα, ἐπιψιθυριζουσῶν εἰς ἀποτροπιασμὸν καὶ ἅμα ταῖς γλώσσαις ἐπιλιχμουσῶν τὰ μέτωπα καὶ ἀποπτυουσῶν μετὰ τοῦ φυσᾶν ἑκατέρωθεν.

60,98,28-29. Μεταποιῇ. Μεταπλάττῃ.

60,98,35· Βάσανός ἐστι καὶ αὕτη. Δοκιμασία.

60,106,16-17. Εἴ τις ἔστι καὶ κοιλίας κάθαρσις—. Μὴ ὡς ἔτυχε, φησὶ δέχεσθαι τὰ διὰ τῶν αἰσθήσεων εἰς τὴν φαντασίαν, καθάπερ εἴς τινα γαστέρα, πεμπόμενα, ἀλλὰ τῷ διαλογιστικῷ καὶ διανοητικῷ ταῦτα οἷον ἀναπεμπαζομένους καὶ ἀναδιδόντας κατεργάζεσθαι καὶ νοερῶς καταλεαίνειν εἰς πνευματικὴν τροφήν. Ἡ μεταφορὰ ἀπὸ τῶν ζώων τῶν τὰς τροφὰς τῷ μηρυκισμῷ ἀναδιδόντων.

60,110,37. Κεναῖς ἐλπίσιν ἐξαπατώμεθα. Οἷά τινες ματαίαις θερμαινόμενοι ἐλπίσιν, ἀπατώμεθα πολλάκις, ἁγνείᾳ τεθαρρηκότες ἤ τινι ἑτέρᾳ τῶν σεμνοτέρων πολιτείᾳ, μυρίων ἑτέρων ἁμαρτημάτων ὄντες ἀνάπλεοι.

Λόγος ιβ' ⟨ΙΑ'⟩.

59,53,13· Οὐδ' ἔστι σταθμός—. Ὡς ἐπὶ ζυγοῦ γὰρ καὶ τρυτάνης ἀντιταλαντευόμενος, φησί, ὁ φίλος καθέλκε⟨ι⟩ πάντα κουφίζων ἄνω.

[908] 59,55,28. Θώμεθα ταῖς ἀκοαῖς θύρας.

59,56,9. Ταῦτα τῶν σωφρονούντων. Τουτέστι τῶν ἐγκρατούντων τοῦ σώματος καὶ τῶν σωματικῶν πάντων ἀφροντιστούντων καὶ οἷον ἀπολυομένων καὶ χωριζομένων τοῦ σώματος. Τοῦτο γὰρ φιλοσοφίας ὅρος ἀληθής, ὃς καὶ τοῖς ἔξω πρεσβεύεται. Ὁ γὰρ τῷ ὄντι φιλόσοφος, κατὰ νοῦν ἀεὶ ἐνεργῶν, τὸν νοῦν καὶ τὴν ψυχὴν ἔξω τῶν σωματικῶν καθιστὰς καὶ μηδεμίαν ποιούμενος ἐπιστροφήν, ὅ τι μὴ πᾶσα ἀνάγκη, τρόπον τινὰ τοῦ σώματος χωριζόμενος ἀπολύεται.

λόγος ιγ' ⟨ΚΑ'⟩

59,149,5. Τὸ ὑπὲρ τὴν δυάδα γενέσθαι. Πᾶν τὸ ἔνυλον. εἰ καὶ τὸ ἁπλοῦν ἔχει καὶ μονοειδές, κἂν εἰ πρὸς τὰ παχυμερέστερα οὕτως νομίζηται, ἀλλ' ἐν δυάδι θεωρεῖται. Ἔχει γὰρ τὸ ὑλικὸν ὑποκείμενον καὶ τὸ εἶδος Πᾶν γὰρ κτίσμα ἐξ ὕλης καὶ εἴδους. Τοῖς οὖν ὑπεραναβᾶσι πᾶν τὸ ἐν κτίσμασι Θεῷ συγγενέσθαι καὶ τὰ λοιπά. Ἢ ὑλικὴν δυάδα, ὁ ἐξ ἧς συζυγίας εἶπε, τὴν τοῦ σώματος παράζευξιν πρὸς τὴν ψυχὴν ἔφη, ὡς ἐντεῦθεν αὐτῇ τοῦ μὴ πρὸς Θεὸν ἀνανεύειν συμβαίνοντος, τῇ σωματικῇ προσπαθείᾳ συνδεδεμένη.

59,152,28. Πτερωτήν. Τὸν ἀλείπτην καὶ οἷον πτεροῦντα καὶ πρὸς τοὺς ἀγῶνας κουφίζοντα

59,155,10. Ταλαντεύεται ὡς ἐπὶ ταλάντοις καὶ σταθμοῖς σταθμίζεται καὶ ζυγοστατεῖται

59,155,24 Τὸ παρακαλεῖν ἢ ἁπλῶς τὸ καλεῖν σημαίνει, ἢ τὸ προτρέπεσθαι, ἢ παραμυθεῖσθαι καὶ εὐφραίνειν. Τὸ γὰρ σύνηθες ἐπὶ τῆς ἱκεσίας ἐνδιαβέβληται.

⟨ΜΓ'⟩ 60,145,32 Πρύμναν τε ἐκρουσάμην· παροιμιῶδες τοῦτό φησι Πρύμναν δὲ κρούεσθαί ἐστι τὸ κατὰ τὴν πρῶραν καὶ εἰς τὸ ἔμπροσθεν ἐλαύνοντά τινα, μεταβαλόντα κατὰ πρύμναν καὶ εἰς τοὐπίσω ἐλαύνειν. Προσορμῶντες δὲ μάλιστα τοῦτο ποιοῦσιν. Ἀπὸ γοῦν τοῦ ἐκείνους τοῦτον ὑπερείδειν καὶ συνηγορεῖν, μεταβαλεῖν δὲ αἴφνης καὶ εἰς συνηγορίαν Βασιλείου τραπέσθαι, τοῦτο πρύμναν κρούσασθαι ἔφη.

⟨ΜΒ'⟩ 60,132,3 Εἴρηται ἀπὸ τοῦ ῥιπίζω ὁ εὐρίπιστος καὶ ταχέως μεταβαλλόμενο..

60,133,9. Τὸ περιποππύζεσθαι κολακεύεσθαι ἐστι. Πεποιημένη γὰρ ἡ φωνὴ ἀπὸ τῶν ἵππων, οὓς διά τινος ἠρεμαίου ψόφου τοῦ διὰ χειλέων ἄκρων οἱ ἱπποκόμοι κολακεύουσι.

Εἰς τὸ ἅγιον πάσχα καὶ τὴν βραδυτῆτα ⟨Α'⟩.

58,243,5. Ἀλλήλους περιπτυξώμεθα. Τὸ ἀγαπητικὸν καὶ φιλάδελφον καὶ συνδετικὸν πρὸς ὁμόνοιαν ἐν τούτῳ δεικνύοντες. Τὸ γὰρ περιπτύσσεσθαι τὸ οἱονεὶ προσφύεσθαι καὶ περιπλέκεσθαι ἀλλήλοις δηλοῖ.

58,243,21. Πλάστην· ἠθῶν. διδάσκαλον· δογμάτων. Ὥσπερ ἱμάτιόν τι ἀποδύσασθαι τὸν παλαιὸν ἄνθρωπον.

58,244,37. Δοκεῖ μοι ... ἀντιδιαστέλλειν τῇ λιθίνῃ καρδίᾳ, τουτέστι τῇ σκληρᾷ καὶ ἀνενδότῳ καὶ ἀντι[909]τυπούσῃ, τὴν σαρκίνην, ὅ ἐστι τὴν μαλακὴν καὶ ῥᾳδίως ὑπείκουσαν.

λόγος β' τοῦ αὐτοῦ εἰς τὸ ἅγιον Πάσχα ⟨ΜΕ'⟩.

60,188,8. Οἰκονομία... ἐπὶ Θεοῦ ἡ τοῦ οἰκείου μεγέθους ἑκούσιος συγκατάβασις.

60,189.32. Τὸ γυμνὸν εἶναι τὸν ἄνθρωπον τριχῶς ἐξηγεῖται. Γυμνὸς γάρ, φησίν, ἦν κατὰ τὴν ἁπλότητα τοῦ τρόπου. Οὔπω γὰρ ἡ διπλόη ἐπετηδεύθη καὶ πονηρία.

60,190,33-34; Θεούμεθα· θεῖοι καὶ θεοὶ χρηματίζομεν.

60,194,2. Εἰς φῶς ἅπαντα καὶ τάξιν καὶ εἶδος ἔρχεται· ὁ τοῦ ἀληθινοῦ κάλλους τῶν ἀρετῶν δημιουργὸς καὶ τὰ ἡμέτερα πλημμελῶς ἰδὼν καὶ ἀτάκτως κινούμενα, εἰς τάξιν αὐτὰ ἐκ τῆς ἀταξίας ἤγαγε.

Λόγος γ' τοῦ αὐτοῦ περὶ ἐγκαινίων ⟨ΜΔ'⟩.

60,180,6. Ἑορτάζομεν δὲ τὰ ἐγκαίνια διὰ ταύτην τὴν αἰτίαν, ἵνα τὰ καλὰ τῇ μνήμῃ φυλάττηται καὶ μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται καὶ τῷ βυθῷ τῆς ἐπιλησμοσύνης παραρρεύσῃ σκοτιζόμενα καὶ καλυπτόμενα.

60,181,15-16. Τὴν ἐπέχουσαν τέως ἀταξίαν καὶ τὰ ἑξῆς. Ἀναφέρεται εἰς τὸ Πλάτ. Τιμ. 30.

Τοῦ αὐτοῦ εἰς τοὺς Μακκαβαίους ⟨ΙΕ'⟩.

59,91,15. Τὰ ἐπὶ ξυροῦ ἱστάμενα οὐχ ἑδραίαν ἔχουσι τὴν βάσιν, ἀλλ' ἀνέδραστον καὶ ταλαντευομένην ἑκατέρωθεν.

Λόγος ς' εἰς τὸν ἅγιον τοῦ Χριστοῦ μάρτυρα Κυπριανόν ⟨Κ Ι⟩.

59,181,24. Ἔστι δὲ ἐμπύρευμα κυρίως βραχύ τι πυρὸς λείψανον ἐν σποδιᾷ κεκρυμμένον. Καταχρηστικῶς δὲ καὶ μεταφορικῶς ἐμπύρευμα λέγεται καὶ τὸ ἐναπομεῖναν ἔν τινι κατάλειμμα μνήμης καὶ σωζόμενον.

59,181,34. Δεύτερον δέ, ὃ καὶ μέγιστον, τὸ μὴ κατόπιν (καὶ τὰ ἑξῆς): Δεύτερον δὲ εὐεργετήθημεν, ὅτι κἂν ὑπερήμεροι, ἀλλ' οὖν συνεστώσης ἔτι τῆς πανηγύρεως ἤλθομεν, καὶ κατὰ τὴν ἐν τῷ Πλάτωνος *Γοργίᾳ* παροιμίαν, οὐ κατόπιν ἑορτῆς ἐδράμομεν. Οὔπω γὰρ τέλεον παρῆλθεν, ἵνα ὀπίσω αὐτῆς ἔλθωμεν.

Λόγος ζ' εἰς τοὺς λόγους καὶ εἰς τὸν ἐξισωτὴν Ἰουλιανόν ⟨ΙΘ'⟩.

59,134,19. Μέχρις ἂν τοῖς ποτίμοις. Μέχρις ἂν ποτίμῳ λόγῳ οἷον ἁλμυρὰν ἀκοὴν ἀποκλύσωμαι, τοῦτο δὴ τὸ τοῦ Πλάτωνος, τουτέστι ἕως ἂν ἀπονίψωμαι τὰ ἑλληνικὰ ἀκούσματα καὶ μαθήματα ἐν τοῖς γλυκέσι καὶ πνευματικοῖς λόγοις καὶ δόγμασι.

59,135,14. Φθέγξομαι. Φθέγξομαι δέ, καθὰ πρὸ ἡμῶν ὁ Προυσαεὺς ἔφη Δίων περὶ Τιμοθέου τοῦ αὐλητοῦ, οὐ μαλακὸν αὔλημα καὶ ἀναβεβλημένον, οὐδὲ τῶν πρὸς ἄνεσιν καὶ εὐθυμίαν ἀγόντων, οὐδέ τι τῶν τῆς κιθαρῳδίας ἰδίων καὶ πρὸς ἡδονὴν ἐπιτετηδευμένων.

Λόγος ὄγδοος, τοῦ αὐτοῦ εἰς τὰ ἅγια Θεοφάνια εἴτουν γενέθλια ⟨ΛΗ'⟩.

60,65,20. Μὴ ἀκοὴν καταυλήσωμεν. Μὴ διὰ τῶν

ὤτων διεφθαρμένην μελῳδίαν τῶν ψυχῶν καταχεῖν. Ἀνελευθερίας γὰρ πάθος καὶ ταπεινότητος ἐκ τοῦ τοιοῦδε τῆς μουσικῆς εἴδους ἐγγί-[910]νεσθαι πέφυκε. Τινὲς γοῦν πρὸς αὐλὸν κορυβαντιῶσι καὶ ἐκβακχεύονται. Ἐκθηλύνει δὲ καὶ χαυνοῖ τὴν ὄσφρησιν ἡ ὀσμὴ τῶν βλακικῶν μύρων.

60,65,25-26. Καλῶς δὲ συνῆψεν τοῖς κώμοις καὶ ταῖς μέθαις τὰς κοίτας καὶ τὰς ἀσελγείας. Ἐκ γὰρ ἐκείνων αὗται γεννῶνται. Ὁ γὰρ κωμάζων μεθύει, ὁ δὲ μεθύων πρὸς κοίτην ὁρᾷ (;) ὁ δὲ ἀσελγαίνει τῷ οἴνῳ πρὸς παρανόμους μίξεις καὶ ἡδονὰς ἀνδραποδώδεις ἀναφλεγόμενος.

60,65,28. Λέγει δέ που καὶ Πλάτων, ὅτι φλυαρία ἐστὶ πᾶν τὸ περιττόν, εἴτε ἐν λόγοις, εἴτε ἐν πράγμασι.

60,66,5. Ἰστέον δέ, ὅτι αγροικος μέν ἐστι ὁ ἐν ἀγροῖς αὐλιζόμενος, ἄγροῖκος δὲ ὁ ἀμαθὴς καὶ ἀπαίδευτος καὶ τὸ ὅλον ἀνόητος.

60,66,17-18. Πλάτων ἐν Τιμαίῳ λέγει, ὅτι τὸ ἦν καὶ τὸ ἔσται χρόνου εἰσὶν εἴδη, ἡμεῖς δὲ οὐκ ὀρθῶς ταῦτα φέρομεν εἰς ἀΐδιον οὐσίαν. Λέγομεν γάρ, ὡς εἰ ἦν, ἔστι τε καὶ ἔσται. Τὸ ἔστι δὲ μόνον κατὰ τὸν ἀληθῆ λόγον προσήκει. Ἐκεῖθεν οὖν λαβὼν ὁ θεολόγος τὴν χρῆσιν, φησίν, ὅτι τὸ ἦν καὶ ἔσται τοῦ καθ' ἡμᾶς εἰσι χρόνου τμήματα καὶ τῆς ῥευστῆς φύσεως. Τῶν γὰρ ἀνθρωπίνων πραγμάτων ἐν κινήσει καὶ ῥοῇ τυγχανόντων, τοιοῦτος καὶ ὁ χρόνος αὐτῶν γνωρίζεται, τὸ μέν τοι παρερχόμενος, τὸ δέ τι μέλλον, τὸ δὲ ἐνεστὼς αὐτῷ, παντελῶς ἀθήρατον, πρὶν γνωσθῆναι, διὰ πᾶν οἴχεται.

60,66,18. Ὁ νοῦς, εἰκότως ὡς εἰκὼν Θεοῦ, δέχεται τούτου θεωρίαν ἀμυδρὰν καὶ μικράν.

60,66,21. Διὰ τί δὲ καὶ ἐννοεῖται τὸ Θεῖον καὶ τελείως οὐ καταλαμβάνεται; Ἐμοὶ δοκεῖ, ἵνα διὰ .... τοῦ ποσῶς ὁρᾶσθαι καὶ καταλαμβάνεσθαι ἀμυδρῶς ἄγῃ ἡμᾶς πρὸς ἑαυτό.

60,68,32. Ἦν γυμνὸς ὁ ἄνθρωπος κατὰ τὴν ἁπλότητα τοῦ τρόπου, κατὰ τὴν ἄτεχνον ζωὴν καὶ κατὰ τὸ ἀναμφίαστον. Ὕστερον γὰρ μετὰ τὴν παράβασιν ἡ διπλόη, αἱ τέχναι, τὰ ἄμφια.

60,72,12 ἑξ. Ἡ Αἴγυπτος ποτὲ μὲν εἰς τὸν ἐνεστῶτα κόσμον λαμβάνεται, ποτὲ δὲ εἰς τὴν σάρκα, ποτὲ δὲ εἰς ἁμαρτίαν, ποτὲ δὲ εἰς ἄγνοιαν, ποτὲ δὲ εἰς τὴν κάκωσιν.

Λόγος ἔνατος τοῦ αὐτοῦ ἐπιτάφιος εἰς τὸν Μέγαν Βασίλειον ⟨ΜΓ⟩.

60,136,5. Παθαινομένης καὶ ἀπολοφυρομένης διαθέσεως ἀναφώνημα τό· ἔμελλεν ἄρα, τουτέστι ἀπέκειτο ἄρα καὶ τοῦτο.

60,146,24. Παροιμία δέ ἐστι τὸ *ἔξω τοῦ σκοποῦ βάλλειν*, ἐπὶ τῶν ἀποτυγχανόντων, ἐκ μεταφορᾶς τῶν τοξευόντων καὶ ἀστοχούντων.

60,144,25. Ξεναγεῖται· ξενοδοχεῖται.

60,144,29. Ἐρεσχελεῖται· Ἐριστικῶς ἐρωτᾶται.

60,145,14-15. Οὐχ ἁπλοῦν ... κρυπτόν τε καὶ ὕφαλον· ἐοίκασι ταῖς ὑφάλοις πέτραις, αἵτινες ὕδωρ ὀλίγον ἐπικείμενον ἔχουσαι, κινδύνου παραίτιοι τοῖς πλέουσι γίνονται, συντρίβουσαι τὰ προσεγγίζοντα ταύταις πλοῖα.

60,145,22. Χιτῶνες φαιοὶ ἦσαν οἱ τρίβωνες, ὑπὸ φιλοσόφων φορούμενοι.

60,146,16 ἑξ. Οἱ μὲν γὰρ τῶν σωμάτων... Κατὰ [911] γὰρ τὸ ὑπὸ Πλάτωνος ῥηθέν, ὁ μὲν τῶν σωμάτων ἔρως ῥέει ὁμοίως τοῖς τοῦ ἔαρος ἄνθεσιν· *ἐπειδὴ καὶ τὸ σῶμα λήγει ἀνθοῦν*, ὥσπερ γὰρ τῆς ἀναπτούσης τὴν φλόγα ὕλης δαπανηθείσης, καὶ αὐτὴ ἡ φλὸξ τῇ ὕλῃ συναπέρχεται καὶ ἀποσβέννυται, οὕτως ἐὰν μαρανθῇ τὸ ὑπέκκαυμα τοῦ ἔρωτος, τουτέστι τὸ κάλλος τοῦ σώματος, οὐχ ὑφίσταται οὐδὲ ὁ πόθος, ἀλλὰ λύεται. Ὁ δὲ κατὰ Θεὸν ἔρως ὁ σώφρων ἐπειδὴ ψυχῆς ἐπιθυμεῖ, πράγματος ἀθανάτου, διὰ τοῦτο καὶ μόνιμός ἐστι, καὶ ὅσῳ πλέον φαντάζεται καὶ θεωρεῖ τὸ τῆς ψυχῆς κάλλος καὶ τὴν ἐν ἀρετῇ προκοπήν, τοσούτῳ μᾶλλον συσφίγγει ἑαυτῷ καὶ ἀλλήλοις τοὺς ἐπιθυμοῦντας τῆς αὐτῆς ἀρετῆς.

60,146,40-42. Εἰ τὸ πάντα ἐν πᾶσι κεῖσθαι μὴ πειστέον τοῖς λέγουσιν, ἀλλ' ἡμῖν γε πειστέον, ὡς ἐν ἀλλήλοις καὶ παρ' ἀλλήλοις ἐκείμεθα. Τὸ δὲ τὰ *πάντα* ἐν πᾶσι κεῖσθαι εἶπε μὲν καὶ Ἐμπεδοκλῆς, εἶπε δὲ καὶ Ἀναξαγόρας, πλὴν οὐ μετὰ τῆς αὐτῆς γνώμης ἀμφότεροι. Ἀλλ' ὁ μὲν Ἐμπεδοκλῆς περὶ τῶν τεσσάρων εἶπε στοιχείων, ὅτι οὐ μόνον διωρισμένα εἰσὶ καὶ καθ' ἑαυτά, ἀλλὰ καὶ ἀλλήλοις μέμικται. Καὶ δῆλον ἐντεῦθεν· πᾶν γὰρ ζῷον τοῖς τέσσαρσι στοιχείοις ζωογονεῖται. Ὁ δὲ Ἀναξαγόρας παλαιὸν εὑρὼν δόγμα, ὅτι οὐδὲν ἐκ τοῦ μηδαμῆ γίνεται, γένεσιν μὲν ἀνήρει, διάκρισιν δὲ εἰσῆγεν ἀντὶ γενέσεως. Ἐλήρει γὰρ ἀλλήλοις μὲν μεμίχθαι ταῦτα, διακρίνεσθαι δὲ αὐξανόμενα. Καὶ γὰρ ἐν τῇ αὐτῇ γονῇ καὶ τρίχας εἶναι καὶ ὄνυχας καὶ φλέβας καὶ ἀρτηρίας καὶ νεῦρα καὶ ὀστᾶ, καὶ τυγχάνειν μὲν ἀφανῆ διὰ μικρομέρειαν, αὐξανόμενα δὲ κατὰ μικρὸν διακρίνεσθαι. *Πῶς γὰρ ἄν*, φησίν, *ἐκ μὴ τριχὸς γένηται θρίξ, καὶ σὰρξ ἐκ μὴ σαρκός*; Οὐ μόνον δὲ τῶν σωμάτων, ἀλλὰ καὶ τῶν χρωμάτων ταῦτα κατηγόρει. Καὶ γὰρ ἐνεῖναι τῷ λευκῷ τὸ μέλαν ἔλεγε, καὶ τῷ λευκῷ τῷ μέλανι. Τὸ αὐτὸ δὲ ἐπὶ τῶν ῥοπῶν ἐτίθει, τῷ βαρεῖ τὸ κοῦφον σύμμικτον εἶναι δοξάζων καὶ τοῦτο αὖθις ἐκείνῳ, ἅτινα πάντα ψευδῆ ἐστι. Πῶς γὰρ τὰ ἐναντία τοῖς ἐναντίοις συνέσονται;

60,148,33 ἑξ. Ἀστρονομίας ... τοσοῦτον λαβών, ὅσον μή... Ἀστέρων μὲν ... πλοκὰς καὶ σχήματα, δι' ὧν ἀναιρεῖται ἡ πρόνοια, καὶ γένεσιν καὶ εἱμαρμένην καὶ τὰ ἀποτελεσματικὰ καὶ τὸ τῇ φορᾷ τῶν ἄστρων διδόναι τὰ ὄντα καὶ τὰ γινόμενα

διέπτυσε. Τὸ δὲ εἰδέναι, πῶς γίνονται αἱ τῶν τεσσάρων ὡρῶν ἐναλλαγαὶ διὰ τῆς τεταγμένης τῶν φωστήρων κινήσεως, καὶ τὸ διὰ τῆς ἁρμονίας τῶν οὐρανίων τὸν Δημιουργὸν θαυμάσαι καὶ τὸ συμμέτρως τὰ ἀπ' αὐτῶν σημεῖα περιεργάζεσθαι, ἐπομβρίαν δηλοῦντα ἢ αὐχμοὺς ἢ πνευμάτων κινήσεις ἤ τι τοιοῦτον, οὐκ ἀπώσατο, ἀλλὰ προσεδέξατο.

60,148,38. Τὸ τοῦ σώματος ἀσθενὲς καὶ ἡ νοσοκομία οὐ μικρὸν εἰς φιλοσοφίαν δοκεῖ τῷ Πλάτωνι.

60,155,11. Ἔτνος δέ ἐστι τὸ συγκοπὲν καὶ σχισθὲν ὄσπριον, οἷον κύαμος ἤ τι τοιοῦτον.

60,167,8. Εἶναι γάρ, οὐ δοκεῖν ἐσπούδαζεν [912] ἄριστος. Ὁ ἅγιος, τοῦτο δὴ τὸ τοῦ Αἰσχύλου. οὐχὶ δοκεῖν δίκαιος, ἀλλ' εἶναι ἤθελεν, ἔσχατον εἰδὼς ὅρον ἀδικίας κατὰ Πλάτωνα, τὸ δοκεῖν δίκαιον εἶναι μὴ ὄντα.

60,173,38 ἑξ. Νῶε.. κόσμου δευτέρου σπέρματα... Νῶε δι' εὐτελοῦς ξύλου καὶ ἐλαχίστου σμικρὰ ζώπυρα τοῦ τῶν ἀνθρώπων διέσωσε γένους.

60,177,10 Κατὰ τὸν Ἑβραῖον Φίλωνα, οὐκ ἔστιν ἀρτίπους ἡ ἐν θνητῷ τῷ σώματι ἀρετή, ἀλλὰ παραπλήσιόν τι πάσχουσα νάρκη, μικρὸν ὅσον ὑποχωλαίνει. *Ἐνάρκησε γάρ*, φησί, *τὸ πλάτος τοῦ μηροῦ καὶ ἐπέσκαζε*[1]. Ὁ δὲ μηρὸς γενέσεως σύμβολον, ἐπεὶ τὸ παιδοποιὸν μόριον περὶ τὸν μηρόν ἐστι.

⟨ΙΘ'⟩ 60,74,6-8 Ὅταν προσφέρωμεν αὐτοῖς, ὅτι ὁ θεὸς αὐτῶν ὁ Κρόνος κατέπινε τοὺς παῖδας αὐτοῦ, φασὶν ὅτι ἄλλο τί ἐστι τὸ δι' ὑπονοίας δηλούμενον.

⟨ΛΘ'⟩ 60,77,18-19. Οὐ γὰρ τὰ αὐτὰ φθέγξομαι μόνον, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν... Κατὰ ... τὸν Πλάτωνα, τὰ αὐτὰ περὶ τῶν αὐτῶν φθέγξομαι, τουτέστι τὰ αὐτὰ ῥήματα καὶ νοήματα περὶ τῶν αὐτῶν πραγμάτων.

Λόγος ἑνδέκατος, τοῦ αὐτοῦ εἰς τὸ ἅγιον βάπτισμα ⟨Μ'⟩.

60,93,3. Ἕως εὐχῆς πρόκειται προθεσμία καὶ ἀσχολίας τιμιωτέρα. Ὁ καιρὸς ὁ πρὸ τῆς μεταλήψεως τῆς μυστικῆς τραπέζης... ἐστὶν οὐ γαμικῆς μόνον ὁμιλίας, ἀλλὰ καὶ ἀσχολίας ὑπέρτερος κατὰ τὸν Πίνδαρον, τουτέστι καὶ προτιμότερος καὶ τιμιώτερος πάσης ἄλλης φροντίδος καὶ ἐργασίας.

60,100,8. Τῶν ἀπειροκάλων· τουτέστι τῶν φιλοδόξων, τῶν ἀπείρων τοῦ καλοῦ, τουτέστι τῆς ταπεινώσεως, καὶ τῶν ἀμέτρως καλυνομένων.

60,100,41. Τοιούτους λόγους χαίρειν ἐάσαντες· Τῆς δημώδους παροιμίας ἐστὶν ὁ λόγος. Οἱ γὰρ παλαιοὶ τοῖς

---

1. Πρβλ. Γεν 32,26.

μισουμένοις ἀπαντῶντες, τὸ *χαίρειν* μόνον ἐπιλέγοντες παρέτρεχον. Ἐδήλου δὲ τὸ *χαίρειν* τουτὶ τὸ οἰμώζειν, κατ' ἀντίφρασιν.

Λόγος δωδέκατος (Εἰς ἅγ Γρηγόριον Νύσσης) ⟨*ΙΑ'*⟩.

59,53,15. Λέγει δέ που καὶ Θεόγνις ὁ ποιητής, ὅτι πιστὸς ἀνὴρ χρυσῷ τε καὶ ἀργύρῳ ἀντερίσασθαι ἄξιος.

Λόγος ιδ' ⟨*ΜΒ'*⟩.

60,123,6-8. Ἔστι δὲ κάμπη μὲν καὶ ἀκρὶς καὶ βροῦχος ζωΰφια, ἐρυσίβη δὲ ὡς κονιορτώδης φθορὰ σίτου.

60,133,9 καὶ 192,26. Ποππυσμὸς ... ποιά τίς ἐστι τῶν ἱπποκόμων φωνή, πεποιημένη πρὸς κολακείαν τῶν σκιρτώντων ἵππων

Λόγος ιε' ⟨*ΙΔ'*⟩.

59,65,22-24. Τῆξαι φιλονεικῶ... πράξεων. Τοσοῦτον οὖν ἀνθεκτέον τοῦ σώματος, ὅσον, φησὶ Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένους, ἐοικότα λέγων τῷ Παύλῳ, ὃς παραινεῖ, μηδεμίαν ἔχειν τοῦ σώματος πρόνοιαν εἰς ἐπιθυμιῶν ἀφορμήν

59,65,22-24. Ὅπερ τῆξαι θέλω, ἵνα μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ καταρρύπτωμαι, ἢ ὥς φησιν ὁ Πυθαγόρας, ἵνα μὴ χαλεπώτερον ἐμαυτῷ κατασκευάσω τὸ δεσμωτήριον.

[913] 59,82,15. Εἰ μὲν οὐδὲν ἔστι σοι σύντριμμα οὐδὲ μώλωψ· Τοῦ Ἡσαΐου... ἐστὶ καὶ τό· οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα. Ἔστι δὲ τραῦμα μὲν λύσις τῆς τοῦ σώματος συνεχείας, κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης, μώλωψ δὲ ἴχνος πληγῆς ὕφαιμον, θλασθέντος τοῦ σώματος ἐκ τῆς ἀντιτυπίας τοῦ πλήξαντος, φλεγμονὴ δὲ ὄγκος πυρώδης, συρρυέντων ἐπὶ τὸ ἀσθενῆσαν μέρος τῶν ὑγρῶν καὶ τῇ παρὰ φύσιν θερμασίᾳ φλεγόντων τὸ πεπονθός. Ταῦτα δὲ πάθη σώματος ὄντα, εἰς ψυχὴν μεταφέρει τροπολογῶν ὁ θεολόγος, καὶ τραῦμα μὲν ἴσως λέγει τὰς πρὸς ἀλλήλους διαφορὰς καὶ μάχας καὶ τὰ ἐντεῦθεν σχίσματα, μώλωπα δὲ τὴν ὕπουλον καρδίαν, καὶ φλεγμονὴν τὴν ἐξ ἀλόγου οἰήσεως ἔπαρσιν.

Λόγος ις' ⟨*ΙΕ'*⟩.

59,95,31. Σφακελισμὸς δὲ καλεῖται ἡ θλίψις τοῦ ἐγκεφάλου μετὰ φλεγμονῆς, πύρωσις δὲ ἡ παρὰ φύσιν θερμασία, εἴτουν ὁ πυρετός.

Λόγος δ' ⟨*ΜΔ'*⟩.

60,182,27. Φαρμάσσειν Γοητεύειν τῷ γλυκεῖ τῆς προσλαλιᾶς.

60,184,5-6 Χθὲς ἦσθα θεατρικός, σήμερον φάνηθι θεωρητικός. Ἐπὶ θεωρίᾳ ἀσχολούμενος, εἴτουν νοε-

ρῶς ἐνεργῶν. Τοῦτο γάρ ἐστι θεωρία. Ἐξ οὗ καὶ θεωρητικὴ φιλοσοφία λέγεται ἡ νῷ μόνῳ ἐνεργουμένη.

60,184,21. Ν ῦ ν α ἰ γ ι α λ ο ῖ ς μ ὲ ν κ ύ μ α τ α σ π έ ν δ ε τ α ι. Σπένδεται, φιλιοῦται τοῖς αἰγιαλοῖς τὰ θαλάττια κύματα, ἀψοφητὶ τούτοις προσπαίζοντα. Ἡλίῳ τὸ νέφος σπένδεται τῷ μὴ ἐπιλυγάζειν.

60,184,37 ἑξ. Γυποῦσθαι δὲ τὸ ἡγεμονικὸν ἔφη, οἷον οὐ λόγους ἀκοῦον, ἀλλὰ τύπους, ὡς ἐν κηρῷ γραφίδος ἐν διανοίᾳ, τῶν λεκτέων καὶ πρακτέων ὑπὸ τοῦ Ἁγίου Πνεύματος δεχόμενον.

⟨ΛΓ′⟩ 60,32,16 Σ υ κ ά μ ι ν α κ ν ί ζ ο ν τ α· Τὸ κατατέμνεσθαι κνίζεσθαι λαμβάνεται Ταύτῃ Ὑπερείδης ἐχρήσατο τῇ λέξει.

λογος ε′ ⟨ΙΕ′⟩.

59,85,25. Ε ἰ μ ή τ ι τ ο λ μ η τ έ ο ν κ α ὶ μ ε ῖ ζ ο ν· Εἴληπται δὲ τό εἰ μή τι, καὶ ἀντὶ τοῦ πλήν. Οὕτω Πλάτων ἐν τῷ Ἀλκιβιάδει ἐχρήσατο.

59,90,39 Ἐ π ί δ ο σ ι ς ἡ αὔξησις ἡ πρὸς τὸ καλὸν προκοπὴ καὶ προσθήκη λέγεται.

59,88,40. Μ ε τ α ί χ μ ι ο ν δὲ λέγεται ὁ μεταξὺ δύο φαλάγγων τόπος, ἀπὸ τῆς αἰχμῆς παρωνομασμένος.

⟨ΚΔ′⟩ 59,190,5-7 Ὁ κότινος στέφανός ἐστι ἀπὸ ἀγριελαίας διδόμενος ἐν τῇ Ὀλυμπίᾳ. Τὰ μῆλα δὲ ἐν τοῖς Πυθίοις ἐδίδοτο, ἃ οἱ Δελφοὶ τῷ Ἀπόλλωνι ἦγον. Ἡ δὲ πίτυς ἐν τοῖς Ἰσθμίοις γέρας ἦν, ἅπερ Ἴσθμια τῷ Ποσειδῶνι ἦγον οἱ Κορίνθιοι ἐν τῷ Ἰσθμῷ. Ὕστερον δὲ σέλινα ἐν αὐτῷ ἐδίδοτο τῷ Ἰσθμῷ τῆς Κορίνθου. Τὰ δὲ σέλινα ἆθλος ἐν τοῖς Νεμείοις ἐδίδοτο, ἃ Νέμεα ἦγον οἱ Νεμεάται τῷ Ἡρακλεῖ ἐν τῇ Νεμέᾳ τῆς Ἀργολι[914]κῆς. Ἔστιν οὖν κότινος, μῆλα, πιτυς, σέλινα.

λόγος ζ′.

59,23,18. Ἡ τοῦ ἴσως ἐνδοίασις τοῦ ἠθικοῦ λόγου πέφυκε. Τὸ δὲ *φαῦλον* ὁμώνυμός ἐστι φωνή, εἰς πολλὰς σημασίας διαιρουμένη. Λέγεται γὰρ φαῦλον τὸ ἁπλοῦν, ὡς Εὐριπίδης· *φαῦλος, ἄκομψος.* τὸ κακόν, ὡς Πλάτων ἐν τῷ Περὶ ψυχῆς *φαῦλον πρᾶγμα* ἔφη. Λέγεται δὲ καὶ ἐπὶ τοῦ τυχόντος, ὡς παρὰ τῷ αὐτῷ· *πρᾶγμα δ' ἔσται, ὡς ἔοικεν*, οὐ φαῦλον, οὐδεμιᾶς δεόμενον ἀρετῆς, καὶ ἐπὶ τοῦ μοχθηροῦ, ὡς δοῦλοι δεσπόταις, καὶ ἐπὶ τῶν μεγάλων Σοφοκλῆς· *εἰ μικρὸς ὢν τὰ φαῦλα νικήσας ἔχω.* Καὶ ἐπὶ τοῦ ῥᾳδίου· *καί φαῦλον ἴσως αὐτοῖς προστάξομεν.* Εἴρηται δὲ καὶ ἐπὶ τοῦ εὐτελοῦς.

59,26,38. Ε ἰ δ' ο ὖ ν· Ἐλλειπτικῶς εἴρηται τοῦτο, ὡς λείποντος ὅλου κώλου τοῦ προκειμένου. Ῥητορικαὶ οὖν εἰσιν αὗται συντάξεις, ὡς τό· *ἀμέλει*, ὡς τό· *εἶεν*, ὡς τό· *μὲν οὖν γε.* Εἰσὶ γὰρ ταῦτα συνταγματικὰ ἐπιρρήματα, ἀντὶ λόγων ὁλοκλήρων κείμενα.

59,26,43-27,1. Ἀποκλύσωμαι τοῖς πρὸς πόσιν ἐπιτηδείοις ἤτοι τοῖς τοῦ Γρηγορίου ἡδέσι λόγοις καὶ πνευματικοῖς τὸ ἁλμυρὸν καὶ ἀηδὲς τῆς ἑλληνικῆς παιδείας.

Λόγος θ' ⟨ΜΓ'⟩.

60,136,23-24. Ἐπ' οὐδενὸς... οὐκ ἔστιν, ἐφ' ᾧ τινι οὐχί. Τουτέστιν ἐν πᾶσι τοῖς κατορθώμασιν ἁπάντων ἀνθρώπων ἐκράτει ὁ μέγας Βασίλειος. Ἡ δὲ παράλληλος τῶν ἀποφάσεων θέσις οὐχ, ὥς τινες, περιττή, ἀλλὰ κάλλους ἐργαστική ἐστι. Δημοσθένης ἐν τῷ κατὰ *Ἀριστοκράτους· οὐδ' ἔστιν οὐδείς*, ἀντὶ τοῦ, οὐδείς ἐστι· καὶ οὐχ ἁπλῶς ἡ δευτέρα ὡς περιττὴ εἴληπται, ἀλλὰ καὶ ἐπὶ βεβαιώσει ἀρνήσεως ἡ παράλληλος χρῆσίς ἐστι καὶ ἐπιτάσει τῶν ὑποκειμένων· κἀν τῷ *Περὶ στεφάνου·* οὔτε γάρ, εἰς τὴν πόλιν εἰσελθόντων, οὐδεὶς οὐδὲν οὐδὲ ἀδίκως ὑμῖν ἐνεκάλεσεν. Τέσσαρα οὖν ἀντὶ τοῦ ἑνός. Κἀνταῦθα οὖν μετὰ κάλλους ἐπίτασιν σημαίνουσι τοῦ λεγομένου.

60,142,10. Ἐγκύκλιον παίδευσίν φασι καὶ τὴν καθόλου εἶναι, οἷον γραμματικήν, ῥητορικήν, φιλοσοφίαν καὶ μαθηματικὴν καὶ πᾶσαν, ὡς ἔπος εἰπεῖν, τέχνην καὶ ἐπιστήμην, καθ' ἅς, ὥσπερ διά τινος κύκλου, δεῖ τὸν σοφὸν περιιέναι. Φασὶ δὲ καὶ ἰδικῶς ἐγκύκλιον τὴν ποιητικήν. Περὶ ἧς καὶ Πρόκλος ὁ Πλατωνικὸς ἐν μονοβίβλῳ περὶ κύκλου ἐπιγραμμένῃ τὰς τῶν ποιητῶν διέξεισι ἀρετὰς καὶ τὰ ἴδια. Καὶ Ἀριστοτέλης ἐν τῇ λογικῇ τάδε φησί· τὰ ἔπη κύκλος, καθὸ πᾶσα ποίησις περὶ τοὺς αὐτοὺς μύθους καταγίνεται, καὶ περὶ τὰς αὐτὰς ἱστορίας ὥσπερ διά τινος περιάγεται κύκλου.

60,155,11. Ἔτνος· εἶδος ὀσπρίου. Οἱ μὲν κύαμον, οἱ δὲ τὸ καλούμενον πισσάριον, οἱ δὲ ἕψημα ἀθηρῶδες, ἀφ' οὗ καὶ ἀθήρα κάθαρμα, ἔνθεν ἐτνήρυσις παρ' Ἀριστοφάνει. Οὕτως Διογενιανός.

60,162,30. Εἶεν· ταῦτα μὲν οὕτως. Ἡ ἐκ προσῳδίας καὶ τοῦ πνεύματος καὶ τὰ τῆς σημασίας ἔσται φα**[915]**νερά. Τοῦ γὰρ πρώτου ει ψιλουμένου καὶ περισπωμένου, τοῦ δὲ δευτέρου δασυνομένου· οὕτως γὰρ καὶ οἱ τεχνικοὶ προσάγουσι καὶ τὰ ἀκριβῆ δείκνυσι τῶν ἀντιγράφων· ἔσται τὸ δηλούμενον ἀντὶ τοῦ ὑπάρχει ἓν τῶν εἰρημένων [ὑπάρχει ἕν, φησὶ τοῦτο τὸ εἰρημένον]. Παρατηρητέον γάρ, ὡς [ἐπίρρημα ὂν συντακτικὸν καὶ περιοριστικὸν] οὐκ ἐπὶ ἀναπαύσει τελείου λόγου, ἀλλ' ὅτι [ὁ εἶεν σύνδεσμος] καὶ ἕτερον [τι] ἐπιφέρεται λέγον [ἐπιφέρων ἐπιλέγεται]. Ἐν ἀρχῇ δὲ λόγου εὑρισκόμενον ἀντὶ παρακελεύσεως εἴρηται, ὁμοίως τῷ· *ἄγε*, ἴσως ἀντὶ τοῦ· *εἶα*, κατὰ τροπὴν τοῦ α εἰς ε, ὡς ἕνεκα, ἕνεκεν.

60,169,29. Τὸν ἀνδρεῖον καλέσαι θρασύν...: Κατὰ μὲν... τὸ πρόχειρον τὸ ἐγγίζειν καὶ τὸ παρομοιοῦσθαι νοεῖται ἁπλῶς (δηλ. παραπεπηγέναι) [Ὡς ἐντεῦθεν ὑπονοεῖσθαι τὸν μὲν φρόνιμον πανοῦργον, τὸν δὲ σώφρονα ἠλίθιον, δειλὸν τὸν προμηθῆ, θρα-

σὺν τὸν ἀνδρεῖον, τὸν οἰκονομικὸν φειδωλόν, τὸν ἐλεύθερον ἄσωτον]. Καὶ ἄλλως δὲ παραπεπηγέναι λέγεται ταῦτα, καθό, ὥσπερ ἐγκεντρίδες φυτῶν ἐν τῇ αὐτῇ ῥίζῃ καὶ τῷ αὐτῷ στελέχει διάφοροι, ἐμπεπήγασι ἐν τῷ αὐτῷ γένει, λέγω τῇ ποιότητι, αἵ τε κακίαι καὶ αἱ ἀρεταὶ πεφυκυῖαι.

Λόγος ια' ⟨ΛΗ'⟩.

60,65,26. Κ ῶ μ ο ς· Ἡ μέθη καὶ ἡ ἀπὸ μέθης ἀσέλγεια καὶ ᾠδὴ πορνικὴ καὶ τὸ κοίμημα.

Λόγος ιγ' ⟨ΚΑ'⟩.

59,154,1-2. Ἐ ν τ α ῦ θ ά μ ο ι τ ὰ δ ρ ά μ α τ α· Ἤτοι τὰ περὶ τὴν ὑπόθεσιν πράγματα συνέβη καὶ τὰ δεινὰ συνέπεσε. Τῶν γὰρ ποιημάτων τὰς ἐν ταῖς ὑποθέσεσι συμφοράς τε καὶ κινδύνους καὶ θανάτους περιέχοντα δράματα ἐκάλουν.

59,158,2. Τ ο ῦ τ ο κ ό θ ο ρ ν ο ς. Τοῦτο (δηλ. τὸ δόγμα τοῦ Ἀρείου)... κόθορνον (καλεῖ), ὡς ἐπαμφοτερίζον κατὰ τὸν νοῦν—. Κόθορνος... ὑποδήματός τι εἶδος πλατύ, ἀμφοτέρως ἐφαρμόζον τοῖς ποσί.

59,161,33-34. Ἃ ἐ χ α ρ ί ζ ο ν τ ο. (Καί: γρ. ἠρανίζοντο ἢ ἐαρίζοντο)· ὡς ἀπὸ ἐράνου συντελούμενα προσεφέροντο, ἢ ἐαρίζοντο, ὥς τινα ἐαρινὰ κομίζοντες ἄνθη, ἢ καὶ ἀνθέων συνεπιβαλλομένων.

59,162,37-38. Τ ὸ τ ῆ ς ἀ ν δ ρ ε ί α ς φ ι λ ό τ ι μ ο ν· Ἐπὶ ἀγαθοῦ ἐνταῦθα τὸ φιλότιμον εἴληπται. Τὴν γὰρ ἐπίδειξιν τῆς καρτερίας καὶ τὴν ὑπὲρ ἀρετῆς τιμὴν σημαίνει.

Λόγος ιδ' ⟨ΜΒ'⟩.

60,126,20 ἑξ. Περὶ τῶν ἐξ Ἰουδαίων πιστευσάντων εἰς Χριστὸν ποιεῖται τὸν λόγον. Οἷς ἀπαρχὴ γεγόνασιν οἱ θεσπέσιοι μαθηταί. ἀπρὶξ τῆς εἰς Χριστὸν ἀγάπης ἐχόμενοι.

60,126,38. Τὸ σχολῇ ἀντὶ τοῦ μόλις καὶ δυσχερῶς ἢ βραδέως, ἢ ἀντὶ τοῦ οὐδαμοῦ ἐκληπτέον.

[916] 60,132,7. Ἡμῶν ἕκαστος οὐ κυρίως εἷς λεχθείη ἄν. Πῶς γὰρ καὶ τῷ σώματι πολλοί τινες καὶ τῇ ψυχῇ οὐχ ἁπλοῖ, ἀλλὰ ποικίλοι τινὲς καὶ πολλοὶ ταῖς γνώμαις καὶ ταῖς ὁρμαῖς εὑρισκόμενοι.

60,133,18. Ε ἴ σ ω σ υ ν ν ε ν ε υ κ ό τ α ς. Εἴσω συννεύειν ἐστὶ τὸ κατὰ διάνοιαν νοερῶς ἐνεργεῖν, σύννουν ἑαυτῷ προσέχοντα καὶ τῷ νοῒ μὴ πρὸς ἄλλο τι πτοούμενον τῶν ἐκτός.

60,133,33. Ἵ ν' ἔ χ ω τ ὸ ἐ π ι τ ί μ ι ο ν. Ἀλλαχοῦ τὸ ἐπίτιμον εὗρον, ὅπερ ἐστὶ τὸ μὴ ἄτιμον. Οὕτω καὶ ὁ *ῥήτωρ ἀφίησι τῷ* Μενεκράτει τὴν καταδίκην· *καὶ ἤδη ἐπίτιμος β'*. Ἐπιτιμία δὲ ἡ εὐπορία ἢ ἡ μὴ ἀτιμία λέγεται. Καὶ ἀλλαχοῦ ὁ αὐτός· ὁσάκις αὐτὸς κινδυνεύοντα περὶ τῆς πατρίδος καὶ τῆς ἐπιτιμίας καὶ τοῦ βίου πάντα διεσώσατο.

Λόγος ιε'. (Ἀρχίζει: Ἄνδρες —) ⟨ΙΔ'⟩.

59,65,18. Ὢ πῶς συνεζύγην.... Ἡ νοερὰ ψυχὴ διαποροῦσα δὴ ἅμα καὶ ἀσχάλλουσα ταῦτα διέξεισιν.

59,72,20. Ὥσπερ ἐν παιδιᾷ ψήφων. Περὶ τούτων καὶ ἀλλαχοῦ εἶπε, ψήφοις παίζειν τὴν ὄψιν. Ἔστι γὰρ καὶ τοιαύτη ματαιότης, ὡς ψήφους τινὰς δεικνύναι τοὺς θαυματοποιοὺς καὶ φαίνεσθαι μὲν τόσα ἐρευνωμένους τὰ δὲ μὴ τοσαῦτα καταλαμβάνεσθαι, οὐ γοητείᾳ τυχόν, ἀλλὰ ταχύτητι τοῦ χρωμένου ἀποπλανῶντος τὴν αἴσθησιν. Καὶ ὥσπερ ἐν τῷ παιγνίῳ τῶν ψήφων πολὺ τὸ μάταιον ἔχοντες καὶ τὴν ταχεῖαν ἀπὸ τῆσδε πρὸς τήνδε τὴν ψῆφον μεταβαλὸν καὶ ἀποπλάνησιν τῆς ὄψεως, οὕτω καὶ τὰ ῥευστὰ καὶ πρόσκαιρα ταῦτα ἄλλοτ' εἰς ἄλλους μεταρριπτεῖται καὶ μετατίθεται μετὰ καὶ τοῦ ἔχειν τὸ μάταιον ἄφατον, ὥσπερ αἱ ψῆφοι, καὶ τὴν τῆς αἰσθήσεως πλάνην καὶ ὄψεως.

59,78,9. Κερδῷον οἱ Ἕλληνες τὸν Ἑρμῆν προσαγορεύουσιν, ὡς κέρδους ποιητικόν. Ἢ διὰ τὸ κερδάλεον καὶ ἐντρεχὲς αὐτοῦ ἐπὶ τῇ κλεπτικῇ οὕτω κεκλῆσθαι νομίζω. Τὴν γὰρ ἐντρέχειαν κέρδος ὠνόμαζον οἱ παλαιοί.

Λόγος ις'. (Ἀρχίζει: Τί —).

59,92,38. Μυδῶσιν νεκροῖς τὰ ἔνδον. Σεσήπασιν. Ἐστὶ δὲ δευτέρας συζυγίας τῶν περισπωμένων καὶ σημαίνει τὸ οἰδαίνειν καὶ φυσᾶσθαι καὶ ὀγκοῦσθαι. Οἰδαίνουσι γὰρ καὶ οἱ τάφοι καὶ μυδῶσι τοῖς νεκροῖς κατὰ τὰ ἔνδοθεν.

59,95,31. Ἡ σῆψις τοῦ μυελοῦ σφακελισμὸς λέγεται, καὶ τὸ ῥῆμα· ἐσφακέλισε τὸ ὀστέον, ἀντὶ τοῦ, ὁ ἐντὸς τοῦ ὀστέου μυελὸς ἐσάπη. Γίνεται δὲ ἐκ τοῦ σφακελισμοῦ σπασμός. Λέγεται δὲ σφάκελος καὶ ὁ μέσος τῆς χειρὸς δάκτυλος. Σφάκελος καὶ ὁ λεγόμενος σφυγμὸς καὶ παλμός.

59,95,33-36. Μὴ μόνον τὴν κακίαν ἀμεταστρεπτὶ φεύγωμεν, ἀλλὰ καὶ τῆς ἀρετῆς νεανικῶς ἀντεχώμεθα.

ΒΑΣΙΛΕΙΟΥ ΠΡΟΣΦΩΝΗΤΙΚΗ ΕΠΙΣΤΟΛΗ

ΕΙΣ ΚΩΝΣΤΑΝΤΙΝΟΝ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ *

Βασίλειος ἐλάχιστος, ὁ Καισαρείας Καππαδοκίας, τῷ φιλοχρίστῳ δεσπότῃ Κωνσταντίνῳ αὐτοκράτορι.

[1073] Ἐν ταῖς μεγίσταις καὶ δημοτελέσι τῶν πανηγύρεων, μέγιστε Αὐτοκράτορ, οὐ μόνον οἱ ἐν τέλει, καὶ [1076] βαρεῖ πλούτῳ καὶ δόξῃ ἐξωγκωμένοι καὶ ὑπερφέροντες, ἀλλ' ἤδη [ἢ δὴ] καὶ οἱ ἐν αὐταρκείᾳ ζῆν ᾑρημένοι καὶ μετρίαν εἰληχότες τὴν ὕπαρξιν, κατὰ δύναμιν ὑμᾶς καταγεραίρειν ἐπείγονται· ἀλλ' οἱ μὲν χρυσῷ τε καὶ ἀργύρῳ καὶ μαργάροις ἢ λίθοις διαυγέσιν, ἤ τισι σκεύεσι πολυτελέσιν ἢ καὶ πέπλοις πολυανθέσιν ἀφοσιοῦνται, τὸ φιλότιμον ἐπιδεικνύμενοι· οἱ δέ τινες ἄλλοις καὶ ἄλλοις, ὡς ἂν ἔχωσι προθυμίας ἢ εὐπορίας [ἢ εὐνοίας·] γνώμης ὅτι μάλιστα κατευστοχεῖν [καὶ εὐστοχεῖν] ἐφιέμενοι [ἱέμενοι] σύμπαντες τοῦ δεξομένου καὶ τὸ φίλτρον οἷον καὶ ᾧ μάλιστα προσφερομένῳ ἡσθείη πραγματευσάμενοι. Πολλῶν οὖν, ὡς εἰκός, συντελούντων καὶ ποικίλην ὑμῖν καὶ πολυτελῆ [πολυειδῆ] τὴν εἰσφορὰν ἐμποιούντων, καὶ μάλιστα κατὰ τήνδε τὴν τῶν Χριστοῦ Γενεθλίων πανήγυριν καὶ τὴν κατ' ἐχθρῶν νικητήριον εὐχαριστίαν** ἐδόκει μὴ μόνους ἡμᾶς ἀσυντελεῖς [ἀτελεῖς] οὕτω καθῆσθαι, ἢ κενὴν [καινὴν] ἄλλως ἀνύειν καὶ μόχθον ἀνήνυτον τῇδε καὶ τῇδε, κατὰ τὴν τοῦ κυνὸς ἐκείνου παραπληξίαν ἐπιμοχθοῦντος, καταμωκωμένου δῆθεν τοῦ δήμου τῶν Ἀθηναίων, ἀλλ' ἢ καὶ χερσὶν αὐταῖς ὕδωρ εὐγνωμόνως ἀρύττειν καὶ πᾶν ὅ,τι γε τῶν δυνατῶν ἡμῖν καὶ τιμίων ἀγαθῷ σοι βασιλεῖ καὶ φιλανθρώπῳ [καὶ τιμίῳ] προσκομίζειν· τούτων δὲ οὐκ ἄλλο τι τῷ φιλολόγῳ, ἀλλ' ἢ λόγος ἐδόκει· ἐδόκει δὲ οὐ καθ' αὑτόν πως εἶναι τοιοῦτος οἷος βασιλικὴν εὖ διαθεῖναι, [εὐδιαθ.] καὶ σοφὴν εὐφρᾶναι διάνοιαν· ὁρᾷς γὰρ ὡς ἀγλευκής τις καὶ ἀκαλλής ἐστι, καί, ὡς εἰπεῖν λόγῳ, ἀνεπαφρόδιτος. Πλὴν ἀλλ' ἡμῶν τῶν πάνυ καὶ οὗτός ἐστι τιμίων, ὅτι δὴ καὶ [1077] πίθηκος καὶ Αἰθίοψ μέγιστον τίθεται ἑκάτερος καὶ οἴεται κάλλιστον τῶν οἰκείων ὠδίνων

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne. Patrologiae Cursus Completus Series Graeca, τ. 36, στ. 1073-1205. 1080-1160.

** Δεκεμβρίῳ δὲ μηνί, ἰνδικτιῶνος ς', ἐπιβουλήν τινες κατὰ τοῦ Βασιλέως Κωνσταντίνου ἐμελέτησαν, βουλόμενοι τὸν Βασιλέα Στέφανον ἐν τῇ νήσῳ ὄντα ἐν τῷ παλατίῳ ἀγαγεῖν. Ταύτης οὖν μηνυθείσης Κωνσταντίνῳ διὰ Μιχαὴλ τοῦ Διαβολίκου λεγομένου, τοὺς ἐπιβούλους κρατήσας ὁ Βασιλεύς, τῶν μὲν τὰς ῥίνας καὶ τὰ ὦτα ἀπέτεμεν, τοὺς δὲ δαρμῷ ἀφορήτῳ ὑπέβαλεν, καὶ ὄνοις ἐπικαθίσας διὰ μέσης τῆς πόλεως ἐθριάμβευσεν καὶ ἐξορίᾳ παρέπεμψεν.

τὴν ἀμορφίαν*. Εἰ δὲ καί σοι τῷ παντίμῳ κριθείη τοιοῦτος [τοιοῦτο], οὐ κατ' ἄλλο τι, ἀλλ' ἢ κατ' αὐτὸ δῆλον τὸ τῆς ὑποθέσεως ἡδίων ὀφθήσεται καὶ χαρίεις. Τί γάρ σοι τῶν ἁπάντων ἐρασμιώτερον ἢ τί γε τιμαλφέστερον ἄλλο ἢ Γρηγόριον καὶ τὰ [τὰ τοῦ] Γρηγορίου ἐνοπτρίζεσθαί τε καὶ ἀκουτίζεσθαι! Τίνος ἥδιον λόγους ἢ νοῦν ἀνιχνεύειν ἢ τοῦ Γρηγόρου νοῦ** τούτου (οὕτω γὰρ καλεῖν αὐτόν ἐστιν οἰκειότερον); τίνος ἄβυσσον σοφίας! τίνος ὕψος θεολογίας ἢ φράσεως ἅμα κάλλος καὶ μέγεθος ἢ ὅσα παντοίας ἐστὶ τέχνης καὶ θεωρίας καὶ χάριτος! Τῶν οὖν πανσόφων τούτου λόγων, εἰ καὶ τολμηρόν, ὅμως ἔδοξε καὶ τὰ Πατράσιν εἰς ἐξήγησιν καὶ διασάφησιν ῥητῶν τινων ἐσπουδασμένα ἐπιτομώτερόν πως καὶ σαφέστερον, κατὰ τὸ ἐνόν, διαθέσθαι, πρὸς δέ, τινὰ καὶ ἡμῖν προστεθεῖσθαι [προτεθ] εἰς ἐξάπλωσιν νοημάτων καὶ τῆς ἐν βάθει διανοίας ἐνάργειαν "Ετι δὲ κἂν [ἐνάργειαν... κἂν] πολλοῖς ὅσοις χωρίοις. ὑπεροραθεῖσι μὲν ὡς ἐπιδήλοις ἴσως ἐκείνοις, δεομένοις δέ τινος, ἢ κατ' ἔννοιαν ἑρμηνείας, ἢ κατὰ σύμφρασιν ἢ σύνταξιν ἀκολουθίας, ἢ κατὰ θεωρίαν ἐπιστασίας, ἢ κατά τινας τεχνικὰς ἐφόδους περιόδων τε καὶ σχημάτων καὶ ἰδεῶν ποικίλων ἐπισημασίας· τούτοις οὖν ὁ πόνος ἡμῖν οὗτος ἐσπουδάσθη [ἐσπ. οὗτος. — οὗτος ἐπεσπουδ.]. Πρὸς δ' ἔτι, καὶ στιγμῶν τινων ἁρμοττούσας ἐπιδείκνυσι θέσεις, καὶ τόπους προσήκοντας τούτων ἑκάσταις, οὐκ ἀπό τινος οὐμενοῦν ἀλογίστου ἐμπειρίας, ὁποία τῶν μικρὰ [σμικρὰ] βλεπόντων θέλξαι μόνον ὑπάρχει [ὑπάρχειν] τὴν αἴσθησιν. Ἐν οἷς περιορᾶν ἔστιν ἀλωμένους ἐνίους, τὰς αὐτάς που περιόδους, τὰ αὐτὰ συνδετικὰ τῶν μερῶν τοῦ λόγου μόρια ἄλλοτε ἄλλως ἐξαγγελλόντων, καὶ τὴν ὑπόκρισιν διαφθειρόντων καὶ τὸ ἦθος ἅπαν λυμαινομένων καὶ οἷον ψυχρά τινα μέλη περιᾳδόντων [τινα..., περὶ...των], τὰ ἀνειμένα ἔστιν ὅτε ἐντεινόντων καὶ διαλυόντων ἔμπαλιν τὰ τεταμένα· ἀλλὰ τέχνης θεσμοῖς ἐπιβεβλημένας καὶ περιόδων εἱρμῷ καὶ τά[1080]ξει τῶν συνδεόντων μορίων περιεστιγμένας. Τοιοῦτό τοι [τοιοῦτόν τι] τὸ ἡμέτερον, Γαληνότατε, δῶρον· τοιοῦτό σοι τῷ φιλολόγῳ τὸ προσφερόμενον· τούτοις σε δεξιούμεθα, παντὸς ἐπαίνου καὶ παιάνων κρείττοσιν ἐπινικίων· τοῖς ἡμῖν μὲν προσευπορηθεῖσι [ἡμῖν προευπ.] κατὰ τὸ μέτρον τῆς ἄνωθεν χάριτος χορηγηθείσης, ὑμῖν δὲ προσενεχθεῖσι καὶ προσδεχθεῖσιν οὐκ ἀηδῶς οἶμαι, ὁπόσον [ὅπως] ἐστὶν εἰκάσαι τὸ εὐγενὲς καὶ φιλεπίστημον τῆς ὑμετέρας [ἡμετέρας] διανοίας.

"Εχει δέ μοι ὧδε [ὧδέ μοι] τὰ τῆς ὑποθέσεως.

---

* Τὰς πιθήκους γάρ φασιν, ἐπειδὰν τέκωσιν, ὥσπερ ἀγάλμασιν ἐνατενίζειν τοῖς βρέφεσιν, ἀγαμένας τοῦ κάλλους· οὕτως ἐστὶν ἡ φύσις φιλότεκνον! τὰ δὲ ἀλλήλων ὁρῶσιν ἅπερ ἐστί, πιθήκων παιδία.

** Πῶς οὐχὶ ῥεῖθρα πνευματόρρυτον χύσιν
ποταμὸς ἀνένωτος ἐκ διδαγμάτων
ὁ γρήγορος νοῦς πλημμυρήσει πανσόφως;
Ὁ γρήγορος νοῦς, τῶν βροτῶν ἡ τερπνότης.

ΒΑΣΙΛΕΙΟΥ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ Α΄ ΤΩΝ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΣΤΗΛΙΤΕΥΤΙΚΩΝ

Οὐκ ἄδηλος ὁ σκοπὸς τὴν τοῦ Παραβάτου στηλιτεύων κακίαν καὶ πολλοῖς βάλλων αὐτὸν τοῖς ἐγχειρήμασιν, οὐ μόνον δέ, ἀλλὰ καὶ τοῖς αὐτοῦ πτεροῖς κατατοξεύων, οἷς ἐκεῖνος ἀεροβατῶν ἐπήρθη καὶ μύθοις καὶ ἱστορίαις καὶ σοφίσμασι δολεροῖς, γοητείαις τε καὶ θυσίαις καὶ δαιμόνων ἀπάταις τε καὶ χρησμοῖς καθ᾽ ἡμῶν τε καὶ Χριστοῦ ἐξυβρίσας ἐπτερύξατο. Πλείστης δὲ ὅσης τῆς ὕλης ὑποκειμένης, πολύς ἐστι τῷ Πατρὶ καὶ ὁ τῆς τέχνης τοῦ λόγου σχηματισμός. Πῇ μὲν γὰρ πανηγυρικῶς, τῇ δὲ δικανικῶς, πῇ δὲ καὶ συμβουλευτικῶς πρόεισι, κατὰ πᾶν εἶδος τῆς τέχνης στρεφόμενός τε καὶ ποικιλλόμενος. Καὶ μυθικῶν δὲ πλασμάτων καὶ ἱστοριῶν προσευπόρησεν ἀνασκευῶν συναναφαινομένων ἀναγκαίως τῇ ὑποθέσει καὶ συνυφαινομένων [συμφαινομένων] δυνάμει λόγων τοῖς ἐνθυμήμασι καὶ ἐπιχειρήμασι τῇ συμφράσει τῶν ἀποδείξεων.

58,288,3. «Ἀκούσατε ταῦτα, πάντα τὰ ἔθνη»[1]. καὶ τὰ ἑξῆς. Τοῦ προοιμιου ἡ πρότασις ἐκ προφητικῶν εἴληπται φωνῶν ἄγαν προσήκουσα τῇ ὑποθέσει. ἐν ᾗ Αὐτοκράτωρ μὲν ὑπόκειται, πολλῶν ἐθνῶν ἐπάρχων καὶ πόλεων καὶ μικροῦ πᾶσαν κατασείσας τὴν οἰκουμένην καὶ εἰς τὸ ὕψος λαλήσας ἀδικίαν[2], **[1081]** καὶ εἰς αὐτὸν τὸν τοῦ παντὸς κόσμου κύριον καὶ τεχνίτην· εἰκότως οὖν οὐχὶ τοὺς τὴν οἰκουμένην μόνον οἰκοῦντας καλεῖ, ἀλλὰ καὶ τὰς οὐρανίους [δηλ. οὐρανίας] πάσας Δυνάμεις, τὸ κήρυγμα μειζόνως ἐπαίρων, ὡς ἔκ τινος περιωπῆς· τοῦτο γὰρ τὸ ἄποπτον βούλεται, ἐξ οὗ ἔστιν ὄψεσθαι πολλά, μηδενὸς ὄψιν καὶ φωνὴν ἐπιπροσθοῦντος. Ἐπεὶ οὖν καὶ πρὸς οἰκουμένην ὅλην καὶ κόσμον ὅλον ὁ λόγος, οὐκ *ἐξ ἀπόπτου* μόνον, ἀλλὰ καὶ *μεσαιτάτης ἔφη περιωπῆς*· ἔστι μὲν γάρ πως καὶ ἐν ὑψηλῷ τινα καὶ ἐν ἀπόπτῳ εἶναι, μὴ μὴν ἐν μεσαιτάτῳ καὶ ἐπὶ κέντρῳ· καὶ οὐ δή που πρόσεστι τῶν κηρυττομένων ὑπ᾽ αὐτοῦ πάντας ἐπίσης ἐπαΐειν.

58,288,18. Πλὴν ὅσον. Διχῇ διαστέλλει τούτοις καὶ τὸν σκοπὸν χωρὶς ἵστησιν Ἡσαΐου, τὸν μὲν ὅσον ἐπὶ τῷ Ἰσραὴλ ἠθετηκότι μαρτύρασθαι, τὸν δὲ πάλιν, ἐπὶ τυράννῳ ἀθετήσαντι καὶ καταπεσόντι.

58,288,21-22. Ἄκουε καὶ ἡ τοῦ μεγάλου Κωνσταντίου ψυχή, εἴ τις αἴσθησις. Ἐπαινεῖ καὶ Μέγαν αὐτὸν πολλάκις καλεῖ καὶ μάλιστα ἐν τοῖς κατὰ τοῦ Ἀποστάτου

---

1 Ψαλ. 48,2 2. Πρβλ. Ψαλ. 12,8.

λόγοις, ἐξ ἀντιπαραθέσεως τυράννου καὶ μισοχρίστου, ὡς φιλόχριστον τοῦτον κατακοσμῶν τοῖς ἐπαίνοις. Ἔστι δὲ ἐν οἷς καὶ ὑπεραπολογεῖται τῆς ὑποψίας, ὡς συναπαχθέντος ἀρειανοῖς ἁπλότητι, οὐ μὴν κακουργίᾳ καὶ δυσφημίᾳ· τὰ δ' ἄλλα χριστιανοῖς μέγα ὄφελος καὶ λέγει καὶ ἐξυμνεῖ γεγενῆσθαι. *Εἴ τις δὲ αἴσθησις*, φησί, διὰ τὸ *Ἄκουε*, ὡς μὴ πάντη δήλου μηδὲ πᾶσιν αἴσθησιν τῶν τῇδε τοῖς ἀπελθοῦσιν ἔχειν· μόναις γὰρ τοῦτο ταῖς τῶν Μακαρίων ἐν ἄλλοις φησὶν ἀποκεκρίσθαι ψυχαῖς.

58,289,13-14. Καὶ γὰρ οὐ τῷ Λόγῳ μόνῳ. Τῷ θείῳ λέγει Λόγῳ· οὕτως γὰρ ὀνομάζεται.

58,289,14. Μετὰ τῶν ἄλλων. Ποίων ἄλλων; οἷς ὀνομάζεται Υἱός, Σοφία, Δύναμις, καὶ τὰ λοιπά. *Χαίρει γάρ*, φησί, *καὶ τῇ προσηγορίᾳ ταύτῃ καὶ τῇ δυνάμει*. Ποίᾳ; Τῆς κλήσεως ταύτης· οὐδὲν γὰρ ἕτερον δύναται νοῦν ἑρμηνεῦσαι καλῶς, ἢ Λόγος ὅλον ἐν ἑαυτῷ [ἐν αὐτῷ] φέρων τὸν νοῦν· ὡς ὁ Υἱὸς καὶ Λόγος τὸν Πατέρα τε καὶ Γεννήτορα· «Ὁ γὰρ ἑωρακώς, φησίν, ἐμέ, τὸν Πατέρα ἑώρακε»[1].

58,290,3-4. Εἰ δὲ ὅλως συμμίξαι. Κατὰ ἀποστροφὴν πρὸς αὐτὸν ἐκεῖνον φησίν· Ἔδειξάς σου τούτοις τὴν ἧτταν, συμμίξαι ἡμῖν καὶ εἰς χεῖρας ἐλθεῖν φοβηθείς, κἂν ἔδοξας νικᾶν ἐκεῖνον, ὃν ἠγωνίσω [μὴ ἀγωνίσασθαι πρὸς αὐτόν], τουτέστιν ἡμᾶς· ἐν οἷς δείκνυσι καὶ τῶν λόγων τύραννον ὄντα, ἐσχάτην ἀλογίαν, οὐ μόνον βίαν προσάψας αὐτῷ.

[1084] 58,290,18. Ἤδη δέ μοι πηδᾷ καὶ ἵεται πρὸς πανηγυρισμὸν ὁ λόγος. Σημείωσαι ὅτι καὶ ἐπισημαίνεται διὰ τὸ πανηγυρικὸν εἶδος.

58,290,20. Ὅσοι τε νηστείαις. Τοὺς τὸ Θεῖον ἐκλιπαροῦντας νυκτὸς καὶ ἡμέρας, μονάζοντάς τε, καὶ τοὺς τὸν βίον ἐκείνοις παραπλησίους λέγει, τούς τε δημεύσεις ὑπομεμενηκότας καὶ τοὺς ἔτι προσταλαιπωροῦντας [πρὸς ταλ.] ἐν ποικίλαις βασάνοις, καὶ ὄρεσι δὲ καὶ σπηλαίοις καὶ ταῖς τῆς γῆς ὀπαῖς ἐνδιαιτωμένους ὧν ὡς ἀληθῶς οὐκ ἦν ἄξιος ὁ κόσμος[2].

58,290,29-30. Ἢ τῆς ἑαυτῶν ὃ δὴ λέγεται. Τοὺς φυγάδας αἰνίττεται καὶ τῶν οἰκείων διαζευχθέντας. Τὰ δὲ *ὃ δὴ λέγεται* διὰ τοὺς οἰκείους πρόσκειται τῆς *μικρᾶς* καὶ σωματικῆς *οἰκειότητος*· ἡ γὰρ ἀληθὴς οἰκειότης καὶ μεγίστη, ἡ τῆς ἄνω πατρίδος καὶ συγγενείας ἐστί. *Κακίας δὲ ὕλην* τὸν πλοῦτον εἶπεν.

58,290,36. Ἑτέραν δὲ μοῖραν λέγει τούς, ὅσοι Θεὸν ὁμολογοῦντες σκανδαλίζονται ταῖς τοιαύταις οἰκονομίαις, ὑψουμένων τῶν ἀσεβῶν· σκανδαλίζονται δὲ διὰ *πτωχείαν*, ὡς αὐτὸς ἔφη, *ψυχῆς*, ἐμπυριζόμενοι τοῖς λογισμοῖς, εἰρήνην ἁμαρτωλῶν καὶ εὐτυχίαν μὴ

1 Ἰω 14,9. Πρβλ Ἰω. 6,46. 2. Πρβλ. Ἑβρ. 11,38.

φέροντες, δοῦλοι ὄντες τῶν παρόντων, καὶ μόνοις τοῖς τοιούτοις παραδόξοις θαύμασι πρὸς τὴν ἀλήθειαν βεβαιοῦνται.

58,291,13. Εἴθε μοι τοῦ χοροῦ μέρος ἦν κἀκεῖνο τὸ σύστημα. Ἐντεῦθεν δῆλον ὅτι οὔπω ἡ τῶν μοναχῶν ἕνωσις ἐγεγένητο, ἐφ' οἷς ἐρρέθησαν οἱ *Εἰρηνικοί*. ὧν οὐ μέμφεται τὴν πίστιν, ἀκίβδηλον ᾠδὴν τὴν αὐτῶν δόξαν ἀποκαλῶν καὶ οὐκ ἀδόκιμον, οὐκ εὔρυθμον δέ, ἀλλ' ἰδίαν καὶ οὐκ εἰς τὸ αὐτὸ ἐρχομένην.

58,291,20. Ἀλλ' ὁποίαν καὶ τίνα. Κινηθεὶς οὖν ἐντεῦθεν πρὸς λόγον ἀηδῆ τινα καὶ ψόγον, ἐπέσχεν αἰδοῖ τῆς ἐλπίδος, ὡς αὐτός φησι, καὶ τῆς ἑνώσεως.

58,291,25. Μίαν μοῖραν καὶ ἓν ψυχῶν γένος ἀποκηρύττω. Τοὺς ὀλιγοπίστους λέγει καὶ ἐν καιρῷ πειρασμῶν σκανδαλισθέντας καὶ τῇ πλάνῃ καθυπαχθέντας, ὧν καὶ χείρους φησὶν ἐκείνους, οἳ μηδὲ μικρὸν ἀντέβησαν [ἀντεβόησαν] τῷ καιρῷ, οὐδὲ πρὸς ὀλίγον ἀντέστησαν, ἀλλ' ἐκ περιουσίας ἐφάνησαν κακοί.

58,292,9. Τοῦτο γὰρ μεθαρμόζω. Τοῦτο ποῖον; τὸ «εἰς θάλασσαν» ἔρριψεν· οὐδὲ γὰρ εἰς θάλασσαν. Μεθαρμόζω γάρ, ἔφη, καὶ μετατίθημι τοῦτο· ἔρριψε γὰρ τὸν [ἔρριψε τὸν] ἀποστάτην καὶ δεύτερον Φαραὼ ὅποι φίλον τῷ ἀπορρίψαντι ἦν, καὶ ὅπως, φησίν, ἐδικαίωσεν.

58,292,13. Καὶ οἷον διὰ κύκλου τινός. Πῶς διὰ κύκλου τινὸς οἷός [οἷον] τέ ἐστιν εὐθύνειν; **[1085]** οὐδὲ γὰρ ὁ κύκλος εὐθὺς [εὐθὴς] ὑπάρχει, οὐδὲ εὐθύνει· διὸ καὶ τὸ τινὸς [τίνος] πρόσκειται· ὡς οἱονεί πως διὰ κύκλου κινηθέντων τῶν πραγμάτων ἡμῖν, ἐκ τοῦ ἀφ' οὗπερ σημείου τῆς εὐσεβείας καὶ διὰ τῆς ἀσεβείας κυκλικῶς πορευθέντων εἰς τὸ αὐτὸ πάλιν τῆς εὐσεβείας παρεληλύθει σημεῖον· ὁμοῦ μὲν γὰρ σαλευόμενά πως καὶ μὴ σαλευόμενα τὰ ἡμέτερα, καὶ ταῖς τοῦ βίου περιτροπαῖς τε καὶ παλιρροίαις φερόμενα, αὖθις ὡς ἐν ἀκινήτῳ τινὶ τάξει καὶ προνοίᾳ μένει πάγια, τὰ αὐτὰ διὰ τῶν ἐναντίων παραδόξως ὁδεύοντα.

58,292,25. Ὅταν αὐτῶν δυνηθῶμεν παρελθεῖν τάχει ποδῶν τὴν ἀσέβειαν. Παρῴδηκε τὸ προφητικόν· «Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον»[1], καὶ τὰ ἑξῆς μέχρι τοῦ «Παρῆλθε, καὶ ἰδοὺ οὐκ ἦν»[2]· καὶ πότε οὖν ἐστι, φησὶ [οὖν φησί], τοῦτο ἰδεῖν; ἢ δῆλον ὅταν τὴν ἀσέβειαν αὐτῶν τάχει ποδὸς ἀσφαλεῖ, τουτέστιν ἀποφυγῇ, θᾶττον δυνηθείημεν παρελθεῖν.

58,292,32. Λαοῖς οἷς παρέδωκε. Τουτέστι, Πέρσαις. Οὕτω γὰρ μεθηρμόσθη καὶ τοῦτο, ἀντὶ τῶν Αἰθιόπων ληφθέν· ἐκείνοις γὰρ τὸν ὑβριστὴν παραδέδωκε.

58,292,35. Οὐκ ἐπὶ πολὺ μετεωρισθέντα. Ἔτη

1. Ψαλ. 36,35. 2. Ψαλ. 36,36.

γὰρ δύο ἐβασίλευσεν ὁ τρισκατάρατος, ἐπεὶ πέντε ἔτη καῖσαρ ἐγένετο, προβαλλομένου αὐτὸν τοῦ θείου καὶ βασιλέως.

58,292,38. Διαιρόντων κεφαλήν· Παραπέφρασται καὶ τοῦτο ἀπὸ τοῦ ἐν κατάραις ὄφεως εἰρημένου· «Αὐτός σου τηρήσει κεφαλήν, σὺ δὲ τηρήσεις αὐτοῦ πτέρναν»[1]. Λάθρα μὲν γὰρ ὥσπερ ἕρποντες τὴν ἡμῶν ἐτήρουν Ἕλληνες πτέρναν καὶ τὰ ἔσχατα, μὴ οἷοί τε ὄντες κεφαλὴν ἐπαίρειν καὶ παρρησιάζεσθαι κακουργεῖν· ἐκελεύσθησαν γὰρ πατεῖσθαι ὑφ' ἡμῶν, κἂν μικρόν τι καὶ φανερῶς ἔδοξαν κρατεῖν.

58,293,20. Συστενάζει καὶ συνωδίνει. Τὸ ἀποστολικὸν τρανότερον ἐξηγεῖται τίνι συνωδίνει καὶ συστενάζει[2]· ὅτι τοῖς ἀνθρώποις καὶ τῇ φθορᾷ τῶν γιγνομένων καὶ ἀπογιγνομένων· στένει οὖν, φησί, καὶ ὀδυνᾶται διὰ τὸν ἐκ παρακοῆς θάνατον καὶ τὴν φθοράν. Πλὴν ἀποκαραδοκεῖ τὴν τῶν τέκνων τοῦ Θεοῦ ἀποκάλυψιν, εἴτουν ἀνάστασιν καὶ τὴν **[1088]** ἀφθαρσίαν καὶ τὴν ἐλπιζομένην ἐλευθερίαν ἐκδέχεται. Θρηνεῖ μὲν γὰρ καὶ στενάζει ἀπαξιοῦσα φθαρτοῖς δουλεύειν, ἐπ' ἀφθαρσίᾳ κτισθεῖσα· ἐκδέχεται δὲ ὅμως οὐχ ἑκοῦσα, ἀλλὰ διὰ (ἑκοῦσα διὰ) τὸν ὑποτάξαντα ἐπ' ἐλπίδι[3].

58,294,22. Καὶ τοὺς μὲν ὡς ξηρὰ παραπέμπουσα. Τοὺς Ἰσραηλίτας ἐν ἰσθμῷ καὶ ξηρᾷ παραπέμπουσα, τοῖς δέ, τοῖς Αἰγυπτίοις, κατὰ τὴν αὐτῆς φύσιν ἐπεισρέουσα καὶ καταποντοῦσα[4].

58,294,26. Ἄρτος ὑόμενος. Τὸ μάννα λέγει· τοῦτο γὰρ τῇ χρείᾳ σύμμετρον ἑκάστης ἡμέρας ἐδίδου· τὸ γὰρ εἴ τι πρὸς τὴν αὔριον τεθησαύριστο, ἕωλόν τε καὶ ἄχρηστον τῇ ἑξῆς ὑπῆρχεν· ὑπὲρ τὴν χρείαν δὲ καὶ ὑπὲρ ἐκ περισσοῦ τὴν ὀρτυγομήτραν[5] νοητέον· βρέξαι γὰρ εἴρηται ὡσεὶ χνοῦν σάρκας καὶ ὡσεὶ ἄμμον θαλασσῶν πετεινὰ πτερωτά[6], οἷς τὸ ὑπὲρ ἐκ περισσοῦ δεδήλωται καὶ ὑπὲρ τὴν χρείαν.

58,294,31. Τείχη κατασειόμενα ἀριθμῷ δύναμιν ἔχοντι. Τῷ ἑβδόμῳ δηλονότι ἀριθμῷ. Ἑπτὰ γάρ, φησί, ἱερεῖς, μετὰ σαλπίγγων ζ', ἑπτάκις τὰ τείχη (τῷ τείχει) Ἱεριχοῦς περιελθόντες, κατέσεισάν τε καὶ εἰς γῆν καταβεβλήκασιν[7], δυνάμει δηλονότι τοῦ ἀριθμοῦ. Εἴρηται περὶ τοῦ ἀριθμοῦ τούτου ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ πλατύτερον.

[1089] 58,295,10. Τὸ τοῦ προσώπου κακόηθες. Τοῦ Ἰουλιανοῦ λέγει, ἡνίκα τὸ στρατιωτικὸν ἐξωπλίσθη κατὰ τῶν ἐν τέλει. Σημείωσαι ὅτι φόβῳ καινοτομίας διὰ τὸν θάνατον τοῦ μεγάλου Κωνσταντίνου, τὸ στρατιωτικὸν ἐκαινοτόμησε κατὰ τῶν ἐν'

---

1 Γεν 3,15 2 Πρβλ. Ρωμ. 8,19. 3. Ρωμ. 8,20 4 Πρβλ Ἐξ 15,19-20 5 Πρβλ Ἐξ 16,13 6. Πρβλ. Ψαλ. 77,27. 7 Πρβλ. Ἰησ Ν 6,1 ἑξ

τέλει καὶ ἀξιώματι· ἐν οἷς καὶ οὗτος σὺν Γάλλῳ τῷ ἀδελφῷ [μετὰ Γάλλου τοῦ ἀδελφοῦ] ἐνείχετο, ὑπὸ δὲ Κωνσταντίου σέσωστο· καὶ ἔν τινι τῶν βασιλικῶν χωρίων βασιλικῆς μετὰ τοῦ ἀδελφοῦ θεραπείας ἠξιοῦτο διὰ τὰς ἐπαγομένας αἰτίας τρεῖς, καὶ οὔτε τῷ Θεῷ, οὔτε τῷ σώσαντι βασιλεῖ χάριν ἔσχεν, ἀλλ᾽ ἀμφοτέροις ὤφθη κακός, ἀπὸ μὲν τοῦ Θεοῦ [μὲν Θ.] ἀπόστασιν ἐννοῶν, κατὰ δὲ Κωνσταντίου ἐπανάστασιν, στρατὸν ἀπὸ δύσεως κατὰ τοῦ βασιλέως ἀγείρας, εἰ καὶ προφθάσαν τὸ τέλος τοῦ Κωνσταντίου ἔστησε τὴν ἐπιβουλήν.

58,295,27 Ὃ δέ μοι πρὸ τούτων εἰπεῖν ἀναγκαῖον. Τὰ πρότερα τῶν πραγμάτων ἀναχρονίσας (ἀναγνωρίσας) λέγει.

58,296,2. Τῷ μέντοι κλήρῳ φέροντες ἑαυτοὺς κατέλεξαν Σημείωσαι ὅτι καὶ ἀμφοτέρους τοὺς ἀδελφοὺς κλήρῳ κατατετάχθαι φάσκει.

58,296,8 Ὁ μὲν καὶ κατὰ ἀλήθειαν εὐσεβῶν. Τὸν Γάλλον φησὶ γνήσιον εἰς εὐσέβειαν ὑπάρχειν, εἰ καὶ τὴν φύσιν θερμότερον, Ἰουλιανὸν δὲ τὸν καιρὸν ἐξωνούμενον καὶ κρύπτοντα ἐπιεικείας πλάσματι τὴν ἔμφυτον κακοήθειαν

58,296,33 Ὢ ψυχῆς σοφῆς εἰς τὸ κακοποιῆσαι. Σοφοῦ ὄντος αὐτοῦ εἰς τὸ κακοποιῆσαι, τὴν εἰς αὐτὸν βάσανον καὶ κάκωσιν αἰωνίαν οὐκ ἀποπέφευγε, καίπερ τοῦ Θεοῦ τὸ μέλλον διὰ τῶν δρωμένων προκηρύττοντος, ἵνα τὴν ἀσέβειαν ἀνακόψῃ τῇ τῆς προγνώσεως ὑποδείξει.

58,297,8. Ἀλλὰ γινώσκῃ νοούμενος. Ἀλλ᾽ ἵνα, φησίν, Ἰουλιανὸς γινώσκῃ ὑπὸ Θεοῦ μὴ ἀγνοούμενος, ἀλλὰ καταλαμβανόμενος ὑπ᾽ αὐτοῦ μὴ ὑπεραίρηται.

58,298,9 Πλέον ἢ καλῶς. Ἀντὶ τοῦ πλέον τοῦ καλῶς ἔχοντος, ὅπερ ἐστί, κακῶς, καὶ ὑπὲρ τῶν Ἑλλήνων ἰσχυριζόμενος, ὡς τὸν ἥττω λόγον εἰς γυμνασίαν δῆθεν ἀναλαμβανόμενος, δυνάμει δὲ **[1092]** λόγου καὶ σοφίσμασιν, ἀλλ᾽ οὐκ ἀληθείᾳ, ἰσχυρότερον τὸν Ἑλλήνων λόγον ἢ τὸν τῆς εὐσεβείας καὶ τοῦ κρείττονος ἀποδεικνύμενος.

58,298,16. Ἀσία δὲ ἦν αὐτοῦ τῆς ἀσεβείας διδασκαλεῖον, ὅσης γε τῆς ἀσεβείας περὶ ἀστρονομίαν, καὶ τὰ ἑξῆς. Γῇ γὰρ κινήσει τῶν οὐρανίων περιγράφοντες τὰ ἡμέτερα καὶ τὴν κτίσιν θεοποιοῦντες παρὰ τὸν κτίσαντα, ἀσεβείας διδασκαλεῖον εἰκότως ταύτην πεποίηται· οὗτοι γὰρ οἱ ἐν Ἀσίᾳ τηνικαῦτα ἀστρονομίᾳ καὶ γενέσει τὰς προγνώσεις τερατευσάμενοι, τὴν τοιαύτην ἀσέβειαν ἐξεπαίδευον φανταζόμενοι.

58,298,22. Τὴν ἐναντίαν ζητοῦσα μεταβολήν. Τὰς εἰς ἄκρον εὐεξίας σφαλερὰς ἰατρῶν παῖδές φασι· κινουμένων γὰρ πάντων τῶν ἐν γενέσει ἤτοιγε πρὸς τὸ κρεῖττον ἢ καὶ τὸ χεῖρον, ἀνάγκη κινεῖσθαι καὶ μεταβάλλειν τὰ κινητὰ σώματά τε καὶ πράγματα.

ἐξ οὗ καὶ τὸν κόρον φασὶν ὑβρίζειν· ἀποστασίαν γὰρ διδάσκει, κατὰ τό· «ἔφαγεν Ἰακώβ, καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος»[1]. Εἰς ἄκρον οὖν καὶ τῆς χριστιανῶν ἐληλακυίας εὐεξίας, ἐπεὶ μὴ οἷόν τε πλέον ἦν ἰέναι ἐπὶ τὸ κρεῖττον, ἐπὶ τὸ χεῖρον κινηθὲν καὶ ἐναντίον μεταβέβληται.

58,298,27. Πρὸ μὲν συντριβῆς ἡγεῖται ὕβρις. Παροιμιακὸς ὁ λόγος ἀσαφῶς εἰρημένος, ὃν καὶ διασαφῶν, τῇ ὕβρει, ἔφη, ἤτοι τῇ ἐπάρσει, ἐπακολουθεῖ συντριβὴ καὶ ταπείνωσις, ταπεινώσει δὲ εὐεξία. «Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν»[2], τὰ ἐναντία τοῖς ἐναντίοις ἀντεισάγων, τὴν ἔπαρσιν μὲν συντρίβων καὶ ταπεινῶν, τὴν ταπείνωσιν δὲ δοξάζων τε καὶ ὑψῶν.

58,298,35. Μέσην [μέσον] πλημμελείας καὶ διορθώσεως. Πῶς; Ἐπλημμέλησε πρότερον, εἶτα ταπεινωθεὶς διωρθώθη, φυλάξας τὸ λόγιόν σου[3], ὡς ἐκ μὲν τῆς ἁμαρτίας τεχθείσης τῆς ταπεινώσεως, ἐξ ἧς μέσης ἡ ἐπιστροφὴ καὶ διόρθωσις ἠκολούθησεν.

58,299,4. Ὅρον μὲν [ὅρμον μὲν] ἡ βα[1093]σιλεία τῷ Καίσαρι καὶ ὁ βίος λαμβάνει. Γάλλον γὰρ ἀνέδειξεν ὁ βασιλεὺς Κωνστάντιος Ἀντιοχείας καίσαρα, τὸ οἰκεῖον περιθεὶς αὐτῷ [αὐτὸ] τοῦ πρὶν ἀξιώματος ὄνομα. Ἐπεὶ δὲ τυραννίδα μελετήσας καὶ μὴ λαθὼν ἀνῃρέθη, ὅρον εἴληφεν, ἤτοι τέλος καὶ περιορισμόν, ἥ τε ζωὴ αὐτοῦ καὶ ἡ βασιλεία. Ἦν γὰρ ἀνελών, μὴ μηνύσας τῷ βασιλεῖ Κωνσταντίῳ, Μαγνέντιον ὕπαρχον Ἑῴας καὶ Μάγνον κουαίστωρα· ἐφ᾽ ὃ [ἐφ᾽ ᾧ] κινηθεὶς ὁ Κωνστάντιος, μεταστειλάμενος αὐτόν, περὶ νῆσον Φλανωνίαν ἀναιρεθῆναι ἐκέλευσεν. Σιωπᾶν δὲ φησὶ τὰ ἐν μέσῳ, αἰδούμενος αὐτῶν τὸ εὐσεβές, ὡς χριστιανῶν· θρασέως γὰρ ὁ μὲν ἐπανέστη ὁ Γάλλος, ὁ δὲ Κωνστάντιος ἀνεῖλεν. Ἐπεὶ οὖν κατηγορήσαντος τοῦ ἑτέρου, τὸν ἕτερον ἀφεῖναι τῆς αἰτίας ἀνάγκη ἦν, τὸ θράσος ἀμφοῖν, ἐπαφείς, τὰ ἐν μέσῳ σιγᾶν ἔφη.

58,299,40. Καὶ δι᾽ αὐτῶν ὧν ἐγκέκληκα. Ἀπολογεῖται ὑπὲρ Κωνσταντίου, ὅτι, καὶ δι᾽ ὧν ἐγκέκληκα, ἤτοι ἐνεγκληματίσα [ἐνεκλημ.], κατηγόρηκα, ἀπολελόγημαι, φησί, ἱκανῶς ὑπὲρ αὐτοῦ χρηστότητα [χρηστότητος] γὰρ εἰπών, ἐδήλωσα τὴν τῆς κατηγορίας ἄφεσιν· διὰ γὰρ ἀγαθότητα ἔλαθε τὸν θῆρα τοῖς τοῦ Χριστοῦ θρέμμασιν ἐπιστήσας.

58,300,21-22. Ὅς γε καὶ εἴ τι παρελύπησεν. Ἐλύπει γὰρ τοὺς ὀρθοδόξους, προστεθεὶς ἁπλότητι τοῖς Ἀρειανοῖς, ἕλκων καὶ βιαζόμενος πρὸς ἕνωσιν, ὥστε μὴ διεστάναι ταῖς δόξαις,

1. Δευτ. 32,15. 2. Παρμ. 3,34. Α' Πέτρ. 5,5. 3. Πρβλ. Ψαλ. 118,67

ἀλλ' ἓν πάντας χριστιανοὺς εἶναι. Πλὴν δύο, φησί, χρηστότητες οὐ συνῆλθον, ἥν τε πρὸς τὴν εὐσέβειαν καὶ τοὺς χριστιανοὺς εἶχεν καὶ ἣν πρὸς τὸ ἀσεβέστατον χρηστευσάμενος ἐνεδείξατο τοῦ μέλλοντος ἐν ἀγνοίᾳ.

58,300,33. Δυσκίνητον λόγῳ. Ἰσχυρόν, δυσανάσκευον καὶ μὴ δυνάμενον λόγῳ ἀληθείας κινηθῆναι καὶ ἀνατραπῆναι.

58,300,35. Ἠμιλλήθη τῷ ἀναδείξαντι. Τῷ ἀναδείξαντι βασιλέα Κωνσταντίῳ. Πῶς ἠμιλλήθη; καινότερον τρόπον. μὴ γὰρ ἀρετῇ σθένων καὶ εὐσεβείᾳ, ἀσεβείᾳ τε καὶ κακίᾳ ἐφιλονείκησεν ἐκνικᾶν.

58,301,12. Τίς δὲ οὐκ ἐκ τῆς πίστεως; Τίς, φησίν, οὐκ ἂν ἤλπισεν Ἰουλιανὸν ἐν τῆς πίστεως ἧς ἐπιστεύθη παρὰ Κωνσταντίου, γεγενῆσθαι αὐτὸν **[1096]** δικαιότερον καὶ παρὰ τὸ εἰκὸς καὶ τὸ τῆς κακίας [τὸ κακ.] αὐτοῦ ἔμφυτον καὶ δυσμενὲς ἡμερώτερον ἔσεσθαι, λογιζόμενος ὡς ἀμφοτέροις δικαίᾳ κρίσει καὶ βασιλικῇ τοῦ μὲν Γάλλου [μεγάλου] ἐπιτιμηθέντος, Ἰουλιανοῦ δὲ προβληθέντος, ἐκ τῆς ὑπερβαλλούσης τιμῆς τοῦ δευτέρου δικαίαν τοῦ προτέρου τὴν κατάκρισιν, ἣν διὰ τὴν προπέτειαν ὑπομεμενήκει [ὑπομενήκει] κρίνων καὶ συλλογιζόμενος. Καὶ ἄλλως ἐπιχειρεῖ δεικνύναι οὐκ ἀλόγιστον πάντῃ τὴν Ἰουλιανοῦ προβολήν, ὅτι οὐχ ὅσον διὰ πίστιν Ἰουλιανοῦ ἐθάρρει Κωνστάντιος, ὅσον διὰ τὴν ἰδίαν ἰσχύν, θᾶττον καταλύσων αὐτόν, εἴ τι ἐπιχειροίη νεώτερον· ὥσπερ καὶ Πῶρον, τὸν Ἰνδῶν βασιλεύοντα, λαμπρῶς ἠγωνισμένον Ἀλέξανδρος ὁ μέγας καταβαλών, οὐ μόνον ζῆν εἴασεν, ἀλλὰ καὶ βασιλεύειν ἐπέταξεν· ἐπ' αὐτῷ γὰρ ἦν ἰσχύος κράτει βουλομένῳ, εἰ κακὸν λάβοι, χειροῦσθαι πάλιν καὶ δίκας ἀπαιτεῖν.

58,301,27. Ἐνὸν κρατεῖν καὶ ἡττημένον. Πῶς οἷόν τε κρατεῖν ἡττημένον; καὶ ὁ κρατήσων [ὁ κράτης] τίς καὶ τίνα; ὡς τῶν ἀντιλεγόντων νικώντων δῆθεν καὶ φαῦλον Κωνστάντιον πειρωμένων δεικνύναι, ἡττῆσθαι δοκεῖ ὁ τοῦτον ἐπαινῶν· εἶτα λαβὼν τὸν ἥττω λόγον ὁ θεσπέσιος· Οὗτος ἀνήρ, εἰ οὐκ ἀγαθός, ἔφη, ὁ τὴν βασιλείαν Ἰουλιανῷ πεπιστευκώς, ὁ πιστευθεὶς καὶ εἰς τοιαύτην τιμὴν ἀναχθεὶς καὶ κακῶς ἀποδειχθείς, τίς ἂν πρὸς ἐκεῖνον νομισθείη; ποῦ δὲ καὶ τὴν τοιαύτην ἄξιον θεῖναι κακίαν; εἰ γὰρ τὸ μὴ προειδέσθαι τὸν ἐξάγιστον ἐκείνου τρόπον ὑπὸ αἰτίαν ἐστίν, αὐτὴν τὴν πηγὴν [ἐστι τὴν π.] τῆς κακίας ποῦ τάξαι δίκαιον; τὸ δὲ ἀσυλλόγιστον, ἢ ὅλως ἀκατανόητόν ἐστιν, ἢ δυσνόητον καὶ μὴ ῥᾳδίως θηρώμενον, ἢ αὐτὴν τὴν πονηρίαν ἀλόγιστόν τι καὶ ἀνόητον εἶναί φησι, μὴ συλλογιζομένην τὸ ἀγαθὸν καὶ προσῆκον.

58,301,35. Ταῦτα Πλάτωνες [Πλάτωνος], καὶ τὰ ἑξῆς. Οὗτοι τῶν παρ' Ἕλλησι φιλοσόφων οἱ κράτιστοι, καὶ μάλιστα ἐκείνῳ τιμώμενοι, λόγῳ μόνῳ τὴν ἀρετὴν σεμνύνοντες καὶ φιλοσοφοῦντες ἐκδιδάσκοντες τὸ ἀδικεῖσθαι μᾶλλον ἤπερ ἀδικεῖν· γεωμετρίας δὲ

ἰσότητα, τὴν διὰ τῶν γεωμετρικῶν μεθόδων δεικνυμένην ἀδιάψευστον δικαιοσύνην τε καὶ ἀλήθειαν. Γενναίους δὲ διδασκάλους, τοὺς κατ' αὐτὸν ἐκεῖνον γεγονότας, Πορφύριον καὶ Λιβάνιον λέγει τοὺς σοφιστάς.

58,302,1. **[1097]** Οἳ καὶ λόγῳ πλάττουσι πόλεις. Πλάτωνα τούτοις καταπαίζει λόγῳ πλάσαντα πόλεις τὰς ἔργῳ μήτε συστάσας μήτε συστῆναι δυναμένας. Μὴ εἶναι δὲ Πρόνοιαν καὶ Θεὸν οἱ περὶ Πυθαγόραν καὶ Ἀριστοτέλην καὶ Δημόκριτον καὶ Ἐπίκουρον ἐδόξαζον καὶ οἱ κατ' αὐτούς· οὓς καὶ διασύρων, τὴν ἀρετὴν λέγει ἄλλως καὶ ματαίως ὄνομα εὐπρεπὲς εἶναι αὐτοῖς πράγματος χηρεῦον.

58,302,11. Ἢ [Ἤ] γὰρ οὐ συνεῖδέ τις ταῦτα; Ταῦτα, φησίν, ἢ οὐδ' ὅλως τινὲς συνεῖδον οὐδὲ ἐφαντάσθησαν, οὐδὲ ταῖς τῆς ἀληθείας αὐγαῖς τὴν διάνοιαν ἐκαθάρθησαν, ἀλλὰ βαθεῖ σκότῳ καὶ βορβόρῳ πρὸς τὰ κάτω καὶ τὴν αἴσθησιν ἰλυσπώμενοι (ἀπὸ τοῦ ἐν τῇ ἰλύϊ κατασπᾶσθαι), οὐδὲν ὑπὲρ τοὺς ἀκαθάρτους δαίμονας ἔγνωσαν· ἢ εἴ τις μικρὸν κατὰ Σωκράτην καὶ Πλάτωνα καί τινας ἑτέρους ἄγαν εὐαριθμήτους, ὑπὸ τῶν πιθανωτέρων παρεσύρη καὶ ταῖς τῶν πολλῶν δόξαις συναπήχθη, μὴ ἀντισχών· ἡ γὰρ πιθανότης ἐγγίζει πως τῇ ἀληθείᾳ.

58,302,26-27. Χρῆναι φιλοσοφίαν καὶ βασιλείαν εἰς ταὐτὸ συνελθεῖν. Ὁ ἐν Πλάτωνι Σωκράτης τότε τὰς πόλεις παύσεσθαι [παύσασθαι] κακῶν ἔφη, ὅταν φιλοσοφία καὶ βασιλεία συνέλθωσιν. Ἀλλ' ἐκεῖνοι μὲν οὕτω· ὁ δὲ οὐχ ἵνα παύσωνται, ἀλλ' ἵνα πλησθῶσι κακῶν. Ἔσπευσε γὰρ ἐν αὐτῷ ταῦτα συνελθεῖν καὶ ἑαυτὸν ἀνέδησε καὶ τῇ τῆς βασιλείας μεγάλῃ προσηγορίᾳ ἐτίμησε καὶ οὐδὲ τὸν κύριον τῆς βασιλείας διάδημα περιβεβλῆσθαι, ἀλλὰ καὶ διὰ τοῦτο μάλιστα πρὸς αὐτὸν [πρὸς αὐτὸν μάλιστα] ἐκστρατεύει.

58,302,41. Μὴ θαυμαζέτωσαν, καὶ τὰ ἑξῆς. Οἱ μὴ τῶν τοῦ Θεοῦ λόγων τὸ ἀτέκμαρτον ἐπιστάμενοι βάθος, μὴ θαυμαζέτωσαν, φησί· ἀναίτιον γὰρ πάντῃ **[1100]** κακῶν τὸ Θεῖον, τοῦ δὲ προελομένου τὰ τῆς κακίας· διὸ καὶ τῆς μὲν οὐκ ἐπεσχέθη ἀκοντί, οὐ μὴν ἐπήρθη πρὸς τὴν κακίαν ὑπὸ Θεοῦ.

58,303,8-9. Ἐπὶ τὴν ἐκστρατείαν. Ἐκστρατεία παροξυτόνως· συντεθὲν γὰρ ἀναπέμπει.

58,303,11. Ἀλλ' ἀπορρητοτέραν. Προθεσμίαν δηλονότι· παρῆν ὑπὸ δαιμόνων ἀρθεὶς τὸ μέλλον ὑπισχνουμένων ἢ μᾶλλον οὐ κατὰ πρόγνωσιν δαιμονιώδη, ἀλλὰ κατὰ γνῶσιν, θάνατον ἐκ συσκευῆς Κωνσταντίῳ μελετῶν· οὗ καὶ αὐτουργὸς ἦν. κλέψας τινὰ τῶν ἔνδον, διὰ τὴν ἐπιχείρησιν τῆς πονηρίας ἣν ἐμελέτα ποιεῖν. Ὅτι δὲ οὐ διὰ δαιμόνων τοῦτο ἦν, ἔδειξεν ἡ Περσὶς ὅπως εὔστοχοι αὐτῷ

[αὐτοῦ] πρὸς εὐεργεσίαν οἱ δαίμονες, εἰ μήτιγε καὶ αὐτὸ τὸ κακὸν εἶναι Ἰουλιανὸν τούτοις ἀξίως προσθήσομεν.

58,303,19. Μηδ' ὁ ἀφανὴς πόλεμος. Ἐξ ἐπιβουλῆς τούτοις αἰνίττεται τεθνάναι Κωνστάντιον· ἢ [ἦ] γὰρ ἄν, φησί, ὁ ἀλιτήριος ἔγνω δι' ἔργου πληροφορηθείς, καθ' ἑαυτοῦ ταχύνας, καὶ πρὸ τῶν Περσῶν ἐσωφρονίσθη ἂν τὴν μανίαν.

58,303,27-28 Καὶ τὸν σοφώτατον ἔχων ἐν ἄρχουσι. Ὁ γὰρ βασιλεύς, αἰσθόμενος τοῦ ἀλιτηρίου τὴν κατ' αὐτοῦ λύσσαν τε καὶ ἐπανάστασιν, στρατῷ πολλῷ καὶ θυμῷ ζέοντι κατὰ τῆς ἀπονοίας καὶ ἀσεβείας αὐτοῦ, συνέσχεν ἄν, προϋποτεμνόμενος τὰς ἐλπίδας ἐκείνου, εἰ μὴ ἐν ἀκμῇ τῆς ὁδοῦ καταλελύκει τὸν βίον. Τὸ δὲ μεταξὺ ἀναφωνηθέν, Ὢ τῆς ἡμετέρας κακίας! δηλοῖ διὰ τὰς ἁμαρτίας ἡμῶν συμβεβηκέναι πρὸ τῆς ἐκδικήσεως ἡμῶν τὸ τοῦ βίου πέρας Κωνστάντιον δεδέχθαι.

58,303,36 Καὶ τῆς συμπεσούσης ἐπηρείας. Συμπεσούσης εἰπών, ἐπάγει, ἢ παρὰ τοῦ Πονηροῦ, καὶ τὰ ἑξῆς· ἐδόκει γὰρ ἐκ τῆς τοιαύτης φωνῆς τὰς ἐκ ταυτομάτου καὶ τυχηρὰς λέγειν· διὸ εὐκρίνων [λέγειν· διευκρινῶν] καὶ διορθούμενος διέστειλεν, ἢ παρὰ μὲν τοῦ Πονηροῦ κινηθείσας καὶ προσπεσούσας, παρὰ Θεοῦ δὲ συγχωρηθείσας κρίμασιν οἷς μόνος οἶδεν αὐτός.

58,303,41 Οἱ μὲν γὰρ τὰς τελευταίας αὐτῶν πληγάς. Τὰς ἐσχάτας, τὰς μεγάλας καὶ θανασίμους ὀδύρονται καὶ τὰς ἐντεῦθεν βασάνους, ἃς ὑπομείναντες καὶ ἡττηθέντες ἐζημιώθησαν. Ἐμοὶ δέ, φησιν.

58,304,4-6. Ἔπεισι θρηνεῖν μετὰ τῶν ἐντεῦθεν καὶ τῶν ἐκεῖθεν βασάνων ἕνεκα. Καὶ οὔπω, φησί, τὸ μέγιστον λέγω· ποῖον; τὸ ἐξωσθῆναι Θεοῦ, μεῖζον ἁπάντων ὑπάρχον.

58,304,8. Πῶς μὴ δακρύσω; Τὰς διαφορὰς λέγει τῆς ἀπωλείας τῶν δεδιωγμένων, εἶτα συλληφθέντων καὶ ἡττηθέντων, τῶν προσδραμόντων καὶ **[1101]** αὐτομολησάντων εἰς τὴν κακίαν, ὧν ἁπάντων πλέον τὸν συναρπάσαντα βία [βίᾳ] καὶ βιασάμενον θρηνεῖν χρῆναί μέ φησι. Μᾶλλον δὲ τοῖς μὲν οὐδὲν δεινὸν ἐπηρεασθεῖσι τὸ πεπονθέναι (ἐπηρ. καὶ πεπ.] ὑπὲρ Χριστοῦ, τοῖς δέ, παθοῦσι δηλονότι καὶ ἡττηθεῖσι, προοίμιον τὰ πάθη τῶν ἀποκειμένων [ὑποκειμ.] κολάσεων· οἷς καὶ βέλτιον ἦν [οἷς βέλτ. εἶεν], φησί, εἰ καὶ μακρότερον ἐκολάσθησαν· ἐν οἷς δηλοῦται μηδὲ τούτους ἀμισθὶ τὰς πληγὰς ὑποστῆναι· μακρῷ δὲ ὅμως βέλτιον αὐτοῖς ἦν μὴ τοῖς ἐκεῖθεν δικαστηρίοις ταμιευθῆναι.

58,304,16. Ταῦτα μὲν οὖν. Ποῖα; τὸ θρηνεῖν καὶ συμπαθῶς ἔχειν πρὸς τοὺς πεπτωκότας καὶ μὴ ἐπιχαίρειν τοὺς ἑστηκότας ἐπὶ τοῖς πεπτωκόσιν.

58,304,26-27. Καὶ τὸ πρῶτον αὐτοῦ τῶν τολμημάτων. Ποῖον πρῶτον; αἵματι ἀνοσίῳ τὸ τοῦ βαπτίσματος ἀπορρύπτεται καὶ ἀφαγνίζεται λουτρόν· οὕτως τὸ [τὰ] ἑξῆς· τὸ δέ, «Εἰς οἵους ἐμπίπτειν ἀναγκάζομαι λόγους!» ἐπεμβέβληται σχετλιαστικῶς. «Ἀφαγνίζεται [ἀφαγνίζεις] καὶ τὰς χεῖρας» ἀνάγνους ἐργάζεται, τὰς τὴν ἀναίμακτον δεχομένας θυσίαν, δι᾽ ὧν ἡμεῖς τῆς θεότητος καὶ τῶν παθημάτων κοινωνοῦμεν Χριστῷ.

58,304,33. Ἐντόμοις, ἀντὶ τοῦ, σφαγίοις

58,304,35. Ἀλλ᾽ ἐπειδή γε ἐντόμων ἐμνήσθην. Διά τινων ζῴων θυομένων καὶ τῶν σπλάγχνων ἀνατεμνομένων ὑποσημαίνεσθαί τινα ἐλέγετο τούτῳ μαντευομένῳ ἐν ἀδύτοις τισὶ καὶ ζοφώδεσι χωρίοις, ὑπὸ διδασκάλῳ [ὑποδιδ.] τῶν τοιούτων. Καὶ δή φησι,

58,305,4-5. Θυομένῳ τὰ σπλάγχνα σταυρὸν ἀναδείκνυσι στεφανούμενον. Καὶ ὁ μὲν τῶν τοιούτων μύστης καὶ τῆς ἀσεβείας διδάσκαλος παρηρμ[ήνευσεν;] ὡς περιγεγραμμένων ἡμῶν διὰ τοῦ κύκλου, πρὸς τὸν οἰκεῖον σκοπὸν σχεδιάζων τὸ δεικνύμενον· πρὸς ὃ καὶ ὁ μέγας Γρηγόριος οὕτος ταλαντεύεσθαι καὶ ζυγοστατεῖσθαι τὴν γνώμην φησί· πλὴν ἐν ταῖς μεγάλαις καινοτομίαις καινοτομεῖσθαι καὶ συμβαίνειν κατατίθεται πολλὰ τὸν τρόπον τοῦτον καὶ καθαρῶς παραδηλοῦσθαι τὰ θαύματος ἄξια εἰς τὴν τοῦ ἡμετέρου κράτους συναίσθησιν· ὅμως, Εἰ μὲν ψευδῆ, φησίν, αὖραι φέροιεν· εἰ δὲ ἀληθῆ, πάλιν τόδε καὶ τόδε.

58,306,1-2. Ἄνεισι δ᾽ οὖν καὶ τῇ ψυχῇ δαιμονῶν καὶ τοῖς πράγμασι. Ἀπ᾽ ἐκείνης ἐπλήσθη δαιμόνων τῆς ἡμέρας, ἀφ᾽ ἧς καὶ τοιαῦτα προεθυμήθη [προεμηνύθη], καὶ ἐβουλεύσατο τὴν ἀποστασίαν ἀπὸ Θεοῦ.

58,306,5. Ἀλλά γε ἐκδηλότερον καὶ περιφανέστερον. Δαιμόνων τότε ἐπλήσθη, ἐπισημαίνων **[1104]** σαφῶς διὰ τῶν ὀφθαλμῶν οὓς ἐθεράπευε μηδὲν διαφερόντων τῶν ὑλακτούντων.

58,306,9. Εἶδέ τι ἀνδρὸς σοφοῦ τὴν κακίαν. Ἔν τινι τῶν ἀντιγράφων ἴδετε [εἴδετε] ἀντὶ τοῦ εἶδε φέρεται, ὅπερ στηλιτεύοντός ἐστι τὴν κακίαν ἴδιον· ἐνταῦθα δὲ ἄμεινον τὸ εἶδε, πρὸς τὸ εἴτ᾽ οὖν ἐδιδάχθη, τουτέστιν ἀφ᾽ ἑαυτοῦ συνεῖδε, ἀλλ᾽ οὐ παρὰ τῶν εἰς τὴν ἀσέβειαν ἀλειφόντων ἐδιδάχθη. Εὑρήσεις δὲ τὴν λέξιν καὶ ἐν τῷ εἰς *Ἥρωνα τὸν φιλόσοφον* λόγῳ.

58,306,30-31. Καὶ συγκαλύψειν τὴν ἀλήθειαν τοῖς σοφίσμασι. Σοφίσματα οἱ περὶ ταῦτα δεινοὶ καλοῦσι κυρίως τὰ μετὰ κατασκευῆς ἀπατηλὰ ψεύσματα καὶ τοὺς χρωμένους τούτοις, *σοφίζεσθαι* λέγουσι.

58,306,34-35. Ταῦτα παιζέτωσαν παρ᾽ ἐκείνοις

Ἐμπεδοκλεῖς. Οὗτος ἀλαζὼν φιλόσοφος, ὅς, ἵνα θεὸς νομισθῇ, τοῖς Σικελικοῖς κρατῆρσι τοῦ πυρὸς ἑαυτὸν ἐπαφείς, ἠφάνισται, μόνῳ δὲ τῷ σανδάλῳ ἀναβρασθέντι, ἔξω ἐρριμμένῳ, κατεμηνύθη, τὴν ἀλαζονείαν αὐτοῦ στηλιτεύοντι. Οἱ δὲ ἀδύτοις τισὶ καὶ ἐπινοίαις καταχρύψαντες ἑαυτοὺς ποικίλαις, ὑπὸ τῆς αὐτῆς κενοδοξίας ἠλέγχθησαν καὶ καθυβρίσθησαν.

58,307,3-4. Τῆς παρὰ Θεοῦ τιμῆς, μᾶλλον δὲ καὶ ὑπὸ ταύτην. Τῆς δὲ παρὰ Θεοῦ τιμῆς τί ἂν ὑπέρτερον εἴη; Τί οὖν φησι; Τρεῖς τάξεις παραδίδωσιν, ὧν ἕνεκά τις τῶν ἐπαινετῶν τὰ ἔργα ποιεῖ ἢ τῆς παρὰ, Θεοῦ τιμῆς χάριν ἢ δι' αὐτὸ τὸ καλόν, ἀλλ' οὐ διὰ τὴν ὑπὲρ αὐτοῦ τιμήν τε καὶ ἀνταπόδοσιν, ἥτις καὶ πρώτη τάξις τῶν ἐπαινετῶν ἐστι· δευτέρα δὲ, ἡ εἰρημένη πρότερον, τῆς τιμῆς τοῦ Θεοῦ ἕνεκα· τρίτη δέ, ἡ διὰ φόβον κολάσεως φεύγουσα τὴν μοχθηρίαν καὶ πράττουσα τὰ ἐπαινετά.

58,307,33. Τὸν γὰρ Πρωτέα παρίημι. Τοῦτόν φασιν οἱ μῦθοι μεταβάλλεσθαι εἰς ὅπερ ἂν ἐβουλήθη. Ὅμηρος ὑπὸ τοῦ Μενελάου κρατηθέντα ἀκουσίως φησί[α]·

Ἤτοι μὲν πρώτιστα λέων γένε-' ἠυγένειος,
Αὐτὰρ ἔπειτα δράκων, καὶ πάρδαλις, ἠδὲ μέγας σῦς.

Καὶ τὸ μὲν ἠϋγένειος σύμβολον καλλωπισμοῦ, τὸ δὲ δράκων ἡδονῆς, τὸ δὲ τρίτον τῆς μετὰ θυμοῦ ἀγριότητος, τὸ δὲ τέταρτον τῆς μετὰ ἀκαθαρσίας θρασύτητος

58,307,36. Καὶ ἀπολογία τῆς ἀγριότητος ἡ χρηστότης. Τὸ δοκεῖν φιλάνθρωπον, λίαν ἀπάνθρωπον ἦν αὐτῷ [αὐτοῦ]· πείθειν γὰρ ἐπιχειρῶν καὶ θωπεύων, εἶτα [εἶτ'] ἀποτυγχάνων, ἠγριοῦτο, καὶ ἦν αὐτῷ ἀπολογία τῆς ἀγριότητος ἡ χρηστότης, ὡς εἰκότως δοκοίη βιάζεσθαι, ὑπερορωμένης αὐτοῦ τῆς θωπείας, τῆς δῆθεν χρηστότητος.

58,308,7-8. Οὐχ ὡς εὔνους τῷ μεγάλῳ βασιλεῖ. Πρόφασιν, ὡς εὔνους τῷ μεγάλῳ βασιλεῖ Κωνσταντίῳ, τῶν βασιλείων ἐξῆγε Χριστιανούς, τῇ δ' ἀληθείᾳ, τῷ **[1105]** μείζονι βασιλεῖ Χριστῷ· τούτων οὖν τοὺς μὲν παρωσάμενος, τοὺς [τοῦ] δὲ θανάτῳ προεξάγων, φησί, πρότερον.

58,308,27. Τολμᾷ τε ἤδη καὶ κατὰ τοῦ μεγάλου συνθήματος. Τὸν τίμιον σταυρὸν λέγει, ὃς προπομπεύει καὶ προπορεύεται καὶ ἄγει τὸν στρατὸν εἰς ὕψος αἰρόμενος, λυτήριον καμάτων ὑπάρχων, καὶ κατὰ Ῥωμαίους ὀνομαζόμενος. Ἔοικε δὲ τοῦτο σημαίνειν ἡ Λατίνων φωνή, τὸ *σίγνον* ἢ *βάνδον* ἤ τι ἕτερον βασιλεῦον τῶν [βασιλευόντων] λοιπῶν σημείων βασιλικῶν, ὅσα ἑξῆς ἀπαριθμεῖται.

α. Ὀδυσ. δ 456.

58,308,38. Εὐηθέστατε καὶ ἀσεβέστατε. Μετὰ βαρύτητος ἄγαν σφοδρῶς ἀποστρέψας λέγει· οὐ μόνον αὐτὸν ἀπαίδευτον, ἀλλὰ καὶ μωρὸν ἀποκαλῶν δείκνυσι. Παλαιὸν δὲ καὶ νέον τὸ κήρυγμα εἶπε, τὸ μέν, ὅτι καὶ πρὸ αἰώνων καὶ πρὸ καταβολῆς κόσμου ἦν, εἶτα καὶ ὑπὸ [ὑπὲρ] προφητῶν κεκήρυκτο τῆς Παλαιᾶς Διαθήκης, τὸ δέ, ὅτι καὶ ἐν τῇ συντελείᾳ πεφανέρωται τῶν αἰώνων, τὸ μὲν τοῖς ὀλίγοις ταῖς προτέραις γενεαῖς ἐν σκιαγραφίαις καὶ τύποις, πολλοῖς δὲ τοῖς ἐν χάριτι ἐκτυπώτερον. Τὸ δέ, *Ὡς ὑμεῖς τῶν θεῶν ὑμῶν τινα νέον ἀεὶ τερατεύεσθε*, αἰνίττεται τὸν Ἀπόλλωνα, ἐπεὶ καὶ ἀγένειον ἱστοροῦσιν αὐτόν.

58,309,9. Ἣν ὡς Θεὸς ἐποίησεν. Ἣν κληρονομίαν καὶ ἐποίησε [κλῆρον ἐπ.] καὶ ἐκληρονόμησεν· ὡς Θεὸς ἐποίησεν, ὡς ἄνθρωπος ἐκληρονόμησε· σὺ κατὰ τοῦ αἵματος τοῦ Χριστοῦ τοῦ τὸν κόσμον καθήραντος τοῖς σοῖς μιαροῖς ἐκχυθεῖσιν αἵμασι τοῖς δαίμοσιν.

58,309,34-35. Ὁ τὴν Ἡρακλέους σέβων [θαυμάζων] πυράν. Οὗτος [οὐ] χιτῶνα ὑπὸ τοῦ Νέσσου τοῦ γίγαντος καταρρεύσαντος αἵματος κεχρισμένον ἐνδεδυκώς, βέλει βληθέντος ὑπὸ Ἡρακλέους διὰ τὴν βίαν τῆς Δηϊανείρας· ὅστις χιτὼν τῷ τῆς ὕδρας αἵματι πεφάρμακτο· τούτῳ γὰρ φίλτρου χάριν τὸν χιτῶνα φαρμάξασα στέλλει· ὁ δὲ ἐνδύς, ἐν βωμῷ παρέστη θύσων Τῇ τοίνυν θέρμῃ τοῦ πυρὸς τοῦ χιτῶνος ἐξάψαντος, ὁ πολύαθλος οὗτος οὐκ ἔστεξε τὴν πυράν, ἀλλὰ μεγάλα βοῶν καὶ θρηνῶν, νήσας ξύλων πυρκαιάν, καὶ ἐν [πυρκ. ἐν] ταύτῃ περισπειραθείς, ἀπηλλάγη ἀπανθρακωθεὶς [ἀπηνθρ.]· κἀκ τοῦ τοιούτου θεὸς νενόμισται ἀτυχήματος, γεγονὼς καὶ περὶ γυναῖκας ἄδικος καὶ ἀκόλαστος. Τὰς δὲ λοιπὰς τῶν ἱστοριῶν πλατύτερον ἐκτεθειμένας εὑρήσεις ἄλλοθι, καὶ περιεργον λοιπὸν πολλάκις περὶ τῶν αὐτῶν ἀδολεσχεῖν.

58,310,16. Ὁρᾷς τοὺς ἀβίους τούτους. Μέχρι τούτων τοὺς θαυμαζομένους ἐν Ἕλλησι συναριθμησάμενος καὶ τοὺς ἐν Ῥωμαίοις εὐδοκιμηκότας ἐν πολέμοις καὶ στρατηγίαις, Σκηπίωνας καὶ τοὺς κατ' αὐτούς, καὶ τὰ αὐτοῦ Ἰουλιανοῦ αὐχήματα ἐπαγαγών, ἐν τῷ τῷ [ἐν οἷς τῷ στρ.] στρατῷ συμβαδίζειν καὶ σχεδιάζειν [συμβαδίζων καὶ σχεδιάζων] ταῖς τροφαῖς, καὶ τὴν αὐτουργὸν **[1108]** [αὐτουργῇ] στρατηγίαν ἐπισυνάπτει, ἀντιτιθεὶς τοὺς βίους τῶν ἁγίων Πατέρων καὶ ἀσκητῶν, ἀληθῶς τὴν ὑψηλὴν ἐν Χριστῷ φιλοσοφίαν ἠσκηκότων. Καὶ διαγράφει τὰ τῶν Ἑλλήνων, ἐπαίρει δέ, ὡς ἐν τῷ πρώτῳ τῶν *Εἰρηνικῶν*, *ἐπὶ τῇ τῶν μοναχῶν*, ὡς οὐχ οἷόν τέ ἐστι πρὸς τοὺς τοιούτους τῆς φιλοσοφίας κανόνας ἐξικνεῖσθαι τὴν ἑλληνικὴν φλυαρίαν· κἂν ὅτι μάλιστα ἐπαρθείη κομπάζων ἐπὶ τῇ οἰκείᾳ τῶν λογισμῶν ματαιότητι.

58,311,25. Πόσοι ταῦτα καὶ μέχρι τίνος; Καὶ ταῦτα , φησίν, εἰ φιλοσοφίας τινὸς ἐχόμενά ἐστιν, εὐαρίθμητα ὑπάρχει

πρὸς τὰς παρ' ἡμῖν χιλιάδας καὶ μυριάδας καὶ τοιαῦτα πεφιλοσοφηκότας καὶ ὑπὲρ ταῦτα καὶ θαυμασιώτερα καὶ ἐν παντὶ τόπῳ καὶ ἐκ παντὸς γένους καὶ τύχης καὶ ἡλικίας· πρὸς οἷς [οὓς] καὶ τὴν δοκοῦσαν ἀντίθεσιν ἐπιλύων, φησίν, ὅτι κἂν ἄλογος ἡ ἡμετέρα φιλοσοφία δόξῃ, οὐδὲ τοῦτο μέγα, ἐπεὶ τὴν εὐσέβειαν οὐ λόγος ὁρίζει καὶ στόματος σοφία, ἀλλὰ πρᾶξις καὶ καρπὸς θεωρίας, βίῳ λαμπρῷ συλλεγόμενος, ὡς καί τινι, φησί, τῶν παρ' ὑμῖν ἔδοξε, πρᾶξιν λόγου τιμιώτερον εἶναι φιλοσοφήσαντι. Τὸ γὰρ εὔλογον πλεῖον ἐν ἔργοις [ἐν λόγοις] καὶ ἡ ἐν τοῖς πράγμασιν, ἀλλ' οὐχ ἁπλῶς ἐν τοῖς λόγοις, παίδευσίς τε καὶ σοφία.

58,312,14-15 Καὶ πρὸς τὴν χρυσῆν ἐκείνην γενεάν. Ταύτης τῆς λεγομένης χρυσῆς γενεᾶς Λιβάνιος ἐν τῷ εἰς Ἰουλιανὸν μέμνηται λόγῳ, ἐξ Ἡσιόδου λαβών· οὗτος γὰρ ταῖς τοιαύταις ὕλαις παρεικάζει τοὺς βίους τῆς φύσεως τῆς ἀνθρωπίνης, ἐξ ἀρετῆς (ἄρεως] καὶ κακίας διατυπούμενος τοὺς χαρακτῆρας, χρυσῆν καλῶν γενεαν, καὶ ἀργυρᾶν ἑτέραν, καὶ καθεξῆς τινας ὕλας παρατιθεὶς ἄλλας ὑποβεβηκυίας, τῇ διαφορᾷ τῶν ὑλῶν συγκρίνων τοὺς βίους τοῦ ἡμετέρου γένους, τοὺς μὲν ἀπειλικρινῶν τῇ εἰκόνι τῆς λαμπρότητος τοῦ χρυσοῦ, ὡς ἰοῦ καὶ πάσης κακίας ἀνεπιδέκτους, τοὺς δὲ ἄλλως διακρίνων, ἤτοι μέσως πως ἔχοντας ἀρετῆς καὶ κακίας, ἢ μᾶλλον ἢ ἧττον ἢ καὶ ἄκρατον τὸ καλὸν ἢ κακόν, ὡς ἐν ὕλῃ τὸ σαθρὸν καὶ τὸ κοπρῶδες καὶ τὸ ἰόν.

58,312,20-21. Καὶ περιθρυλλεῖσθαι ἡμῶν ἔδει τὰ ὦτα. Ἐπαινῶν γὰρ Λιβάνιος τὴν ἐκείνου ἀρχὴν καὶ φαντασιοκοπῶν [φαντασιοσκοπῶν] καὶ τοὺς χρόνους [τοῦ χρόνου] τῆς βασιλείας Ἰουλιανοῦ γένος χρυσοῦν ἐκάλει, τάδε καὶ τάδε πεποιηκότος ἢ ποιεῖν μέλλοντος, ἅπερ οὐκ ἐγένετο· διὸ καὶ ἀκαριαῖα ταῦτα καὶ φαντασιώδη φησί.

58,312,34. Ὁ μοι δοκεῖ ἄλλον μὲν ἂν ἰδεῖν. Τὸ ποῖον συνιδεῖν, τὸ καὶ μικροῖς καὶ μεγάλοις πλέξαι τὸν διωγμὸν ἐν καιροῖς τῆς τοσαύτης τῶν Χριστιανῶν ἐπιδόσεως, ὡς ἐκ τούτου καὶ πλείστην ὅσην ἄνοιαν στηλιτεύεσθαι ἐν τούτοις αὐτοῦ, πᾶσαν μικροῦ τὴν τῶν Ῥωμαίων διώκειν καὶ καταλύειν ἀρχὴν πειρωμένου, ἐν οἷς καὶ τὸ κοῦφον αὐτοῦ καὶ μειρακιῶ**[1109]**δες δεικνύει, ὅτι τῇ μεταθέσει τῆς κλήσεως τῶν Γαλιλαίων ᾠήθη καὶ τὴν διάθεσιν συνακολουθῆσαι· πλὴν καὶ ἔργῳ δεδήλωται ὅτι μέγιστον εἰς δόξαν ἡ τοῦ Χριστιανοῦ [Χριστιανισμοῦ] κλῆσις καὶ διὰ τοῦτο ἀποστερεῖν ἡμᾶς τούτου ἐμηχανᾶτο ἢ δεδοικώς, καθάπερ οἱ δαίμονες, τὴν προσηγορίαν.

58,313,5. Ἡμεῖς δ' οὐ παρακινήσομεν αὐτοῖς τὰ ὀνόματα. Οὐκ ἔχομεν γάρ, φησίν, εἰς ὅ τι καταγελαστότερον μετατεθεικέναι τὰ ἡμέτερα τῶν ὀνομάτων, τῶν σεμνῶν φαλλῶν ὑμῶν καὶ τῶν ἑξῆς ἐπαγομένων.

58,313,9-10. Δεῖ γὰρ ἢ ἀτυχεῖν παρ' ἐκείνοις. Πῶς ἀτυχεῖν; εἰς πολλὰς ἀκολασταίνειν γυναῖκας ἕνα, τουτέστι τὸν κράτιστον Ἡρακλέα.

58,313,10-11. Ἢ ἐκ πολλῶν γεννᾶσθαι (γίνεσθαι) ἕνα. Τίνα; τὸν Πάνα λέγει, ὅν φασι, πολλοὺς μνηστῆρας τῇ Πηνελόπῃ συνελθόντας, ἕνα τοῦτον γεννηθῆναι τὸν αἴσχιστον, κερασφόρον καὶ τραγοσκελῆ.

58,313,14. Βουθοίναν καὶ Τριέσπερον. Τὸν αὐτὸν λέγει Ἡρακλέα. Οὗτος γὰρ διερχόμενος, ζευγίτην ἀροτριῶντα εὑρὼν καὶ τὸν ἕτερον τούτου θύσας τῶν βοῶν, θοίνην ἑαυτοῦ καὶ βρῶμα πεποίηται· ἐξ οὗ καὶ ὠνόμασται. Ὁ αὐτὸς οὗτος καὶ τὰς Θεστίου ν' θυγατέρας ἐν μιᾷ διέφθειρε νυκτί· καὶ διὰ τριῶν νυκτῶν ἐτέχθη τῇ Ἀλκμήνῃ, καινοτομήσαντος τοῦ μεγάλου Διός, ὥς φασιν, δι' ἀκολασίας ἔρωτα, καὶ τὰς ἡμέρας, καὶ κελεύσαντος [ἡμέρας κελ.] ἡλίῳ ἐπὶ τρισὶ μὴ ἀνατεῖλαι ἡμέραις, ὡς μὴ ἀρκούσης νυκτὸς μιᾶς ἐκπλῆσαι τὸν οὕτω θερμὸν καὶ ἀτειρῆ ἔρωτα.

58,313,22-23. Εἰδωλιανὸν καὶ Πισαῖον. Διὰ τὴν μετωνυμίαν τῶν Γαλιλαίων, ἀντισκώπτοντες [ἀντὶ τοῦ σκώπτοντες] Εἰδωλιανὸν αὐτὸν καὶ Πισαῖον [Πισσαῖον] ἐκάλουν, οἱ μὴ συναπαχθέντες τῇ δεισιδαίμονι πλάνῃ αὐτοῦ, τὸ μὲν ἀπὸ τῶν εἰδώλων, τὸ δὲ ἀπὸ τῆς Πίσης [Πίσσης]· οὕτω γὰρ ἔν τισιν εὕρηται τῶν ἀντιγράφων· ἢ ἀπὸ τῆς πειθοῦς· ὅτι, φασί, καὶ τοῦτο, εἰ καὶ βραχύτερον τῆς βίας, ὅμως παρ' αὐτῷ ἦν. Εἰδωλιανὸν οὖν αὐτὸν ὠνομάκασι καὶ Ἀδωναῖον ἀπὸ Ἀδώνιδος καὶ Καυσίταυρον, ὅτι πολλάκις ταύρους ὡλοκαύτει· ἀλλὰ κἀν τοῖς νομίσμασι ταῦρον ἐνετύπου· διὸ καὶ Ἀντιοχεῖς ἀποσκώπτοντες κατὰ πρόσωπον ἔλεγον· *Τὸ νόμισμά σου ταῦρον ἔχει καὶ τὸν κόσμον ἀνατρέπει*· τροπικῶς, ἀπὸ τοῦ ὑπὸ τῶν ταύρων καὶ τῶν βοῶν ἑλκομένου καὶ τὴν γῆν ἀνατρέποντος ἀρότρου.

58,314,7. Τῇ λεοντῇ τὴν κερδαλῆν ἐγκρύπτων. Παροιμιακῶς εἴρηται ἀπὸ τῆς δορᾶς τοῦ λέοντος καὶ τῆς κερδοῦς, εἴτουν ἀλώπεκος. Εἴληπται ἀπὸ τῶν ζῴων. Λέων, ἰσχυρότατον καὶ βασιλικώτατον τῶν ζῴων, δυνάμει θαρροῦν ἀτρύτῳ, δόλου παντὸς ἐλεύθερον· κερδὼ δέ, ῥώμῃ μὲν ἀσθενὲς [ἀσθενής], δόλῳ δὲ κρατοῦν καὶ ἰσχυροτέρων. Βούλεται δὲ λέγειν ὁ λόγος, ὅτι τῷ τυραννικῷ καὶ βασιλικῷ ἤθει ἔκρυπτεν ὁ Ἀποστάτης τὸ πανοῦργον καὶ δολερόν, ἀλλ' οὐχ, ὡς βασιλεύς, τὰ βασιλεῖ πρέποντα ἐλευθερίως καὶ ἀπανούργως ἐτέλει.

[1112] 58,314,39-40. Ὡς κακοῦ γε τοῦ παντὸς μὴ εἶναι διαμαρτεῖν. Τουτέστιν, ὡς εἶναι μὴ ἀποτυχεῖν τοῦ παντὸς κακοῦ, ἤτοι μὴ προσκυνοῦντας, ὡς βασιλέως κολάζεσθαι ὑβριστὰς ἢ προσκυνοῦντας συμπροσκυνεῖν δοκεῖν καὶ λατρεύειν εἰδώλοις, ὡς τῆς προσκυνήσεως τὸ πᾶν ἐχούσης τῶν κακῶν σεσοφισμένως.

58,315,19-20. Φαρμαχθῆναι καὶ φιλανθρωπίᾳ τινὶ

τὸ ἀπάνθρωπον. Φιλανθρωπίαν καλεῖ τὴν τῆς ἐκτύπου [ἐντύπου] βασιλικῆς δωρεᾶς φιλοτιμίαν· ἀπανθρωπίαν δέ, τὴν διὰ τῆς δοκούσης φιλανθρωπίας εἰσαγομένην ἀσέβειαν, χρήμασι φαρμακευούσης καὶ δελεαζούσης στρατιωτικὴν ἁπλότητα.

58,315,23. Μελάμπους [Μελ. τις], οἶμαι τὶς, ἢ Πρωτεύς. Εἴρηται περὶ Πρωτέως· ὁ δὲ Μελάμπους καὶ αὐτὸς ἐπὶ πανουργίαις διαβέβληται καὶ γοητείαις καὶ μαγγανείαις ἀπατηλαῖς.

58,315,33 Ἑνὸς τεχνάσματος ὤνιος ἦν. Οἷον ἐωνημένος, πεπρα[γ]μένος διὰ μιᾶς μηχανῆς δολερᾶς καὶ πανούργου σκέψεως.

58,316,5 Τῇ ψυχροφόρῳ κύλικι. Μετὰ τὴν πολλὴν κεκραμένην οἰνοποσίαν, τῇ συνήθει [συνηθείᾳ] ἐκέχρηντο ἀκρατοποσίᾳ ψυχροῦ οἴνου· εἶτα εἰς ὄνομα [ὀνόματα] τινες ἀναβλέψαντες Χριστοῦ εὐφήμως ἀνεῖπον [ἂν εἶπον] ἔπειτά τις τῶν συμποταζόντων, *Μετὰ τὴν ἄρνησιν*, ἔφη, *Χριστὸν ἔτι ἐπικαλεῖσθε*; Καὶ τὰ ἑπόμενα σημείωσαι ὡς ἄξια ἐπιστάσεως.

58,316,36 Τὸ Αἰτναῖον πῦρ. Αἴτνη ὄρος ἐστὶ Σικελικόν, ἐν ᾧ χάσμα τι κατὰ κορυφῆς ἐνυπάρχον, βρασμῷ καὶ ἤχῳ πολλῷ πῦρ ἄνω ἀπερεύγεται, πρότερον κατὰ τοὺς κρατῆρας αἰρόμενον, εἶτ' αὖθις κατὰ τῶν ὑποκειμένων φερόμενον φοβερῷ καὶ ἀπίστῳ τινὶ ῥεύματι φθείρει τὰ παρακείμενα. Ὁ δὲ μῦθός φησι, Γιγάντων ἐπαναστάντων τῷ Διΐ, τὸν τούτων τυραννικώτερον καταλαβὼν [καταβαλὼν] καὶ κεραυνῷ βαλων. φησίν, ἐτιμωρήσατο· ἐξ οὗτινος [οὕτινος] τὸ ἀναπεμπόμενον ἆσθμα [ᾆσμα], πυρίπνουν ὄν, λυμαίνεται, τὰ δι' ὧν ῥεῖ πυρπολοῦν καὶ πᾶν καταφλέγον τὸ προσπελάζον καὶ ὑποκείμενον.

58,317,10 Καὶ τοὺς πλήρεις [πλήρης] αἵματος [αἱμάτων] κίονας. Ἐν κίοσι γὰρ τὰς χεῖρας τῶν μὴ πειθαρχούντων ἐξαπλοῦντες κύκλῳ καὶ περιζωννύοντες, τῶν ἁγίων τὰς σάρκας δορκαλίσι κατέξαινον.

58,317 28-31. Παρθένους ἁγνὰς τῆς ἐσθῆτος γυμνώσαντες [γυμνάσαντες], εἶτ' ἀνακείραντες [ἀνακήραντες] καὶ διχάσαντες. **[1113]** Φρικτὸν τοῦτο ὦ, ἀληθῶς καὶ πάσης, οὐκ ἀσεβείας μόνον, ἀλλὰ καὶ θηριωδίας ἐπέκεινα. Ποῖον γὰρ ἂν θηρίον ὁμοφύλων σαρκῶν ἐφήψατο;

58.319,13. Ὡς ἐπαινοίη τὸ σύμβολον. Τί ταύτης τῆς ψυχῆς ἱερώτερόν τε καὶ ὑψηλότερον; κάτω γὰρ ἅπαντα θεὶς τὰ σωματικά τε καὶ γήϊνα καὶ αὐτοῦ τοῦ οἰκείου σωματίου μεθεὶς καὶ ὑπερφρονήσας, ὑψωθείς τε καὶ μετέωρος γεγονὼς καὶ αὐτῆς τῆς οὐρανίας ἀψῖδος ὑπεραρθείς, ἐπεντρυφῶν ὥσπερ τοῖς δεινοῖς, ὡς ταπεινούς, ἐπαγγελῶν [ἐπαγγέλων] καὶ λίαν χαμερπεῖς ἐπετώθαζε τοὺς αἰκίζοντας.

58,319,42-43. Ὑπὲρ οὗ τάχα μόνου δικαίως ἐπα-

σχε. Ποίου; τοῦ, ὅτι τὸν ἐξάγιστον τοῦτον, ἡνίκα τὸ ἐκείνου γένος ἅπαν ἐκινδύνευεν ἀπολωλέναι καὶ αὐτὸς εἷς ἦν τῶν σεσωκότων αὐτὸν καὶ ἀποκρυψάντων. Τὰ μὲν γὰρ ἄλλα, φησίν, ἀδίκως ἔπασχεν, ὅτι δὲ κακὸν τοσοῦτον τῇ οἰκουμένῃ σῴζων ἐλάνθανεν Ἰουλιανόν, διὰ τοῦτο *καὶ πλείω προσπαθεῖν* ἄξιος *ἦν*, φησί.

58,320,13. Ὡς μικρὰν εἶναι τὴν Ἐχέτου καὶ Φαλάριδος ἀπανθρωπίαν. Ἄμφω ἤστην περιβόητοι τὴν ὠμότητα καὶ τὴν ἀπανθρωπίαν· ὧν ὁ μὲν Ἔχετος, Σικελίας τύραννος ἦν, ὅς, ἀκρωτηριάζων τοῦ σώματος τὰ μέλη [τῶν μελῶν] καὶ τὰ αἰδοῖα ἀποτέμνων, οἰκτίστῳ θανάτῳ παρεδίδου· ὁ Φάλαρις δέ, Διονυσίῳ [Διονύσῳ, καὶ κατωτέρω] τῷ τυράννῳ βοῦν χαλκοῦν κατασκευάσας ἐν τούτῳ [ἐν ᾧπερ] ὑποκαιομένῳ ἀνθρώπους εἰσβάλλειν εἰσηγεῖτο τῷ Διονυσίῳ, ὡς ἂν τῇ τούτων οἰμωγῇ φοβερὸν ὑπηχεῖσθαι, ὥσπερ τοῦ βοὸς μυκωμένου· ἐν ᾧ καὶ πρῶτος δικαίως αὐτὸς ἐμβληθεὶς τὴν πεῖραν ἐδίδαξεν.

58,320,17-18. Τίς ἄν μοι δοίη τὴν Ἡροδότου καὶ Θουκυδίδου σχολήν τε καὶ γλῶτταν; Ἱστορικοὶ ἐγενέσθην οὗτοι τῶν παρ Ἕλλησι θαυμαζομένων, τὰς ἑλληνικὰς γράψαντες ἱστορίας. Ἀλλ', ὦ Πάτερ ἡμέτερε καὶ τὴν σοφίαν ὑπέρτερε, οὐδὲν προσδεῖ γλώττης ἡμῖν τῆς ἐκείνων· ἤρκεσε γὰρ οὐδὲν ἧττον, εἰ μὴ καὶ μᾶλλον, ἡ τῆς ὑμετέρας γλώττης βροντή τε καὶ ἀστραπή, ὑπερφωνῆσαι καὶ καταστράψαι καὶ στήλῃ μακρᾷ θριαμβεῦσαι, ἔτι δὲ καὶ καταβαλεῖν καὶ καταφλέξαι κακίαν οὕτω λαμπράν, καὶ ὡς αἰθάλην λικμῆσαι αὐτοῖς εἰδώλοις καὶ μύθοις καὶ τελεταῖς καὶ μαγγανείαις τὸν ἀλιτήριον.

58,320,20. Τὸν Ὀρόντην. Ποταμὸς οὗτός ἐστιν Ἀντιοχείας, ἐν ᾧπερ τοὺς ὑπ' αὐτοῦ ἀναιρουμένους ἐρρίπτει κτείνων ἀδήλως, ὃν καὶ τοῖς νεκροῖς στε**[1116]**νοῦσθαι ἐξ Ὁμήρου[α] λαβὼν εἶπε· τῶν δ' ἀνατεμνομένων παίδων τε καὶ παρθένων καὶ τῶν ὑπὲρ εὐσεβείας κινδυνευόντων φρέασί τε καὶ διώρυξι καὶ τοίχοις καὶ κοίλοις τισὶν ἐναπέκρυπτε τόποις.

58,320,33. Ἐν καιρῷ τῆς εὐτυχίας ἀτυχησάσης. Ἐν τῇ καθ' ἡμᾶς Καισαρείᾳ τῇ μεγάλῃ ταύτῃ ναὸς ἦν καὶ στήλη τῆς Τύχης, ὅνπερ, ἐν καιρῷ τῆς αὐτοῦ βασιλείας καὶ εὐτυχίας, πυρί τις τῶν εἰς εὐσέβειαν θερμοτέρων καταβαλὼν ἀπηθάλωσε· διὸ καὶ ὑπ' αὐτοῦ περιυβρισμένου ἀπελήσαντο, μακραῖς ὑπερορίαις κατακριθέντες.

58,321,11-12. Καὶ τὸν νέον θεὸν ἡμῖν ἀναπλάττοντες. Αὐτὸν λέγει τὸν ἄθεον Εἰδωλιανόν. Οὕτω γὰρ αὐτὸν οἱ τὰ ἐκείνου σέβοντες ἀνέπλαττόν τε καὶ ἀνηγόρευον.

58,321,14-15 Τὴν ὕδραν οὐδείς ποτε εἶπεν

α Ἰλ Φ 219

ἥμερον. Εἶδος ὄφεως ὕδρα πολυκέφαλον, ἧς ὁ Ἡρακλῆς, ὡς ὁ μῦθος, τὰς κεφαλὰς ἀποτέμνων οὐκ ἤρκει, ἀντὶ μιᾶς πλειόνων, ὥς φασι, φυομένων, εἰ μὴ ὁ Ἰόλεως παρών τε καὶ συμμαχῶν ἐνεπίμπρα τὰς τεμνομένας.

58,321,16-17. Παταρικὴν Χίμαιραν. Αὕτη τρεῖς κεφαλὰς καθ' Ὅμηρονβ εἶχε· πρόσθεν [πρόσθε] γάρ, ἔφη, λέων, ὄπισθεν δὲ δράκων, μέση δὲ χίμαιρα· ἣν ὁ Βελλεροφόντης ἀνεῖλεν ἐν Πατάροις τῆς Κιλικίας Τρεῖς καὶ τὸν Κέρβερον τοῦ ᾅδου κύνα φασὶ κεφαλὰς ὁμοίως ἔχειν. Ἄιδος δὲ κυνέην, μέλαιναν περικεφαλαίαν φασί· κυνέη δὲ ἡ ἀπὸ κυνὸς δέρματος κατεσκευασμένη. Περὶ τῶν ἄλλων ἱστοριῶν εἴρηται πολλάκις.

58,322,1. Αἱ μὲν δὴ φρίσσουσιν. Ἐγηγερμέναι εἰσίν.

58,322,1. Αἱ δὲ ἐπιφρίσσουσιν. Ἐπὶ ταῖς ἤδη ἐγερθείσαις ἐπεγείρονται· αἱ δὲ τέως μὲν ἠρεμοῦσι, τοῦ ὁλκοῦ μήπω ὅλου τοῦ δράκοντος κινηθέντος

58,322,3-4. Ὥσπερ κεραυνῷ (καὶ κεραυνοῦ]. Τὰ μέν, φησί, κατέχεται, τὰ δὲ προμελαίνεται· τῆς γὰρ ξηρᾶς ἀναθυμιάσεως παχυνθείσης, κἂν τόποις [τόπῳ] συναθροισθείσης καὶ ἐπί τι κατασχεθείσης, μελαίνεται μὲν πρότερον, εἶτα πνευματωθεῖσα κινεῖται καὶ ῥηγνυμένη ἐξάπτεται καὶ κάτω ἀστράπτουσα φέρεται, ὃ καὶ σκηπτὸς καλεῖται.

58,322,10. Ἃ γὰρ μήτε Διοκλητιανός. Οὗτος πρῶτος Χριστιανοῖς ἐνύβρισεν, εἶτα Μαξιμῖνος μετ' ἐκεῖνον καὶ ὑπὲρ ἐκεῖνον, ἔπειτα Μάξιμος ὑπερβαλλόντως, ὅς, φησί, καὶ ὑπὸ Θεοῦ πληγείς, ἐλωβώθη τὸ σῶμα, οὗτινος [οὕτινος] καὶ αἱ εἰκόνες στηλιτεύουσι τὴν λώβην

58,322,33. Καὶ ὁ λόγος ὡς πάνσοφος τοῦ φονευτοῦ [λόγ. ὁ περίσοφος τοῦ φονητοῦ] **[1117]** καὶ ἀποστάτου [προστάτου]. Ἐπειδὴ γὰρ τύπτων καὶ παντοίως αἰκιζόμενος καὶ μιαιφονῶν καὶ τῶν χρημάτων ἀπεστέρει, μὴ ἐξεῖναι δίκας ὑπὲρ τούτων λαμβάνειν Χριστιανοῖς ἐνομοθέτει, ἐκ τῶν ἡμετέρων νόμων δῆθεν καταδικάζων ἡμᾶς μήτε ἀμύνεσθαι, μήτε δικάζεσθαι τυραννουμένους. μήτε μὴν τὰ ἡμέτερα ἀπαιτεῖν ἀπὸ τῶν αἰρόντων, μήτε τι ὅλως κεκτῆσθαι καὶ τὰ λοιπὰ τῶν θείων ἐντολῶν προσετίθει· ταὐτά φησιν ἀκριβῶς προσωμιληκέναι ὁ Πατήρ, ἐκεῖνο δὲ οὐκ ἀνεγνωκέναι, ὅτι κακὸς κακῶς ἀπολεῖται[1] ὁ τὸ Θεῖον ἐξαρνησάμενος, ὡς αὐτὸς [ἐξαρν. αὐτ.]. Ὥσπερ οὖν ἡμᾶς τοιούτους εἶναι νομοθετεῖ [νουθετεῖ] καὶ πρὸς τὸ ἀκρότατον τῆς ἀρετῆς ἐπείγει· τοιαῦτα γὰρ τὰ ἡμέτερα τῆς ἄκρας φιλοσοφίας τοῦ Κυρίου ἐντάλματα· οὕτω δείκνυσιν ἑαυτὸν τῇ παραθέσει κάκιστον· ἅμα δὲ καὶ [δείκν. ἑ. τ. π. κάκ. ἑαυτόν· ἅμα

1. Πρβλ. Ματθ 21,41
β. Ἰλ. Ξ 181.

καὶ] τοῖς ἑαυτοῦ ἐγκαλῶν θεοῖς, τὸ κακίστοις [κακίστην] εἶναι ἀποκέκριται· ἐν τούτοις γὰρ ἡμῖν μὲν ἡ κρείττων μοῖρα, ἐκείνοις δὲ ἡ [δ' ἡ] χείρων. Εἰ δή περ καὶ αὐτοὶ [αὐτὰ] μεταποιοῦνται, εἰ καὶ μὴ τοῖς ἔργοις, ἀλλ' οὖν καλοκαγαθίας καὶ ἡμερότητος καὶ ποῦ δίκαιον ἡμᾶς μὲν καὶ πάσχοντας καρτερεῖν λέγειν καὶ μηδ' ἀντιλέγειν, αὐτοὺς δὲ μηδὲ φειδομένων φείδεσθαι; οὐκ αἰσθανόμενος ὁ ἀνόσιος, ὅτι τῆς ἡμετέρας νομοθεσίας τὰ μὲν ἀνάγκην ἔχει τηρεῖσθαι, καὶ κίνδυνος τοῖς μὴ φυλάσσουσι ἕπεται, τὰ δ' αἵρεσιν ἀλλ' οὐκ ἀνάγκην, καὶ φυλάσσουσι μὲν τιμὴν καὶ ἀντίδοσιν, μὴ φυλάσσουσι [φυλάσσειν] δὲ οὐδ' ὁντινοῦν [ὄντινες οὖν] κίνδυνον. Καὶ τὰ τούτων παραδείγματα δηλοῖ.

58,324,18. Ὁ πρῶτον μετὰ τὸν πρῶτον ἠσπασάμην. Ὁ πρῶτον· τὸ τῶν λόγων δηλονότι κράτος, φησίν, ἠσπασάμην· μετὰ γὰρ τὸ πρῶτον καὶ τὸ θεῖον (ὃ καὶ ἐπιφέρων διασαφεῖ, τὰ θεῖα λέγων καὶ τῶν νοητῶν τὰς ἐλπίδας)· μετὰ γὰρ τὰ πρῶτα ταῦτα, τὸν Θεὸν καὶ τὰ θεῖα, πρότερον τῶν λοιπῶν ἁπάντων τὸ κράτος, φησίν, ἠσπασάμην τῶν λόγων.

58,324,40. Οἷς τὸ «Αὐτὸς ἔφα» τὸ πρῶτον καὶ μέγιστόν ἐστι τῶν δογμάτων. Τοῖς Πυθαγορείοις. Μετὰ τὴν πρώτην τῆς φιλοσοφίας σιωπήν, ἣ μέτρον λόγων ἐδίδασκε, νόμος ἦν αὐτοῖς, ὅ τι ἂν τῶν δογμάτων ἐρωτωμένοις, εἰς ἀπόδειξιν τό, Αὐτὸς ἔφα· μόνον ἤρκει ὅτι φάναι Πυθαγόρᾳ τοῦτ' εἴη δεδογμένον· ὅπερ δύναται ἐν ἄλλοις ῥήμασιν ἴσον τοῦ *Πίστευσον* ἡμετέρου. Βούλεται δὲ ὁ λόγος μὴ ἐξεῖναι διαπιστεῖν τοῖς ὑπὸ προφητῶν καὶ ἀποστόλων καὶ ἀξιολόγων προσώπων εἰρημένοις. Ἐν ἄλλοις, *μὴ ἐπεξιέναι διὰ πίστιν*, γράφεται, ἀντὶ τοῦ, μὴ περιεργάζεσθαι καὶ πολυπραγμονεῖν. Χρυσῶν δὲ ἐπῶν λέγει, ὧν Πυθαγόρας συνεγράψατο, ἤ τινες ἄλ**[1120]**λοι τῶν Πυθαγορείων ἐν ἑξαμέτρῳ τόνῳ, εἴτουν ἡρωικῷ μέτρῳ, ἅπερ καὶ μολιβᾶ καταπαίζων εἰρήκει ὁ μέγας διδάσκαλος οὗτος καὶ χρυσῶν ἐπῶν ὡς ἀληθῶς ἀρχιτέκτων.

58,325,11-12. Εἰ δὲ καὶ σούς, πῶς τούτων ἡμῖν οὐ μετόν; Εἰ δείξεις σοὺς δηλονότι τοὺς λόγους [ἔδειξέ σου δηλ. τοῦ λόγου], πῶς οὐ μέτεστι τούτων καὶ ἡμῖν; τὸ γὰρ *μετὸν* μέτεστι σημαίνει, ὡς τὸ *ἐξὸν* ἔξεστι. Πῶς οὖν σὺ δείξεις; ἀντὶ τοῦ, Οὐ δείξεις τοὺς λόγους σούς. Ἀλλὰ τίνος εἶσι τοῦ ἑλληνίζειν, ὦ περὶ τὰς ὁμωνυμίας ἔχων σὺ τὴν ἀκριβῆ ἐπιστήμην καὶ τὰ ὑπ' αὐτῶν δηλούμενα. Ἢ γὰρ μιᾷ προσηγορίᾳ καὶ ὁμωνυμίᾳ διάφορα σημαίνεται [ἡ γ. μία προσηγορία κ. ὁμ. διάφ. σ.], οἷον, κύων· ἢ διαφόροις προσηγορίαις ἕν, οἷον, ἄορ, ξίφος, μάχαιρα· ἢ ἑτέραις ἕτερα ἑτερωνύμως δηλονότι· ἀνάγκη γὰρ ἢ τῆς θρησκείας ταῦτα εἶναι ἢ τοῦ ἐθνικοῦ [ἔθνους]· καὶ εἰ τῆς θρησκείας, οὐ παρὰ πᾶσι τὰ αὐτὰ [αὐτοῦ] τῶν θυσιῶν τελεῖται, ὡς ὁμώνυμον εἶναι πᾶσι τοῖς θρησκεύουσι τὸ ἑλληνίζειν. Οὕτως ἑνὶ τῷ ἑλληνίζειν πάντα κατηγορεῖται τῆς θρησκείας τὰ εἴδη,

ὡς τοῖς ἱεροφάνταις δοκεῖ, τοῖς τὰ μυστήρια τῶν τελετῶν τοῖς μυουμένοις ἐκφαίνουσιν· ἄλλοι γὰρ ἄλλως τὰς τιμὰς τοῖς δαίμοσι προσφέρουσι καὶ τὰ ἑξῆς ὅσα ὁ θεσπέσιος ἐπάγει. Καὶ διὰ τοῦτ' ἂν ἐξούλεις καὶ ταύτης ἔξω γραφείημεν τῆς κατηγορίας.

58,325,19-20. Ἔ σ τ ι ν ἃ κ α ὶ ο ἷ ς τ ῶ ν δ α ι μ ό ν ω ν. Συνυπακούεται τὸ θύειν τάδε καὶ τάδε· οὐδὲ γὰρ πᾶσι δαίμοσι τὰ αὐτὰ ἐθύετο, ἀλλὰ τοῖς μὲν βόες, πρόβατα, χοῖροι, τοῖς δὲ ἄλλα καὶ ἄλλα. Οἷς, φησί, τῶν δαιμόνων· οὔτε γὰρ πᾶσι τὰ αὐτά, οὔτε ἑνὶ τὰ πάντα, οὐδὲ μὴν ὁμοίως, ἀλλ' ἑτεροτρόπως οὐ τοίνυν ἔγκριτον τὸ ἑλληνίζειν, καὶ κεχωρισμένως [κεχωρισμένον] ἠφώριστό τινι τῶν εἰδώλων εἰς τιμήν· οὐδὲ γὰρ εἰ τοὺς αὐτοὺς συμβέβηκε καὶ τὴν γλῶτταν ἑλληνίζειν καὶ τῆς θρησκείας τῆς αὐτῆς εἶναι, παρὰ τοῦτο καὶ τῆς θρησκείας εἶεν οἱ λόγοι καὶ τὸ ἑλληνίζειν· ὡς καὶ διὰ ταῦτα ἐξούλης [ἐξ ὕλης] τῶν λόγων γράφειν [γραφὴν] ἔξοιμεν.

58,325,39. Ο ὐ γ ὰ ρ ε ἰ π ε ρ ὶ [γὰρ εἶπεν] τ α ὐ τ ὸ ν ἄ μ φ ω, κ α ὶ ἀ λ λ ή λ ο ι ς ἄ μ φ ω τ α ῦ τ α. Δύο τινὰ ὀνόματα καθ' ἑνὸς ὑποκειμένου κατηγορεῖται, οἷον χρυσοχόος καὶ ζωγράφος, εἰ τύχοι, κατὰ Πέτρου, ἀλλ' οὐκέτι καὶ τὸ χρυσοχοεῖν ζωγραφεῖν ἐστιν **[1121]** [χρ. καὶ ζωγρ. ἐξόν], ἢ τὸ ἀνάπαλιν· ἀσυλλόγιστα γὰρ τὰ τοιαῦτα. Καὶ πῶς οἷόν τέ ἐστιν; Εἰ τὸν ἑλληνίζοντα οὕτω καὶ οὕτω θρησκεύειν (ἑλλ. οὕτω καὶ θρ.] συμβέβηκεν, ἤδη καὶ τοὺς οὕτω θρησκεύοντας μόνους Ἕλληνας εἴποιμεν.

58,326,4. Τ ὸ μ ὲ ν σ μ ε ρ δ α λ έ ο ν. Τοῦτο τὸ καταπληκτικὸν σημαίνει· τὸ δ ὲ κ ο ν α β ί ζ ε ι ν, ἠχεῖν ἢ κτυπεῖν. Τὸ *μῶν*, τὸ μὴ οὖν. Τὸ *δήπουθεν*, συνδεσμικὸν ἐπίρρημα βεβαιώσεως, τὸ *ἄττα* ψιλούμενον τὸ τινά, δασυνόμενον δὲ τὸ ἅτινα δηλοῖ. Τὸ δὲ *ἀμωσγέπως*, τὸ μερικὸν καὶ ἀπό τινος μέρους. Φησὶν οὖν μὴ ταῦτα μόνα εἶναι· καὶ τὸ κομπηρὸν τῆς φράσεως, ἀλλὰ καὶ τὸ πεζόν, καὶ εὐτελὲς τῆς ἀνὰ χεῖρα ὁμιλίας ἑλληνικῆς ἐστι διαλέκτου· καὶ μάτην, φησί, ληρεῖς, τῶν μὲν ἀπείργων ἡμᾶς, τῶν δὲ τὴν χρῆσιν ὑπερορῶν ὑβριζομένην παρ' ἡμῶν, ὡς οὐχ ἑλληνικῆς ὑπαρχούσης. Τῆς ματαιότητος! Τῆς παρακοπῆς τῶν φρενῶν!

58,326,13. Ε ἰ μ ὲ ν κ α ὶ θ ε ῖ α ί ε ἰ σ ι [θ. φησίν, εἰσὶ] φ ω ν α ί. Εἰ γὰρ εἰσι θεῖαι φωναί, ἤτοι Θεοῦ ἢ καὶ ἀγγέλων, οἳ διὰ γυμνῶν τῶν ἐννοιῶν καὶ τυπωμάτων συγγίνονται ἀλλήλοις, εἴποιεν ἄλλοι, φησίν· ὡς καὶ ἐκεῖναι τούτων ὑπάρχουσαι γυμναί, πολὺ τὸ τίμιον ἔχουσι. Τὸ δὲ τῶν σῶν μῶλυ θεῶν, καὶ τὸν Ξάνθον καὶ τὴν χαλκίδα, καταγελῶ, φησί, τῆς εἰκαιομυθίας τῆς ποιητικῆς [τῆς ποιητ εἰκ.], ἢ καὶ ταῦτα ἐκαινοτόμησεν εἰς κατάπληξιν μειρακιώδη. Τούτων δὲ ἐστι τὸ μέν, εἶδος ὀρνέου, ἡ χαλκίς· τὸ δέ, ποταμός, ὁ Ξάνθος· ῥιζίον [ῥίζιον] δὲ βοτάνης τὸ μῶλυ, ἃ [ὥς] φησιν Ὅμηρος[α] ὑπὸ μὲν ἀνθρώπων ἑτέρως ὑπὸ δὲ τῶν θεῶν οὕτως ὠνομάσθαι.

α. Ὀδυσ. ι 305, Ἰλ. ΙΔ 291. Ἰλ. Κ 74.

58,326,28. Σὸν τὸ ἑλληνίζειν; εἰπέ μοι, καὶ τὰ ἑπόμενα. Τούτοις βάλλει τὸν ἀλιτήριον καὶ τῇ πυκνότητι τῶν ἐπιχειρημάτων καὶ παραδειγμάτων ἐλέγχει, καὶ τῆς ἀνοίας καὶ κακοηθείας στηλιτεύει τὸ ὑπερβάλλον καὶ αὐτῆς ἀπογυμνοῖ τῆς ἀλουργίδος, ὡς μηδὲν αὐτῷ διαφερούσης, κατὰ τὴν τῶν θεσπισμάτων αὐτοῦ λύσσαν. Πένθιμον δὲ τοῖς κακοῖς ῥάκος καὶ ὑπερήφανον εἶπε ταύτην, ὅτι ἐν κακοῖς καὶ συμφοραῖς πενθοῦντες μελανειμονοῦσιν ἄνθρωποι· τοιοῦτον δὲ καὶ τὸ τῆς πορφύρας ἄνθος καὶ χρῶμα· τὸ ὑπερήφανον δηλοῖ καὶ Ὅμηρος τὸν δι' αἵματος πορφύρεον φρασας θάνατον.

58,327,37. Εἰ δὲ ταῦτά σοι κακουργίας εἶναι δοκεῖ [κακ. οἶμαι δοκ.] τὸ λεῖον ἠμφιεσμένης [ἠμφιεσμένος]. Ταῦτα πρὸς τὸν ἀκροατὴν ἀποστρέψας λέγει. Κερδαλεώτερα δέ, τὰ πανουργότερα, ὡς ἂν εἴποι τις, καὶ δολερώτερα [εἴρηται ἀπὸ τῆς ἀλώπεκος, κερδοῦς οὕτω πως κεκλημένης}· ὡς καὶ τὰ ὑποκείμενα δολίως βεβου[1124]λευμένου τοῦ Ἀποστάτου καὶ νικᾶν [Ἀποστ. νικ.] ἡμᾶς κἂν τούτοις παντοίως μηχανωμένου καὶ τὰ θαυμαζόμενα παρ' ἡμῖν ἔν τε θείοις δόγμασί τε καὶ θαύμασι καὶ ταῖς λοιπαῖς σεμνοπρεπείαις καὶ παραδόσεσι καὶ πολιτείαις. Ἔσπευδε γὰρ μηδὲ ταῦτα ἀκακούργητα μένειν ἐάν, εἰ μὴ προφθάσασα ἡ δίκη κατέλυσε τὸν ἀνόσιον αὐταῖς βουλαῖς καὶ δολιότησιν ἐν Περσίδι. Ἐδείχθη γὰρ ἄν φησι τίνα μὲν ἀνθρώπων ὑπὲρ τὰ ἐσκαμμένα ἐπαιρομένων τῆς ἀρετῆς ἅλματα, τίνα δὲ πιθήκων μιμήματα.

58,329,1. Ἵν' ὅ φησι Πλάτων. Τί φησι καὶ περὶ τίνος; Περὶ τῆς ἐν λόγοις αὐτῷ πλασθείσης [πλ. αὐτῷ] καὶ σκιαγραφηθείσης πόλεως· τί οὖν φησι; Ἵνα ἴδωμεν κινουμένην ἐν ἔργοις αὐτοῖς καὶ τὴν τούτων τῆς κακίας ἐπίνοιαν· ἀλλ' ὥσπερ οὐχ ἡ Πλατωνική, οὐδὲ τούτου εὖ ποιοῦσα τοῖς πράγμασι δέδεικται πώποτε. Πλὴν ὁ θεσπέσιος οὗτος ἀνὴρ θεωρεῖ τε καὶ ἀντεξετάζει τῶν ἡμετέρων τὰ τῆς φιλοσοφίας δόγματά τε καὶ σκάμματα τοῖς πράγμασιν ἑστῶτα καὶ μέχρι καὶ τήμερον φαινόμενα καὶ φθεγγόμενα, τῶν δὲ τὴν ἀνυπόστατον ἐξελέγχει καὶ ἀνόητον φλυαρίαν, τὴν μήτε γεγενημένην, μήτε οὖν κἂν ἐν σκιαῖς [σκηναῖς] καὶ κενολογίαις παραβεβλῆσθαι δεδυνημένην, πολὺ ἔχουσαν τὸ αἰσχρὸν μετὰ τῆς ἀσεβείας καὶ μετὰ τοῦ ἀσθενοῦς τὸ γελοῖον καί γε τῶν ἠθῶν τὸ λίαν ἀνάγωγον καὶ κατεφθαρμένον.

58,329,35. Καλὸν προσᾴδεσθαι τὴν Ἡσιόδου Θεογονίαν. Μετὰ τὰ *Ἔργα καὶ ἡμέρας* καὶ τὴν λεγομένην *Ἀσπίδα*, ποιημάτιόν τί ἐστι καὶ ἡ μνημονευομένη αὐτὴ *Θεογονία*, θεῶν γένεσιν καὶ ὀνομάτων κλήσεις καταλεγομένη, ἐν οἷς τῶν μυθευομένων θεῶν πᾶσα ἡ θεολογία καὶ τὰ πρακτικὰ καὶ ἠθικὰ φέρεται· καὶ ἐν ταῖς Ὁμήρου ῥαψῳδίαις ὁμοίως· ἃ καὶ παισὶ καὶ τοῖς ἄρτι παιδείας γευομένοις [γευομ. παιδ.] δῆλα. Τούτοις οὖν παρατε-

θεικῶς ὁ ἡμέτερος οὗτος Θεολόγος, οὐ μόνον τὸ θεωρητικὸν ἡμῶν καὶ θεολογικὸν τῆς φιλοσοφίας, ἀλλὰ καὶ τὸ πρακτικόν τε καὶ ἠθικόν, ἐλέγξας, κατὰ σύγκρισιν, τὴν ἑλληνικὴν ἅπασαν ματαιότητα, ἔδειξεν οὐδ' ἐγγὺς τῶν ἡμετέρων, πολλοῦ γε καὶ δεῖ, τὰ τῶν Ἑλλήνων φαντάσματα *Καίτοι γε*, φάσκων, *πῶς ταῦτα τῶν ἡμετέρων ἐγγύς, οἷς ὅρος μὲν φιλίας*, καὶ τὰ ἑξῆς, ὅσα, ὡς ἐν συνόψει, μέχρι τέλους καταλέγων, ἀσύγκριτα δείκνυσι τὰ ἡμέτερα καὶ παντὸς αὐτῶν λόγου κρείττω

ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΙΟΥΛΙΑΝΟΥ ΣΤΗΛΙΤΕΥΤΙΚΟΝ ΔΕΥΤΕΡΟΝ

[1125] 58,335,3 Οὗτος μὲν δὴ τῶν ἐμῶν λόγων ὁ πρῶτος ἄεθλος ἐκτετέλεσται. Εἴληπται τὸ προοίμιον ἐξ Ὁμήρου τῆς *Ὀδυσσείας*. Ὀδυσσεὺς γὰρ ὁ τοῦ Λαέρτου, μετὰ τὴν ἐπὶ Ἴλιον στρατείαν, ὑποστρέφων οἴκαδε, κινδύνοις πλείστοις τε ἄλλοις ὡμιληκώς, τέλος καὶ ναυαγίῳ τήν τε ναῦν καὶ τὰ ὑπάρχοντα ἀπολωλεκώς, εἰς τὸν οἶκον πτωχεύων καὶ μὴ γνωριζόμενος ἧκε, μνηστῆρας τῆς γυναικὸς οὐκ ὀλίγους καταλαβὼν τὰ ἑαυτοῦ κατεσθίοντας· οὐ μόνον δέ, ἀλλὰ καὶ αὐτὸν ὡς πτωχὸν ἐπικερτομοῦντας καὶ ἐνυβρίζοντας εἶχον. Ἐπεὶ δὲ Πηνελόπη[a] τόξον τε καὶ πελέκεις προβεβλημένη, ἐν οἷς ποτὲ Ὀδυσσεὺς τὴν ἑκηβόλον ἀσκούμενος τέχνην, τὰ βέλη πρὸς τὸν σκοπὸν ἠφίει, προφάσεσι πλανῶσα τὸν νοῦν αὐτῶν καὶ ταῖς ἐλπίσιν ἐπαίρουσα, ἄνωθεν ἔφη κοσμίως ἐπιφανεῖσα, ὡς «εἴ τις ὑμῶν τουτὶ τὸ τόξον ἐντείνειε καὶ διὰ τῆς τῶν πελέκεων ὀπῆς τὸ βέλος ἰθύνειε, τούτῳ εἰς γάμον ἐφέψομαι συναφθεῖσα». Οἱ δὲ μετὰ τὴν πεῖραν ἀπεῖπον ἡττονηκότες. Εἶτα Ὀδυσσεὺς τοῦτο, καίτοι [λαίπερ] πολλῶν ἀπειργόντων, λαμβάνει [λαμβάνοι] καὶ τείνει θᾶττον καὶ βάλλει καὶ τοῦ σκοποῦ μάλα τυγχάνει· ἔπειτα τουτὶ τὸ ἔπος εἰπών, κατὰ τοῦ πρώτου τῶν μνηστήρων Ἀντινόου, ἀνδρὸς τυραννικωτάτου καὶ βιαίου, εὐθύνας βάλλει καὶ καταβάλλει· οὕτω δὲ καὶ τοὺς ὑβριστὰς ἐφεξῆς ἐπεξέρχεται τῶν μνηστήρων καὶ τὴν γυναῖκα καὶ τὸν οἶκον ἐλευθερώσας ἀπειλήφει. Τοῦτο δὴ τὸ ἔπος κατακολλῶν ὁ μέγας Γρηγόριος, ἔστι δ' οἷς καὶ παρῳδῶν, προσφόρως κέχρηται· καὶ τὸν [τὸ] πρῶτον κατὰ τοῦ παλαμναίου καὶ τῶν ἀσεβῶν διηνυκέναι ἄεθλον ἔφη καὶ ἐπὶ τὸν δεύτερον τουτονὶ κεχωρηκέναι καὶ τὰ θεῖα τῆς δίκης δείκνυσι βέλη, οἷς τῶν δυσσεβῶν τὸ πᾶν σύνταγμα κατετοξεύθη καὶ μετ' ἤχου τούτων ἀπώλετο τὸ μνημόσυνον[1].

---

1. Πρβλ. Ψαλ. 9,7.

a Ὀδυσσ. κα, ἀρχ.

58,335,9. Τὰ δίκαια τοῦ Θεοῦ στάθμα καὶ οἷς ἀντιταλαντεύεται πονηρία. Τουτέστι, τοῖς εἰρημένοις ὑφ' ἡμῶν, φησί, κατὰ τοῦ τυράννου καὶ τῶν δυσσεβῶν ἐπὶ τοῖς τετολμημένοις αὐτοῖς κατὰ τῶν εὐσεβῶν [ἀσεβῶν], προστίθημι καταλέγων καὶ τὰ τοῦ Θεοῦ τάλαντά τε καὶ στάθμια, οἷστισι τούτοις ταλάντοις ἀντισταθμᾶται καὶ ἀντιτίθεται πονηρία. Τίνα δὲ ταῦτά ἐστι τὰ τοῖς ἀσεβέσιν ἀντιμετρούμενα καὶ ἀποδιδόμενα; Τὰς ἐνδίκους φησὶ νόσους, καὶ τὰ ἑξῆς **[1128]** τῶν δεινῶν ἃ συμβέβηκε τοῖς τολμηταῖς τῶν τοιούτων, τὰς ὕπαρ συμφορὰς καὶ ποινὰς καὶ τὰς δι' ὀνειράτων ἐτάσεις τε καὶ παιδεύσεις καὶ μάστιγας· καὶ τοιαύτας γὰρ οὐ καθ' ὕπαρ καὶ [μόνον ἀλλὰ καὶ] ἐγρηγορότες αἰκίσεις ἐδέξαντο.

58,335,25. Οὐδ' αὐτομάτῳ τινὶ φορᾷ. Οὕτω γὰρ Ἑλλήνων τινὲς ἐδόξαζον, Πρόνοιαν ἀτιμάσαντες καὶ τὸ αὐτόματον δογματίσαντες, τῇ ἀλόγῳ τύχῃ διδόντες τὸ πᾶν. Οὔκουν, φησί, αὐτομάτως ταῦτα τοῖς κατὰ χριστιανῶν οὕτω λυττησασι συμβεβήκει, ἀλλ' ὀργῆς καὶ ἀγανακτήσεως [ἀνακτήσεως] Θεοῦ ταῦτα γνωρίσματα· οὐδὲ γὰρ τοῖς τυχοῦσιν Ἑλλήνων, οὐδὲ τῶν ἐπιεικεστέρων τισίν, ἀλλὰ τοῖς ἐξυβρίσασι μᾶλλον καὶ οὕτως ἐκμανεῖσιν ὡς καὶ σαρκῶν ἅψασθαι ἀνθρωπίνων.

58,336,8. Ἐπιθειάζων δῆθεν ἐκ τῶν παρ' αὐτοῖς βίβλων. Μεμηχάνηται γὰρ αὐτῷ καὶ τοῦτο, ὡς ἐξ ἑβραϊκῶν ἀποκρύφων καὶ θείων βίβλων εὕροι προφητευθεῖσαν κατὰ τόνδε τὸν καιρὸν τὴν αὐτῶν πρὸς τὴν Ἱερουσαλὴμ γενήσεσθαι ἀνάκλησιν, καὶ τὸν ναὸν ἀναδείμασθαι. Σχήματι δέ, ἀλλ' οὐκ ἀληθείᾳ, τῆς πρὸς αὐτοὺς [αὐτὸν] εὐνοίας, ἐπινοίᾳ δὲ μᾶλλον τῇ καθ' ἡμῶν ταῦτα εἰσηγεῖτο, πειρώμενος δεῖξαι ψευδῆ τὰ ἡμέτερα καὶ Χριστοῦ περὶ [καὶ περὶ] ταύτης προφητευθέντα καὶ ἅμα τὴν ἐκείνων καθ' ἡμῶν μανίαν ἐγεῖραι φιλονεικῶν καὶ πόλεμον ἑκατέρωθεν στῆσαι διπλοῦν, ὡς ἂν πανταχόθεν βαλλοίμεθα.

58,336,20. Ὡς δ' ὑπ' ἀγρίας λαίλαπος. Σημειωτέον ὡς παράδοξον καὶ φρικτὸν τοῦτο καὶ θείας ὡς ἀληθῶς ὀργῆς ἅμα καὶ δυναστείας τὸ τερατούργημα, εἰς κατάπληξιν μὲν ἀσεβῶν, τῶν εὐσεβούντων δὲ πρὸς ἀσφάλειαν.

58,336,28-29. Ὃ δὲ [οἱ δὲ] ἅπαντες καὶ λέγουσι καὶ πιστεύουσι. Καὶ τοῦτο σημειωτέον, ὃ καὶ τοῦ προκειμένου φοβερώτερον ὂν καὶ πρὸς πίστιν ἔφησε βεβαιότερον, ὡς ὑπὸ πάντων καὶ λεγόμενον καὶ πιστευόμενον.

58,336,36-37. Ὃ δὲ καὶ ἔτι τούτων παραδοξότερον καὶ περιφανέστερον, ἔστη φῶς ἐν οὐρανῷ. Ἱστόρηται πολλοῖς ἑτέροις καὶ τοῦτο, τῶν δυσσεβῶν Ἑβραίων καὶ Ἑλλήνων στηλιτεῦον τὸ δύσφημον. Ἔστη οὖν τὸν σταυρὸν περιγράφον τὸ φῶς κύκλῳ, ἤτοι διαγράφον τὸν σταυρὸν καὶ διατυποῦν [διατυπούμενον] ἢ καὶ στεφανοῦν καὶ κύκλῳ φωτοειδεῖ τὸν

τίμιον καὶ κατάστερον περιλαμβάνον σταυρόν. «Τὸ πρότερον ὑπὸ τῶν ἀθέων ἐπὶ γῆς ἀτιμαζόμε[1129]νον» σημεῖον, τὸ τετραμερὲς σχῆμα· «ὄνομα» δέ ποῖον; Ὁ Σταυρός. Ἐπεὶ οὖν τοῖς νικῶσιν ἔθος κατὰ τῶν ἡττωμένων ἐχθρῶν τρόπαιον, ὡς σύμβολον νίκης, ἑστάναι καὶ Χριστῷ τῷ Θεῷ ἡμῶν κατὰ τῶν ἀσεβούντων τοῦτο γίνεται, θειότερόν τε καὶ παντὸς τροπαίου περιφανέστερον, ὕψιστον τρόπαιον καὶ σελασφόρον

58,337,5 Καὶ τῶν οὐρανίων καταψευδόμενος. Ἐκβάλλει τὰς γενέσεις καὶ ἀθετεῖ αὐτῶν, ὡς ψευδομένων, τὸ μάταιον, τῇ τῶν ἀστέρων φορᾷ καὶ κινήσει ἀνατιθέντων, καὶ πλεκόντων τὰ συμβαίνοντα, καὶ διασύρει τὴν πλάνην αὐτοῦ τε καὶ τῶν αὐτῷ τιμωμένων ἀστρολόγων καὶ μάντεων.

58,337,7 Λέγε μοι καὶ σὺ τοὺς σοὺς ἀστέρας. Ἀριάδνη καὶ Βερονίκη [Βερνίκη], γυναῖκες θνηταί, ὧν τῆς μέν, τῇ τῆς πλάνης αὐτονομίᾳ, στέφανον, τῆς δὲ πλόκαμον κατηστερίσθαι φασὶ καὶ τοὺς ἀστέρας ἐν οὐρανῷ καταψευδόμενοι συντιθέασιν ἐπιδεικνύντες, κἀντεῦθέν τε σχηματίζοντες καὶ ἐκεῖθεν τοὺς πρὶν ἢ ταύτας γεννηθῆναι ἐν οὐρανῷ τὴν ἵδρυσιν ἐσχηκότας.

58,337 8. Καὶ τὸν ἀσελγῆ Κύκνον. Ὧτινι, φασίν, ὁμοιωθεὶς ὁ Ζεύς, τῇ Λήδᾳ συνελθών, ὄρνιθος τρόπον ᾠὸν ἐγκυμονεῖ, ἐξ οὗ Ἑλένη μυθεύεται γεννηθῆναι, ἡ Κάστορος ἀδελφὴ καὶ Πολυδεύκους. Ταῦρον δὲ ὑβριστὴν τὸν αὐτὸν Δία καλεῖ εἰς ὃν μεταμορφωθεὶς τὴν Εὐρώπην ἁρπάσας φθείρει· Ὀφιοῦχος δέ, φερωνύμως ὄφιν κατέχων ἄνθρωπος, κατὰ τὸν νότιον ὁμοίως· ὁ δὲ λέων ἐχόμενος [ἐχόμενα] καρκίνου καὶ τοῦ θερινοῦ τροπικοῦ· οὕστινας, φησί, τούτους λόγοις ἀπατηλοῖς συντεθεικότες καὶ ὀνομάσαντες, τοὺς μὲν θεούς, τοὺς δὲ ἀστερας ἐπλάσαντο· ὅμως, φησίν, ἐκ τῶν οὐρανίων ἔχω κἀγὼ ἀστέρας, ἀλλ' οὐ θεούς, αὐτὸ τοῦτο ὅπερ εἰσὶ καλῶν, ἀλλ' οὐ μεθιστῶν τὴν προσηγορίαν, ὅτι μηδὲ τὴν οὐσίαν· ἔχω οὖν ἀστέρας σημαντικούς, τὸν μὲν Χριστοῦ παρουσίας, τὸν δὲ στέφανον αὐτοῦ νίκης καὶ τροπαίου, συμπαθοῦντας [συμπαθοῦντα] τοῖς ἡμετέροις κατὰ τὴν μεγάλην τοῦ παντὸς ἁρμονίαν τε καὶ οἰκείωσιν· ᾠκείωται γάρ πως ἁρμοττόμενον τὸ πᾶν τῷ παντὶ καὶ συγγενές ἐστι καὶ προσήγορον· διὸ καὶ φῶς τῷ φωτὶ [καί φησι τῷ φ.] προλάμπει Χριστῷ καὶ τῷ νικητῇ τὸ τοῦ τροπαίου συνεκλάμπει στεφάνωμα.

58,337,29. Ἐπιδειξάτωσαν ἔτι καὶ νῦν τὰς ἐσθῆτας. Σημειωτέον ὅτι καὶ ἐπὶ τὰς ἐσθῆτας καὶ [1132] τὰ ἱμάτια αὐτῶν ἄστροις ἐνετετύπωτο τὸ τοῦ σταυροῦ κατάστικτον σημεῖον καὶ ὅτι τὸ ὑπερφυὲς τοῦτο τερατούργημα οὐκ ἐν βραχέσιν, ὥστε καὶ λανθάνειν, οὐδ' ἐν ἡμετέροις μόνον, ὥστε καὶ παραγράφεσθαι ὡς πλαττόμενον· ἀλλὰ γὰρ κἀν τοῖς ἐναντίοις ἐναργὲς τὸ σημεῖον· οὐ γὰρ ἔφθη τις διηγούμενος ἑτέρῳ καὶ ἑαυτὸν καθεώρα κατάστερον καὶ πάντοθεν ἐσταυρωμένον, πάσης ἱστουργικῆς, φησί, ψηφῖδος καὶ

περιέργου ζωγραφίας ποικιλώτερον ἀμπισχόμενον τὸν χιτῶνα. Καὶ τὸ θαῦμα μεῖζον πάσης ἀπίστου γνώμης καθέστηκεν, ἀπὸ τοῦ μηδὲ χρόνων παρολκαῖς τισι πλάττεσθαι δοκεῖν, ὡς ἂν τῷ ἀδήλῳ τὸ ὕποπτον ἔχειν· ἐξ ὑπογυίου γὰρ γέγραπται, καὶ σχεδὸν ἐφ' ᾧ τοῦ καιροῦ πέπρακται, τῆς αὐτῆς [αὐτοῦ] ἱσταμένης γενεᾶς καὶ τῶν αὐτῶν ὄψει τε καὶ ἀκοῇ ἐπησθημένων· προσώπων τὸ τερατούργημα.

58,337,42. Διὰ τῶν φοβερῶν ὠφεληθέντων. Τίνα ὠφέλειαν; Τὸ μὴ φοβεῖσθαι· διὰ γὰρ τῶν τοιούτων φοβερῶν ταῖς ἐκκλησίαις προσδεδραμηκότες καὶ τῷ ἁγίῳ βαπτίσματι ἁγνισθέντες, ὠφέληντο τὸ μὴ δεδοικέναι, παντὸς δέους ἔξω γεγενημένοι.

58,338,2. Οἰστρηλατούμενος. Ὡς ἐν οἴστρῳ ἐλαυνόμενος. Οἶστρος δὲ ζωΰφιόν τί ἐστιν ὑπόπτερον, βουσὶν ἐφιπτάμενον καὶ κέντρῳ δεινῷ πλῆττον, ὡς ἐλαύνεσθαι καὶ πρὸς ὄρη καὶ λίμνας καὶ ποταμοὺς σφᾶς αὐτὰς ἐπαφιέναι. Οὕτως οὖν καὶ αὐτὸς ἐλαυνόμενος, ἐδόκει κατὰ τὸν νοῦν καὶ τὴν βουλὴν αὐτοῦ καὶ τὰ τῶν Χριστιανῶν ἔχειν, οἷς ἤδη κατείργαστο καὶ τὸ πᾶν θελήσαντι αὐτῷ μόνον ἁλωτὸν εἶναι ἐπίστευεν.

58,338,10. Καὶ οὐδὲ ἐκεῖνο συνιδεῖν [συνάδειν] δυνηθείς. Ποῖον; Ὅτι θράσους καὶ θάρσος πολὺ διήνεγκε, κἂν τοῖς ὀνόμασι δοκοίη πλησιάζειν, ὅσον ἀνδρία καὶ ἀνανδρία. Ἀνδρία μὲν γάρ ἐστι τὸ ἐν τοῖς τολμητοῖς καὶ δυνατοῖς καταθαρσεῖν, δειλίας δὲ τὸ ὑφίεσθαι· τὸ δ' ἐν τοῖς ἐναντίοις καὶ ἀδυνάτοις ὁμόσε χωρεῖν θράσους, τὸ δ' ὑποχωρεῖν ἀσφαλείας· καὶ τὸ φυλάξαι οὖν τὰ ὄντα καὶ τῶν οὐκ ὄντων τι προσλαβεῖν, οὐ ταὐτόν· τοῦ τοίνυν μετὰ ῥᾳστώνης ἀγαθοῦ σώφροσιν ἀνθεκτέον, τὸ δ' ἀντιπίπτον περιοπτέον· ἀνόητον δὲ τὸ ὑπὲρ κτήσεως ἐλπιζομένων κινδυνεύειν τοῖς ὑπάρχουσιν ἅπασιν.

58,338,26. Καὶ Σαλμωνεύς τις ἐκ βύρσης βροντῶν. Ἀσεβῆ τινα μυθεύονται εἶναι τοῦτον, **[1133]** ὥστε καὶ βροντῶντι, φασί, τῷ Διί, βροντᾶν καὶ αὐτὸς ἀντεμηχανᾶτο, ἐκ βύρσης ἐπικτυπῶν ξηρᾶς καὶ χλευάζων.

58,338,27. Τραϊανοὺς δὲ λέγει καὶ Ἀδριανοὺς πληθυντικῶς. Οἵτινες βασιλεῖς ἤστην Ῥωμαίων, ἐπὶ τῇ ἀνδρίᾳ καὶ τὸ ἀσφαλὲς ἐσχηκότες· διὸ καὶ πολεμικωτάτω ἐγενέσθην, καὶ πολλὰς πόλεις καὶ χώρας ὅλας καὶ ἔθνη μυρία τῇ Ῥωμαίων ὑπέταξαν ἐξουσίᾳ. Τοὐναντίον δὲ Κάρον [Κᾶρον] καὶ Οὐαλεριανὸν ὁρμῇ λέγεται ἀτάκτῳ καὶ ἀνοίᾳ πεπονθέναι ἐν Περσῶν ὁρίοις καταλυθέντας· πλήν, φησί, οὐκ ὀνειδίζω τύχας, διεξοδικώτερον καταλέγων τὰ σφίσι συμβεβηκότα· εἴληπται δὲ τοῦτο [εἰλ. γὰρ τ.] ἀπὸ τῆς Εὐριπίδου τραγῳδίας Ὀρέστου.

58,338,32. Τῆς ὁρμῆς ἤν. Ποίας; Τοῦ προκειμένου σκοποῦ· ἵν', εἰ κρατήσειε Περσῶν, ὅλον τοῖς δαίμοσι παραστῆσαι τὸ Χριστιανῶν γένος, ἐπαγόμενος καὶ εἰς ἓν πᾶσαν μαντείας καὶ γοητείας

ῥητῆς τε καὶ ἀρρήτου θυσίας τερατείαν ἄγων, οἰκονομίᾳ θείᾳ, ἵνα πᾶσα ἐν ὀλίγῳ συγκαταλυθείη αὐτῷ θύτῃ καὶ τελεστῇ τῶν τοιούτων.

58,339,6. Ὥσπερ ψάμμου ποδὸς ὑποσπασθείσης. Ἐπείπερ, λεπτὴ ὥσπερ κόνις ἐκ λιθίας μικρᾶς διωρισμένης, ἀλλ' οὐ συνεχὴς ἡ ψάμμος καὶ οὐ βάσιν ἔχουσα διὰ τοῦτο στερεάν, οὐδὲ πῆξιν ἀντερείδοντος ἐν αὐτῇ τοῦ ποδός, ὑποσπᾶται μὴ ὑφισταμένη σκεδάννυται τῇ διεχείᾳ καὶ εἰς τοὐπίσω μᾶλλον ἢ τοὔμπροσθεν βάλλει τὸν ὁδοιπόρον

58,339,15-16 Ἐξ ὑπερδεξίων. Ὡς ἄν τις εἴποι δεξιῶς ἐχόντων καὶ ἐπιτηδείων καὶ πρὸς ἄμυναν ἐπιδεξίων· τοιαῦτα δὲ τὰ ὑπερκείμενα χωρία καὶ τοῖς βάλλουσι καὶ μαχομένοις εὐεπίφορα. Δυεῖν γὰρ πόλεων ὑπερκειμένων, ἐξ ὧν ἔδει ἑκατέρωθεν βάλλεσθαι τοὺς ὑπολειμένους καὶ ποταμῷ μέσῳ πλέοντας, πρὸ ὀφθαλμῶν λοιπὸν αὐτῶν τὰ πέρατα καὶ τὸ τέλος τοῦ ὀλέθρου.

58,339,18. Ἀπορρήξας καὶ περιαγαγών. Τοῦ ποταμοῦ ἀποτεμὼν μέρος καὶ ἀπορρήξας καὶ ὡς ἐν κύκλῳ περιαγαγὼν καὶ περικάμψας ἡ γὰρ *περὶ* πρόθεσις κύκλῳ καὶ οὐ κατ' εὐθεῖαν τὴν ἀγωγὴν ἐμφαίνει

58,339,24 Κατὰ μετώπου δὲ ἵστασθαι καὶ κινδυνεύειν Ἡ περσικὴ δύναμις κατὰ πρόσωπον ἵστασθαι καὶ μάχεσθαι οὐκ ᾤετο δεῖν δίχα μεγάλης ἀνάγκης, ἐνυπάρχοντος αὐτῇ ἐκ περιουσίας καὶ ἀκινδύνως κρατεῖν.

58,339,26 Ἐν δὲ τῶν λόφων καὶ τῶν στενῶν ἢ παρείκοι. Τουτέστι βάλλουσα καὶ τοξεύουσα, ὅπου ἂν ἐγχωρεῖν ἐδόκει ἀκινδύνως ἐνίκα.

58,339,30-31. Τὸν ἐπὶ Βαβυλῶνι πρὸς Κῦρον Ζώπυρον μιμησάμενος. Ζώπυρος οὗτος ὑπασπιστὴς Κύ**[1136]**ρου τελῶν, πολιορκοῦντος Βαβυλῶνα καὶ οὐχ οἵου τε ὄντος ἑλεῖν, προσελθὼν Κύρῳ, ὑπισχνεῖται τὴν ἅλωσιν· καὶ δὴ αἰκισάμενος ἑαυτόν, αὐτομολεῖ Βαβυλωνίοις, ὡς δή τι προσκεκρουκὼς Κύρῳ, ὁ δὲ αἰκίσαιτο ταῖς ἀνυποίστοις ταύταις αὐτόν, φησίν, [ἀνυπ. ταύταις φησ.], αἰκίαις, δεικνὺς τὴν τοῦ σώματος λώβην· οἱ δὲ ταῖς τοιαύταις πιστεύσαντες καὶ τεθαρρηκότες ἀπάταις, ἔλαθον ἑαυτούς τε προδεδωκότες καὶ Βαβυλῶνα Ζωπύρῳ καὶ Κύρῳ.

58,340,5. Καὶ προσῆν ὁ γέλως. Τίσι προσῆν; Ἆρα τοῖς πολεμίοις; Ἢ τῷ βουλεύσαντι; Ἢ τῷ πεισθέντι καὶ τῇ στρατιᾷ; Τοῖς πολεμίοις, οἶμαι, κατάγελως ἦν, ἐπειδὴ καὶ ἡ σφαγὴ οὐ μακρὰν τῶν πεπιστευκότων· αὐτόχειρας γὰρ τῆς ἑαυτῶν σφαγῆς γεγονότας ἑωρακότες καὶ τὴν αὐτῶν σωτηρίαν πυρὶ παραδεδωκότας, πῶς οὐ καταγελᾶν εἰκὸς ἦν; Ἔστι δὲ νοεῖν καὶ ὡς ἐν παιδιᾷ καὶ γέλωτι ἔχειν τὸ γεγονός, τόν τε πιστεύσαντα [τὸν πιστ.] Ἀποστάτην τοὺς σὺν αὐτῷ θεοβλαβείᾳ βληθέντας, ὡς περιττὸν φόρτον ἀποσεισαμένων [ἀποσεισάμενον] καὶ θᾶττον τῶν κατὰ γνώμην προηγγελμένων ἐπιτυχεῖν.

58,340,14-15. Οἱ μὲν γὰρ ὑπὸ Περσῶν κατηκοντίσθαι φασίν. Ἀτάκτοις, φησίν, ἐκδρομαῖς τῇδε κἀκεῖσε σὺν ἐμπληξίᾳ [ἐκπληξίᾳ] φερόμενον, ὅμοιόν τι πεπονθέναι Κύρῳ τῷ Παρυσάτιδος καὶ Ἀρταξέρξου ἀδελφῷ· οὗτος γὰρ ὁ Κῦρος, ἀλλ' οὐχ ὁ μέγας, συνανελθὼν μετὰ μυρίων Ἑλλήνων, ἐν οἷς καὶ Ξενοφῶν ὁ Γρύλλου, ὡς αὐτὸς ἐκεῖνος ἐν τῇ Ἀναβάσει γράφει συνὼν [συνῆν] μετὰ τοῦ ἀδελφοῦ, συμβαλών, καί, νικῶν ἤδη, θράσει οἰκείῳ συμπεσὼν τῷ ἀδελφῷ συνανῄρηται. Οὕτω δὴ καὶ αὐτόν φασιν ἀνῃρῆσθαι ὑπὸ Περσῶν βεβλημένον· ἢ οὖν οὔ-ως ἢ ἐκείνως [ἐκεῖνος], ὑφ' ὅτου καὶ δή, ὅμως δέχεται πληγὴν καιρίαν καὶ παντὶ τῷ κόσμῳ σωτήριον, μιᾷ τόλμῃ σφαγέως πολλῶν σπλάγχνων ἀνατομῆς κακῶς πιστευθέντων ἀπαιτηθεὶς τιμωρίαν· ὅπερ καὶ θαύματος ἄξιον, ὅπως πάντα γινώσκειν οἰόμενος ταῖς ἀνατομαῖς, τὴν τῶν ἑαυτοῦ σπλάγχνων ἠγνόησε τομὴν καὶ πληγήν.

58,341,8. Καὶ τὸ εἶδος ἀληθῶς ἄξιον τυραννίδος. Ἰοβιανὸν λέγει ἄνδρα εὐσεβῆ καὶ τὸ εἶδος ἄξιον ἔχοντα βασιλείας· τοὺς γὰρ βασιλεῖς οἱ παλαιοὶ τυράννους ἐκάλουν καὶ τὴν βασιλείαν τυραννίδα· ὕστερον γὰρ διαφορὰν ἐδέξατο ἡ φωνή, τὸν μὲν βίαιον καὶ μὴ κατὰ τοὺς νόμους πολιτευόμενον μόναρχον, τύραννον, βασιλέα δέ, τὸν πειθόμενον νόμοις καὶ τῇ βουλῇ χρώμενον καὶ πράττοντα τὰ βεβουλευμένα καὶ ἔννομα.

58,341,14-15. Ἤ τι δείσαντες ἄλλο τῶν λεγομένων. Τίνων λεγομένων; Ἔδεισαν γὰρ ἴσως μή πως ὁμόσε τῇ ἀνάγκῃ χωρήσαντες καὶ ἀπογνώσει τὸν θυμὸν ἀνάψαντες, κατ' αὐτῶν ὁρμήσωσιν ἀμεταστρεπτί, **[1137]** καὶ ἢ τελείως τρέψωσιν ἢ πολλῷ φόνῳ Περσῶν καὶ οὐκ ἀναιμωτὶ τεθνήξονται

58,341,16. Πυρφόρον δὲ ἀπό τινος παροιμίας φασίν· ἐφείδοντο γὰρ ἐν τοῖς πολέμοις τῶν προηγουμένων μάντεων στεφανηφορούντων καὶ δᾷδας κατεχόντων πρὸς θυσίας εὐτρεπεῖς· καὶ οἱ νικῶντες οὖν ὡς ἱερῶν ἐφείδοντο τῶν τοιούτων. Εἴρηται ὑπερβολικῶς ἐπὶ τῶν κατανικηθέντων, ὡς οὐδὲ πυρφόρος ἐξέφυγεν. Ἱκανῶς οὖν ἐδόκει τι προσειληφέναι εὐημερίας καὶ πρὸς τὴν ἐλπίδα ἐδεδοίκεισαν τῶν μελλόντων.

58,341,28-29. Καὶ τὸ τοῦ Ἡροδότου περὶ τῆς Σαμίων τυραννίδος. Ἀρταφέρνης ὁ Περσῶν σατράπης ᾐτιᾶτο Ἱστιαῖον ὑπὲρ τῆς τῶν Ἰώνων ἀποστάσεως· ὁ δὲ τὴν αἰτίαν εἰς Ἀρισταγόραν μετετίθει [ἐπίθει]. Τὸν δόλον οὖν καὶ τὸν τρόπον συνεὶς ὁ σατράπης, ἐξονειδίζων τὴν χρείαν ταύτην ἀπέρριψε· τὸ δ' ἀπόφθεγμα παροιμιακὴν τάξιν [παροιμία κατάταξιν] εἰλήφει τὸ πανοῦργον τοῦ Ἱστιαίου καὶ δολορράφον[3] ἐλέγχον [ἐλέγχων].

58,341,33. Ἐπεὶ δὲ καὶ ἡμῖν ἐστὶ νεκρός. Σύγκρισιν Κωνσταντίου ταφῆς καὶ Ἰουλιανοῦ τοῦ θεοστυγοῦς, προστιθεὶς καὶ περὶ Κωνσταντίου καὶ ταῦτα, ὅτι φωνή τις ἠκούετο ψαλλόν-

των καὶ παραπεμπόντων Ἀγγελικῶν, οἶμαι, Δυνάμεων [ἀγγ. δυνάμ.]. *Ἀλλ' οὖν ἡμεῖς, φησί, τὸ κοινότερον ἐννοοῦντες, τὸν πρῶτον καὶ μέγαν Κωνσταντῖνον, τὸν βαλόντα τὴν κρηπῖδα τῆς βασιλικῆς τῷ Χριστιανισμῷ δυναστείας καὶ πίστεως*, καὶ τὰ ἑξῆς ἀποδεδομένα τῷ εἱρμῷ τῆς συντάξεως.

58,342,32 Τ ῷ δ ὲ α ἰ σ χ ρ ὰ μ ὲ ν τ ὰ τ ῆ ς ἐ κ σ τ ρ α τ ε ί α ς. Ἡ ἀντίθεσις τῆς συγκρίσεως· «ἠλαύνετο δήμοις» καὶ τὰ ἑχόμενα, τὴν ἄρνησιν καὶ τὴν ἧτταν ὀνειδιζόμενος, καὶ πᾶν κακὸν πάσχων καὶ ἀκούων, οἷς οὗτοι οἱ μῖμοι λέγειν τῶν γελοίων εἰώθασιν καὶ τοῖς ἐπὶ σκηνῆς αἴσχεσιν ἐπομπεύετο· οἷς, φησίν, οἱ τοιοῦτοι νεανιεύονται τέχνην ἔχοντες τὴν ὕβριν· ὑποδέχεται δὲ αὐτὸν ἡ Ταρσέων [Ταρσέως] πόλις, ἀντὶ τίνος, φησίν, οὐκ οἶδα δεινοῦ κατακριθεῖσα τὴν ἀτιμίαν ὑποδέξασθαι ταύτην, ἔνθα δὲ οἱ τέμενος, καὶ τὰ ἑξῆς.

58,343,1. Ο ὐ κ ἀ γ ν ο ῶ ν ὡ ς δ υ σ ὶ μ ὲ ν κ α ὶ τ ρ ι σ ί. Εἰς τοσούτους τῶν κολάκων καὶ τὴν ἀσεβείαν **[1140]** ὁμοίοις τὸ κράτος ἐδόθη, τῆς ἀσεβείας ὁ τοσοῦτος μισθός, ληΐζεσθαι τὴν ὑπὸ Ῥωμαίοις γῆν τε καὶ θάλασσαν, καὶ τὰ ἑξῆς· τὰ μείζω γὰρ καταλέξας, ταῦτα μικρὰ ταχα εἶπεν ἐγκαλεῖν, καὶ τούτοις καθυβρίζειν τὰ μέγιστα· πλὴν δεικνυται καὶ διὰ τούτων, φησίν, οὐ διὰ τῶν μειζόνων μόνον, ὡς οὐκ ἄξιος Ἠλυσίων Πεδίων, οὐδὲ τῆς Ῥαδαμάνθυος κρίσεως ἐνδικωτάτης. Μυθεύονται γὰρ Ἑλλήνων παῖδες τὸ μὲν Ἠλύσιον Πεδίον χῶρόν τινα ἐπιτερπῆ, ἡδίστων καὶ παντοίων εὐφορώτατον καρπῶν, φέροντα τρὶς τοῦ ἐνιαυτοῦ. δικαστὴν δὲ τὸν Ῥαδάμανθυν τῶν ἐν ᾅδου ἀδέκαστον (ἀδέκ. τῶν ἐν ᾅδ.].

58,343,21-22. Τ ο ῦ τ' ἐ κ ε ῖ ν ο α ἱ τ ῶ ν ψ ή φ ω ν κ λ ο π α ί. Μετενήνεκται ἀπὸ τῶν ψηφολόγων, οἱ [οἷον] κλέπτουσι τὰς ὄψεις καὶ ψήφοις ἐξαπατῶσιν ἐκ δυεῖν, κατὰ τὴν παροιμίαν, τρία φαντάζοντες ὁρᾶν· τὸ δ' ὅλον αἰνίττεται τὴν ἀπάτην, δι' ἧς τῶν κουφοτέρων μετεωρίζων τὸν νοῦν ἐσύλα, οὐ μόνον δέ, ἀλλὰ γὰρ καὶ [ἀλλὰ καὶ] τοὺς φιλοσοφίαν ὑποκρινομένους ἐφέλκων, διὰ τοῦ, «ἑταῖρε καὶ ἑταῖρε», ἀπράκτους φενακίζων ἀπέπεμπεν, οὐκ ἔχοντας ᾧτινι τῆς ἀβουλίας μέμψονται πλέον, ἐκείνῳ, φησί, διὰ τὴν ἀπάτην ἢ ἑαυτοῖς διὰ τὴν ἐπιδημίαν.

58,343,37. Π α ί ω ν π ὺ ξ δ η μ ο σ ί α κ α ὶ λ ὰ ξ ἐ ν α λ λ ό μ ε ν ο ς. Τουτέστιν ἐπιπηδῶν καὶ λακτίζων ὡς ὄνος Ἀντρώνιος. Πὺξ δὲ παίειν ἐστὶ τὸ ἐπικλινομένων εἴσω καὶ ἐσφιγμένων τῶν δακτύλων παίειν καὶ κρούειν, ἐξ οὗ καὶ ἡ πυκτικὴ ἀγωνία ὠνόμασται. Τοιαῦτα τοῦ καλοῦ τε καὶ σοφωτάτου βασιλέως τὰ ἀγαθά, ὧν γεῦσαι τὴν οἰκουμένην ὁ σοφὸς ἐπαινέτης αὐτοῦ Λιβάνιος ἐληρώδει.

58,343,39. Φ υ σ ή σ ε ι ς κ α ὶ ἀ ν α φ υ σ ή σ ε ι ς (ἀντιφυσήσ.]. Διασύρων ὁ δυσσεβὴς τὰ ἡμέτερα καὶ τὰς ἐν τῷ ἁγίῳ βαπτίσματι ἐμφυσήσεις [ἐκφυσ.] κωμῳδῶν, τοῖς γραιδιοις ἀπεικαζεν αὐτὸς τὸ ἐπιβώμιον πῦρ φυσῶν καὶ ταῖς γνάθοις ἐνασχημονῶν.

Τὴν αὐτοῦ θεὰν Ἀθηνᾶν ὁ πάνσοφος οὗτος βασιλεὺς οὐκ ἐνενόει, αὐλοὺς ἀναλαβομένην καὶ αὐλεῖν ἐπιχειροῦσαν [ἐπιχειρεῖν]· ἡ δέ, ὡς πλησίον ὕδατος τὴν ἑαυτῆς ᾔσθετο σκιάν, καὶ τὰς γνάθους κατενόησεν αἰρομένας οὐκ εὐπρεπῶς, ῥίψασα θᾶττον κατηράσατο τοῖς αὐλοῖς.

58,344,5. Ὑποκλέπτων τὸ ἀσελγὲς μυστηρίου προσχήματι. Ἐν ταῖς τελεταῖς, καὶ τοῖς τῶν δαιμόνων μυστηρίοις, πόρναις ἅμα γυναιξὶ συγκατιὼν **[1141]** ἐν τοῖς ἀδύτοις, ἦγε τὰ αἴσχη τὰ μυστικά, καί, συμφθειρόμενος καὶ φθείρων, ἔκλεπτε τὸ ἀσελγές, ὡς δή τι [δῆτι] θεῖον ἐπιτελῶν, προπίνων ταῖς πόρναις καὶ προπινόμενος ὑπ' αὐτῶν, σχήματι καὶ προφάσει μυστηρίων ἐναγιασμοῦ [ἐναγισμοῦ]· τοιαῦτα ὁ σεμνὸς οὗτος βασιλεὺς καὶ κρείττων ὑμνούμενος ἡδονῶν ἐπετέλει.

58,344,15-16. Τότε τοίνυν οὐ φαῦλος ἐγὼ τοῦ ἀνδρός. Σημειωτέον τὸ ἦθος τοῦ Ἀποστάτου ὡς ἐξάγιστον καὶ σεσοβημένον καὶ δαιμονῶν· ὃ καὶ μάντις, οἶμαι, καὶ ἀσφαλὴς φυσιογνώμων ἐθήρασεν ἄν, εἰπὼν πλήρη δαιμόνων τὸν ἄνδρα καὶ κακίας ἁπάσης μεστὸν καταγώγιον· ἐκπέφρασται δὲ πάνυ οἰκείως καὶ τῷ Πατρὶ καὶ προφητικῶς ταῦτα διηγόρευται· δείκνυσι γὰρ τούτοις ἡμῖν καὶ ἐναργῶς τῷ λόγῳ παρίστησιν ὁποῖον ἡ πεῖρα διὰ τῶν ἔργων ἐγνώρισε τέρας, οἷον οὐ πρότερον ἡ φύσις ἐγέννησεν, ἀλλόκοτόν τι θηρίον κατὰ τὰς Σκύλλας ἐκείνας καὶ Χιμαίρας δεικνύμενον.

58,344,42. Ὡς οὐκ ἐφορῶντός τινος τὰ ἡμέτερα. Τοῦτο γὰρ ἐδόξαζεν ἡμῶν τὸ ἀντίπαλον, μηδὲ μίαν κυβερνήσεως αἰτίαν ἢ Θεὸν ἔφορον εἶναι τῶν τῇδε, ἀλλ' αὐτομάτως τὸ πᾶν οὕτω φέρεσθαι καὶ τῶν εὖ ἢ κακῶς βιούντων οὐδ' ἥντινα τὴν ἀνταπόδοσιν ἔσεσθαι.

58,345,10. Ἐκ τῶν παρ' ἡμῖν τινος ἀσόφων. Ἐκ τῶν προφητῶν τινος τῶν δοκούντων ὑμῖν, φησίν, ἀσόφων λαμβάνω τὸν ἐπινίκιον· οἷς ἐπισυνάπτει καὶ τὰς θυσίας καὶ τὰς τελετὰς καὶ τὰ τῆς ἀσεβείας μυστήρια, καὶ τὰ τούτοις ἐχόμενα.

58,345,13. Ποῦ Βαβυλών. Ταῦτα γὰρ αὐτῷ καὶ ἡ οἰκουμένη πᾶσα ἐκ τῶν εἰρημένων, ἐντόμων τε καὶ σφαγίων, καὶ τῶν λοιπῶν ὠνειροπολεῖτο τῷ δυσσεβεῖ χειρούμενα.

58,346,2-3 Ἢ τὸν ὀμνύοντα κατὰ τῆς Ἰακὼβ ὑπερηφανίας Θεόν. Ἤτοι τὸν ὀμνύοντα κατὰ τὸν Ἰακὼβ εἰς τίνα; Εἰς τὸν τῆς ὑπεροχῆς καὶ ὑπεράνω πάντων φαινόμενον Θεόν· ἤ, τὸν ὀμνύοντα Θεὸν κατὰ τῆς Ἰακὼβ καὶ πίστεως καὶ μεγαλοφροσύνης, ὥσπερ φησὶν ὁ Ἰακώβ· οὐ κατὰ δαιμόνων ὤμνυεν, ἀλλὰ κατὰ Θεόν· εἰς ὅρκον γάρ, φησίν, οὐ δαίμονας ἐλάμβανεν, ἀλλὰ Θεὸν εὐσεβῶς ὅρκον ἐποιεῖτο, τὸν ὑπεράνω πάντων καὶ ὄντα καὶ φαινόμενον.

58,346,8. Ταῦτα χριστιανοῖς παρὰ σοῦ. Ταῦτα ἀνταποδίδως τἀπίχειρα χριστιανοῖς, ἀνθ' ὧν ἢ δι' ὧν καλῶς ἐσώθης ἀναρπασθεὶς ὑπ' αὐτῶν, καὶ τῆς ἐνδίκου σφαγῆς λυτρωθείς.

58,346,16. Τότε μὲν δυσανασχετοῦντες. Πρὸς τὸ «πρότερον» ἀποδέδοται τοῦτο· ἀναλαμβάνει γὰρ ὅτι [1144] ἡνίκα ἀνεβάλλετο καὶ ἀνοχῆς εἴχετο ἡ κατὰ τῶν ἀσεβῶν ὀργὴ τοῦ Θεοῦ, δυσανασχετοῦντες ἐκείνας ἠφίεμεν τὰς φωνάς· εἶτ' ἐπάγει μετὰ πολλά·

58,347,4. Ταῦτα μὲν οὖν πρότερον, νυνὶ δέ, καὶ τὰ λοιπά.

58,347,31-32 «Ἔπεσε Βήλ, συνετρίβη Δαγών»[1], «ἕλη ἐγένετο ὁ Σαρών»[2]. Βὴλ καὶ Δαγὼν καὶ Σαρών, ναοὶ καὶ στῆλαι καὶ δαιμόνων ὀνόματα· ἐκ δὲ τῆς Γραφῆς, ἐλήφθη καὶ ταῦτα· καθ' ὁμοίωσιν τῶν κατ' ἐκεῖνο [ἐκείνου] καιροῦ συμβεβηκότων· ὑπὸ γὰρ τῶν εὐσεβῶν καθῄρηται ταῦτα καὶ συνετρίβη καὶ ἀπωλείᾳ τελείᾳ παραδέδοται· εἶτα ἐπιφέρει καὶ τὰ ἡμέτερα καὶ προφητεύει τὰ μέλλοντα, ἃ καὶ νῦν ἔτι καθορᾶται γινόμενα καὶ γεγονότα ἤδη καὶ γενησόμενα εὖ οἶδα· τοῖς τελεσθεῖσι γὰρ βεβαίως ἔχω [ἔχων] καὶ τὰ ἐσόμενα.

58,348,16 Οὐκ ἔτι πανηγυρίσουσι καθ' ἡμῶν. Πανηγύρεις τελέσουσι καὶ ἑορτάς, ἐπιχαίροντες ἡμῖν οἱ ἐχθραίνοντες ἀσεβεῖς, νόμῳ ἀνόμῳ ἀποκλείσαντες τῆς κιβδήλου καὶ ἀδοκίμου παιδεύσεως· ἀπεῖρξαν γὰρ χριστιανοὺς παιδείας ἑλληνικῆς καὶ σοφίας μεταλαμβάνειν καὶ τὰς γλώττας ἡμῶν ἀποφράττειν κἂν τούτῳ κακούργως οἰόμενοι.

58,348,26 Σβεσάτω τὸ πῦρ ὁ δᾳδοῦχος. Ἐπυρφόρει οὗτος ὁ δᾳδοῦχος, ὁμοῦ τάς τε θυσίας ὁλοκαυτῶν καὶ φωτίζων ἐπί τινα χρόνον τὰς τελετάς· εἶτα κατασβεννύων ἐδίδου καιρὸν ἐν σκότῳ τὰ αἰσχρὰ τῶν μυστηρίων τελεῖσθαι. Πορνικὴν δὲ στολὴν ὁ ἱεροφάντης ἐνδιδυσκόμενος αἰσχρῶς ἱερούργει· διὸ ἐπιφέρει· «ἐπίσχες σου τὰς αἰσχρὰς καὶ σκότους γεμούσας νύκτας».

58,349,3. Ἔσπειρεν ἀέρα. Οἰκείως ἕκαστον ἀποδίδωσιν· «ὑπεστήσατο, ἥδρασεν, ἐγύρωσεν, ἔσπειρεν, ὥρισεν, εἵλκυσεν, ἐψύχωσεν, ἐμόρφωσε»· διὰ μὲν γὰρ τοῦ «ἐμόρφωσε» τὸ κατ' εἰκόνα δηλῶν· διὰ δὲ τοῦ «ἐψύχωσε» τὸ ζωτικὸν λογικόν τε καὶ [ζωτικόν τε λόγ. καὶ] νοερὸν καὶ τὸ ἄλογον μέρος τῆς ψυχῆς· διὰ τοῦ «εἵλκυσε» τὸν ὁλκὸν καὶ τὴν τῶν ποταμῶν φοράν· τὸ δὲ «ὥρισεν» ἐμφατικόν ἐστι τοῦ διορισμοῦ τῆς θαλάσσης. «Ὅριον γάρ, φησίν, ἔθου ὃ οὐ παρελεύσεται»[3]. Ἐσπάρθαι δὲ καὶ τὸν ἀέρα εἰκότως εἶπε· κέχυται γὰρ καὶ διέσπαρται παντὶ λεγομένῳ κενῷ· οἰκεῖον δὲ καὶ τὸ «ἐγύρωσεν» οὐρανοῦ· ὡς ἐν γύρῳ γὰρ καὶ τόρνῳ περιαγαγὼν σφαιρικῶς ἐτεκτήνατο· τὸ δ' ἑδραῖον καὶ στερεὸν ἴδιον γῆς· τῷ φωτὶ δὲ λελυμένως καὶ οἷον ἀσωμάτως ἰόντι δέδωκε χώραν ὑποστήσας ἐπιβατεύειν ἀέρι ἀραιῷ [εὐρεῖ] καὶ λεπτῷ.

58,349,8-9. Κατάβαλέ σου τοὺς Τριπτολε-

---

1. Ἡσ. 46,1. 2. Ἡσ. 33,9. 3. Ψαλ. 103,9

μους. Εἴρηται περὶ τούτων ἐν τῷ εἰς τὰ Θεοφάνια λόγῳ [1145] καὶ περὶ Ὀρφέως δεδήλωταί μοι ἐν ἄλλοις καὶ ἐν ταῖς φερομέναις ἱστορίαις πλατύτερον εὑρήσεις.

58,349,14. Οὐκ ἔτι φθέγγεται δρῦς. Τὴν ἐν Δωδώνῃ λέγει δρῦν φθεγγομένην καὶ λάλον καὶ ληροῦσαν τὰ τῆς πλάνης μαντεύματα. *Λέβητα* δὲ τὸν ἐν Δελφοῖς φησι τρίποδα, καὶ *Πυθίαν* τὴν ἐν Δήλῳ. Πληρουμένην δὲ εἶπε, καθότι μυθεύονται, ἀπό τινος χάσματος πνεύματος ἀναφερομένου, ἱέρειάν τινα ὑπερβαίνουσαν κάτωθεν διὰ τῶν μυρίων ἐπεισπνεῖσθαι καὶ πληροῦσθαι μαντικῶν ληρημάτων καὶ τοὺς λεγομένους ἐντεῦθεν ἀποθεσπίζειν χρησμούς. Περὶ δὲ τῶν ἑξῆς λέλεκται ἐν ἄλλοις. Πλὴν καὶ ταῦτα πάντα σεσιγηκέναι φησί.

58,349,20. Καὶ Προσύμνῳ τῷ καλῷ θεὸς [Θεῷ] παθαινόμενος. Τουτέστι πάσχων καὶ τῷ ὡραίῳ Προσύμνῳ συμφθειρόμενος· ὁ δὲ Πρόσυμνος, ὄνομα κύριον· ἀσελγείας καὶ ἀκολασίας τοῦ τοιούτου θεοῦ ὑπουργὸς ὢν καὶ ἐρώμενος. Θερσίτην δὲ Ὀλύμπιον τὸν Ἥφαιστον αἰνίττεται, ἀπεικάζων τῷ καταγελάστῳ καὶ αἰσχίστῳ Θερσίτῃ τῷ Ὁμηρικῷ

58,349,31-32. Τὸν Κερδῷον καὶ τὸν Λόγιον. Τὸν Ἑρμῆν λέγει, ἀπὸ τοῦ λόγου Λόγιον καλῶν, ἀπὸ δέ γε τοῦ κέρδους καὶ τῶν κλεμμάτων Κερδῷον· ἐπεὶ δὲ καὶ μοιχὸς ἑάλω καθ' Ὅμηρον, δεσμοῖς ἀφύκτοις ὑπ' Ἄρεως σὺν Ἀφροδίτῃ πεδηθείς, αὐτὸς μὲν Ἐναγώνιος ἦν, θεοὶ δ' ὁρῶντες ἀσβέστῳ κατείχοντο γέλωτι· ἀλλ' ἐγώ, φησὶ [φασί], συγκαλύπτω μὲν τοὺς ὀφθαλμοὺς αἰδούμενος τῷ [ὀφθ. τῷ] αἰσχίστῳ τούτῳ θεάματι.

58,349,33-34. Σὺ δέ μοι προσκύνει τὸ σύντονόν τε τοῦ λόγου καὶ τὸ Σακέλλιον Τοῦ Ἑρμοῦ καὶ ταῦτα· ὡς δὲ δῆθεν σεμνὰ φράζει καὶ τὸ τοῦ λόγου δὲ κε-[1148]κροτημένον καὶ σύντονον ἐπισυνάπτει καὶ τὸ τῶν συλῶν [σύλων] τὸν θησαυρὸν σακέλλιον, ὡς καὶ αὐτοῦ [ὡς αὐτ.] τάχα προσκυνουμένου.

58,349,35-36. Αἵ τε Ἴσιδες καὶ Ἄπιδες καὶ Μενδήσιοι. Αἰγύπτιοι καὶ οὗτοι θεοί, περὶ ὧν ἐλέχθη. Πλὴν Πρίαπος μὲν θεὸς ἐνομίσθη καὶ αὐτός, αἰσχρὸς καὶ γραφόμενος τὸ ἐπίσειον [ἐπείσιον], ἤτοι τὸ αἰδοῖον, ἐκκρεμὲς ἔχων ὅτι μέγιστον [ὅτι καὶ μεγ.]. Ἑρμαφρόδιτος δὲ διττήν, ὡς αὐτοί φασιν, ἔλαχε φύσιν, ἄρρενός τε καὶ θηλείας, ἑκατέρωθεν ἀσελγαίνων, ὥσπερ καὶ τὸν Τειρεσίαν ἱστοροῦσιν. Ἄττις δὲ [τε] καὶ Ὄσιρις, ὁ μὲν τὰ αἰδοῖα ἀποκέκοπται καὶ τὰ τῶν ἀνδρῶν ἀφῄρηται, τὰ γυναικῶν δὲ πάσχων ἐτιμήθη· Ὄσιρις δὲ διεσπάσθη καὶ ἀνάρπαστος γεγονώς, θεὸς ἐνομίσθη.

58,350,5-6. Ἀκούσατε λόγον ἀνδρὸς οὐ μετρίως τὰ τοιαῦτα πεπαιδευμένου. Περὶ ἑαυτοῦ λέγει, οὐχ ἁπλῶς ἑαυτὸν ἐπαινῶν, ἀλλὰ ῥητορικώτερον εἴρηται καὶ ἀνεπαχθῶς· νόμος γὰρ ῥητόρων ἐν συμβουλευτικῷ εἴδει καὶ ἑαυτόν

τινα ἐπαινεῖν, εὐπαράδεκτον ποιοῦντα τὴν συμβουλήν· οὐδὲ γὰρ ἂν μετριολογοῦντος τοῦ συμβουλεύοντος εὐχερῶς ἂν δέξαιτό τις τὴν προτροπήν. Πόθεν οὖν τὸ τῆς τοιαύτης παιδεύσεως [τῆς παιδ.] μοι περίεστιν; Ἐκ τῶνδε, φησί, καὶ τῶνδε.

58,350,10-11. Μέγα μὲν τὸ μηδὲ τὴν ἀρχὴν τυχεῖν ἁμαρτόντας ἢ μὴ τὰ μέγιστα. Ἐπειδὴ γὰρ ᾔσθητο τὸ «ὑπὲρ τὴν φύσιν» εἰρηκώς, αὐτίκα πρὸς διόρθωσιν ἦλθεν ἐπενεγκὼν «ἢ μὴ τὰ μέγιστα»· οὐδεὶς γὰρ ἀναμάρτητος· ὑπὲρ γὰρ τὴν ἀνθρωπίνην φύσιν τὸ ἀναμάρτητον, φησίν, ἔταξεν [ἀναμ. ἔτ.] ὁ Θεός. Ὑποπτευθείη δ' ἂν πως καὶ τοῦτο, ἀνθρωπίνης φύσεως εἶναι λέγειν τὸ ἁμαρτητικὸν [λέγ. τὸ ἀναμάρτητον]· καί, εἰ τοῦτο ἀνεύθυνόν πως, ὡς ἀνθρωπίνης φύσεως ἴδιον ἡ ἁμαρτία· τί οὖν ἐροῦμεν; Ἀπὸ τοῦ συμβαίνοντος τοῦτο σκοπεῖσθαι· οὐ γὰρ κακὸν ἡ φύσις, οὐδ' ἐπὶ ἁμαρτίᾳ ἔκτισται [ἐροῦμεν· ἔκτισθαι], ἀλλ' ἐπὶ ἀφθαρσίᾳ· εἰ καί πως δυνάμει καὶ τοῦτο τῇ φύσει παρῆν, ὃ τοίνυν δύναμιν εἶχε λαβεῖν, εἶγε, εἶχέ πως καὶ τοῦτο οὐ τάξαντος τοῦ Θεοῦ, τῇ παραβάσει δὲ παρεισφθαρείσης καὶ εἰς ἐνέργειαν ἐλθούσης, ὄφεως ἀπάτῃ διὰ τοῦ ἐν αὐτῷ λαλήσαντος, τῆς ἁμαρτίας. Διὰ [διὸ] **[1149]** τὸ ἀποβεβηκὸς ἤδη τάξαι λέγεται τὸν Θεὸν γραφικῷ χαρακτῆρι, τὸν οὕτω τὸν ἄνθρωπον πλάσαντα καὶ τούτου δεκτικὸν ἐργασάμενον.

58,350,12-13 Δεύτερον δὲ ὡς [δεύτ. ὡς] ἐμοὶ δοκεῖ. Πρώτου [πρῶτος] τεθέντος τοῦ μὴ ἁμαρτεῖν ἢ μὴ μέγα, δεύτερον ἕπεται τὸ πταίσαντας καὶ παιδευθέντας, εἶτα ἀνέσεως ἐπιτυχόντας, ἐν αἰσθήσει ἀεὶ καὶ μνήμῃ τῆς παιδεύσεως εἶναι καὶ μὴ ἁμαρτεῖν πάλιν, ἀλλ' ἀποφυγεῖν μάστιγα δευτέραν ἐκ δευτέρας, φησί, κακίας καὶ ἁμαρτίας

58,351,4. Μηδὲ τὸν παρόντα καιρὸν ἐπαίρωμεν. Τουτέστι, μὴ ταῖς ἐπινικίοις ἡμῶν [ὑμῶν] πανηγύρεσι καὶ εὐωχίαις ταῖς εἰρημέναις ἐπιχείρωμεν τοσοῦτον, ὥστε καὶ ἐπαίρειν καὶ μεγαλύνειν αὐτὰς πλέον ἢ χρὴ ἑλληνικοῖς τισιν ἔθεσι καὶ καλλωπισμοῖς· μηδὲ κρότοις καὶ μέθαις ἐπαίρωμεν τὸν καιρόν· οὐ γὰρ ἄξιόν ἐστι τιμᾶν τὰ θεῖα καὶ τὰ ἡμέτερα τούτοις τῶν πανηγύρεων· ἀτιμία γάρ, ἀλλ' οὐ τιμή, τὰ οὕτω τελούμενα.

58,351,26. Εἰ καὶ ὀρχήσασθαι δεῖ σε. Τὴν Ἡρωδιάδος ὄρχησιν παραιτεῖται, ἧς ἔργον, φησί, Βαπτιστοῦ θάνατος· τὴν δὲ τοῦ Δαυὶδ [δᾶδ] καὶ ἐπικρίνει, μὴ ἀτιμάζων, ἐπὶ τῇ καταπαύσει τῆς κιβωτοῦ, ἣν καὶ τῆς εὐκινήτου καὶ πολυστρόφου τῆς κατὰ Θεὸν πορείας μυστήριον ἡγεῖται ἀλληγορῶν καὶ δίδωσι τούτοις νοεῖν οὐκ ἀπόβλητον εἶναι καὶ τὴν ἐν ἑορταῖς καὶ εὐφροσύναις καὶ πανηγύρεσι θείαις διάχυσιν ψυχῆς εὐσεβοῦς, δοξαζομένου Θεοῦ καὶ τῇ οἰκονομίᾳ Χριστοῦ καὶ ταῖς τῶν ἁγίων μνείαις ἐλλαμπρυνομένης [μνήμαις ἐλλαμπομένης]. Ἔνθεν, οἶμαι, οὐκ ἀποβέβληται. παρακεχώρηται δέ πως, καὶ ὡς εὐσεβὲς [καὶ εὐσ.] λελόγισται ἡ τῶν ᾀσμάτων ὑμνῳδία, τοι-

κίλως σὺν ἡδονῇ στρεφομένης [τρεφομένης, στρεφομένοις] τοῖς ῥυθμοῖς τῆς ᾠδῆς, ὡς καὶ χεῖρας εὐρύθμως νομᾶσθαί τε καὶ πόδας, καὶ ὅλον πως συνδιατίθεσθαι τῷ μέλει τὸ σῶμα ἀκαταγνώστως.

58,351,38. Μὴ ὧν κατέγνωμεν· Τουτέστι μὴ τῶν πράξεων ὧν κατέγνωμεν, ὡς βισίων καὶ τυραννικῶν, τὰ αὐτὰ τῶν πράξεων ἐκείνων διαπραξώμεθα.

58,352,5. Μὴ τοίνυν θελησωμεν τὴν ὀργὴν μετρηθῆναι. Οἷον ἀντισηκῶσαι καὶ ἀντιμετρῆσαι τὴν ὀργὴν καὶ τὰς τιμωρίας · μὴ τοίνυν θελήσωμεν ἀντιδοῦναι κακὰ ἀντὶ κακῶν, καὶ οἷα ὑπὸ τῶν Ἑλλήνων πεπόνθαμεν ποιῆσαι εἰς αὐτούς· ἀξίως γὰρ οὐ δυνησόμεθα κολάσαι. Ἐπεὶ οὖν τὸ πᾶν εἰσπράξασθαι οὐ δυνατόν, τὸ πᾶν συγχωρήσωμεν.

[1152] 58,352,9-10. Ὃς οἷς πέπονθε Ὅστις Χριστὸς καὶ Θεὸς ἡμῶν ἐφ' οἷς πέπονθε τὸ εὐδόκιμον καὶ αἰνετὸν εἰς νίκην ἔχων, πολλῷ πλέον νενίκηκεν, ἐφ' οἷς, ὡς Θεὸς δυνατὸς ὢν πολλαπλάσιον εἰς αὐτοὺς ἐνδείξασθαι τὴν ὀργήν, τοῦτο οὐκ ἐποίησεν, ἀλλὰ καὶ ὑπερεύχεται τῷ Πατρὶ μὴ στῆναι αὐτοῖς τὴν ἁμαρτίαν. φιλανθρωπίας ὑπερβολῇ.

58,352,37. Ἔξω τὰ θεῖα καὶ τὰ ἡμέτερα. Ὅσα ἐκ Θεοῦ καὶ τῶν ἁγίων ἔχομεν Γραφῶν περὶ τῶν ἐκεῖθεν δικαιωτηρίων, ἐῶ, φησί, καὶ καταλιμπάνω ταῦτα· ἐπὶ δὲ τοὺς σοὺς ἐλθὲ τῶν Ἑλλήνων λόγους, οἷς ἀρέσκονται ποιηταὶ καὶ φιλόσοφοι, οἳ [οἷον] ποταμοὺς πυρὸς εἰς κόλασιν ἐκτιθέασι. Πυριφλεγέθοντας Κωκυτούς τε καὶ Ἀχέροντας, πληθυντικῶς οὕτω πως εἰρημένους οἵστισι τοιούτοις κολάζουσι [οἵστισι κολ.] ποταμοῖς οἱ παρ' ὑμῖν [ἡμῖν] ποιηταὶ καὶ φιλόσοφοι τὴν κακίαν. Καὶ Τάνταλον δίψῃ φασὶ κολαζόμενον [δίψη κολ.] ἐφ' ὕδατος ἑστηκότα μέχρι στόματος καὶ γενείου Ὅμηρος[α] ἀλλ' ὅτε, φησίν, ὁ γέρων κύψειε πιέειν μενεαίνων, καταζήνασκε [κατεζήν.] δαίμων, ξηραίνων τὴν ἐν ᾗ ἕστηκε λίμνην. Τιτυὸν δὲ ἐπὶ πολλὰ κείμενον πέλεθρα (τοσοῦτος γὰρ ἦν τὸ σῶμα), ὄρνισι τὸ ἧπαρ κειρόμενόν τε καὶ ἀεὶ ἐσθιόμενον, εἰ καὶ ἀεὶ πληρούμενον [ἐσθ. καὶ μὴ πληρ.], ὁ μῦθός φησι· Ἰξίονα δὲ ῥοιζουμένῳ τροχῷ συνδεδεμένον καὶ συγκυκλούμενον· καὶ οὗτοι μὲν οἱ τῶν ἐν ᾅδου κολαστηρίων ἠξιωμένοι· οὑτοσὶ δὲ ὁ ἐξάγιστος Ἰουλιανὸς τίνων; Πολύ, φησί, χαλεπωτέρων τούτων καὶ πείσεται καὶ οἰμώξεται, ὅσῳ καὶ πονηρίᾳ [πονηρίᾳ] διήνεγκεν· ἐπεὶ καὶ αἱ τίσεις καὶ ἀντιδόσεις κατὰ τὸ μέτρον νέμονται τῶν ἡμαρτημένων.

58,353,11. Τοῦτό τοι ἀντὶ ποδὸς ξεινήιον. Εἴρηται ὡς Ὀδυσσεὺς ὑποστρέφων Ἰλιόθεν πολλοῖς περιπέπτωκε κινδύνοις καὶ εἰκοστῷ [περιπεπτωκὼς κινδ. εἰκ.] ἔτει ἐν τῷ ἑαυτοῦ ἔφθασεν οἴκῳ, πτωχῷ ὅμοιος, μηδὲ γνωριζόμενος ὑπό τινος καὶ

α Ὀδυσ ια

προφάσει δοκιμῆς τὸ τόξον λαμβάνει, ᾧτινι Πηνελόπη, τοὺς ἑαυτῆς [ἑαυτοὺς] ἐξαπατῶσα μνηστῆρας, τοξεύειν κατὰ τῶν ὀπῶν τῶν πελέκεων διεκελεύετο τῶν δὲ ἠπορηκότων, οὗτος ἐντείνει μὲν τὸ τόξον καὶ τοῦ σκοποῦ τυχών, λοιπὸν ἐπὶ Ἀντίνοον τὸν πρῶτον βαλλει τῶν μνηστήρων, καιρίως πλήξας, πρὸς ὃν καὶ τουτὶ τὸ ἔπος[α] ἐπιφθέγγεται πεσόντα Ἀντὶ ποδός, λέγων, τουτί σοι τὸ ξένιον [ξένειον]· πόδα **[1153]** δὲ λέγει [πόδα λέγ.] βοός, ὅντινα προσαιτοῦντι τῷ Ὀδυσσεῖ ἀπὸ τῆς τραπέζης λαβὼν καὶ ἐπιρρίψας κακῶς διέθηκε· κέχρηται δὲ τούτῳ κατὰ τοῦ παλαμναίου Εἰδωλιανοῦ (οὕτω γὰρ αὐτὸν καλεῖν οἰκειότερον) ἀνθ' ὧν ὠμῶς κέχρηται καὶ ἀπανθρώπως χριστιανοῖς, εἰ καὶ τῷ κωδίῳ τῆς δοκούσης ἐπιεικείας τὸν ἀραβικὸν τῆς μανίας λύκον ὑπέκρυπτεν [ἀπέκρ.], λῷστε δὲ εἶπεν ἀντὶ τοῦ βέλτιστε καὶ καλέ, σαρκάζων προσειπεῖν δὲ αὐτὸν ἔφη τοῖς αὐτοῦ, ἐπειδὴ τῶν ἑλληνικῶν ποιημάτων καὶ συγγραμμάτων αἱ κομμωτικαὶ αὗται λέξεις γνωρίζονται·

58,353,16-17 Νειλωους καταράκτας [καταρρ.] Αἰθιοπίας Πέτραι ὑψηλαὶ καὶ ἀπότομοί εἰσιν ὕπερθεν Αἰθιοπίας, ἐξ ὧν καταρρήγνυται ὁ Νεῖλος καὶ καταρρεῖ· δούπῳ δὲ καὶ ἤχῳ πολλῷ προσαρασσόμενος ταῖς πέτραις ὄνομα τῷ τόπῳ Καταδούπους [κατὰ δουπῶν] ἀφῆκεν. Ὥσπερ δὲ ἀδύνατον [ὥσπ. ἀδύν.] τούτων κατασχεῖν τὸν ῥοῦν, οὕτω φησίν. ἀμήχανον καὶ τὰς Χριστιανῶν γλώσσας πεδῆσαι, τοῦ μὴ τὰ ὑμέτερα διελέγχειν στηλιτευούσας.

[illegible] Βασίλειος καὶ Γρηγόριος. Κοινοποιεῖται κἀνταῦθα τὰ ἑαυτοῦ τοῖς τοῦ μεγάλου Βασιλείου, οὕς, φησίν, εἰδὼς ὁμονοοῦντας καὶ ἀντιδοξοῦντάς σοι, «τὴν Κυκλώπειον ἐτίμας τιμὴν καὶ τελευταίους ἐταμιεύου τῷ κινδύνῳ καὶ δῶρον ἐπινίκιον ἐπενόεις τοῖς δαίμοσιν, εἴ σε ἀπὸ τῆς Περσιδος ὑπεδεξάμεθα [ἐδεξ.] ἐπανήκοντα». Κυκλώπειον δὲ τιμὴν τίνα λέγει; Ὀδυσσεύς, καθ' Ὅμηρον[β], ἔτι περισωζομένης αὐτῷ τῆς νηὸς καί τινων ἑταίρων, εἰς νῆσον καταίρει Κυκλώπων. Καὶ δὴ τῆς νηὸς ἀποβὰς ἄνεισι πρὸς τὴν νῆσον, εἴ τινας ἀνθρώπων εὕροι κατοικοῦντας. Ὁ δὲ σπηλαίῳ κενῷ περιτυχὼν καί τινα σημεῖα ἐνοικούντων εὑρηκώς, ἔμενε τοὺς οἰκήτορας· ἦλθε δέ τις ἀνὴρ ὑπὲρ ἄνδρα οὐδὲ γὰρ ἐῴκει, φησὶν Ὅμηρος[γ], ἀνδρὶ σιτοφάγῳ. Κύκλωψ οὗτος ἦν, ὄνομα Πολύφημος, θρέμματα καὶ νέμων καὶ εἰσελαύνων ἤδη ἐν τῷ σπηλαίῳ ὁ δὲ τοῦτον καὶ τοὺς ἑταίρους ἰδών, τίνες εἶεν ἠρώτα· Ὀδυσσεὺς δὲ καταλέγει τά τε ἄλλα καὶ τοὔνομα. Οὖτιν ἑαυτὸν παρονομάζων· εἶτα σύν τε δύο τῶν ἑταίρων μάρψας τε καὶ συντρίψας, δεῖπνον, φησὶν ἑαυτῷ ποιεῖται. Δείσας οὖν Ὀδυσσεὺς οἴνῳ αὐτὸν δεξιοῦται, ὃν ἐν ἀσκῷ φέρων ἧκε. καὶ λόγοις ἐκμειλισσόμενος, ξένιον ἐπεζήτει· ὁ δὲ πύματον ἔφη[δ] τὸν

α. Ὀδυσσ θ 290 β. Ὀδυσσ θ γ Ὀδυσσ. θ, 190 δ Ὀδυσσ θ, 369

Οὖτιν κατέδεσθαι, «τοῦτό τοι ξεινήιον» ἐπειπὼν (αὕτη οὖν ἡ Κυκλώπειος εἴρηται χάρις)· ὃν ἐν ὑστέρῳ τῷ οἴνῳ τὰς φρένας δαμασθέντα ἐτίσατο Ὀδυσσεύς, ὀφθαλμοῦ ἀλαώσας τε καὶ ἀποστερήσας.

58,353,29. Οὐ γὰρ ἀγεννέστεροι τῶν νεανίσκων ἐκείνων. Τῶν τριῶν λέγει παίδων καὶ Δανιὴλ τοῦ προφήτου καὶ τῶν ζ' Μακκαβαίων σὺν μητρὶ **[1156]** καὶ ἱερεῖ συγκινδυνευσάντων, καὶ τῶν «ἐπὶ σοῦ νεανιευσαμένων, ὧν ὁ μὲν τὴν μητέρα τῶν σῶν θεῶν καθυβρίσας πως καὶ τὸν βωμὸν διασπείρας» καὶ διασκορπίσας, προσεκλήθη [διασκ. προσεκλ.] μὲν ὡς κατάκριτος [ὡς κριτός], εἰσῆλθε δὲ πρὸς τὴν ἐρώτησιν καὶ ἐξέτασιν νικηφόρος, ἐξῆλθε δὲ πλείονος τῆς παρρησίας· ἡ πεῖρα γὰρ εὐθαρσέστερον ἐργάζεται τὸν οὐχ ἡττημένον. «Ὁ δὲ πᾶν τὸ σῶμα δορκαλίσι καταξανθείς», τουτέστι δορκάδος νεύροις ἢ λώροις. Τούτους δέ φασιν εἶναι τόν τε Ἀρεθούσιον Μάκρον καὶ τὸν μακαρίτην Εὐσέβιον Σαμοσάτων. Καὶ τὰ λοιπὰ ἄξια σημειώσεως, ὅπως γελᾶται καὶ καταπαίζεται μανία ἀσεβῶν καρτερίᾳ τῶν εὐσεβῶν καὶ μικρὰ πάντα τὰ δεινὰ καὶ τὰ μέγιστα εἴποις, πρὸς ὑψηλὸν καὶ μέγα τὸ τῆς ψυχῆς κεκτημένον ἀνάστημα.

—

58,354,2. Τῶν Πορφυρίου ψευσμάτων. Οὗτος ὁ Πορφύριος κατὰ τῆς πίστεως ἡμῶν ἔγραφε καὶ περὶ δογμάτων ἑλληνικῶν ὡς περὶ θείων διεξιὼν [δεξιῶν], συνέταξε λήρους καὶ φάσματα, ὡς αὐτὸς καὶ κτίσας καὶ τάξας οὐρανὸν καὶ γῆν καὶ τὰ ἐν αἰσθήσει πάντα, οὐ μόνον δέ, ἀλλὰ καὶ περὶ νοητῶν καταφρυαξάμενος [καταθρασσυνόμενος].

58,354,3-4. Ἢ τοῦ Μισοπώγωνος. Ἡνίκα γὰρ ἐν Ἀντιοχείᾳ γέγονεν Ἰουλιανὸς ἐπὶ Πέρσας στρατεύων, ἀπέσκωψαν εἰς αὐτὸν Ἀντιοχεῖς τά τε [τά τ'] ἄλλα καὶ τὸν πώγωνα, ὡς αὐτὸς ᾤετο, τὸν βαθὺν καὶ κατεσκληκότα καὶ ἱερατικόν [ἱερατικήν], ἐφ' οἷς αὐτὸς καὶ [ἐφ' οἷς καὶ] μέγα ἐφρόνει· οἱ δὲ πλαγίως καὶ ὡς ἀποστάτην [καὶ ἀποστασίαν] ἐπιτωθάζοντες καὶ τὸν πώγωνα ἐλοιδόρουν· πρὸς οὓς τὸν Μισοπώγωνα τοῦτον γράφει, ἤτοι Ἀντιοχικόν· καὶ τοῦτο γὰρ προσεπιγράφει. Ἐσχημάτισται δὲ αὐτῷ τὰ τῆς ὑποθέσεως· ἐπαινῶν γὰρ ψέγει καὶ δοκῶν ἀφροντιστεῖν, ὡς δῆθεν φιλοσοφῶν, πάνυ νικᾶται τῇ ὀργῇ, σφοδρότερον ἐπεξιὼν καὶ δάκνων τῷ λόγῳ τοὺς σκώψαντας· ἀπογυμνοῖ γὰρ ἐν τῷ λόγῳ τὰ ἐν τῷ νῷ καὶ τὰς ὕβρεις προφέρει καὶ τὴν εἰς Χριστὸν προσονειδίζει πίστιν· ἅ τις καὶ ἐν αὐτῷ τῷ λόγῳ κατίδοι σαφέστερόν τε καὶ διεξοδικώτερον· πολλὰ γὰρ στίγματα, ὡς προσόντα τῇ Ἀντιοχέων πόλει, ἐνέστιξεν ἑαυτῷ, Λιβανίου συμπεπονηκότος τῇ συγγραφῇ· ἐν ᾧ καὶ μεγάλα [μέγα] ἐπεκόμπασεν Ἰουλιανὸς προστι**[1157]**θεὶς μηδὲ πώποτ' ἀπεπτῆσαι, ὡς οὐκ ἀπλήστως δῆθεν χρώμενος ταῖς τροφαῖς.

58,354,16-17. Ἡράκλειοι δὲ στῆλαι ἐν Γαδείροις ἑστᾶσιν, ἐν ἑκατέραις, ὥς φασιν, ἠπείροις, Εὐρώπῃ τε καὶ Λιβύῃ.

58,354,19. Κ ι ν ο υ μ έ ν η ν. Κεκίνηται ἤδη καὶ κινεῖται ἔτι καὶ κινηθήσεται ἔτι καὶ ἔτι, ὦ μακαριώτατε καὶ προφητικώτατε ἄνερ, εἴπερ εὖ τε καὶ καλῶς ἀπεφοίβασας καὶ συνοδεύει τῷ παντὶ χρόνῳ λάλος εἰκὼν καὶ στήλη, τά τε [τά τ'] ἐκείνου στηλιτεύουσα καὶ δημοσιεύουσα αἴσχη καὶ τῆς ἀσεβείας τὰ δόγματα καὶ τὰ σὰ κατορθώματα καὶ τῆς εὐσεβοῦς Χριστιανῶν πίστεως παιδεύουσα ἱερά τε καὶ θεῖα διδάγματα.

Τ έ λ ο ς. Μηδεὶς τῶν ἐντυγχανόντων ἐπιτιμάτω εἰ καί τινα τῶν μὴ λίαν ἀσαφῶν σημειώσεως ἔτυχε τῆς παρ' ἡμῶν, ὡς δῆθεν ἑρμηνείας δεῖσθαι καὶ σαφηνείας εἰς δήλωσιν τῶν ὑποκειμένων ἐννοιῶν· ἐμέλησε γὰρ ἡμῖν οὐ τῶν ῥητῶν μόνον τὸν ἐγκεκρυμμένον εἰς φῶς, κατὰ τὸ δυνατόν, ἄγειν νοῦν, ἀλλὰ καὶ τῶν εἴς τινα τῶν παραδόξων καὶ θαύματος ἀξίων σημειοῦσθαι, πρὸς δέ, καὶ τοῦ Ἀποστάτου τὸ κακόηθές τε καὶ τῶν κακουργημάτων τὸ ἐν ταῖς μηχαναῖς ποικίλον, ἔτι δὲ [ἔτι τε] καὶ τὴν ὠμότητα καὶ ἀπανθρωπίαν αὐτοῦ τε ἅμα καὶ τῶν τοῖς εἰδώλοις προστετηκότων καὶ τὴν παράδοξον αὖθις κατάλυσιν τοῦ τυράννου οὕτω, θᾶττον ἢ βουλῆς εἶχεν, αὐτοῖς εἰδώλοις καὶ δαίμοσι καὶ προσκυνηταῖς αὐτῶν [αὐτοῖς] οἰχομένου· μάλιστα δὲ πάντων, τὸ τῆς ἀνασκευῆς ἀμήχανον καὶ πολύχουν τῶν [τῶν τ'] ἐπιχειρημάτων καὶ ἐργασιῶν τὸ πλούσιον καὶ μετ' ἰσχύος εὐπρόσοδον, καὶ τῶν ἐνθυμημάτων δὲ τὸ δριμύ τε καὶ ἐν βάθει συνεστραμμένον καὶ ἄφυκτον, ὡς αὐτὸν τοῖς αὐτοῦ πεπεδῆσθαί τε καὶ περιτρέπεσθαι καὶ μηδ' ἀναπνεῖν συγχωρεῖσθαι τὸν ἄθλιον, ἀγχόνῃ λόγων τῶν αὐτοῦ σφιγγόμενόν τε καὶ συμπνιγόμενον, ὅπερ καὶ ἄμαχον εἰς ἀντίρρησιν· οὐ μόνον δέ, ἀλλὰ δή γε καὶ τοῦτο γὰρ ἐν ἁπάσῃ τῇ τοιαύτῃ πραγματείᾳ ἡμῖν ἐσπουδάσθη, καὶ τῶν μικρὰ βλεπόντων, καὶ γάλακτος, ἀλλ' οὐ στερεᾶς τῶν λόγων τροφῆς δεομέ[1160]νων, συνεῖδον τὴν ὠφέλειαν. Διὸ καὶ τὴν πάνυ [τὴν οὐ πάνυ] στερεὰν καὶ ἀνδρώδη καταμασώμενος [καταμασόμ.] καὶ καταλεαίνων τροφὴν καὶ κατεργαζόμενος οὐ διέλιπον, ὡς μηδὲ λέξεων ἐξηγήσεως καταφρονῆσαι· καὶ τῶν διὰ μακροῦ δὲ ἀποδιδομένων περιόδων, συνείρων καὶ συνάγων, ἐπιτομώτερον καὶ σαφέστερον, ὡς οἷόν τε, τὸν σκοπὸν ἐξεθέμην· ὅπως, μηδενὸς τῶν ἀνδρικῶν τε καὶ ὑψηλῶν εἰς θεωρίαν βλαπτομένου [βλαπτομένων] καὶ οὗτοι τῷ κοινῷ τε καὶ ἁπαλῷ καὶ εὐθεῖ καὶ συνήθει τῆς ἑρμηνείας ὠφελοῖντο· τινὰ δὲ καὶ περὶ στιγμῶν τεχνικῶς ὑπεσημηνάμην.

ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ

ΕΠΟΝΟΜΑΖΟΜΕΝΟΥ ΜΙΚΡΟΥ
ΣΧΟΛΙΑ ΕΙΣ ΤΟ ΕΓΚΩΜΙΟΝ ΓΡΗΓΟΡΙΟΥ
ΕΙΣ ΗΡΩΝΑ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ

Κώδ. Ρ. 198,1: Μάξιμός τις, κυνικὸς φιλόσοφος, προσοικειωθεὶς τῷ πατρὶ καὶ ὑπ' αὐτοῦ ἴσα καὶ ἀδελφῷ τιμηθείς τε καὶ ἀσμενέστατα προσδεχθείς, ἐκ τῆς ἑλληνικῆς ἀποστὰς δῆθεν λατρείας τῆς τε κυνικῆς ἀναιδείας, κατηχεῖται καὶ ἀπολούεται τὰ τῆς πλάνης αἴσχη· καὶ Χριστιανὸς γεγονώς. ὁμοδίαιτος, λοιπόν, ἐχρημάτισε τῷ μεγάλῳ· εἶτα μεταβαλών, ἐπανίσταται καὶ καθυλακτεῖ κατὰ τοῦ εὐεργέτου, καὶ τὸν θρόνον ὑφαρπάζει, χειροτονηθεὶς ὑπὸ τῶν διαφερομένων οὐ τῇ πίστει μᾶλλον ἢ τῷ θρόνῳ. Διὸ καὶ μικρὸν ὑποχωρήσας τοῦ θρόνου, καὶ ἐν ἀγρῷ τινι ἡσυχάσας, ἔπειτα ὑπό τε τῶν ὀρθοδοξούντων καὶ τιμᾶν ἀρετὴν εἰδότων κληθείς, μὴ φερόντων τὴν ἀλλοτρίωσιν, ἐπέστη, καὶ τοῦτον προσφωνεῖ τὸν λόγον.

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΙΚΡΟΥ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ ΛΟΓΟΝ ΤΟΥ ΓΡΗΓΟΡΙΟΥ ΠΡΟΣ ΗΡΩΝΑ ΤΟΝ ΦΙΛΟΣΟΦΟΝ

Καὶ οὗτος, κυνικὸς φιλόσοφος ὤν, Ἀλεξανδρεὺς τὸ γένος, εὐγενὴς καὶ ἐξ εὐγενῶν ἀλλὰ γὰρ καὶ ἐκ μαρτύρων, βδελυξάμενος τὸν κυνισμόν, αἱρεῖται τὰ ἡμέτερα καὶ τῶν ἡμετέρων προτιμᾷ τῶν ὁδῶν τὴν εὐσεβεστέραν καὶ λυσιτελεστέραν· καὶ κατὰ τὸν καιρὸν τῆς Ἀρειανικῆς αἱρέσεως, μετὰ τὴν τοῦ ἁγίου καὶ μεγάλου Ἀθανασίου κοίμησιν, Πέτρου τοῦ μακαριωτάτου. μετὰ τοῦτον προβεβλημένου, ἐξωσθέντος, καὶ Λουκίου τὸν θρόνον ἁρπάσαντος καὶ διωγμὸν μέγαν κατὰ τῶν ὀρθοδόξων κεκινηκότος, ζήλῳ κινηθεὶς ὁ φιλόσοφος οὗτος παρρησιάζεται τὴν ἀλήθειαν νουθετῶν, διδά[1161]σκων, ἐλέγχων ἰδιώτας, ἄρχοντας, ἰδίᾳ καὶ δημοσίᾳ καὶ δὴ συναρπασθεὶς ὑπὸ τῆς δυσσεβοῦς ἐξουσίας. ξαίνεται κατὰ νώτου πολλὰς καὶ ὑπερορίᾳ κατακρίνεται. Πρὸς τοῦτον οὖν ἐκπεφώνηται ὁ λόγος παρόντα καὶ τῶν ἐπαίνων τῶν ἑαυτοῦ ἐπαΐοντα.

59,190,22 Τὸν φιλόσοφον ἐπαινέσομαι. Καὶ ἐν [illegible] φου ὅμως ἐπαινέσω· αὐτὸ γὰρ τοῦτο τὸ φιλόσοφον ἐπαινεῖν, φιλόσοφόν ἐστι καὶ προσφιλὲς τῷ Θεῷ

59,190,23. Ἐπαινέσω δέ. Κατασκευὴ τοῦτο τῆς προτάσεώς ἐστιν ἐξ αἰτίας· ἐγὼ γὰρ σοφίας, ἤτοι τοῦ Θεοῦ, θεράπων εἰμὶ καὶ δοῦλος, φιλόσοφος δὲ ἐκεῖνος, τουτέστι Θεὸν φιλῶν· ἐπαινῶν οὖν αὐτόν, Θεὸν φιλῶ, καὶ προσφιλές τι Θεῷ ἐργάζομαι, καὶ φιλοσοφῶ

59,190,24. Ὥστε μοι καὶ πρὸς λόγον ὁ ἔπαινος. Ἀντὶ τοῦ εὔλογος καὶ κατὰ λόγον γεγενημένος, ἵνα, εἰ μή τι ἄλλο, ἐν τῷ θαυμάζειν τὸν φιλόσοφον, φιλοσοφῶ· ὡς γὰρ ὁ ἐμὸς λόγος καὶ ὁ σκοπὸς ἔχει, εὔλογόν ἐστιν ἢ φιλοσοφεῖν ἢ τιμᾶν φιλοσοφίαν, ὅπως μὴ ἀλογίαν κατακριθῶμεν ὄντες λογικοί· καὶ διὰ τοῦ τοιούτου λόγου τῆς φιλοσοφίας εἰς τὸν θεῖον λόγον σπεύδομεν ἀνελθεῖν.

59,190,33-34. Τοῦτο γὰρ οὐκ ἔτι περιφρονήσει φιλοσοφία. Τοῦτο· ποῖον; Τὸ ἡμᾶς ὠφελεῖν· τίς; Ἥτις φιλοσοφία ἔργον ἔχει καὶ σπούδασμα τὸ καλοποιεῖν τὸν ἡμέτερον βίον.

59,191,2. Καὶ δι' εὐγλωττίας. Τοῦτο ἔργον τῆς νόθου σοφίας, ἣ ἐν λόγῳ μόνῳ κεῖται καὶ εὐγλωττίᾳ, καταγοητεύουσα καὶ κατακηλοῦσα καὶ ὡσεί πως φαρμακεύουσα, ὑπεράνωθεν δὲ τούτου ἐπαρθῆναι μὴ δυναμένη, ἀλλὰ μηδὲ βουλομένη, φησί.

59,191,3-4. Ὁ περιδέξιος τὴν ἀρετήν· Ὁ ἀμφιδέξιος, ὁ ἀμφοτέρας χερσὶ χρήσασθαι δυνατὸς καὶ τῇ ἀριστερᾷ ὥσπερ τῇ δεξιᾷ ἐνεργεῖν.

59,191,5. Ἐν ἀλλοτρίῳ δὲ σχήματι, τῇ λαμπροφορίᾳ φησί. Ἡμέτερον γὰρ τὸ μελανειμονεῖν καὶ κατὰ τὴν ἐσθῆτα ταπεινοφρονεῖν καὶ μὴ περπερείᾳ ἐπαίρεσθαι καὶ ἱματίων καλλωπισμῷ σοβεῖν, ἀλλὰ καὶ κατὰ ταῦτα φιλοσοφεῖν ἀληθῶς· ὁ δὲ τύπῳ ἐγκωμίων εὐφήμῳ οὕτως τῷ ἀγγελικῷ περιτεθεικὼς ἀποσεμνύνει τῷ σχήματι.

59,191,8. Δεῦρό μοι, φιλόσοφε. Τούτοις διαφορὰν σοφίας καὶ φιλοσοφίας νομοθετεῖ· ἕτερον γάρ ἐστι τὸ φιλούμενον, οἷον σοφία ὡς ὑποκείμενον· ἕτερον δὲ τὸ φιλοῦν πρόσωπον, ὁ δεῖνα, ὃ καὶ κατηγορουμένου τύπον ἐπέχει. Εἰ μὴ γάρ τίς ἐστι σοφία, μέχρι τίνος ῥηθείη τὸ σοφίαν φιλεῖν; Ἕως τίνος ὁρισθήσεται τὸ φιλεῖν, εἰ μή τι τὸ φιλούμενον εἴη, οἷον σοφία;

59,191,14. Κἀμοῦ τοῦ διὰ τούτων μυσταγωγου[1164]μένου. Ἢ τὴν χειροτονίαν ἢ τὴν μυσταγωγίαν καὶ τὸ βάπτισμα λέγει, ὃ καὶ μᾶλλον εἰκός· τὰ μὲν γὰρ χριστιανῶν ἤδη καὶ φρονεῖν καὶ ποιεῖν τέως ἀκατηχήτῳ καὶ τοῦ βαπτίσματος ἅπερ ἐτέλει· ὡς ὁ καιρὸς ἐκείνοις ἐθίμως τηνικαῦτα εἶχεν, ἐν τῷ τέλει ταμιευσομένοις τὸ βάπτισμα· διὰ τούτων δέ, ἢ τῶν ἱερέων λέγει ἢ τῶν θείων τελετῶν καὶ τῆς μυστικῆς τραπέζης, οἷς σε προσάγει καὶ ὁ λόγος τῆς σοφίας καὶ τῆς εὐσεβοῦς διδασκαλίας καὶ ὁ βίος τῆς πολιτείας καὶ πράξεως, δι᾽ ἐμοῦ, φησί, τοῦ μυσταγωγοῦντος τὴν θέωσιν. Χριστὸν διὰ τοῦ φωτίσματος ἐνδυόμενοι, υἱοὶ Θεοῦ καὶ θεοὶ γινόμεθα.

59,191,17. Καὶ ἀνακηρύξω οὐκ ἐν Ὀλυμπίᾳ. Ὀλυμπία τόπος ἦν ἐν Ἀρκαδίᾳ τῆς Πελοποννήσου καὶ ὄρος ὑψηλόν· ἐν ᾧ ἀγῶνας ἐτησίους ἐξετέλουν, καὶ τοὺς νικῶντας ἐστεφάνουν ἀνακηρύττοντες· παγκράτιον δὲ καὶ πυγμὴν καὶ δίαυλον εἴδη ἀγωνισμάτων φησὶ εἶναι, περὶ ὧν εἴρηται ἐν ἄλλοις πλατύτερον, εἰς τιμὴν ἡρώων καί τινων δαιμόνων τελούμενα, συμφορᾷ τινι καὶ μύθῳ τετιμημένων· μυθεύονται γάρ, βιαίως τινὸς ἐκεῖ τελευτήσαντος, ἐκεῖσε ταφῆναι, περὶ οὗ ὁ ἀγών. Συνήθειαν δὲ ἔννομον εἶπε, διὰ τὸ συνηθείᾳ μέν τινι πρότερον ταῦτα τελεῖσθαι, ἔπειτα δὲ καὶ νόμῳ κρατύνεσθαι.

59,191,29-30. Καὶ τῶν διωκόντων τῷ [τὸ] ποιεῖν κακῶς. Οὕτω συνάψεις τὸν λόγον καὶ τῶν διωκόντων διωκτῶν διώκτης· πῶς; Ἐν τῷ πάσχειν προθύμως τὰ κακὰ ποιούμενα ὑπὸ τῶν διωκτῶν· οὐδὲν γάρ, φησί, οὕτω τὸν διώκτην καὶ ποιοῦντα κακῶς νικᾷ, ὡς ἡ προθυμία τοῦ πάσχοντος.

59,191,34. Οὐδὲ φιλόσοφον. Ἔστι δηλονότι, οὐδὲ ἡμέτερον, τὴν τοιαύτην θαυμάζειν εὐγένειαν, οὐδὲ τὴν ἐξ αἱμάτων καὶ ἐκ συνουσίας σωματικῆς· ταύτην γὰρ νύκτες χαρίζονται· τὴν ἐκ γραμμάτων δὲ βασιλέων χεῖρες καὶ τὰ ἔγγραφα διατάγματα· ἄνοδον δὲ

τὴν πρὸς τὸ πρῶτον ἀγαθόν, τὴν δι' ἀσκήσεως καὶ ἀρετῆς εἰς τὸ θεῖον καὶ τὸ κατ' εἰκόνα ἐξ οὗ καὶ γεγόναμεν

59,191,40. Ἐκ μαρτύρων δέ Ὅτι μάρτυς οὗτος καὶ ἐκ μαρτύρων γονέων ἔφυ

59,191,41. Πολίτης δὲ σοφίᾳ μέν. Συνεξακούεται τό, γέγονε· πολίτης γέγονε, φησί, τῇ μὲν σοφίᾳ, τῆς οἰκουμένης πάσης· οὐ γὰρ περιγράφεται μικροῖς ὁρίοις ἡ τοιαύτη σοφία. Τῷ δὲ σώματι, τῆς Ἀλεξανδρέων γέγονε πολίτης, τῆς σὺν ὑμῖν, τοῖς Κωνσταντί[1165]νου πολίταις, ἢ εὐθέως μεθ' ὑμᾶς καὶ τῆς ἴσης ὑμῖν, ἢ δευτέρας, φησί, καὶ μεθ' ὑμᾶς, ὡς μὴ ἀνεχομένης ἑτέρας δευτέραν ὑπάρχειν καὶ ἐλάττω

59,192,7 Ἐπειδὴ βίων αἱρέσεως [αἱρέσεις]. Ἐπεί, φησίν, αἱρεῖσθαί τινα τῶν βίων ἐδόκει αὐτῷ, ἣν αἵρεσιν καὶ ἐπιλογὴν καὶ κρηπῖδα καὶ οἱονεὶ θεμέλιον τοῦ καλῶς πράττειν ἐγὼ ὁρίζομαι.

59,192,8-9. Εἶδέ τι μέγα καὶ νεανικόν. Ἀντὶ τοῦ. συνεῖδεν, ἐβουλεύσατο, καὶ διανοηθεὶς προέκρινε· τὴν δὲ φιλοσοφίαν λέγει προτιμᾶν οὐδεὶς γὰρ προκρίνει τι μὴ βουλευσάμενος· προτιμᾷ δ' οὖν φιλοσοφίαν, ἧς καὶ προΐσταται· ἐπειδὴ δὲ διττή πως τούτῳ καθεώρατο, οὐδὲ βουλῆς τοῦτο ἀξιώσας, τὴν ἔξω καταλιπών, προκρίνει τὴν ἡμετέραν ψήφοις ἁπάσαις. Πάλαι γὰρ αἱ κρίσεις ψήφοις ἐκρίνοντο λευκαῖς τε καὶ μελαίναις, ἐν αἷς συνέβαινεν ἐπί τινων μὴ πάσας συμψηφεῖν τὴν δικαίωσιν, ὅτε δὴ καὶ τὰ τῶν ζητημάτων ἀμφεγνωμονεῖτο· ὁμορροθουσῶν δὲ τῶν λευκῶν ἁπασῶν, ᾕρει τὸν ἀντίδικον ὁ ταῖς λευκαῖς ἐντυχών, ἢ τὰς πλείστας ἔχων λευκὰς ἢ τὰς ἁπάσας, αἳ καὶ λαμπρὸν καὶ ἀναμφήριστον νίκην παρεῖχον.

59,192,28. Πανταχοῦ γὰρ τῷ καθ' ἑαυτόν «Πρὸς τὴν αἱρετωτέραν καὶ λυσιτελεστέραν ὁδὸν πᾶσι χριστιανοῖς», συναπτέον τοῦτο τῷ φιλοσοφεῖν καὶ σὺν τῷ ἑαυτοῦ ἕκαστον συλλαμβάνειν καὶ τὸ κοινόν· τοῦτο γὰρ ψυχῆς ἐπιτελεωτάτης καὶ φιλοσοφωτάτης· οὐδὲ γὰρ ἕκαστον ἡμῶν ἑαυτῷ, ἀντὶ τοῦ, οὐ δι' ἑαυτὸν μόνον, γενέσθαι, ἀλλὰ καὶ πᾶσιν, ἤτοι διὰ πάντας ὅσοι τῆς αὐτῆς ἐσμεν φύσεως.

59,192,32. Ὁρῶν δὲ τὸν μὲν ἐρημικόν. Ἀπὸ συγκρίσεως τῶν βίων μέγαν [μέγα] μὲν καὶ ὑψηλὸν καὶ ὑπὲρ τὰ ἀνθρώπινα ἐπαίρει τὸν ἐρημικὸν βίον· τὸν δὲ κοινὸν καὶ ἐπίμικτον πρὸς τὸν καιρὸν νόμῳ ἐπαινεῖ ἐγκωμίων, καὶ ἐγγὺς θείας οἰκονομίας συνάγει· *σχῆμα* δὲ καὶ *σκηνήν*, τὸν ἑλληνικὸν τῦφον καὶ τὴν ὑπόκρισιν ἀποφαίνει· ἀπὸ μεταφορᾶς τῶν σκηνικῶν προσωπείων, περὶ ὧν ἤδη ἐρρέθη.

59,193,5. Διὰ τοῦτο Περιπάτους μέν, καὶ τὰ ἑξῆς. Εἴδη φιλοσόφων λέγει, ἀπὸ τόπων καὶ ἐνεργειῶν καὶ τῶν προεστώτων ὠνομασμένων. Καὶ ἀπὸ μὲν ἐνεργείας, ἡ περιπατητική,

τοῦ ταύτης προϊσταμένου τοὺς οἰκείους ὁμιλητὰς περιπατοῦντος διδάσκοντος· ἀπὸ δὲ τῆς Ἀκαδημίας, Ἀκαδημαική· καὶ Στωϊκή, ἀπὸ τῆς Στοᾶς. Τὸ δὲ αὐτόματον Ἐπικούρου φησίν, οὕτως ληροῦντος ἢ φιλοσοφοῦντος, τὰ τῆς [1168] Προνοίας ἐκβάλλοντος καὶ τὰς ἀτόμους αἰτιωμένου καὶ τὴν ἡδονὴν τέλος τῆς εὐδαιμονίας εἶναι ὁρίζοντος. Πλάτων δ' ἐν ταῖς *Πολιτείαις*[a] Ὅμηρον κωμῳδῶν ἐρίῳ στέψαντας ἐκβάλλειν ἔφη τῆς οἰκείας πολιτείας, ὥσπερ τὰς χελιδόνας αἱ γυναῖκες, φησί, διὰ τὴν ἀδολεσχίαν.

59,193,11. Καὶ νικῶν τὴν μὲν ἐκείνων αὐθάδειαν. Ἐν τῇ τοῦ σχήματος ὁμοιότητι μηδὲν ἐλαττοῦσθαι καὶ παραβλάπτεσθαι, νικᾶν δὲ μᾶλλον τὴν ἐκείνων ἀλαζονείαν καὶ αὐταρέσκειαν, εἴτουν αὐθάδειαν· οὕτως γὰρ πως αὐτὴν ἐτυμολογοῦσιν, αὐτοάδειάν τινα οὖσαν, ὡς ἂν τοῦ σχήματος ἔχωσιν

59,193,23. Οὐ λόγῳ πλαττόμεναι Οἷα ἡ ὑπὸ Πλάτωνος πλασθεῖσα μέν, μηδέποτε δὲ γεγονυῖα διὸ καὶ ἐπάγει, *σκινδαψοί τινες καὶ βλίτυρι καὶ τραγέλαφοι*, ἀνύπαρκτα πράγματα, συνθέσεις στοιχείων καὶ λέξεων, γλώττῃ μόνον καὶ στόματι φερόμενα. «Κατηγορίαι» δὲ Ἀριστοτέλους, αἱ ἐξ ὑποκειμένου καὶ κατηγορουμένου προτάσεις, ἐξ ὧν οἱ συλλογισμοὶ συμπλέκονται, καὶ εἰς ἅπερ ἀναλύονται πάλιν· αἱ δὲ ἐξ ὅρων καὶ αὐταὶ συγκείμεναι καὶ εἰς αὐτοὺς αὖθις ἀναλύονται. Αἱ δὲ λεγόμεναι «μίξεις», συμπλοκαί τινές εἰσιν ὑλῶν καὶ πραγμάτων ἀναγκαίων, ἐνδεχομένων καὶ ὑπαρχόντων· ἡ γὰρ τοῦ λεγομένου ἀδυνάτου ἀντιστροφή ἐστι τοῦ ἀναγκαίου· ὃ γὰρ ἀνάγκη εἶναι, τοῦτο ἀνάγκη μὴ εἶναι. Τὰ δὲ «συμβάματα καὶ παρασυμβάματα», τῶν εἰρημένων κατηγοριῶν εἰσιν εἴδη, περὶ ὧν ὁ χρόνος ἡμῖν ἐπιλείψει λεπτότερον ἐξηγουμένοις.

59,193,27. Οὐδὲ γραμμαί τινες. Ἀπορεῖται πῶς οἷόν τέ ἐστιν εἶναι γραμμὰς μηδαμοῦ κειμένας, οἷον γεωμέτραι ἀπὸ τῶν αἰσθητῶν τουτωνὶ γραμμῶν, οἷον εὐθείας ταυτησὶ καὶ καμπύλης καὶ ξυστροειδοῦς, τῶν ἐνταυθοῖ καὶ γραφομένων καὶ κειμένων καὶ ὁρωμένων, τῷ λόγῳ χωρίζοντες ἀπὸ τῆς ὕλης καὶ τῶν σωμάτων καὶ τῶν αἰσθητῶν, ἀΰλως νοοῦσι ταύτας καὶ ἀφέτως, ὑφ' ὧν καὶ τὰ πολυειδῆ σχήματα συντιθέασι τῆς γεωμετρίας. Ἐκ τούτων οὖν καὶ οἱ ἀστρονομίας μεταποιούμενοι τοὺς σχηματισμοὺς τῶν ἀστέρων διατυποῦσι καὶ τὰ λεγόμενα θεμάτια συντιθέασι καὶ καταγράφουσι τοὺς ἀστέρας, ἐξ ὧν καὶ γινώσκειν καὶ προλέγειν οἴονται τὰ ἐσόμενα, τῆς Προνοίας, φησί, καταπαίζοντες, καὶ τὰ ἀπόρρητα τῆς Προνοίας σφετερίζοντες· ἃ πάρεργα τῷ φιλοσόφῳ τούτῳ καὶ παιζόμενα ὑπῆρχον, μὴ χρωμένῳ μέν, εἰδότι δέ, ὡς μὴ καταπαίζεσθαι ὑπὸ τῶν οἰομένων ταῦτα εἰδέναι.

59,194,1. Συναγόντων μὲν πάντων. Τί συναγόν-

---

a. Πλατ Πολιτ III, c. 9, Ast).

των; Συλλογιζομένων, συμπεραινόντων· τὸ γὰρ ἀποδεικνύμενον ἀπὸ τοῦ συλλογισμοῦ συμπέρασμα λέγεται οἷον, τῆς οὐσίας κατὰ παντὸς ζῴου κατηγορουμένης καὶ λεγομένης καὶ τοῦ ζῴου ὁμοίως **[1169]** κατὰ παντὸς ἀνθρώπου, τί ἐκ τούτων συμπεραίνεται καὶ συνάγεται; Τὸ τὴν οὐσίαν καὶ εἶναι καὶ κατηγορεῖσθαι κατὰ παντὸς ἀνθρώπου.

59,194,4. Ταῦτα τῆς Ἀντισθένους ἀλαζονείας. Καὶ οὗτος φιλόσοφος ἦν ἀλαζὼν καὶ ὑπερήφανος, ὡς ὑπό τινος ὑβριστοῦ τὸ πρόσωπον συντριβείς, ἐπέγραψε δὲ τῷ προσώπῳ, ὥσπερ ἐν ἀνδριάντι, τὸν παίσαντα, στηλιτεύων τὸν ὑβριστήν, ἵνα θερμοτέραν τὴν κατηγορίαν ἐνδείξαιτο καὶ Διογένης γαστρίμαργος, ὅν φασι πολύποδα ὠμὸν βεβρωκότα τελευτῆσαι. Καὶ ὁ Κράτης τῆς αὐτῆς ἐστι τῶν Κυνῶν φρατρίας, ὅστις καὶ κοινοὺς εἶναι τοὺς γάμους ἐνομοθέτει. Τούτων καὶ φείδεσθαι ἔφη διὰ τὴν προσηγορίαν τῆς κυνικῆς φιλοσοφίας, αἰδούμενος, ὥς φησιν, ὅπως καὶ αὐτοί τε παραπολαύσαιεν τοῦ νῦν τούτου ἐπαινουμένου ἀνδρός.

59,194,11. Ἦν ὅτε γαλήνην. Ἦν, φησί, καιρὸς ὅτε εἰρήνην εἴχομεν καὶ γαλήνην ἀπὸ τῶν ἐπικειμένων τούτων αἱρέσεων, Σίμωνος τοῦ Μάγου καὶ Μαρκίωνος καὶ τῶν κατ᾽ αὐτούς· ὧν ὁ μὲν πατέρα ἑαυτὸν ὠνόμαζε τοῦ Χριστοῦ, συνεπήγετο δὲ καὶ γυναῖκά τινα μυσαχθῆ, μαγείαις καὶ γοητείαις πολλοὺς ἐξιστῶν· ὁ δὲ Μαρκίων μαθητὴς ἦν Κέρδωνος, ὃς καὶ δύο ἀρχὰς εἰσῆγε, τὴν μὲν ἀγαθήν, τὴν δὲ πονηράν, καὶ τὸν Χριστὸν δοκήσει ἄνθρωπον γεγονέναι, καὶ τὴν ψυχὴν μοῖραν εἶναι τῆς τοῦ Θεοῦ οὐσίας· ἐξ ὧν οἱ λεγόμενοι Ἀρτοτυρεῦται, ἐπεὶ γάλακτι φυράσαντες ζύμην τοῖς μαθηταῖς μεταδιδόασιν. Οὗτος οὖν ὁ Μαρκίων, καὶ Πολύκαρπον συναντήσας, εἰπεῖν λέγεται πρὸς αὐτόν «ἐπιγινώσκεις ἡμᾶς, Πολύκαρπε;» ὁ δὲ πρὸς αὐτόν, «ἐπιγινώσκω σε», ἔφη, «τὸν πρωτότοκον τοῦ Σατανᾶ». Οὐαλεντῖνος δὲ καὶ Βασιλείδης, ὁ μὲν ἀσώματον φανῆναι τὸν Χριστὸν ἐμυθεύετο καὶ πάθους ἐκτὸς εἶναι, καὶ γοητείαις καὶ ἐπῳδαῖς ἐχρῆτο καὶ εἰδωλοθύτοις· Οὐαλεντῖνος δὲ Βυθὸν καὶ Σιγὴν εἰσηγεῖτο καὶ τὸν Χριστὸν ἀσώματον ὀφθῆναι καὶ τέλος εἰς ἔσχατον βυθὸν ἀσελγείας ἐξώκειλεν ἦν δὲ ἐπίσκοπος Αἰγύπτου. Καὶ Κήρινθος καὶ Καρποκράτης ἐκ συνουσίας ἀνδρὸς καὶ γυναικὸς τὸν Χριστὸν γεννηθῆναι ἐληρῴδουν, ὅθεν καὶ Πτωχοὶ ὠνομάζοντο· οὕτω γὰρ παρ᾽ Ἑβραίοις ἑρμηνεύεται ὁ Ἐβιωναῖος.

59,194,15. Καὶ ὑπὲρ τοῦ ἀγαθοῦ τῷ Δημιουργῷ πολεμή**[1172]**σαντες. Τῇ δυσσεβείᾳ κατατεμόντες τὸ Θεῖον καὶ εἰς μυρίας πλάνας καὶ δόξας ἐληλυθότες, ἐμάχοντο, ὑπὲρ τίνος; Τοῦ ἀγαθοῦ, φησί. Ἀγαθοῦ γὰρ αὐτοῦ ὄντος καὶ τῇ φυσικῇ ἀγαθότητι ἀνεχομένου πολεμεῖσθαι. Ἢ πρὸς Μαρκίωνα ἀποτείνεται τὸν δυσσεβῆ, ὃς δύο ἀντικειμένας ἀρχὰς ὑποθείς, Ἀγαθὸν καὶ Δημιουργόν, ὡς ἐκεῖνος τῇ τῆς πλάνης αὐτονομίᾳ ἐμυθολόγει, ὧν τὸν μὲν δίκαιον, τὸν δὲ πονηρὸν προσηγόρευσε· καὶ τοῦ πονηροῦ τεκτό-

νημα τὸν κόσμον ἔφη καὶ τὴν ὕλην κακίστην· ὃς καὶ τὸν ὄφιν ἐτόλμησεν εἰπεῖν τοῦ Δημιουργοῦ ἀγαθώτερον, ὅτι ὁ μὲν φθόνῳ, φησί, τὴν γεῦσιν τοῦ ξύλου τῆς ζωῆς ἐκώλυσεν, ὁ δὲ ἀφθόνως ταύτης μεταλαβεῖν συνεβούλευσε. Διὰ ταῦτα ἄσπονδον πόλεμον πολεμηθῆναι τούτοις εἴρηκεν ὁ Πατήρ.

59,194,17. Καὶ Μοντανοῦ τὸ πονηρὸν πνεῦμα. Οὗτος ὁ Μοντανὸς Παράκλητον ἐκάλει ἑαυτὸν καὶ δύο πόρνας ἐπαγόμενος, προφήτιδας ἐπωνόμασε καὶ τὰς τρεῖς ὑποστάσεις εἰς ἓν συνέχεε πρόσωπον· ὃς καὶ αἵματι φύρων ἄλφιτα, εἰς μετάληψιν τοῖς φοιτηταῖς μετεδίδου. Οὗτοι δὲ καὶ Πεπτουζηνοὶ καλοῦνται, ἀπὸ Πεπτούζης, εὐτελοῦς κωμυδρίου, ἣν καὶ Ἱερουσαλὴμ ἐκάλουν. *Καὶ τὸ Μάνου*, φησί, *σκότος*· ἄλλη τις τερατεία καὶ τῆς εὐσεβείας ὀλεθρία ἀπόπτωσις.

59,194,23-24. Ὁ τυφῶν τῆς ἀδικίας. Τὸν Ἄρειον λέγει τυφῶνι δὲ ἀπεικάζει αὐτόν, διὰ τὸ ταραχῶδες ἐπεὶ καὶ τὰ σφοδρὰ καὶ ἄτακτα πνεύματα τὴν τοῦ νέφους ἔκρηξιν ἀναπυρωθὲν καὶ ἀστράψαν καὶ βιαίως ἐπὶ γῆς φερόμενον, κεραυνὸς καλεῖται· ἡμίπυρον δὲ ὂν καὶ ἀθρόον, πρηστήρ· παντελῶς δὲ ἄπυρον ὑπάρχον, τυφῶν προσαγορεύεται.

59,194,35. Πάλιν πονηρὰ βασιλεία. Τὸν Κωνστάντιον λέγει· οὗτος γάρ, τὰ Ἀρείου φρονῶν, χώραν δέδωκε κατὰ τῶν εὐσεβῶν ἀσεβέσιν.

59,195,10. Ἄρτι μὲν ὁ λαμπρὸς διωγμός. Ὁ ἐπὶ τοῦ Ἰουλιανοῦ τοῦ Ἀποστάτου· τοῦτον γὰρ ἡ Περσὶς καταλέλυκε, χριστιανῶν πολλῶν αἱμάτων δι' ἑνὸς τούτου αἵματος ἀπαιτήσασα δίκην

59,195,12-13. Ἄρτι δὲ ὁ ἀπρεπὴς ἄρχεται· Ὁ ὑπὸ Κώνσταντος διωγμὸς δηλονότι, ἔχων, φησί, πρόσχημα χριστιανοῖς ἀμύνειν καὶ βοηθεῖν, τοῖς ὡς ἀληθῶς χριστιανοῖς, ἐπιφυόμενος καὶ καταικιζόμενος [καταιγιζόμενος].

59,195,21-22. Ναῦς φόρτον ἔχουσα. Πρεσβύτερον, φησίν, ἕνα ἢ δύο, ὥς τινες Οὔρβασον καὶ Μενέδημον, οἱ δὲ Ἡλιώδορον καὶ Θεόδουλον, τοὺς ἐν τῷ πλοίῳ καέντας.

59,195,35. Καὶ οὐδὲ τοσοῦτον ἡ ἱερωσύνη. Λείπει **[1173]** τό, αἰδοῦς ἠξίωται, ὅσον οὐδὲ τελευτῆς ἔτυχεν εὐσχημονεστέρας· ἀλλ' ἔτι γε καὶ εἰ ἀποθνήσκειν ἐχρῆν, εὐσχημονεστέρῳ πάντως ἔδει θανάτῳ· εἰ δὲ μὴ τοῦτο, ταφῆς μηδαμῶς ἀτυχεῖν, ἣ καὶ τοῖς ἀσεβέσιν ὀφείλεται.

59,196,2. Τὸν τῆς σῆς ὁμολογίας καθηγητήν. Τοῖς ἑαυτοῦ, φησί, περὶ τῆς εὐσεβείας ἀγῶσι τῆς σῆς γεγονέναι ὁμολογίας καθηγητὴν λέγει δὲ τὸν μέγαν Ἀθανάσιον.

59,196,6-7. Μετὰ τὴν περιβόητον χεῖρα καὶ

τοὺς ζῶντας νεκρούς. Περὶ ὧν εἴρηται ἐν τῷ εἰς αὐτὸν Ἐπιταφίῳ.

59,196,10. Ὁ τῆς ἀληθείας προδότης. Λούκιόν φησι τὸν Ἀρειανόν, ὃν καὶ ἀθέου πηγῆς δαψιλέστερον εἶπε ποταμόν, ὡς Ἀρείου μᾶλλον παρασύροντα καὶ ποταμηδὸν τὴν εὐσέβειαν κατακλύσαντα· οὗ καὶ τὰς παρανόμους πράξεις καὶ μιαιφονίας (μέχρι γὰρ καὶ τούτων ἐχώρησεν) ὀκνεῖν εἰπεῖν ἔφη.

59,196,25. Ἐστρατήγει μὲν ἀνήρ. Ἕλλην οὗτος ἦν, ἐκ τῶν εἰδώλων καὶ ἀκαθάρτων αἱμάτων ἐπὶ τὰ μυσαρώτατα. Τίνα δὲ ταῦτα; Εἴτουν τὰ Ἀρείου δόγματα ἢ τὰ τολμώμενα ὑπ' αὐτοῦ, τῆς μιαιφονίας καὶ τῆς ἡμῶν ὕβρεως, ἣν καὶ ἱερουργεῖν τοῖς δαίμοσιν ἔφη, ἐπὶ τῇ τοῦ μακαρίου Πέτρου ἐξωθήσει τοῦ μετὰ Ἀθανάσιον. Διὰ δὲ τοῦ Ταβεὴλ[1] τὸν Λούκιον ἐδήλωσεν, ὃν καὶ βασιλεῦσαι καὶ τῆς Ἐκκλησίας ἐγκρατῆ μεθ' ὅπλων γεγενῆσθαι, τὸν μέχρι καὶ τῶν ἐν ἐρήμῳ μοναχῶν τὸν διωγμὸν ἐπιτείναντα.

59,197,5 Ὡς δὲ ἀκούω τί τοῦτο. Τί τοῦτο, ἀκούω, φησί, φοβερὸν ὄντως, ἀλλ' ὅμως ὅπερ ἀκούω ἡ τολμηρά μου φθέγγεται γλῶσσα· ἡ γὰρ μὴ τοιαύτη καὶ ἄτολμος εὐλαβηθήσεται διὰ τὴν ὑπερβολὴν τῆς κακιας εἰπεῖν. Τίνα δὲ ταῦτά ἐστι; Σιωπωμένας ψαλμῳδίας, βλασφήμους δὲ δημηγορούσας γλώσσας ἐπὶ τῶν ἱερῶν θρόνων καὶ τοῖς ὑπὲρ αὐτῶν ὀρχήμασι [ὀρχήσμασι] καὶ λογίσμασι τὰ θεῖα μυστήρια ἡμῶν κωμῳδούμενα.

59,197,14 Καὶ ὁδοῖς Σιὼν ἐπιβάλλει πένθος. Κλαίει, φησίν, Ἱερεμίας, καὶ οὐ μόνον ἐκ τειχῶν ἐκκαλεῖται θρῆνον[2], ἀλλὰ καὶ ταῖς ὁδοῖς Σιὼν ἐπιτίθησι πένθος, διότι οὐκ ἄγουσι τοὺς ἑορτάζοντας

59,197,16. Ἐθρήνησε δέ. Διαφυγὼν γὰρ ὁ ἀρχιερεὺς Πέτρος καὶ ἐν Ρώμῃ γεγονως, τῶν τεθνηκότων ἐν Ἀλεξανδρείᾳ τοὺς χιτῶνας ᾑμαγμένους ἐν τῇ ἐκκλησίᾳ προτεθεικώς, ἐθριάμβευσε καὶ πάνδημα δάκρυα κεκινηκώς, τὸ πάθος παρέστησε καὶ τῶν δεινῶν ἔλαβεν ἐπικουρίαν.

59,197,24. Σὲ δὲ κινεῖ. Πρὸς τὸν φιλόσοφον Ἥρωνα ἡ ὑποστροφὴ τοῦ λόγου.

[1176] 59,197,30. Δυσσεβοῦς ἐξουσίας. Τοῦ βασιλέως ἢ τινος τῶν ἐπ' ἐξουσίας.

59,198,19-20. Παλαιοὺς θεοὺς καὶ νέους. Παλαιούς, τοὺς περὶ Κρόνον δώδεκα ἀριθμουμένους· νέους δέ, τοὺς ἀπ' ἐκείνων καὶ καθεξῆς μέχρι τῶν ἐσχάτων υἱῶν καὶ ἐπεκγόνων ἡρώων καὶ ἄχρις αὐτῶν ἑρπετῶν καὶ κνωδάλων· *ἀσχήμονα δὲ τερατεύματα*, Πᾶνας[α] καὶ τράγους[β] καὶ Ἄπιδας[γ] καὶ δράκοντας καὶ φαλλούς τινας

---

1 Πρβλ. Ἡσ. 7,6 2. Πρβλ. Θρ. 1,4.

α. Νόννου, Ἱστορ. II, 28. β Νόννου, Ἱστορ II, 27 γ Αὐτόθι

καὶ ἰθυφάλλους καὶ τὰς Ἀφρογενείας, οἷς, φησίν, εἰ μὲν τὸ Θεῖον ὁρίζονται, ὢ τῆς κακοδαιμονίας! Δεῖ γὰρ καὶ τὰς ἐμφάσεις καὶ τοὺς λόγους τούτων εὐσχήμονας εἶναι καὶ καλὰς τῶν καλῶν, ἀλλὰ μὴ αἰσχράς· εἰ δὲ ἄλλο τι μυστήριον, τί τοῦτό ἐστι, πειθέτωσαν ἡμᾶς.

59,198,33. Θεὸν μὲν ὅταν καθ' ἑαυτόν. Ὡς Υἱόν, τὸν γεννητὸν Θεὸν καὶ Κύριον, ὅταν καθ' ἑαυτὸν λέγηται· ὅταν δὲ μετὰ τοῦ Πατρὸς ὀνομάζηται, Κύριος ὀνόματι κοινῷ· τὸ μέν, ἤτοι διὰ τὴν φύσιν· μία γὰρ κοινῶς καὶ ἡ θεότης· τὸ δέ, ἤτοι Κύριον, διὰ τὴν μοναρχίαν, ἥτις, οὐ φύσις, ἀλλὰ κυριότης οὖσα, μία καὶ ἡ αὐτή ἐστιν ἐν τοῖς τρισίν. Ἓν Ἅγιον Πνεῦμα προελθὸν καὶ ἀεὶ προϊὸν ἐκ τοῦ Πατρός· οὐ γὰρ ἐξεφοίτησεν ἅπαξ προελθὸν καὶ διεστηκός· Θεὸν ἕνα τὰ νοητῶς παρακείμενα τρία ταῦτα νοητέον· πολεμούμενον, φησί, καὶ νοούμενον καὶ λεγόμενον· τούτων δὲ ἕκαστον διαφέρει· τοῖς μὲν ἀσεβέσι πολεμούμενον· εὐσεβέσι δέ, τοῖς μὲν νοούμενον μόνον, μὴ μέντοι καὶ κηρυττόμενον παρρησίᾳ, τοῖς πνευματικωτέροις δὲ καὶ νοούμενον καὶ λεγόμενον, εἴτουν κηρυττόμενον.

58,198,38-39. Μήτε ὑπ' ἀρχὴν ποιεῖν τὸν Πατέρα. Τουτέστι μὴ ὑποτάσσειν αὐτὸν ἀρχῇ ἑτέρᾳ· οὕτως γὰρ ἡ ἀρχὴ ἑτέρῳ προσκείσεται. *Οὐκ ἄναρχα δέ, καὶ ἄναρχά πως.* Τὸ μὲν τῷ αἰτίῳ· τὸ οὐκ ἄναρχόν φησιν εἶναι τῷ αἰτίῳ ἐκ τοῦ Πατρὸς γάρ· ἄναρχα δὲ τῷ χρόνῳ· οὐ γὰρ ὑπὸ χρόνου· πῶς γὰρ ὁ ῥέων **[1177]** χρόνος καὶ τὸ ἀνούσιον πρεσβύτερον εἴη τῶν οὐσιῶν καὶ ἑστώτων ἀεί;

59,199,7. Μήτε μίαν Ἰουδαικήν. Στενήν, φησίν, ὡς μονοπρόσωπον· φθονερὰν δὲ καὶ ἀδύνατον, ὡς ἢ μὴ δυναμένην ἢ φθονοῦσαν μή που τὸ ἀγαθὸν ὑπερεκβλύσαν εἰς Υἱοῦ γέννησιν διαχεθείη ἢ Πνεύματος εἰς προέλευσιν· διὸ καί τινες αὐτῶν, φησί, προάγουσι μὲν Υἱὸν ἐκ τοῦ Πατρός, εἰς ἑαυτὸν δὲ πάλιν ἀναλύουσι τὸν Πατέρα· οἱ δὲ καταβάλλουσι τὰς φύσεις, θεότητος ἀλλοτριοῦντες, ὥσπερ τῆς θείας φύσεως δεδοικυίας μὴ ἀντεξάγοιντο καὶ ἀντιφέροιντο ἀλλήλαις. Τὸ δὲ «ὑπὲρ τὰ κτίσματα» οὕτω συνάψεις· ὡς μὴ δυναμένην ὑπὲρ τὰ κτίσματα γεννᾶν ἢ προάγειν· θειοτέρα γὰρ καὶ ὑπὲρ τὰ κτίσματα ἡ θεία γέννησις, ἀλλ' οὐ ζῳώδης καὶ σωματική.

59,199,13-14. Καὶ τοῦτο θεϊκὸν ἔχουσι. Τὸ μοναδικὸν δηλονότι· ὥσπερ ἡ φύσις μία καὶ μοναδικὴ ἔνεστιν ἐν τοῖς τρισίν, εἷς μόνος Πατὴρ οὐκ ἄλλος, εἷς μόνος Υἱὸς καὶ οὐκ ἄλλος καὶ ἓν Πνεῦμα Ἅγιον καὶ οὐκ ἄλλο· καὶ πολύ γε, φησί, τῶν παρ' ἡμῖν ἀληθέστερον· Πατήρ, ὅτι μόνως καὶ ἰδιοτρόπως· οὐ γὰρ υἱός τινος πρότερον, εἶτα πατὴρ καὶ οὐ μετὰ συζυγίας καὶ σωματικῶς ὥσπερ ἡμεῖς καὶ ὅλον Πατὴρ ἀπ' ἀρχῆς· τὸ γὰρ ἡμέτερον, φησίν, ἄδηλον· ποῖον; Τὸ ἑνὸς μόνου καὶ ὅλου υἱοῦ πατέρα τινὰ χρηματίσαι, ἐνδεχομένου καὶ ἑτέρων.

59,199,25-26. Οὐδὲ μᾶλλον καὶ ἧττον. Αὐτοαγιότης γὰρ ὅλον ὄν, τὸ μᾶλλον καὶ ἧττον οὐκ ἂν δέξαιτο· τὸ δὲ μὴ γεγο-

νέναι ὑπό τινος καὶ ἡ θεότης κοινόν, φησί, τῆς ἁγίας Τριάδος, Υἱῷ δὲ καὶ Ἁγίῳ Πνεύματι τὸ ἐκ τοῦ Πατρός, ὡς ἐξ αἰτίου.

59,199,30. Εἰ δὲ τὸν τρόπον ἐπιζητεῖς. Ὡς ἀπόρρητον τοῦτο παρακρούεται, ἐπιφέρων ταυτί, «γενοῦ τι», λέγων, «πρότερον τῶν λεγομένων» τουτέστι Θεοῦ καὶ οἷον τῆς ἐλλάμψεως ἐκείνης ἠξιωμένος, καὶ τηνικαῦτα τοσοῦτον εἴσῃ ὅσον ὑπ' ἐκείνων γινώσκεται καὶ γνωσθήσεται.

59,199,36. Παράδοξον ἔχουσαν. Παράδοξον γὰρ ὡς ἀληθῶς τοῦτο διαιρεῖσθαί τι ἀδιαιρέτως καὶ ἑνοῦσθαι διῃρημένως· ὃ μόνως τηρεῖται ἐν τῇ ἁγίᾳ τῶν ὑποστάσεων Τριάδι κἀν τῷ μοναδικῷ τῆς Θεότητος

59,199,39. Ἀλλ' οὐκ ἀνθρωπικῶς. Οὐ γὰρ ἡ ὕπαρξις καὶ τὸ εἶναι οὐκ ἀνθρώπινον, τούτου καὶ ἡ γέννησις οὐκ ἀνθρωπίνη· ἀπαθὴς γάρ. Φοβεῖσθαι δὲ χρονον καὶ κτίσιν εἰπών, ἀγορεύει μὴ λέγειν ἢ πιστεύειν κτιστόν τι καὶ γεννητὸν τῆς ἁγίας Τριάδος. Μηδὲ συνηγορεῖν δοκῶν τῷ Θεῷ· ἀνέλῃς φησί, Θεόν, τουτέστιν ἀναιρήσῃς· ἀναίρεσις γὰρ θεότητος Υἱοῦ καὶ Ἁγίου Πνεύματος ἴσον ἐστὶ τοῦ Θεὸν ἀνελεῖν

59,200,1-2. Μὴ φοβηθῇς τὴν πρόοδον. Τοῦ **[1179]** Ἁγίου Πνεύματος τὴν πρόοδον λέγει· ὅτι, φησίν. ὁ πλούσιος καὶ δυνατὸς κατὰ παντα οὐκ ἀνάγκην ἔχει ἢ μὴ προβάλλειν· ἑκάτερον γὰρ ὁμοίως ἀβιάστως ἔχει καὶ προβέβληκεν ἤδη τὸ Ἅγιον ἀχρόνως καὶ ἀβιάστως Πνεῦμα.

59,200,7. Μήτε τῆς τριθεΐας ἔγκλημα. Καὶ μὴν διαβέβληται τὸ τῆς τριθεΐας δόγμα, κατὰ τὸν τοῦ λεγομένου Φιλοπόνου λῆρον, ὃς εἰς μερικὰς οὐσίας Ἀριστοτελικῶς διῄρει καὶ τὴν θείαν. Ἀλλ' οὐ γὰρ οὐχ οὕτως ταῦτα νοητέον· μιᾶς καὶ τῆς αὐτῆς μενούσης ἀδιαιρέτως ἐν τοῖς τρισί, κἂν Θεός, καὶ Θεός, καὶ Θεὸς ἕκαστον λέγηται· κοινὴ γὰρ καὶ μία θεότης. Μὴ τοίνυν αἰσχυνθῇς, φησί, ἕως ἂν καὶ ἄλλος κινδυνεύῃ ζημιούμενος τὴν διθεΐαν· κρεῖσσον γὰρ τοῦτο λέγειν, ὁμολογοῦντα τὴν ἐν τοῖς τρισὶ Θεότητα, καὶ μὴ ζημιωθῆναι κινδυνεύειν τὴν διθεΐαν λέγειν Υἱοῦ καὶ Ἁγίου Πνεύματος· ὅπερ οἱ περὶ Ἄρειον καὶ Μακεδόνιον περὶ τὴν Θεότητα πεπόνθασι· ἢ γὰρ συνέλυσας περικόπτων τὴν τῶν δύο θεότητα καὶ ἀφαιρούμενος, ἢ συνηπόρησας εἰς ἀπορίαν ἐλθών. Πῶς οὐ κινδυνώδης ἡ τριθεΐα; Ἀλλὰ τοῦτο μὴ φοβηθῇς· ὁ μὲν γὰρ συλλύσας καὶ περικόψας ἐναυάγησε, μετὰ τῶν λογισμῶν καὶ θεότητα ζημιωθείς· σοὶ δὲ περιμένει σῶα ἡ θεότης· κἂν ἐξησθένησεν ὁ λόγος, τὸν τῆς ὑπάρξεως τρόπον διαπορῶν τῆς τριθεΐας.

59,200,13. Τὴν νέαν εὐσέβειαν. Εὐφήμως οὕτως τὴν ἀσέβειαν εἶπε, τὴν τεχνολογικῶς, ἀλλ' οὐκ ἀποστολικῶς κηρυττομένην ὑπὸ τῶν ἀντιδοξούντων, ἣν καὶ μικρόλογον ἔφη σοφιαν. Οὐ

δεινὸν λέγει ἡττηθῆναι λόγῳ κατασοφισθέντα τινὰ καὶ κλαπέντα ψευδολογίαις, δεινὸν δὲ μᾶλλον τὸ ζημιωθῆναι θεότητα.

59,200,23. Τῆς Τριάδος κατοικούσης. Τὸ ἑξῆς οὕτως· Μέμνησό μοι τῆς Τριάδος, τῆς ἐν ταῖς σκηναῖς τῶν ἀγγέλων καὶ τῆς ἐν αὐταῖς κατοικούσης, δηλονότι Τριάδος· τουτέστι, μέμνησό μοι, πότε; Ὅταν ἐκδημήσῃς· ποῦ; Ἐν ταῖς σκηναῖς· ποίαις; Τῆς κατοικούσης ἐν αὐταῖς, τῆς Ἁγίας Τριάδος, ταῖς ἐν αἷς ἡ Ἁγία Τριὰς κατοικεῖ. Καὶ τοῦ μικροῦ τούτου θέρους, ἀπὸ κοινοῦ τὸ μέμνησο· τοῦ καρποῦ τῆς ἐμῆς πρὸς σὲ διδασκαλίας καὶ κατηχήσεως· ἢ ὅτι βραχεῖς τέως ἦσαν οἱ δεδεγμένοι τὸν τῶν ὀρθῶν δογμάτων σπόρον, καὶ διὰ τοῦτο εἶπε τὸ θέρος μικρόν.

59,200,30-31. Τὴν ἡμετέραν κλῆσιν καὶ τὴν ἄπιστον ἐπιδημίαν. Τάχα ἐκλήθη καὶ οὗτος ὑπ' αὐτοῦ ἐν τῇ ὑπερορίᾳ· τοῦτο γὰρ διὰ τῶν ἐπαγομένων αἰνίττεται συγκακοπαθεῖν γὰρ εἶπεν, ἀλλ' οὐ συντρυφᾶν ἐπιδεδημήκαμεν. Καὶ πρὸς ὑμᾶς, φησίν, ἐπανιὼ πάλιν, σαφῶς διὰ τῶν τοιούτων δηλοῦται ἐκδεδημηκέναι αὐτόν που τὸν φιλόσοφον, καὶ τὸν τηνικαῦτα μήπω τοῦ βίου μεταστάντα.

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΣΧΟΛΙΑ

ΕΙΣ ΤΟΝ ΕΙΣ ΚΑΙΣΑΡΙΟΝ ΤΟΝ ΑΔΕΛΦΟΝ ΕΠΙΤΑΦΙΟΝ ΛΟΓΟΝ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

[1181] 59,23,18. Οἴεσθέ με ἴσως, ὦ φίλοι καὶ ἀδελφοὶ καὶ πατέρες. Τῆς γνησιότητος τὰ ἐγγύτερα ταῦτα ὀνόματα· οὐδὲν γὰρ πατρὸς οἰκειότερον, οὐδὲ ἀδελφοῦ γνησιώτερον ἢ φίλου πιστοῦ τιμιώτερον· *γλυκὺ δὲ πρᾶγμα καὶ ὄνομα*, εἰς ἓν συνελὼν ταῦτα εἶπεν. Ἡδὺ μὲν γὰρ καὶ φίλος, ἥδιον δὲ καὶ ἀδελφός, ὁ τῆς ἀδελφότητος τὸ πρᾶγμα τῷ ὄντι τηρῶν, ἀλλ' οὐχὶ κατὰ τὸν Κάϊν λυττῶν. Ἥδιστον δὲ πάντων πατήρ, ὁ πατρὸς τὰ σχετικὰ ὥσπερ ὁ Δαυὶδ σῴζων πατρικὰ σπλάγχνα καὶ τὸν πατραλοίαν οὕτω θερμῶς ἀποκλαιόμενος υἱόν. Τούτοις οὖν σεμνύνει καὶ αὐτὸς τοὺς πρὸς οὓς αὐτῷ ὁ πρὸς τὸν ἀδελφὸν ἐπιτάφιος. Οἴεσθέ με, λέγων, τὸν λόγον ὑποδεδέχθαι τουτονί, ὡς θρήνους καὶ ὀδυρμοὺς ὑποβεβληκέναι τῷ ἀδελφῷ, Οὐμενοῦν, οὐκ ἔστι τοῦτο, φησίν· ἀλλ' οὐδὲ κατ' ἐπίδειξίν τινα καὶ κομψείαν πρὸς τὸ θέλξαι τοὺς ἀκροατὰς καὶ ἡδονὴν καὶ χάριν ἐργάσασθαι, τὴν ἀκοὴν ὑμῶν ἑστιάσοντα.

59,23,23. Καὶ σοφίσησθαι τὸ ἀλγοῦν. Πῶς ἔστι σοφίσασθαι τὸ ἀλγοῦν; Ἢ δῆλον, μὴ ἀλγοῦντες, ὡς ἀλγοῦντες διατιθέμενοι· τοῖς *φιλικοῖς δὲ πάθεσι*, τουτέστι, τοῖς ἡμετέροις· αὐτοὶ μὲν μηδὲν ἄλγους πεπονθότες, τοῖς φίλοις δὲ συμπαθοῦντες ἡμῖν.

59,23,25. Χρῆναι γὰρ ἡμᾶς. Ὡσανεί, φησίν, ἡμῖν χρῆναι καὶ τὴν συμφορὰν ἡμῶν ἐπιδεικτικῶς τε καὶ πομπικῶς τῷ λόγῳ διατιθέναι, καθάπερ ὅτε ἦμεν νέοι καὶ πρὸς πάντα φιλότιμοι καὶ περιττοί, τά τε περὶ τὴν ὕλην καὶ τοὺς λόγους αὐτούς.

59,23,29. Μὴ τοῦτο περὶ ἡμῶν ὑπολάβητε. Εἰ καλόν τι καὶ δεξιὸν ὑπολαμβάνειν ἐθέλετε περὶ ἡμῶν, τοιοῦτόν τι *μηδαμῶς*, φησίν, *ὑπολάβητε*· εἴτε πλέον ἢ καλῶς ἔχει θρηνῆσαι· εἴτε ἁβρῶς τε καὶ κομψῶς ἀπαγγεῖλαι καὶ κατ' ἐπίδειξιν τὸν λόγον κατακαλλῦναι.

59,23,35-36. Ἀλλ' ὅσον ἀφοσιώσασθαι τὸν περὶ ταῦτα λόγον. Τὸ ὅσιον καὶ καθῆκον ἑκατέροις ἐναρμόσασθαι καὶ ἀποδοῦναι, θαυμάσαι τε ἀπερίττως καὶ δακρῦσαι μετρίως· τῆς γὰρ ἀνωτάτω καὶ ἡμετέρας φιλοσοφίας καὶ ταῦτα, τό τε δικαίων μετ' ἐγκωμίων μεμνῆσθαι καὶ τὸ θρήνων ἐπὶ νεκρῶν **[1184]** ἐνάρξαι· οὐ μὴν καὶ πρόσω ταῖς οἰμωγαῖς χωρῆσαι· τὸ μὲν γὰρ ἀμετρίας, τὸ δὲ ἀναλγησίας λέγω, τὸ μὴ δακρῦσαι.

59,24,4. Τὸ μετὰ τοῦτο ἤδη. Ἐντεῦθεν προεκτίθεται

τὰ τῆς ὑποθέσεως κεφάλαια· καὶ οὕτω μετὰ τὰ προοίμια χωρεῖ πρὸς τὸ πρῶτον τῶν ἐγκωμίων μέρος, εἴτουν τὸ γένος.

59,24,9. Καισαρίῳ πατέρες μέν. Τὸ γένος ἤδη ἐπαινῶν, κἀκ τούτου σεμνύνει τὸν ἀδελφόν.

59,24,21. Καὶ τοσοῦτον κοινωνήσας τῆς πιότητος. Πόσον καὶ ποίας πιότητος; Τῆς καλλιελαίου, τῆς εὐσεβείας, ἀφ' ἧς τοσοῦτον τῆς πιότητος ἐπεσπάσατο, ὥστε καὶ ἄλλους εἰς τὴν εὐσεβῆ πίστιν ἐγκεντρίσαι, καὶ διδάξαι, καὶ τῆς ὠφελείας μεταδοῦναι, εἰς ψυχῶν νόσῳ κακοπιστίας καμνουσῶν θεραπείαν καὶ ἴασιν.

59,24,26. Πολὺς τὸ φαινόμενον. Τοῦτο ὡς καὶ κατὰ τὸ φαινόμενον πολλὰ σύμβολα τῆς τοῦ πατρὸς δείκνυσθαι ἀρετῆς· πλεῖστα δὲ καὶ κρυπτά, μὴ τοῖς πολλοῖς γινωσκόμενα· ἃ καὶ *βέλτιόν ἐστι ταῖς ὑπονοίαις*, φησί, καὶ ταῖς ἀγαθαῖς ὑπολήψεσι *συγχωρεῖν*, ἀλλὰ μή, τῷ *λόγῳ* πειρωμένους ἐκτιθέναι, ἐλαττοῦν καὶ *περικόπτειν* τὸ ἐνυπάρχον *τοῦ θαύματος*.

59,24,35-38. Ὥστε καὶ ἤδη τισί. Τὸ ἑξῆς Ὥστε πιστευθῆναι καὶ ῥηθῆναί τισι, μηδὲ τὴν τοῦ ἀνδρὸς τελειότητα· μεταξὺ γὰρ ἡ περικοπὴ τεθεῖσα διέστησε τὰ τῆς διανοίας· ἔστι δὲ οὕτως ὁ νοῦς· τὴν τελειότητα τοῦ ἀνδρός, μὴ ἄλλου τινὸς πιστευθῆναι εἶναι, ἀλλ' ἢ τῆς μητρὸς ἔργον γενέσθαι· τοῦτο γάρ, φησί, τισὶ καὶ πιστευθῆναι καὶ ῥηθῆναι συνέβη· καὶ τῆς εὐσεβείας ταύτης ἆθλον καὶ στέφανον ἐπιτεθῆναι τὴν τοῦ πατρὸς *μείζω καὶ τελεωτέραν εὐσέβειαν*.

59,25,5. Ἐκ τῆς παροικίας εἰς τὴν κατοικίαν. Ἐκ τῶν τῇδε καὶ προσκαίρων· τοιαύτη γὰρ ἡ παροικία· κατοικία δέ, ἡ αἰωνία καὶ μὴ μεταπίπτουσα εὐδαιμονία καὶ ἡ ἐκεῖθεν μακαριότης.

59,25,8. Πλήρης ἡμερῶν. Κοινῶς τὰς ἡμέρας τὰς τῆς ζωῆς πληρεστάτας ἑκατέρας ὁμοίως ἐκφέρει, τῶν τε λυομένων καὶ προσκαίρων καὶ τῶν μενουσῶν καὶ αἰωνίων, ὡς πλήρεις, ἀλλ' οὐκ ἐλλιπεῖς εἶναι, καὶ τῆς ζωῆς ταύτης καὶ τῆς λαμπρότητος ἐκείνης οὐχ ὑφειμένας.

59,25,11. Καὶ πάσης εὐδαιμονίας μέτρον ἐπλήρωσαν. Καὶ ἐν πᾶσι καὶ κατὰ πάντα τὸ μέτρον τῆς εὐδαιμονίας καὶ μακαριότητος, ὅσονπερ ἐνῆν, ἐξεπλήρωσαν ἐσχηκότες, πλὴν *τῆς τελευταίας ταύτης*· οὐ συμφορᾶς δὲ εἶπεν, *ἀλλ' οἰκονομίας καὶ δοκιμασίας*, ὡς ἄν τις, φησίν, ὑπολάβοι. Καὶ θέασαι ὅπως τούτοις εἰς εὐδαιμονίαν καὶ ταῦτα ἕλκει καὶ παρατίθησι, τὸ τὸν σφαλερώτατον διὰ νεότητα καὶ ἡλικίαν τῶν παίδων προπέμψαι καὶ ἐν ἀσφαλεῖ τὸν βίον καταλῦσαι καὶ πρὸς τὰ οὐράνια μεταστῆναι πανοικί, ὅπερ τελείας εὐδαιμονίας ἐστίν.

[1185] 59,25,21. Ἀλλὰ τοὐναντίον. Ποῖον; Εἰ τῶν τοιούτων γεννητόρων ἀμελήσας καὶ τῶν ἐγγύθεν ὑποδειγμάτων κατα-

φρονήσας, μὴ θαύμαζε, φησί, εἰ πρὸς ἑτέρους οὐκ εἶδεν, ἀλλὰ πρὸς τούτους· θαύμαζε δὲ μᾶλλον τὸ ἐναντίον εἰ πρὸς ἑτέρους ἰδὼν καὶ οὐκ ἐπαινετὰ ὑποδείγματα, τούτων ὑπερεφρόνησε.

59,25,25. Καὶ τὴν ἐπὶ πᾶσι τοῦ ἀνδρὸς χάριν. Τὸ σωματικὸν χάρισμα λέγει καὶ τὸ κάλλος· τοῦτο γὰρ ἡ εὐαρμοστία παραδηλοῖ καὶ τὸ ἐν πᾶσι τοῦ ἀνδρὸς καλὸν καὶ σύμφωνον ὡς ἐν φθόγγῳ.

59,25,32 Ὢ πῶς ἀδακρυτὶ παρέλθω. Ἀνωτέρω καὶ ἐν αὐτῇ τῇ ἀρχῇ τοῦ λόγου, τὸν θρῆνον καὶ τοὺς θρηνοῦντας παραιτησάμενος, νῦν ὥσπερ αἰσθόμενος ἑαυτὸν εἰς τοιαῦτα ἐληλυθότα καὶ σχετλιάσαντα, θᾶττον ἐπιλαμβάνεται ἑαυτοῦ παρὰ τὴν ὑπόθεσιν πεπραγότος καὶ ἀπολογεῖται ὡς μὴ ἀφιλόσοφον λογισθῆναι διὰ τὸ πάθος· καίτοι δακρῦσαι ἐπὶ νεκρῷ οὐκ ἔξω, ἔφη, τοῦ ἡμετέρου νόμου· ἐνάρξαι μέντοι καὶ μὴ πλέον, ᾗ καλῶς ἔχει, θρηνεῖν ἐξεῖναι. Σχετλιάσας οὖν καὶ ὢ πῶς εἰπών, οὐ θρηνεῖ πάντως· οὐ γὰρ ἡ ἀρχὴ θρήνου ἤδη καὶ θρῆνός ἐστιν, ὥσπερ οὐδ' ἡ τῆς ὁδοῦ ἀρχή, ὁδός, κατὰ τὸν μέγαν Βασίλειον

59,25,41 26,1 Τίς δὲ τῇ τῶν βελτίστων αὑτὸν προσέθηκε, Τίς, φησί, τούτων πλέον, τουτέστι τῶν βελτίστων, τοῖς τε ἄλλοις καὶ τοῖς ἐκ τῆς πατρίδος, προυτίμησεν ἢ προστέθεικεν ἑαυτόν,

58,26,4 Καίτοι διὰ τὸ μέγεθος. Τῆς πόλεως Ἀλεξανδρείας, δηλαδή, ὡς μεγίστης αὐτῆς ὑπαρχούσης· καὶ διὰ τὸ μέγεθος πάντων σχεδὸν κρυπτομένων καὶ μηδὲ γνωριζομένων. οὐδεὶς τούτου γνωριμώτερος ἢ περιφανέστερος ἐπὶ σωφροσύνῃ καὶ συνέσει.

58,26,10-11. Καὶ πάντων ὡς ἓν ἐξασκήσας. Συνήθη ταῦτα τῷ Πατρὶ τὸ στρέφειν τε καὶ συνάγειν μετὰ κάλλους, τὰ τῇ φράσει συνεστραμμένα καὶ κατηναγκασμένα ἀθρότερον ἀπαγγέλλειν. Πάντα οὖν, φησίν, ὡς ἓν τῶν μαθημάτων ἐξήσκησε καὶ οὐδὲ τῶν πρεσβυτέρων τις, μὴ ὅτι γε τῶν ἡλίκων, οὕτως εὐκόλως καὶ ἀσφαλῶς κατώρθωσε. Καὶ πάλιν τούτων ἕκαστον ἀντὶ πάντων, τουτέστι, πάντα ὡς ἓν μάθημα ᾔδει καὶ ἕκαστον ὡς πάντα· τὴν γνῶσιν γὰρ ἁπάντων ὡς ἑνὸς μαθήματος εἶχε καὶ ἑνὸς ἑκάστου εἴδησιν πάλιν, ὡς ἁπάντων.

58,26,15-16. Καὶ τῆς ἐπικινδύνου τοῖς ἄλλοις παιδεύσεως. Τῆς ἀστρονομίας καὶ ἀστρολογίας, λέγει, ἧς καὶ τὸ χρήσιμον ἐπιφέρει, τὸ ἐκ τῆς τῶν οὐρανίων κινήσεως τὸν Δημιουργὸν θαυμάζειν καὶ τὸ βλαβερόν τε καὶ ἄχρηστον ἐπιδείκνυσιν, οὐ τῇ φορᾷ τῶν ἄστρων, καὶ τὰ ἑξῆς τῶν ἑπομένων.

58,26,21. Ἀριθμῶν καὶ λογισμῶν. Ἤτοι ἀριθμητικῆς, τῆς ἐν ποσότησιν ἀριθμῶν δίκην γραμμῶν, ἐν τριγώνοις καὶ τετραγώνοις σχήμασι καὶ πολυγώνοις ποικιλλομένης. Λογισμῶν δέ, εἴτουν λόγων τε καὶ ἀναλογιῶν, ὡς ἔχουσι πρὸς ἀλλήλους· περὶ

[1188] ὧν εἴρηται πλατύτερον ἐν τῷ εἰς τὴν Πεντηκοστὴν λόγῳ διὰ τῶν ἡμετέρων ὑπομνημάτων.

59,26,21-22. Καὶ τῆς θαυμασίας ἰατρικῆς. Οὐκ εἰρωνευόμενος θαυμασίας εἶπεν, ἀλλὰ τὸ ὂν ἔφη· θαύματος γὰρ τῷ ὄντι ἀξία ἡ ἐκ τῶν φύσεων καὶ τῶν κράσεων μεθοδεύουσα καὶ τῆς θεραπείας τοὺς τρόπους παραδιδοῦσα Οὐ μὴν τῆς ἐμπειρικῆς καὶ τῆς ἀλόγου τριβῆς, ἣ καὶ βλάψειεν ἔστιν ὅτε τῇ ἀγνοίᾳ τῶν πρώτων αἰτίων· ὥσπερ ἐπιστημόνως θεωρούμενά τε καὶ διερευνώμενα καὶ φυσικῶς τε καὶ λογικῶς συγκρινόμενα, ἀπαγγέλλουσι τὰς οἷον ῥίζας καὶ πηγὰς τῶν νοσημάτων, ἐξ ὧν ἐκβλύζουσι καὶ τὰ ποικίλα τῶν παθῶν ἐκβλαστάνουσιν εἴδη, ὧν ῥιζῶν ταῖς καταλλήλοις τῶν φαρμάκων ἰατρείαις ἐκκόπτονταί τε καὶ καταμαραίνονται τὰ βλαστήματα.

59,26,25. Μετ' ἐκεῖνον εὐθὺς ἀριθμοῖτο. Οὐδεὶς οὖν, φησίν, ἀμαθῶς τούτῳ περὶ πρεσβειῶν ἀμφισβητήσειε· μέγα δὲ τῷ τοιούτῳ τῷ περὶ πρωτείων φιλονεικοῦντι, παραχωροῦντι Καισαρίῳ τὰ πρεσβεῖα, ἐν τοῖς δευτέροις τὸ πρεσβεῖον λαμβάνειν

59,26,39-40. Ἡ νῦν κακῶς ὑπὸ τοῦ φθόνου διαλυθεῖσα. Θέας ἀξία ξυνωρὶς τῇ μητρὶ καθορώμενοι, ἥτις νῦν, φησί, θανάτῳ ὑπὸ τοῦ φθόνου λέλυται. Σωματοποιεῖ δὲ καὶ προσωποποιεῖ τὸν φθόνον, πρᾶγμα μὴ καθ' ἑαυτὸ συστῆναι δυνάμενον. Μὴ οὖν τὸ τῆς φύσεως ἐπιτίμιον τέως ἔχων αἰτιᾶσθαι τὸ κακῶς εἶπε λυθῆναι· οὐκ οἶδ' ὅπως, ἢ μή ποτε ἀνάγων εἰς τὸ πρωτότυπον τοῦ φθόνου, οὕτως ἔφη· ἐξ ἐκείνου γὰρ ὅ τε φθόνος καὶ ὁ θάνατος, λέγει τοῦ τὸν φθόνον γεγεννηκότος Σατᾶν.

59,27,5. Καὶ πρὸς βασιλέα πρεσβείαν σταλῆναι. Οἶμαι, Κωνστάντιον λέγει, μὴ παρόντα μέν· ἀπὸ δὲ κοινοῦ δόγματος συγκλήτου, πρεσβευτὴν τοῦτον σταλῆναι, ὥστε τὴν πρώτην πόλιν τῷ πρώτῳ τῶν σοφῶν, εἴτουν Καισαρίῳ, κοσμηθῆναι, εἰ πρώτην ὡς ἀληθῶς εἶναι δεῖ καὶ τῆς ἐπωνυμίας ἀξίαν.

59,27,13. Συντυχία τις ἔδοξεν ἄλογος. Ὅπερ οὐκ ἀπὸ γνώμης καὶ βουλῆς γίγνοιτο, ἁπλῶς δὲ συμβὰν οὕτως, συντυχίαν ἄλογον εἶπε καὶ ἀναίτιον· ὅσα γὰρ μὴ μεριμνήσαντες, μηδὲ προβουλευσάμενοι, ἁπλῶς δ' οὕτως ἐπιτύχοιμεν, εἶεν ἂν τοιαῦτα, οἷον εἰ προιόντες μὴ σκοπὸν βίβλον ὠνεῖσθαι, ἐπιτυχόντες δ' ὠνησαίμεθα· τυχηρὰ ταῦτα καὶ ἄλογος συντυχία· τὸ αὐτόματον δὲ σπάνιον καὶ πάσης τέχνης ἐκτὸς καὶ προσδοκίας. Οἷον, σεισμοῦ γεγονότος, ἐξ ὄρους λίθον σπασθῆναι, θώκου τύπον ἔχοντα· οἷά τινα καὶ τοιαῦτα· σπάνια δ' ὅμως καὶ οὐχ ὡς ἐπὶ πολὺ ὁρᾶται. Τῶν δὲ συντυχικῶν ὡς ἐπὶ πλεῖστον ἡ σύμβασις καὶ τέχνης καὶ προσδοκίας ἐγγὺς καὶ φύσει οὐκ ἀδύνατον.

59,27,22-23. Ὁ πάντα Καισαρίῳ πολύς. Ὁ κατὰ πάντα, φησί, τίμιος ἐγώ, καὶ πολύς, εἴτουν μέγας, ὡς οὐδενὸς ἐκείνῳ τιμιωτέρου ὄντος ἐμοῦ καὶ πολλοῦ ἀξίου τυγχάνοντος.

[1189] 59,27,31-32. Μᾶλλον δὲ ὁ πόθος πρεσβύτερος. Τουτέστιν, οὐ τηνικαῦτα ἔγνων φιλοσοφεῖν, ἀλλὰ πολὺ πρότερον. Ὁ γὰρ τῆς φιλοσοφίας πόθος ἐνῆν μοι καὶ πρὸ τούτου τοῦ καιροῦ, κἂν ὁ βίος τῆς τοιαύτης ἐφέσεως ὕστερος, καὶ οὐ τῷ πόθῳ ἅμα προσγέγονεν.

59,27,32. Τὰ πρῶτα τῆς παιδεύσεως. Τὰ τίμια καὶ προτιμότερα, ἤτοι τοὺς λόγους καὶ τῆς παιδεύσεως τὰ ἐξαίρετα, ὡς ἂν ναῷ τῇ πατρίδι ἀνατεθεικότα ἀνάθημα, τὸν ἔπαινόν τε καὶ τὰ ἐγκώμια, καὶ ἐν τούτοις θαυμασθέντα. *Δόξης δὲ ἐπιθυμία*, φησί, καὶ τοῦ προΐστασθαι τῆς πατρίδος, τοῖς *βασιλείοις δίδωσιν ἑαυτόν*, καὶ τὰ ἑξῆς.

59,27,36-37. Πολλοστὸν τετάχθαι παρὰ Θεῷ κρεῖττον. Κρεῖττόν ἐστιν ἔσχατον καὶ μετὰ πολλοὺς παρὰ Θεῷ τετάχθαι ἢ παρὰ τῷ κάτω βασιλεῖ πρωτεύειν. Μέμψεως δὲ οὐκ ἄξιον κέκρικε τὸ ἑαυτὸν τοῖς βασιλείοις δεδωκέναι Καισάριον· τὸ γὰρ φιλοσοφεῖν οὐ πολλῶν, φησί, διὰ τὸ χαλεπὸν καὶ ἐπίπονον· ὅσῳ γὰρ μέγιστον καὶ λυσιτελέστερον, τοσούτῳ καὶ χαλεπόν. Τῶν γὰρ ὑπὸ τῆς θείας προνοίας προσκεκλημένων ἐστὶ τοῦτο, ἥτις καὶ χεῖρα βοηθείας τούτοις καλῶς ὀρέγει· καὶ τὸ μὲν μέγιστον τοῦτο, οὐ μικρὸν δὲ καὶ τὸ τοῦ δευτέρου βίου, καλοκαγαθίας μεταποιεῖσθαι *καὶ πλείω τῶν κάτω λόγον ἔχειν Θεοῦ καὶ τῆς ἑαυτοῦ σωτηρίας*.

59,28,10. Ἄμισθον δὲ τὴν τῆς τέχνης φιλανθρωπίαν. Σημείωσαι ὅπως τοῖς ἐν τέλει καὶ ἀξιώματι μόνον *τὴν τῆς τέχνης ἄμισθον* εἶπε *φιλανθρωπίαν*, ἀλλ' οὐ πᾶσιν ἁπλῶς.

59,28,14. Καὶ οὐδὲν Ἱπποκράτους ὁρκιστοῦ προσδεόμενος. Ὅρκον ἐγγράφως καταλέλοιπεν Ἱπποκράτης, μηδὲν τῆς φιλανθρώπου ταύτης τέχνης νοθεύειν, μήτε δολοῦν, ἀλλ' οὐδὲ μισθαρνεῖν· οἱ γὰρ μισθαρνέοντες, φησί, δουλεύειν ἀναγκάζουσι τὰς ἐπιστήμας.

59,28,30-31. Μείζω τῆς φαινομένης εἰς τὸ κοινὸν εὐσεβείας. Μεγάλης οὔσης καὶ τῆς εἰς τὸ φαινόμενον καὶ κοινὸν εὐσεβείας, μείζω τὴν κατὰ τὸν κρυπτὸν ἄνθρωπον, τῷ Θεῷ παριστὰς καὶ γνωρίζων εὐσέβειαν.

59,28,36. Οὐ λογικῶς μόνον. Ἔστι γὰρ καὶ εὐσεβῶς. Πῶς οὖν καὶ τί τὸ διάφορον ἀμφοῖν; Ἔστι γὰρ τὸ λογικῶς ἀποδεικνύναι κατὰ τοὺς τῆς λογικῆς φιλοσοφίας συλλογισμούς, ἀνασκευάζειν τε καὶ κατασκευάζειν· ἀλλὰ καὶ εὐσεβῶς καὶ πνευματικῶς ταῖς θείαις χρώμενον Γραφαῖς, καὶ οὐκ ἀνειμένως, φησί, καὶ ὑπτίως καὶ ἀσθενῶς, ἀλλὰ καὶ σφόδρα διαπύρως καὶ ἐνδιαθέτως ἐπιχειρεῖν.

59,28,38. Ἐλύσσα καθ' ἡμῶν βασιλεὺς ὁ δυσώνυμος. Ἰουλιανὸν λέγει, οὗ καὶ τὸ ὄνομα ὡς μιαροῦ δύσφημόν τε καὶ κάκιστον· ὅς, φησίν, *ἐκ τῆς εἰς Χριστὸν ἀθετήσεως*, ἀντὶ τοῦ διὰ τὴν ἀθέτησιν Χρι**[1192]**στοῦ, καὶ καθ' ἑαυτοῦ ἐμαίνετο πρῶτον

καὶ τοῖς ἄλλοις ἤδη ἀφόρητος ἦν καὶ ἐπαχθής· καὶ ὑποκλέπτων ἐν πλάσματι ἐπιεικείας τὸν διωγμόν. Οὐδὲ κατὰ τοὺς ἄλλους Χριστομάχους καὶ διώκτας, μεγαλοψύχως καὶ περιφανῶς ἑαυτῷ περιεγράφετο τὴν ἀσέβειαν εἰς τοὐμφανές, οὐδὲ εἰς ἑαυτὸν ὅλην τὴν ἀσέβειαν ἀριδήλως ἐδείκνυ.

59,29,3. Καὶ τὸ μὲν πρῶτον. Τοῦτο πρῶτον σοφίζεται καὶ τεχνάζεται, τὸ *πάσχοντας ὡς Χριστιανοὺς* (τουτὶ γὰρ τὸ προυργιαίτερον ἦν) ὡς δῆθεν *κακούργους κολάζεσθαι*, πρόφασιν κακουργίας τούτοις ἐπιτιθείς. Δεύτερον δὲ τέχνασμα δηλονότι, οὐ τυραννίδος καὶ βίας, ἀλλὰ πειθοῦς ὀνόματι καὶ λόγοις ποικίλοις καὶ ἀπατηλοῖς πείθειν ἐπεχείρει καὶ πλοκαῖς καὶ σκολιότησι τῶν ἐκείνου συριγμῶν ὁ σκολιὸς ὄφις ἠνάγκαζεν ἡττᾶσθαι τοὺς ἀθλητάς, ὡς ἂν αὐθαιρέτως δῆθεν χωροῦντας πρὸς τὴν ἀσέβειαν, μεῖζον ἢ τοῦ κινδύνου τὸ τῆς αἰσχύνης αὐτοῖς.

59,29,20-21. Καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸν ἐν ἀμφοτέροις δυνατόν. *Ἀθλητὴς ἕτοιμος ἦν καὶ λόγῳ καὶ ἔργῳ πεφραγμένος πρὸς τὸν ἐν ἀμφοτέροις δυνατόν.* Ἤδη γὰρ καὶ τῇ τῶν λόγων δεινότητι μέγαν τὸν τύραννον εἶπε καὶ τῇ τῶν ὅπλων πληθύϊ, οἷς καὶ τὸν ἀθλητὴν ὥπλισεν λόγῳ καὶ θείᾳ δυνάμει Χριστός. Λόγων δὲ *οἰκειότητι* προσαίνειν, τουτέστι, κολακεύειν, ὡς λόγοις ᾠκειωμένον αὐτῷ καὶ οὐκ ἀμαθῆ, περιχαίρων καὶ χαριεντιζόμενος· εἶτα καὶ δεδιττόμενος πάλιν τῇ ἐξουσίᾳ.

59,29,33. Καὶ γὰρ καὶ λογικάς. Οὐ πρὸ πολλοῦ περὶ τῶν λογικῶν ἡμῖν ἐσημειώθη· ὡς συλλογισμοὺς καὶ ἀποδείξεις αἰνίττεται· διαλεκτικὰς δέ, τὰς σοφιστικάς· στροφὰς γάρ τινας καὶ κομψὰς λέξεις σημαίνει.

59,29,40-30,5. Τὸ περιβόητον τοῦτο. Ποῖον; Τὸ ὢ πατρὸς εὐτυχοῦς· τῆς εὐτυχίας καὶ εὐπαιδίας θαυμάζειν· δυστυχῶν δὲ *παίδων* πάλιν φησί, διὰ τὴν εὐσέβειαν, ἣν δυστυχίαν ὁ δυσσεβὴς ἀπεκάλει, ἐν ᾗ καὶ τιμῆς ἠξιῶσθαι φάσκει τῇ κοινωνίᾳ τῆς τοῦ ἀδελφοῦ εὐτυχοῦς δυστυχίας καὶ ἀτιμίας. Τῇ γὰρ τοιαύτῃ ἀτιμίᾳ, τιμῆς μάλιστα τῇ τῆς τύχης κοινωνίᾳ ἠξίωσε. *Φυγὰς οὖν ὁ μακάριος ἐκεῖθεν πρὸς ἡμᾶς ἐπανῄκει· τροπαιοῦχός τε καὶ περιφανέστερος τὴν ἀτιμίαν ταύτην*, παρὰ τὴν τοῦ λοιποῦ βίου λαμπρότητα.

59,30,19. Καὶ ὡς διδοὺς μᾶλλον χάριν. Ἐπανελθόντων γὰρ Χριστιανοῖς τῶν πραγμάτων μετὰ δόξης καὶ τιμῆς καὶ μεθ' ὅσων καὶ οἵων μαρτυριῶν, τοῖς βασιλείοις, φησίν, ἀναλαμβάνεται, ὡς χαριζόμενος μᾶλλον αὐτοῖς ἢ παρ' αὐτῶν τι χάριτος κομιζόμενος.

[1193] 59,30,31-32. Τὴν οὐ πολλοστὴν ἀπὸ βασιλέως διέπων ἀρχήν. Ἀντὶ τοῦ, μεγάλην ἀρχὴν καὶ οὐ μετὰ πολλὰς ἑτέρας ὑστάτην.

59,30,32. Ἡ δέ ἐστι, ταμιεύειν βασιλεῖ τὰ

χρήματα. Τουτέστι, συλλέγειν καὶ συντηρεῖν ἐν ταμιείοις· ἔοικεν αὕτη φορολογία εἶναι.

59,31,3. Ἁρπάσαντα τὸν καιρὸν εἰς νουθέτησιν. Τοῦ σεισμοῦ τὴν πρόφασιν καὶ τὸν καιρὸν λέγει, τοῦ ἐν Νικαίᾳ μεγίστου γεγονότος, ὑφ' οὗ καὶ τῷ *συμπτώματι σκεπασθεὶς* διεσώθη. Καὶ λοιπὸν διενοεῖτο, *μεταθέμενος τὴν στρατείαν* διὰ τὸν κίνδυνον, ἀμείβειν καὶ τὰ βασίλεια, ὅπερ καὶ ἐκ πολλοῦ πρὸς ἐμὲ γράφων ἔπειθεν· ἐμὲ δὲ τὸν καιρὸν ἁρπάσαντα εἰς νουθέτησιν τοῦ κινδύνου, μὴ διαλιπεῖν ὑποτιθέναι, ἐν τοῖς χείροσιν ἀεὶ μὴ καλινδεῖσθαι τὴν οὕτω φιλόσοφον ψυχήν.

59,31,7. Ἀλλὰ τοῦ μὲν σεισμοῦ κρείττων ἐγένετο. Ἀλλὰ γὰρ τοῦ μὲν *σεισμοῦ κρείττων ἐγένετο*· οὐκ ἔτι δὲ καὶ τῆς νόσου· τὸ μὲν γὰρ ἴδιον τῆς αὐτοῦ ἦν εὐσεβείας, τὸ παραδόξως διασωθῆναι· τὸ δὲ κοινὸν πρὸς τοὺς ἄλλους ἀνθρώπους· ἄνθρωπος γὰρ ἦν, οὐ μὴν τὴν φύσιν ἀθάνατος.

59,31,9-10. Καὶ προὔλαβεν ἡ παραμυθία τὸ πάθος. Τὸ τοῦ θανάτου πάθος προέλαβεν ἡ παραμυθία τῆς ἀπὸ τοῦ σεισμοῦ σωτηρίας, ὅπως τῷ θανάτῳ αὐτοῦ ὕστερον, τῇ λύπῃ ὡσπερεὶ κατασεισθέντες καὶ καταπεσόντες, τῆς τότε σωτηρίας τῷ παραδόξῳ, φησίν, ἐγκαυχησώμεθα.

59,31,13 Μαρτύρων βήμασι πομπευόμενος. Τουτέστι, παραπεμπόμενος καὶ ὡς ἐπινικίῳ πομπῇ δορυφορούμενος καὶ ἐν βήμασι μαρτύρων δοξαζόμενος, ὡς ἂν τῆς σοροῦ ἐν τοῖς βήμασιν ἀποτιθεμένης, ὡς μάρτυρος τῶν μαρτύρων· λαμπροφορίαν δὲ μητρὸς ὑποληπτέον τὴν ἐξαλλαγὴν τῆς λαμπρᾶς ἐσθῆτος, ἀποσεισαμένης τὴν πενθήρη, διὰ τὴν τῆς μαρτυρίας δόξαν καὶ τὴν εὐσέβειαν. καὶ ὥσπερ εὐφραινομένης, ἀλλ' οὐκ ἀθύμως ἀλυούσης. Νεόκτιστον δὲ ψυχήν, ὡς ἐν ἐσχάτοις ἀνακτισθεῖσαν, καὶ τῷ δι' ὕδατός τε καὶ Πνεύματος ἀναμορφωθεῖσαν βαπτίσματι.

59,41,26-27. Ὁ πικρὸς λίθος. Πικρὸν τοῦτον καλεῖ τὸν οὐδὲν ἐπταικότα λίθον· δηλονότι ὡς καλύψαντα τὸ μὴ καλύπτεσθαι ἄξιον σῶμά τε καὶ κάλλος· ἔθος δὲ καὶ τοῖς ἁγίοις ἐν καιρῷ λύπης μεγάλης καὶ σφοδρᾶς, μηδὲν δύσφημον ἄλλο, ἀλλ' ἢ τοῖς ἀψύχοις ἐπαρᾶσθαί τε καὶ κατηγορεῖν· ὡς Δαυίδ· «ὄρη τὰ Γελβουέ»[1].

59,31,31. Καὶ ἀλογίᾳ μᾶλλον. Ἀλογία γάρ ἐστι καὶ σκότωσις νοῦ τῷ ὄντι, ἡ ἐκ τῶν τοιούτων ἀφοσίωσις τῶν ἀπελθόντων.

59,31,32. Τὸ δ' ἐμὸν δῶρον, λόγος, φησίν, ἐστί, καὶ τὰ ἑξῆς.

59,32,4. Τὰς ψευδομένας τιμάς. Τὰς ἀνυπάρκτους καὶ ἀνυποστάτους· τοιοῦτον γὰρ τὸ ψεῦδος· καὶ λεγόμενον οὐχ ὑφίσταται, ὁποία καὶ ἡ τῶν αἰσθή**[1196]**σεων πλάνη· μικρὸν γὰρ θέλξασα, ἀπέστη θᾶττον, ὡς ἐνύπνιον ἐξεγειρομένου.

1. Β΄ Βασ. 1,21.

59,32,7-12. Οὐ μικρὰν ἀπορροὴν ἐνταῦθα δεξάμενοι. Τὸ ὅσον ἐν ἐσόπτροις καὶ ἐν αἰνίγμασι, τὴν τοῦ καλοῦ ἔχομεν φαντασίαν καὶ οἷον ἀπόρροιάν τινα καλλονῆς καὶ ῥανίδα, αὐτῇ δὲ τῇ πηγῇ τοῦ ἀγαθοῦ, μετὰ τοῦτο ἐντύχοιμεν, καὶ τῆς *περὶ τὸ καλὸν ἐνταῦθα σπουδῆς καὶ φιλοπονίας, τὴν τελεωτέραν ἐκεῖσε, καθαρῷ τῷ νῷ καθαρὰν ἐποπτεύσαντες ἀλήθειαν*, μισθὸν τοῦτο εὑρίσκομεν, ὅπερ δήπουθεν καὶ τέλος ἐστὶ τῆς ἡμετέρας μυσταγωγίας.

59,32,14. Τί λοιπὸν ἔτι; Κατὰ τὴν τῶν ἐπιταφίων τεχνικὴν διαίρεσιν, πρόεισι καὶ αὐτῷ ὁ λόγος· μετὰ γὰρ τὴν ἔκθεσιν καὶ τὴν τῶν πρακτέων ἐξάπλωσιν τῶν κεφαλαίων, τέλος καὶ παραμυθίᾳ τῶν προσηκόντων οἱ παλαιοὶ κέχρηνται.

59,32,29. Καὶ τοῦτο ὑμέτερον. Ὑπεραπολογεῖται μὴ θαυμαστὸν γέρουσι δόξαι, νουθετεῖν τὸν νέον, φησίν, ἐμέ, εἴ τι καὶ ἄμεινον λέγειν ὑμῶν δοκῶ· ὑμέτερον γάρ ἐστι καὶ τοῦτο, τῶν καὶ τοῦ εἶναι καὶ τοῦ εἰδέναι ἡμῖν αἰτίων.

59,32,34. Οὐδ' ὁ πᾶς ἀνθρώπου βίος μακρός. Τῇ θείᾳ φύσει καὶ ἀτελευτήτῳ παραβαλλόμενος, φησίν, οὐδὲ ὁ πᾶς ἀνθρώπου βίος καὶ ἡ ζωὴ μακρός ἐστιν οἱ τὰ ἑκατὸν εἴκοσι τυχὸν τῆς ζωῆς ἔτη· οὐχὶ δὲ τὸ τῆς ζωῆς λείψανον ἡμῶν καὶ τὸ λειπόμενον ἔτι· πρὸς γὰρ τό, *πόσον ἡμᾶς ἔφθη Καισάριος*; Ὁ σκοπὸς ὁρᾷ· δύσιν δὲ τῆς ἀνθρωπίνης ζωῆς τὸν θάνατον εἶπε.

59,33,10-11. Καὶ παλαιστῶν μέτρον. Μετρητὸν λέγει ἀριθμόν· μέτρου γὰρ εἶδος ἡ παλαιστή. «*Παλαιστὰς ἔθου τὰς ἡμέρας μου*»[1], φησὶν ὁ Δαυίδ, εἴτουν μετρητάς· παλαιστὴ δέ ἐστι μέτρον, τεσσάρων δακτύλων ἐπαλλήλως συντεθειμένων ἢ καὶ πὺξ εἴσω κλιθέντων τῶν δακτύλων, ὃ καὶ δῶρον καλεῖται, Ἡσίοδος·

Τρισπίθαμον δ' ἄψιν τάμνειν δεκαδώρῳ ἀμάξῃ[a].

59,33,22. Πάντα «ματαιότης ματαιοτήτων»[2]. Εἴρηται περὶ ματαιότητος, ὅτι τὸ εἰκῇ γινόμενόν ἐστιν ἢ λεγόμενον· ἢ καὶ ὡς ἄτη καὶ βλάβη ἀνόνητός ἐστιν· ὃ δὲ ἀνωφελὲς καὶ ἄτη ἐστί, τρόπον τινὰ βλάβη ἐστίν· ὁ δὲ Ἐκκλησιαστὴς οὐχ ὡς ἀνύπαρκτόν τι, ἀλλὰ πνεύματός τε καὶ αὔρας ὡς ψυχῆς προαίρεσιν ἔχον. Κατὰ τὸν νοῦν τοῦ διδασκάλου ἐξείληφε τὸ ῥητόν· ἄλογος, φησίν, ὁρμὴ ψυχῆς ἐστι, καὶ ἀνθρώπου περισπασμὸς ἀκερδής.

59,33,25. «Τέλος λόγου, τὸ πᾶν ἄκουε, τὸν Θεὸν φοβοῦ»[3]. Σημείωσαι τοῦτο, φησί, μόνον κέρδος τῆς ἐνταῦθα ζωῆς, διὰ τῆς ταραχῆς καὶ ἀνωμαλίας τῶν ὁρατῶν, ἐπὶ τὰ ἑστῶτα ὁδηγηθῆναι καὶ μένοντα.

59,33,33. Καὶ τῷ πνεύματι φέροντι πρὸς τὰ

1. Ψαλ. 38,6. 2. Ἐκκλ. 1,2. 3. Ἐκκλ. 12,13.
α Ἡσιόδ. Ἔργα καὶ ἡμέραι 428.

[1197] ἄ ν ω. Ἤτοι τῷ ἁγίῳ, ἢ τῷ νοερῷ τῆς ψυχῆς. Ἀεὶ γὰρ καὶ αὐτὸ ἐφίεται τοῦ ἀγαθοῦ καὶ τῶν ἄνω καὶ οὐρανίων· ἕλκει δὲ καὶ τὸ σῶμα, εἴ γε ἄρα γνησίως τῷ συγγενεῖ ἐποίμεθα.

59,34,3-4. Ο ὐ φ ι λ ο σ ο φ ή σ ε ι τ ὰ Ἱ π π ο κ ρ ά τ ο υ ς. Οὗτοι ἄριστοι γεγόνασιν ἰατρῶν καὶ τοῖς συγγράφουσι θαυμαζόμενοι· οἷς γεγόνασί τινες καὶ ἀντίθετοι, τἀναντία ἔν τισι καὶ γράψαντες καὶ σπουδάσαντες. Ὅπως δὲ ἐπ' ἀλλοτρίαις συμφοραῖς ἰατροὶ λύπας καρπῶνται, εἴρηται· τοῖς νοσοῦσι γὰρ καὶ ἐν συμφοραῖς οὖσι συμπάσχουσι, καὶ μάλιστα ταῖς ἀποτυχίαις.

59,34,6. Ο ὐ κ ἀ π ο δ ε ί ξ ε ι τ ὰ Ε ὐ κ λ ε ί δ ο υ. Οὗτοι γεωμετρῶν βέλτιστοι· Πτολεμαῖος δὲ καὶ ἀστρονόμων πολλῶν, μᾶλλον δὲ πάντων διήνεγκεν.

59,34,8. Ο ὐ κ α λ λ ω π ι ε ῖ τ α ι τ ο ῖ ς Π λ ά τ ω ν ο ς. Καὶ οὗτοι φιλοσόφων οἱ δοκιμώτατοι· μάλιστα πάντων Πλάτων καὶ Ἀριστοτέλης ὑπέρκεινται.

59,34,21. Κ α ὶ μ η τ ρ ὸ ς π ά θ ο ς κ ε ν ο ῦ ν τ α ι. Πῶς; Δι' ὑποσχέσεως καλῆς καὶ ὁσίας, δοῦναι πάντα τῷ παιδὶ τῷ ἐκείνου· διὰ τῶν πενήτων καὶ δι' ὧν τὸ τῆς μητρὸς κεκένωται τῆς λύπης πάθος, τῇ φιλοτιμίᾳ διαχυθείσης εἰς εὐθυμίαν.

59,34,25-28. Π ε ί θ ο μ α ι σ ο φ ῶ ν λ ό γ ο ι ς, μέχρι τοῦ, ἅ τ ε τ ο ῦ ἐ π ι σ κ ο τ ο ῦ ν τ ο ς. *Τοῦ συνδεδεμένου ἀπολυθεῖσα*, σώματος δηλονότι, ἐν συναισθήσει αὐτίκα γίνεται τοῦ καλοῦ ἡ ψυχή. Ἢ ἀποτεθέντος, φησὶ πάλιν. Τίνος; Οὐ τοῦ σώματος ἁπλῶς· οὕτω γὰρ ἄμεινον διαστέλλειν· τοῦ δ' ἐπισκοτοῦντος σωματικοῦ πάχους, καὶ τῆς ἀχλύος, τῆς τὴν σκότωσιν τέως ἐμποιούσης· ὡς ἤδη τῇ ἀναστάσει τοῦ σώματος ἀποκαθαρθέντος, καὶ κούφου καὶ διειδεστάτου λοιπὸν γεγενημένου· οὐ γὰρ τὸ σῶμα λέγει ἀποτεθεῖσθαι παντελῶς μετὰ τὴν ἀνάστασιν, τῇ δὲ λύσει ἅμα καὶ τῷ θανάτῳ ἀποτεθειμένου μὲν ἐκείνου, τῇ δὲ ἀναστάσει τελέως καὶ τῇ ἐξαλλαγῇ καὶ μεταποιήσει ἀπαλλαγεῖσα τῶν ἐπισκοτούντων, θαυμασίαν εὐθύς τινα ἡδονὴν ἥδεταί τε καὶ ἀγάλλεται ἡ ψυχή.

59,34,29. Ἢ ο ὐ κ ο ἶ δ α, φ η σ ί ν, ὅ τ ι κ α ὶ λ έ γ ε ι ν χ ρ ή, ὅπερ αἰνίττεται τῇ διαπορήσει, τὰ ἀμφότερα ἅμα εἰσάγειν, τήν τε τοῦ σώματος λύσιν καὶ τὴν ἀπόθεσιν τοῦ σκοτασμοῦ, ὡς καὶ διαλυθέντος καὶ αὖθις ἀναληφθέντος καὶ τῇ ἐξαλλαγῇ μεταποιηθέντος καὶ καθαρθέντος τοῦ σώματος καὶ ὅλου πνευματικοῦ γεγονότος, ἀλλ' οὐχὶ παρὰ τοῦτο καὶ τὴν ἀπόθεσιν τούτου τὴν παντελῆ· τὸ οὕτω διστακτικῶς παραινιττόμενον ἤδη βεβαιοῖ.

59,34,32-35. Κ α ὶ τ ὰ ς π ε ρ ι κ ε ι μ έ ν α ς ἀ π ο σ ε ι σ α μ έ ν ο υ π έ δ α ς. Καὶ ἐντεῦθεν οὐκ ἄδηλον, ὅτι εὐθὺς μετὰ τὴν διάλυσιν καὶ τοῦ ἐπισκοτοῦντος σώματος τὴν ἀπόθεσιν λέγει, ἐν συναισθήσει γίνεσθαι τοῦ καλοῦ, οὐ μὴν μετὰ τὴν ἀνάστασιν· οὐ γὰρ ἂν μικρὸν ἔφησεν ὕστερον· *καὶ τὸ συγγενὲς σαρκίον ἀπολαμβάνει*.

59,34,39. Ὅλον εἰς ἑαυτὴν ἀναλώσασα. Τῇ
[1200] γὰρ μεταποιήσει πνευματικὸν ὅλον γεγονός, ἓν λοιπόν, οὐ πολλὰ ἔσται.

59,34,40-41. Καὶ πνεῦμα καὶ νοῦς καὶ Θεός. Ὅπερ ἡ ψυχή, τοῦτο καὶ αὐτὸ τῇ ἀνακράσει γινόμενον· τοῦτο γὰρ ἡ τῆς ἀνθρωπίνης φύσεως βούλεται θέωσις· ὑπὸ τῆς ζωῆς, φησί, *καταποθέντος τοῦ θνητοῦ παντὸς καὶ τοῦ ῥέοντος*.

59,35,7-8. Οὐρανοῦ μετασχηματισμόν. Οὐκέτι γὰρ τῇ φθορᾷ δουλεύσει, οὐδὲ συστενάξει, ἀλλὰ πρὸς τὴν ἐλευθερίαν καὶ ἀφθαρσίαν τῶν τέκνων μεταποιηθεὶς τοῦ Θεοῦ καὶ μετασχηματισθείς, καινὸς ὅλος ἔσται καὶ ὡραιότερος.

59,35,13. Εἴτε τῆς ἀληθείας οὕτως ἐχούσης, εἴτε τοῦ βούλεσθαι. Τῇ φύσει τῶν ὀνειράτων ἔρριψε τὸ διττὸν τῆς ὁράσεως.

Οἱ μὲν γάρ, φησί, κεράεσσι τετεύχαται, οἱ δ' ἐλέφαντι[α].

Οἱ μὲν γὰρ ἀληθεῖς, οἱ διὰ τῶν κερατίνων πυλῶν, καθ' Ὅμηρον, ἐρχόμενοι, οἱ δὲ ψευδεῖς, οἱ διὰ τῶν ἐλεφαντίνων. Ἔστι γὰρ ὅτε ἅπερ βουλόμεθα καθορῶμεν, ἀνατυπουμένων ἐν φαντασίαις. Ἔστι δ' ὅτε καὶ θείᾳ τινὶ ἀπορροίᾳ συγκινουμένης τῆς φαντασίας, καὶ τὰ ὄντα τε καὶ τὰ μέλλοντα τῶν ἐσομένων προδηλούσης, περὶ ὧν οὐδ' ὁπωστιοῦν πεφροντίκαμεν. Διὸ καὶ Ἀριστοτέλης ταῦτα μὲν ὡς ἀρχὰς ἔφησε τῶν ἐσομένων, καὶ προφητείας ἀληθεῖς καὶ λυσιτελεῖς, ἐκεῖνα δὲ ὡς τέλη τῶν ἡμετέρων βουλῶν τε καὶ πράξεων· ἃ γὰρ ἐν συνηθείᾳ ἔχει καὶ μελέτῃ καὶ ἀσκήσει διηνεκεῖ ἕκαστος, ἐκεῖνα καὶ ἐν ὀνείροις δοκεῖ ἐγκεχυμένως καὶ ἀνοήτως καθορᾶν.

59,35,14 ἑξ. Ἀφεὶς τοὺς θρήνους. Καίτοι οὐκ ἐθρήνησε νῦν, ἀλλ' ὅτι ἀνεκαλέσατο τὸν ἀδελφὸν περιπαθῶς, καὶ διὰ τοῦτο οὕτως εἶπε, πρὸς τὸ θρηνῆσαι κινηθείς τε καὶ συγχυθείς, ἀφῆκεν ὡς ἀληθῶς τοὺς θρήνους, καὶ κατὰ τῶν ἄνω τὴν ὑπόσχεσιν ἐναρξάμενος, οὐ παρηνόμησεν ἐπιμείνας καὶ θρηνῳδῶν· θρήνων γὰρ ἄξιον τὸ κατὰ ψυχὴν ἔφη ἄλγος καὶ τὸν ἐξ ἁμαρτίας θάνατον, οὐ μὴν τὴν τοῦ ἀδελφοῦ ἐπιδημίαν πρὸς Κύριον. Εἶτα εἰς ἐμαυτόν, εἶπε, βλέψω καὶ τὰ ἐμαυτοῦ ἐπισκέψομαι, μή τι θρήνων ἄξιον φέρω. Ἔπειτα, *υἱοὶ ἀνθρώπων*, καὶ τὰ ἑξῆς, ὡς κοινὰ τῆς ἀνθρωπίνης φύσεως καταλέγει καὶ νουθετεῖ προτρεπόμενος καὶ συμβουλεύων.

59,35,25. Ὅτι βραδύνομεν ἐν τοῖς τάφοις. Οὕτω γάρ τις τῶν πάλαι σοφῶν τάφους περιφερομένους ὑφ' ἡμῶν τὰ σώματα κέκληκεν.

59,45,28. Ἡ ἐκεῖθεν δόξα. Ἧς, φησίν, ἐφίεμαι. Τὰ ἑξῆς ἄξια σημειώσεως.

α Ὀδυσσ. τ 563.

[1201] 59,35,31. Ἐκεῖνο δὲ οὐ δέδοικα. *Ποῖον; Μή μοι τὸ σῶμα τοῦτο διαρρυὲν καὶ διαφθαρέν*, παντελῶς οἰχήσεται. Τοῦτο γάρ, φησίν, οὐ δέδοικα· οὐδὲ γάρ, εἰ διαρρυέν τε καὶ διαλυθὲν ἤδη καὶ παντελῶς οἰχήσεται, πλάσμα ὑπάρχον τοῦ Θεοῦ. Οὐδὲ γὰρ οἷόν τε *τὴν αὐτὴν τοῖς ἀλόγοις κατακριθῆναι ἀτιμίαν*, καὶ μηδὲν πλέον ἐκείνων ἔχειν μετὰ τὸν θάνατον, ἀλλ' εἰς παντελῆ ἀνυπαρξίαν χωρῆσαι Καὶ εἴθε, φησί, τοῦτο ἦν τοῖς πονηροῖς καὶ τοῦ αἰωνίου πυρὸς ἀξίοις. Χεῖρον γὰρ κακὸν εἶναί τινα καὶ πυρὸς ἔνοχον, ἢ τὸ μηδόλως εἶναι.

59,35,16 ἑξ. Ὡς τά γε μετὰ τοῦτο λαμπρά. Τὸ εἴθε νεκρώσαιμι τὰ μέλη, εἴθε πάντα τῷ πνεύματι δαπανήσαιμι, καὶ τὰ ἑξῆς. Τὰ γὰρ μετὰ τοῦτο λαμπρά, φησί, πάντα, καὶ λίαν ὑπὲρ ἀξίαν ἡ ἐλπίς, εἰς τὴν ζωὴν καὶ τὴν βασιλείαν ἀπάγουσα τὴν οὐράνιον.

59,36,3. Τί ἐστιν ἄνθρωπος, ὅτι μιμνήσκει αὐτοῦ; Ἐπισκεπτέον ὡς τὸ τί ἐστιν ἄνθρωπος, καὶ τὰ ἀκόλουθα, ἐπὶ τοῦ καθόλου ἀνθρώπου καὶ τῆς ἀνθρωπότητος καὶ ἐπὶ παντὸς εἴληφεν ἀνθρώπου.

59,36,5. Ἐκεῖνα μετὰ τοῦ κάτω κόσμου. Μικρὸς καὶ ταπεινός, θνητός τε καὶ ἐπίγειος· τὰ τοῦ κάτω κόσμου ταῦτα. Μέγας καὶ ὑψηλός, ἀθάνατός τε καὶ οὐράνιος· ταῦτα μετὰ τοῦ ἄνω καὶ τοῦ Θεοῦ· τοιοῦτος γὰρ ὁ ἄνθρωπος.

59,36,14. Ἵνα γενώμεθα οἱ πάντες ἓν ἐν Χριστῷ. Πῶς; *Τῷ Χριστῷ γενομένῳ τὰ πάντα ἐν πᾶσι τοῖς ἐν ἡμῖν τελείως*· τὰ πάντα γὰρ ὁ Χριστὸς τῶν ἐν ἡμῖν σαρκικῶν εἴληφεν ἰδιωμάτων. Κατὰ γὰρ τὰ πάντα γέγονεν, ὡς ἡμεῖς, πλὴν ἁμαρτίας[1]. Γενησόμεθα, φησί, καὶ οἱ πάντες ἡμεῖς ἓν ἐν Χριστῷ, καὶ οὐκέτι ἄρσεν καὶ θῆλυ ἐσόμεθα καὶ τὰ λοιπὰ τῆς σαρκὸς γνωρίσματα καὶ τῆς φύσεως.

59,36,24-27. Εὐχαριστοῦντες, δεξιοῖς τε καὶ ἀριστεροῖς. Τίνα δὲ ταῦτά ἐστιν; Ἡδέα, φησί, καὶ ἀνιαρά. Καὶ πῶς ἐν ἀριστεροῖς ἔστιν εὐχαριστεῖν καὶ ἀνιαροῖς; Ὅτι δὴ καὶ αὐτὰ σωτηρίας ὅπλα οἶδεν ὁ Ἀπόστολος. Αὐτῷ οὖν κἂν τούτοις εὐχαριστοῦντες τῷ Θεῷ, τὰς τῶν προκαταλυόντων ἡμῶν ψυχὰς τῷ Θεῷ παρακατατιθέμεθα· ὥσπερ δὲ ἐν ὁδῷ κοινῇ, τῶν ταχυτέρων *προκαταλυόντων* ἤδη καὶ ἀναπεπαυμένων ἐν καταλύματι, μεταφορικῶς εἶπε. Καὶ ἡμεῖς, φησίν, ὁμοίως τὸν λόγον ἀναπαύσαντες καταλύσομεν, καὶ ὑμεῖς τῶν δακρύων λήξατε. Ὑμέτερον δὲ τάφον εἴρηκεν, ὡς τοῖς γέρουσιν ἑτοιμασθέντα. Ὡς δὲ τεθνηκότι λυπηρὸν δῶρον ἔφη Καισαρίῳ δεδομένον, παρὰ τὸ εἰκὸς μέν, διὰ τὴν νεότητα, οὐκ ἀπεικὸς δέ, διὰ τὴν φύσιν καὶ τὴν ταῦτα θείαν οἰκονομοῦσαν σοφίαν.

59,36,39. Συγχωροῦμέν σου τοῖς λόγοις. Τουτέ-
[1204]στιν, ὑποχωροῦμεν, ὑπείκομεν ταῖς σαῖς οἰκονομίαις καὶ τῷ σῷ

---

1 Πρβλ. Ἑβρ. 4,15.

βάθει τῆς σοφίας, καὶ τοῖς λόγοις οἷς τὸ πᾶν φέρεται καὶ κυβερνᾶται.

59,37,3-4. Ἃ τῶν φιλοκόσμων ψυχῶν. Σημειωτέον τοῦτο ὅτι ἐπὶ τῶν βίᾳ ἀποσπωμένων καὶ τεθνήξεσθαι μελλόντων, ταραττομένων δέ, τεκμήριον εἶναι τοῦτό φησι καὶ πάθος φιλοκόσμων ψυχῶν καὶ φιλοσάρκων· τῶν προθύμων δὲ πρὸς τὴν ἐκδημίαν, τῶν διὰ τὸν τοῦ Θεοῦ φόβον ἑτοιμασθέντων, καὶ πρὸς τὴν ἐκεῖθεν ζωὴν ἐπειγομένων, τὴν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΒΑΣΙΛΕΙΟΥ ΣΧΟΛΙΟΝ

ΠΕΡΙ ΛΟΓΟΥ ΚΑΙ ΑΝΑΛΟΓΙΑΣ

Ἕτερόν ἐστι λόγος, καὶ ἕτερον ἀναλογία. Εἰσὶ δὲ λόγοι τῶν ἀριθμῶν ια'· ἀναλογίαι ι'. Ἔστι δὲ ἀναλογία, συναγωγὴ λόγων, ὡς τοὺς δύο λόγους μίαν ποιεῖν ἀναλογίαν, οἷον τοῦ τέσσαρα πρὸς τὸν δύο, κατὰ τὸ διπλάσιον· καὶ τοῦ ι' πρὸς τὸν ε'. Ὅταν οὖν τοὺς δύο τούτους ἀθροίσω λόγους καὶ εἴπω· ὃν λόγον ἔχει ὁ δ' πρὸς τὸν β' κατὰ τὸ διπλάσιον, τοῦτον καὶ ὁ ι' πρὸς τὸν ε', καὶ ὃν ὁ β' πρὸς τὸν δ', ὁ ε' πρὸς τὸν ι'· ὑποπολλαπλάσιον γάρ. Ἔστι τοίνυν ἀναλογία, λόγων ὁμοιότης, ὡς ὅδε πρὸς τόνδε, οὕτως ὅδε πρὸς τόνδε. Λόγος δέ ἐστι δύο ὅρων πρὸς ἀλλήλους σχέσις· τὸ γὰρ πρός τι ποσὸν εἰς δύο διαιρεῖται, ἰσότητα καὶ ἀνισότητα. Ἀλλ' ἡ μὲν ἰσότης, ἀδιαίρετος. Οὐ γάρ ἐστιν αὐτῆς τὸ μὲν τοιόνδε, τὸ δὲ τοιόνδε. Τοῦ δ' ἀνίσου τὸ μὲν μεῖζον, τὸ δ' ἔλαττον· πάλιν τοῦ μείζονος τὸ μὲν πολλαπλάσιον, οἷον διπλάσιον, τριπλάσιον, ὡς τοῦ α' ὁ β' διπλάσιος· τριπλάσιος δὲ ὁ γ'. Τὸ δὲ ἐπιμόριον, οἷον ὁ γ' πρὸς τὸν β'· ἔχει γὰρ τὸν β' καὶ μόριον αὐτοῦ. Τὸ δὲ ἐπιμερές, οἷον ὁ ε' πρὸς τὸν γ'· ἔχει γὰρ αὐτὸν καὶ β' μέρη αὐτοῦ. Τὸ δὲ πολλαπλάσιον ἐπιμόριον, ὅταν ὁ μείζων πλεονάκις ἔχῃ τὸν ἐλάττονα, ὡς ὁ ε' τὸν β'. Τὸ δὲ πολλαπλάσιον ἐπιμερές, ὡς ὁ η' πρὸς τὸν γ', δὶς ἔχων τὸν γ' καὶ δύο τρίτα. Ὁμοίως καὶ τοῦ ἐλάττονος ε' σχέσεις ἀντιδιαστελλόμεναι τῇ ὑπὸ προθέσει. Ὑποπολλαπλάσιος· δὶς μετρῶν τὸν ἐν συγκρίσει μείζονος· οἷον ὁ β' πρὸς τὸν α'. Ὑποδιπλάσιος καὶ ἑξῆς ὁμοίως κατὰ τὸ δὶς καὶ τρίς. Ὑποεπιμόριος· ὑποεπιμερής· ὑποπολλαπλασιεπιμόριος· ὑποπολλαπλασιεπιμερής. Ἕνδεκα οὖν οἱ πάντες λόγοι, καὶ αἱ σχέσεις μετὰ τοῦ ἴσου. Ἀναλογίαι δὲ τῶν ἀριθμῶν ι'. Ἀναλογία ἐστὶ σύνθεσις λόγων. Οἷον λόγος ἐστὶ τοῦ ἑνὸς πρὸς τὸν β' ὁ διπλάσιος· τοῦ δὲ β' πρὸς τὸν δ' ὁμοίως. Σύνθεσις τούτων α' β' δ'. Τρεῖς δὲ αἱ ἀναλογίαι· γεωμετρική, ἀριθμητική, μουσική. Καὶ γεωμετρικὴ μέν, ἥτις τὴν ὑπεροχὴν οὐ σῴζει, τοὺς λόγους δέ· οἷον ὡς β' πρὸς δ', οὕτως δ' πρὸς η'. Ὑπερέχει οὖν τὰ μὲν δ' τῶν β', δυάδι· τὰ δὲ η' τῶν δ' **[1205]** τετράδι. Οἱ δὲ λόγοι οἱ αὐτοί· διπλάσιος γὰρ ἡ καὶ κυρίως ἀναλογία. Ὁ λόγος σχέσις ἐστίν, ὡς εἴρηται· β' πρὸς τὸν δ'· ις' πρὸς τὸν η'· ἀνάλογος δύο λόγων σύνθεσις. Ἀριθμητικὴ ἀναλογία, ἣ τοὺς μὲν λόγους οὐ σῴζει, τὴν ὑπεροχὴν δέ, ὡς δύο πρὸς ἕνα, οὕτω γ' πρὸς β'. Ἡ αὐτὴ ὑπεροχὴ λόγος· β' πρὸς α' διπλάσιος, γ' πρὸς β' ἡμιόλιος. Ἔστιν οὖν γεωμετρικὴ μέν, ἡ τῶν λόγων ταυτότης· ἀριθμητικὴ δέ, ἡ τῶν ὑπεροχῶν· ᾧ γὰρ ὁ ιβ' πρὸς τὸν η' ὑπερέχει, τούτῳ ὑπερέχεται ὁ ς' τοῦ η'· τρίτῳ γάρ. Ἡ δ' μεσότης ἐναντία τῇ ἁρμονικῇ· ὡς ὁ μείζων πρὸς τὸν ἐλάττονα, οὕτως ἡ

διαφορὰ τῶν ἐλαττόνων πρὸς τὴν διαφορὰν τῶν μειζόνων· ς′ ε′ γ′. Ἡ ε′ μεσότης τῇ γεωμετρικῇ ἐναντία· ὡς ὁ μείζων πρὸς τὸν ἐλάττονα, καὶ ἡ διαφορὰ τῶν ἐλαττόνων πρὸς τὴν διαφορὰν τῶν μειζόνων· ε′ δ′ β′. Ἡ ς′ ἐναντία τῇ γεωμετρικῇ· ὡς ὁ μείζων πρὸς τὸν μέσον, οὕτως ἡ τῶν ἐλαττόνων διαφορὰ πρὸς τὴν τῶν μειζόνων· ς′ δ′ α′. Ἑβδόμη, ὡς μέγιστος πρὸς τὸν ἐλάχιστον, οὕτως καὶ ἡ διαφορὰ πρὸς τὴν τῶν ἐλασσόνων· θ′ η′ ς′· ἡμιόλιος γάρ. Ὀγδόη, ὡς ὁ μέγιστος πρὸς τὸν ἐλάττονα, οὕτως ἡ τῶν ἄκρων διαφορὰ πρὸς τὴν τῶν μειζόνων· ς′ ζ′ θ′· ἡμιολίους γὰρ ἔχει τοὺς δύο λόγους. Ἐνάτη, ὅταν τριῶν ὅρων ὄντων, ὃν ἔχει λόγον ὁ μείζων πρὸς τὸν ἐλάττονα, τοῦτον καὶ ἡ τῶν ἄκρων ὑπεροχὴ πρὸς τὴν τῶν ἐλαττόνων. Δεκάτη ἐν τρισὶν ὅροις, ὡς ὁ μείζων πρὸς τὸν ἐλάχιστον, καὶ ἡ διαφορὰ τῶν ἄκρων πρὸς τὴν διαφορὰν τῶν μειζόνων· οἷον γ′ ε′ η′· ἐπιμερὴς γὰρ ὁ ἐν ἑκατέραις λόγος. Καὶ ταῦτα μὲν μείζω, ἢ κατὰ σχολικὴν ἴσως συντομίαν· καίπερ πολλῶν παραλελειμμένων· οὐκ ἄχρηστα δὲ ὅμως τοῖς σπουδαιοτέροις, εἰς γνῶσιν οἶμαι λόγου καὶ ἀναλογίας καὶ τῆς τούτων διαφορᾶς.

ΙΩΑΝΝΟΥ ΓΕΩΜΕΤΡΟΥ *

89 Τοῦ Γεωμέτρου Ἰωάννου. Ζητεῖται καὶ περὶ τοῦ λόγου τούτου, ὁποῖός ἐστι δηλονότι τὸ εἶδος. Πῇ μὲν γάρ τινες αὐτὸν δικανικὸν ὠνομάκασιν, ὅτι περ ἐν μακρῷ τοῦ προοιμίου ποιεῖται ἀπολογίαν τῆς ἑαυτοῦ σιωπῆς· πῇ δὲ πανηγυρικὸν ἐκ τοῦ μακροῖς ἐπαίνοις καὶ ψόγοις καὶ μάλιστα κατὰ τοὺς τῶν μαρτύρων ἄθλους γινόμενον διαπεπλέχθαι αὐτόν· πῇ δὲ καὶ συμβουλευτικόν, ὅτι πολλὴν προτροπὴν καὶ παραίνεσιν ἔχει, ὥστε τοῦ μὲν τῶν ὁρωμένων ὑπερορᾶν, **90** τῶν δὲ ἐλπιζομένων ἐφίεσθαι, καὶ καθάπαξ πολὺν λόγον ποιεῖσθαι τῆς ἀρετῆς καὶ δι᾽ ἁπασῶν πρὸς αὐτὴν ὁδεύειν ὁδῶν. Ὃ δὴ καὶ μάλιστα νικᾷ παρ᾽ ἡμῖν· οὔτε γὰρ ἀπὸ τοῦ παρέργου ἢ καὶ τῆς ἀφορμῆς τὰ τῶν λογων εἴδη κρίνειν δεῖ. Οὕτω γὰρ καὶ ἔνθαπερ ἂν ὦσιν ἀπολογίαι σιωπῆς καὶ βραδυτῆτος ἢ καὶ ἑτέρας τινὸς περιστάσεως εἴτε ἐν τοῖς προοιμιοις εἴτε καὶ ἀναμεταξὺ τῶν λόγων δικανικοὺς νομιοῦμεν, ἐπεί γέ τοι καὶ αὐτὸς οὗτος ἐν τοῖς ἐπιταφίοις καὶ μάλιστα τοῖς τοῦ μεγαλου πατρὸς Βασιλείου, πολύς ἐστιν ἀπολογούμενος ὑπὲρ τῆς μέχρι νῦν σιωπῆς αὐτοῦ, καὶ ἕτεροι δὲ πολλοὶ πολλάκις ἐξ ἄλλων τινῶν περιστάσεων εἴτε καὶ περὶ κλήσεων ὁρμηθέντες οὕτως ἐπὶ τοὺς λόγους ὥρμησαν. Οὔτε δὲ ἀπὸ τοῦ πλεονάζοντος· σχεδὸν γὰρ πανταχοῦ τῶν λογων οἱ ἐγκωμιαστικοὶ πλεονάζουσι τόποι καὶ οἱ συμβουλευτικοὶ γὰρ ὁμοίως καὶ οἱ δικανικοὶ τῶν ἐγκωμίων καὶ ψόγων γέμουσι, δι᾽ ὧν καὶ οἱ ἀγῶνες αὐτοῖς προχωροῦσιν. Ἄριστον οὖν ἅμα καὶ ἀσφαλέστατον, ὅτι καὶ φανερώτατον τὸ λέγειν συμβουλευτικὸν οὖν τὸν λόγον. Ἠτιάθη μὲν γὰρ σιωπῶν καὶ παρεκλήθη πρὸς τὸν λόγον, ὡς φαίνεται· ἐν ἀρχῇ γοῦν καὶ ἐν προοιμίοις περὶ τοῦδε διὰ βραχέως ἀπολογούμενος ἐπὶ τὴν ὑπόθεσιν καὶ τὸ εἶδος ὁρμᾷ τοῦ λόγου τὸ συμβουλευτικόν· τοῦτο γὰρ τίθεται σκοπὸν καὶ ἐπεξεργάζεται. Κἂν γὰρ ἐγκώμια τῶν μαρτύρων περιλαμβάνῃ, κἂν πρὸς τῷ τέλει δὲ καὶ τῆς ὅσιον οὔπω περισταμένης ἑορτῆς τῆς Χριστοῦ γεννήσεως δηλαδὴ πανηγυρικώτερον ἅπτηται, ἀλλὰ ταῦτα πάντα πρὸς κατασκευὴν τοῦ προκειμένου παραλαμβάνεται, τοῦ ὅτι δεῖ τοὺς τῶν μαρτύρων ἄθλους μιμεῖσθαι καὶ τὸν παρόντα καιρὸν τὸν οὕτω φρικτὸν καὶ σωτήριον συνεργὸν περιλαμβάνειν πρὸς τὸ καλὸν καὶ τὴν ἑαυτῶν σωτηρίαν. Ἔστι μὲν οὖν, ὅπερ ἔφημεν, συμβουλευτικὸς ὁ λόγος οὗτος. Διπλῆ δὲ ἡ συμβουλή· κοινή τε δηλαδὴ καὶ ἰδία· πῇ μὲν γὰρ πρὸς ἅπαντας τοὺς ὑπὸ τὴν αὐτὴν ποίμνην, ἵνα μὴ λέγω πρὸς τούς ἁπανταχῇ Χρι-

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Sajdak, Historia Critica Pars I, σελ 89-95. καὶ 96-97

στιανούς, ἐκτείνει τὴν παραίνεσιν· πῆ δὲ πρὸς τὸν ἐξισωτὴν τρέπει τὸν λόγον. Εἰς τοὺς λόγους δὲ ἡ ἐπιγραφὴ λέγει. Τίνας ἢ τοὺς ἑαυτοῦ δηλονότι· δι' ἣν τε αἰτίαν μέχρι τοῦ νῦν ἐπείχοντο καὶ δι' ἣν αὖθις τοῖς ἐθέλουσιν ἐχαρίζοντο. Τὸν ἐξισωτὴν δὲ τὸν τῶν δημοσίων διορθωτήν, εἴτ' οὖν τὸν κατὰ ἀναλογίαν τῶν ἀγρῶν τοὺς φόρους τάττοντα. Οὐχ ὁ ἀποστάτης δὲ οὗτος ὁ Ἰουλιανός, ἀλλὰ φίλος καὶ συμφοιτητὴς καὶ συμφιλόσοφός τίς ἐστιν· ὦ κοινωνὲ γάρ φησι τῶν ἐμῶν παιδευτῶν τε καὶ παιδευμάτων.

Τίς ἡ τυραννίς, ἣν ἐξ ἀγάπης ἀεὶ τυραννούμεθα; Εὐτάκτως καὶ ἀκολούθως τῶν προοιμίων ἄρχεται. Πρῶτον γὰρ περὶ **91** τῶν λόγων ποιεῖται τὸν λόγον καὶ ἐρωτᾷ, δι' ἣν αἰτίαν πρὸς τοὺς λόγους αὐτὸν ἐκβιάζεται. Τὸ γὰρ τίς, ἐρωτήσεως...

ΤΟΥ ΑΓΙΟΥ ΚΑΙ ΜΑΚΑΡΙΟΥ
ΙΩΑΝΝΟΥ ΤΟΥ ΓΕΩΜΕΤΡΟΥ
ΣΧΟΛΙΑ ΕΙΣ ΤΟΝ «ΑΝΑΣΤΑΣΕΩΣ ΗΜΕΡΑ»

92 Ὁ μὲν λόγος τοῦ πανηγυρικοῦ· διαιρεῖται δὲ εἰς τρία ταῦτα, εἴς τε τὸν πανηγυρικὸν καὶ τὸν ἀναθεματικόν, ὃς καὶ αὐτὸς τοῦ πανηγυρικοῦ εἴδους ἐστί, καὶ τὸν συμβουλευτικόν. Δεῖ γὰρ γινώσκειν, ὅτι τὰ μὲν τῶν πολιτικῶν προοίμια ἔκ τε τῶν τόπων, ὧν οἱ τεχνογράφοι πάντες παραδεδώκασιν, λαμβάνονται, καὶ ἔτι τῶν **93** τελικῶν κεφαλαίων, ἅπερ ἐν τῷ συμβουλευτικῷ ὡς ἐπὶ τὸ πλεῖστον εὑρίσκονται. Τὰ δὲ πανηγυρικὰ ἔκ τε τῶν αὐτῶν καὶ τῶν περιστατικῶν, ὥσπερ κἀνταῦθα ἀπὸ τοῦ καιροῦ τὸ προοίμιον, οὐκ ἀπ' ἐκείνου φημὶ τοῦ καιροῦ, ὅταν ὅπερ συμβουλεύωμεν ἤδη καὶ προγεγενημένον δεικνύωμεν, ἀλλὰ τῆς ἐνεστώσης ἡμέρας εἴτουν ἑορτῆς τε καὶ πανηγύρεως. Καὶ τὸ μὲν προοίμιον ἐντεῦθεν ἀνατέτραπται δὲ καὶ ἡ τάξις τε καὶ ἡ φύσις, τῆς τε προτάσεως λέγω καὶ κατασκευῆς· ἡ μὲν γὰρ πρότασις τῇ χώρᾳ μέν ἐστι πρότασις, τῇ δὲ δυνάμει κατασκευή, ἡ δὲ κατασκευὴ τῇ χώρᾳ μὲν κατασκευή, τῇ δὲ δυνάμει πρότασις, ἵν' ᾖ καθαρὸς ὁ λογος καὶ κατὰ φύσιν τιθέμενος οὕτως.

58,243,4. Ἡ ἀρχὴ δεξιά. Ἀναστάσεως γὰρ ἡμέρα· τοῦ γὰρ εἶναι τὴν ἀρχὴν δεξιὰν κατασκευαστικὸν τὸ Ἀναστάσεως ἡμέραν εἶναι. Ἀρχὴν δὲ ποίαν φησί; Εἴτε τὴν ἐν λόγοις· ἐντεῦθεν γὰρ καὶ τῶν συμβουλευτικῶν καὶ τῶν πανηγυρικῶν καὶ πάντων τῶν αὐτοῦ λόγων ὁ πατὴρ ἤρξατο· εἴτε καὶ τῆς ἐκκλησιαστικῆς προστασίας, καθ' ἥν περ προσετάχθη τὰ τῆς κατ' αὐτὸν ἐκκλησίας οἰκονομεῖν, ἀξίωσις δὲ τῆς προτάσεως.

58,245,9. Γινώσκοντες καλῶς τὸν ποιμένα. Πῶς τὸν ποιμένα καλῶς γινώσκοντες μὴ ἀπατώμενοι παρὰ τῶν ψευδοδιδασκάλων καὶ περιπίπτοντες αὐτοῖς ὡς ποιμέσι λῃσταῖς οὖσι καὶ κλέπταις· πῶς δὲ καὶ γινωσκόμενοι, μὴ περιμιγνύντες δηλονότι ἑαυτοὺς τοῖς ἀλλοτρίοις θρέμμασιν, ἐξ ὧν ἡ ἄγνοια τοῖς ποιμέσι γίνεται ἢ τὰ ἐπίσημα φέροντες καὶ τοὺς χαρακτῆρας τοῦ ἀληθινοῦ ποιμένος. Τὸ δὲ ἐλευθερίως τὸ φανερῶς, φησί, καὶ ἐξουσιαστικῶς καὶ ὡς ἐλευθέροις πρέπον. Διὰ τῆς θύρας δὲ τῶν καθολικῶν δογμάτων τῶν ἅπασι τοῖς πιστοῖς ἀναπεπταμένων ἢ καὶ διὰ τοῦ Χριστοῦ τοῦ εἰπόντος· «ἐγώ εἰμι ἡ θύρα»[1].

58,245,19. Ὧν εἴη πάντας ἡμᾶς. Ἀκροτελεύτιον δὲ τὴν εὐχὴν ἐπάγει, ὅπερ ὡς τὰ πολλὰ σύνηθες τοῖς ἡμετέροις Πατράσιν.

---

1. Ἰω. 10,7,9.

ΤΟΥ ΑΥΤΟΥ ΜΑΚΑΡΙΟΥ ΙΩΑΝΝΟΥ ΤΟΥ ΓΕΩΜΕΤΡΟΥ

ΕΡΜΗΝΕΙΑ ΤΟΥ «ΕΠΙ ΤΗΣ ΦΥΛΑΚΗΣ ΜΟΥ»

(Προοίμιον καὶ ἀρχὴ εἰς τὸν λόγον ΜΕ')

Ὅτι μὲν τῶν πανηγυρικωτάτων ὁ λόγος σφόδρα καὶ τοῖς πᾶσιν ἀνωμολογημένον ἐστί. Ποικιλώτατος δὲ τὴν διαίρεσιν· ἐν ἀρχῇ μὲν **94** γὰρ πανηγυρίζει καὶ ἐξαίρει τὴν ἑορτήν· εἶτα θεολογεῖ, φυσιολογεῖ ἐν τάξει δὲ ταῦτα προδιηγήσεως εἶθ' οὕτως εἰς τὴν διήγησιν καταβαίνει καὶ τὰ τοῦ παρόντος καιροῦ διηγούμενος τόδε παλαιῶν ἐξετάζει Πάσχα, αὐτό τε τὸ νομικὸν καὶ ἀληθινόν, καὶ πάντα τὸν νοῦν αὐτῶν ἀναπτύσσει. Μετὰ δὲ τοῦτο συμβουλεύει κατὰ τὸ σύνηθες· οὐδὲν γὰρ αὐτοῦ τῶν πανηγυρικῶν, ὃ μὴ καὶ τοῦ συμβουλευτικοῦ μετέχει. Πρὸς τῷ τέλει δὲ καὶ δικάζεται

60,200,27. 202,3,25. Πρὸς ταῦτα, λέγων, τί φασιν ἡμῖν οἱ συκοφάνται. Εἶθ' οὕτως ἀνακεφαλαιοῦται καὶ τὸ Πάσχα προσφωνήσας καὶ ὡς ἐμψύχῳ διαλεξάμενος συμπεραίνει τὸν λόγον. Καίτοι δὲ οὕτω τοῖς τρισὶν εἴδεσιν ἀναπεπλεγμένος ὁ λόγος πανηγυρικὸς ὠνόμασται ἀπὸ τοῦ σκοποῦ καὶ τοῦ τέλους. Οὐ γάρ, εἴ τι καὶ ὡς μέρος περιλαμβάνεται ἑτέρου, τοῦτο καὶ χαρακτηρίζει τὸ εἶδος· ἀλλ' ἀπὸ τοῦ πλείονος ἢ κρείττονος ἢ καὶ τοῦ τέλους αὐτοῦ ὁ λόγος κρίνεται. Ἔστι δὲ διηγηματικὸν τὸ προοίμιον, ἀπὸ μὲν χρείας ἀρχόμενον, εἰς δὲ τὸ ἑαυτοῦ καταβαῖνον διήγημα. Οὐ μόνον γὰρ τὰ προοίμια ἀπὸ τῶν παραδεδομένων ἡμῖν λαμβάνονται τόπων, ἀλλὰ προσέτι καὶ χρείας καὶ γνώμης, ἔστιν ὅτε καὶ μύθου, ποτὲ μὲν κατὰ τὸ ὅμοιον, ποτὲ δὲ κατὰ τὸ ἐναντίον· κατὰ μὲν τὸ ὅμοιον, ὅταν τὸ αὐτὸ καὶ ἐφ' ἡμῶν ἀεὶ κνύωμεν, κατὰ δὲ τὸ ἐναντίον, ὅταν τὰ ἐναντία ἐκείνοις, ἀλλὰ χωρητὰ ἤδη καὶ ἐπὶ τὴν κατὰ λέξιν ἐξέτασιν.

60,186,3. «Ἐπὶ τῆς φυλακῆς μου στήσομαι»[1], φησὶν ὁ θαυμάσιος Ἀμβακούμ. Διασταλτέον οὖν πρῶτα τὰ τῆς φυλακῆς σημαινόμενα· πολλὴ γὰρ ἡ τούτων σημασία καὶ παρὰ πολλοῖς. Φυλακὴ γὰρ καὶ ὁ τόπος, ὃ καὶ παρ' ἡμῖν ἐστί τε καὶ ὀνομάζεται δεσμωτήριον. Φυλακὴ καὶ οἱ φυλάσσοντες αὐτοὶ στρατιῶται. Φυλακὴ καὶ ἡ ἐκ τούτων ἐνέργεια. Φυλακὴ παρὰ ταῦτα καὶ οἱ πρὸς κατασκοπὴν τῶν πολεμίων ἢ φυλακὴν τοῦ ἡμετέρου στρατεύματος στρατιῶται νυκτοφύλακες ἢ καὶ ἡμεροσκόποι καὶ κατὰ τὸν προλαβόντα τρόπον ὅ τε τόπος ἐν ᾧ ἵστανται καὶ ἡ ἐνέργεια φυλακή. Φυλακὴ καὶ ἡ ἀποτεταγμένη τούτοις τῶν ὡρῶν ποσότης· καὶ οὐ τούτοις

---

1 Ἀββ 2,1.

μόνον, ἀλλὰ καὶ πᾶσιν ἐπαγρυπνοῦσι ποιμέσιν ἢ καὶ ἄλλοις τισὶ φυλάσσουσι. Καθὸ σημαινόμενον καὶ τό· περὶ πρώτην φυλακὴν τῆς νυκτὸς παρελήφθη καὶ δευτέραν καὶ τρίτην· οἱ μὲν γὰρ καὶ εἰς τρεῖς αὐτὴν φυλακάς, οἱ δὲ καὶ εἰς δ´, καὶ περαιτέρω τούτων προυχώρησαν, ὡς ἂν **95** ἕκαστος βούλοιτο καὶ πρὸς τὴν παροῦσαν τυπώσῃ χρείαν ἢ τὸν καιρόν. Φυλακὴ παρὰ ταῦτα ἰδιοτρόπως καὶ ἡ ἀποχὴ καὶ φειδὼ τινος πράγματος, ὥσπερ δὴ καὶ λέγομεν· «ταῦτα ἐφυλαξάμην ἐκ νεότητός μου»[1]· καὶ ἡ τινὸς δὲ χρήματος ἢ πράγματος κατοχὴ καὶ ἀσφάλεια ἢ καὶ τήρησις. Ἐπιστητέον δέ, ὡς ἐπὶ μὲν τοῦ τηρεῖν καὶ φυλάσσειν τῶν ἐνεργητικῶν χρώμεθα, ὡς τό· φύλασσε ἀκακίαν καὶ ἴδε εὐθύτητα· ἐπὶ δὲ τοῦ ἀπέχεσθαι τῶν παθητικῶν μᾶλλον, ὡς τό· καὶ φυλάξομαι ἀπὸ τῆς ἀνομίας μου. Ἀλλ᾽ ἡμῖν γε νῦν ὁ λόγος περὶ ἐκείνης τῆς φυλακῆς τοῦ ἀγρύπνου τε καὶ ἐπιτηρητικοῦ· ἐκ ταύτης γὰρ καὶ ὁ Ἀμβακοὺμ «ἐπὶ τῆς φυλακῆς μου στήσομαι»[2], φησί· εἴτε τῆς θεωρίας διὰ τὸ τὰς ἑαυτοῦ πάσας αἰσθήσεις περιφυλάττειν τῆς ἔξωθεν περιπλανήσεως, εἴτε τῆς ἀγρυπνίας καὶ τῆς ἐπὶ τῇ προσευχῇ στάσεως, εἴτε καὶ τῆς τῶν κρειττόνων φαντασίας· ἐπεὶ γοῦν ὡς προφήτης ἐπὶ ταύτης ἐκεῖνος ἔστη τῆς θεωρίας κἀγώ, φησὶ ὁ ἡμέτερος Πατὴρ καὶ διδάσκαλος.

---

1. Μάρκ. 10,20. 2. Ἀββ. 2,1.

⟨ ΗΛΙΑ ΚΡΗΤΗΣ ⟩

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΠΟΝΗΘΕΙΣΑ Τῼ ΕΥΤΕΛΕΙ ΜΗΤΡΟΠΟΛΙΤῌ ΚΡΗΤΗΣ ΗΛΙᾼ ΥΠΕΡΩΡΙῼ ΤΥΓΧΑΝΟΝΤΙ

Προθεωρία

96 Ἐν πεντηκοστῷ δευτέρῳ ἀριθμῷ τῶν τοῦ μεγάλου τούτου περιγραφομένων λόγων· λόγους γὰρ καλῶ καὶ τὰς συναριθμηθείσας τούτοις ἐπιστολάς· δι' ἃς αἰτίας εἴπαμεν ταύτας ἐπεξηγούμενοι, οἱ μὲν ἑκκαίδεκα τούτων ἐν περιοχῇ μιᾶς συνειλημμένοι βίβλου, πολλῶν ἐξηγητῶν εὐμοιρήκασι, καὶ παλαιῶν καὶ νέων, εὖ τεθηγμένας τὰς γλώσσας ἐχόντων ἐπὶ λόγοις. Οἱ δέ γε λοιποὶ τούτων ὑπ' οὐδενὸς τῶν ἐπὶ δυνάμει λόγων ἀκμασάντων καὶ τὰ τοῦ πνεύματος συγκρίνειν εἰδότων μετὰ τοῦ πνεύματος μετρίας γοῦν, ὅσα ἡμᾶς εἰδέναι, τετυχήκασιν ἀναπτύξεως. Μόνος δέ τις Βασίλειος καὶ Γρηγόριος, οἳ καὶ τοῖς ἑξκαίδεκα τούτου λόγοις ἐπιβεβλήκασι, προεθυμήθησαν μὲν σχολικάς τινας παρασημειώσεις καὶ εἰς τοὺς προκειμένους νῦν ἐπὶ θεωρίᾳ λόγους ἡμῖν καταλιπεῖν... Ὧν πολλῷ κατόπιν ἐλθὼν αὐτὸς καὶ θαμινώτερον τούτοις προσομιλῶν, ἐσφάδαζον μὲν καὶ μαιμῶσαν εἶχόν μου τὴν καρδίαν τῷ ὕψει **97** τούτων ἐπιβαλεῖν, ὤκνουν δὲ ἄλλως καὶ ἀνεδυόμην, μὴ θεμιτὸν μηδ' ἀσφαλὲς εἶναι καθαροῦ μὴ καθαροῖς ἅπτεσθαι διδασκόμενος...

⟨ΝΙΚΗΤΑ ΣΕΡΡΩΝ*

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ Α'–ΜΑ'⟩

Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν ἀρχιεπισκόπου Κωνσταντινουπόλεως Γρηγορίου τοῦ Θεολόγου λόγος α', ἑρμηνευθεὶς ὑπὸ τοῦ μακαριωτάτου καὶ ὑπερτίμου μητροπολίτου Ἡρακλείας κυροῦ Νικήτα τοῦ Σερρῶν.

[944] 58,243,4-5. Ἀναστάσεως... περιπτυξώμεθα. Ἄκων χειροτονηθεὶς ἱερεὺς ὁ θεῖος Γρηγόριος, ὥστε λοιπὸν γηράσαντος τοῦ πατρὸς ἀντιλαμβάνεσθαι τοῦ κατὰ Ναζιανζὸν ποιμνίου, καὶ ἀναπληροῦν τὸ πατρικὸν ὑστέρημα, δυσχεράνας ἔφυγεν εἰς τὸν Πόντον, κἀκεῖσε ἡσύχαζε, καὶ μετὰ καιρὸν ἐπανῆκεν ἀπὸ τοῦ Πόντου ἐν ἡμέρᾳ τοῦ Πάσχα καὶ παρακληθεὶς ἔστη μέσον τῆς ἐκκλησίας, καὶ τὸν παρόντα λόγον ἀπεστομάτισεν. Ὕστερον δὲ τὸν μέγαν Ἀπολογητικὸν συνέταξε κατὰ σχολήν. Ἔστι δὲ οὗτος ὁ λόγος πανηγυρικός, διπλῆν ἔχων ὑπόθεσιν, αὐτήν τε τὴν ἑορτὴν καὶ τὴν βραδυτῆτα τῆς προστασίας τῆς κατὰ Ναζιανζὸν Ἐκκλησίας. Πανηγυρίζει τε ὑμνῶν τὴν ἑορτὴν καὶ ὑπεραπολογεῖται τῆς βραδυτῆτος, εἰ καὶ τὰ τῆς ἀπολογίας ἐν ὀλίγῳ μέρει τοῦ ὅλου λόγου συμπεπεράτωται. Τὸ δὲ Πάσχα, οὐκ ἔστιν ὄνομα τοῦ σωτηρίου πάθους, ὥς τινες ἐνόμισαν, ἀλλ' ἡ λέξις αὕτη δηλοῖ τὴν διάβασιν, καθὼς ἐν τῷ δευτέρῳ τοῦ Πάσχα λόγῳ ὁ μέγας οὗτος Θεολόγος Πατὴρ ἑρμηνεύει· ἄρχεται δ' οὕτως·

Ἐπειδή, φησίν, ἀναστάσεως ἡμέρα ἐστί, καθ' ἣν πρὸς ὑμᾶς ἐπεδήμησα, αὐτὴν ταύτην τὴν ἡμέραν, ὡς ἀγαθὸν δέχομαι σύμβολον, ὅτι ἀναστήσομαι κἀγὼ ἀπὸ τῆς δειλίας καὶ ἀσθενείας καὶ ἔσται μοι ἡ ἀρχὴ τῶν λόγων μου καὶ ἡ ἀρχὴ τοῦ διδάσκειν καὶ τοῦ προΐστασθαι δεξιά, τουτέστιν ἀγαθὴ καὶ ἐπιτηδεία. Ἄγε οὖν ἐπὶ τῇ λαμπρᾷ ταύτῃ ἑορτῇ καὶ πανηγύρει, πνευματικῶς λαμπρυνθῶμεν, τῇ περιβολῇ τῶν ἀρετῶν φαιδρυνόμενοι, καὶ ἀλλήλους περιπτυξώμεθα, τὸ ἀγαπητικὸν καὶ φιλάδελφον καὶ συνδετικὸν πρὸς ὁμόνοιαν ἐν τούτῳ δεικνύοντες. Τὸ γὰρ περιπτύσσεσθαι, τὸ οἱονεὶ προσφύεσθαι καὶ περιπλέκεσθαι ἀλλήλους δηλοῖ.

58,243,5-6. Εἴπωμεν... πεπονθόσι. Τοῦτο ἐκ τῆς προφητείας Ἡσαΐου ἔλαβεν ὁ Θεολόγος, λέγοντος· «εἴπατε τοῖς μισοῦσιν ἡμᾶς καὶ βδελυσσομένοις· ἀδελφοὶ ἡμῶν»[1] ἐστε. Ὁ δὲ νοῦς τοῦ

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 944-984.

1. Ἡσ. 66,5.

λόγου τοιοῦτός ἐστιν, ὅτι καὶ αὐτοῖς τοῖς μισοῦσιν ἡμᾶς εἴπωμεν τό, ὦ ἀδελφοί, τουτέστι καλέσωμεν αὐτοὺς τῇ προσ[945]ηγορίᾳ τῶν ἀδελφῶν. Τοῦτο γὰρ ἀπόδειξις ἀγαθῆς περὶ αὐτοὺς διαθέσεως. Δεῖ γὰρ καὶ τοῖς ἐχθροῖς λέγειν τό, ὦ ἀδελφοί, καὶ μὴ μόνον τοῖς δι' ἀγάπην τι πεποιηκόσιν ἢ πεπονθόσι, ὥσπερ οἱ ἐν Ναζιανζῷ καὶ ἐποίησάν τι δι' ἀγάπην καὶ ἔπαθον. Ἐποίησαν μὲν γὰρ τὴν πρὸς τὸν Θεολόγον τοῦτον Πατέρα παράκλησιν, ἵνα τὴν ἱερωσύνην καταδέξηται καὶ ποιμάνῃ αὐτούς. Ἔπαθον δὲ τὸ μὴ εἰσακουσθῆναι παρ' αὐτοῦ. Καὶ αὖ πάλιν αὐτὸς ἔπαθε τὴν βίαν καὶ ἐποίησε τὴν εὐπείθειαν.

58,243,7-11. Συγχωρήσωμεν... ταχυτῆτος. Συγχωρήσωμεν διὰ τὴν Ἀνάστασιν πρὸς τὰ αἰτιάματα, ἃ ἔχομεν ἀλλήλους αἰτιᾶσθαι, δῶμεν συγγνώμην ἀλλήλοις, ὑμῖν μὲν ἐγώ, ὁ παρ' ὑμῶν τυραννηθεὶς τὴν καλὴν τυραννίδα. Τοῦτο γὰρ νῦν προστίθημι, ὅτι καλή ἐστιν αὕτη ἡ τυραννίς· ἐπεὶ πρότερον οὐκ ἐδόκει μοι καλή, ἀλλὰ βιαία, ἀλλὰ ἀσύμφορος. Καλὴν δὲ αὐτὴν νῦν λέγω, ὡς ἀπὸ διαθέσεως ἀγαθῆς γεγενημένην. Ὑμεῖς δὲ πάλιν δότε συγγνώμην ἐμοί, εἴ τί μοι μέμφοισθε τῆς βραδυτῆτος, καὶ ὅτι οὐκ αὐτίκα ἐπέδραμον καλούμενος. Καίτοι γε, εἰ καὶ μὴ παρ' ὑμῖν, ἀλλὰ τῷ Θεῷ κρείττων ἐστὶν ἡ λελογισμένη αὕτη βραδυτής, παρὰ τὴν ἑτέρων ἀπερίσκεπτον ταχυτῆτα.

58,243,11-15. Ἀγαθὸν.... δύναμιν. Κατασκευάζει ἐνταῦθα, ὅτι ἀμφότερα ἐπαινετῶς ἐποίησε. Καὶ πρότερον, τὴν ἀναχώρησιν, διὰ τὸ φοβηθῆναι τὸ μέγεθος τῆς ἱερωσύνης· καὶ δεύτερον, τὴν ἐπάνοδον, διὰ τὸ μὴ περιπεσεῖν τῷ τῆς ἀπειθείας ἐγκλήματι. Καὶ τὰ παραδείγματα τῆς τε βραδυτῆτος καὶ τῆς προθυμίας, ἀπὸ τῆς ἱστορίας λαμβάνει τῆς Παλαιᾶς. Ἀγαθὸν γάρ, φησί, καὶ τὸ ὑποχωρῆσαι πρὸς ὀλίγον καὶ τὴν προστασίαν παραιτήσασθαι, κἂν αὐτὸς ὁ Θεὸς κελεύῃ, καὶ αὖθις τὸ προσδραμεῖν. Καὶ ταῦτα οὐκ αὐτὸς ἀναπλάττω, ἀλλ' εὑρίσκω καὶ τὸν Μωϋσέα καὶ τὸν Ἱερεμίαν ἀποστελλομένους παρὰ τοῦ Θεοῦ καὶ παραιτουμένους. Ὁ μὲν γὰρ Μωϋσῆς κελευόμενος παρὰ τοῦ Θεοῦ πρὸς Φαραὼ ἀπελθεῖν βασιλέα Αἰγύπτου καὶ εἰπεῖν αὐτῷ, ἵνα ἀποστείλῃ τὸν λαὸν αὐτοῦ, τουτέστι τοὺς Ἰουδαίους, παρῃτεῖτο, προφασιζόμενος, ὅτι βραδύγλωσσός ἐστι καὶ ἰσχνόφωνος, καὶ εἶπε· «δέομαι, Κύριε, προχείρισαι ἄλλον δυνάμενον, ὃν ἀποστελεῖς»[1]. Ὁ δὲ Ἱερεμίας προφητεύειν εἰς τὰ ἔθνη πεμπόμενος καὶ αὐτὸς ἀνεβάλετο λέγων· «ὁ ὤν, Δέσποτα Κύριε, ἰδοὺ οὐκ ἐπίσταμαι λαλεῖν, ὅτι νεώτερος ἐγώ εἰμι»[2]. Οὗτοι μὲν οὖν κελεύοντι τῷ Θεῷ ὑπεχώρησαν· ὁ μέν, τὸ βραδύγλωσσον δεδοικώς, ὁ δέ, τὴν νεότητα. Ὁ δὲ Ἀαρὼν καὶ Ἡσαΐας, καλοῦντι τῷ Θεῷ ἑτοίμως προσέδραμον. Ὁ μὲν γὰρ Ἀαρὼν ἀκούσας παρὰ Κυρίου, «πορεύθητι εἰς συνάντησιν Μωσέως εἰς τὴν ἔρημον»[3], εὐθὺς ἐβάδισε, καὶ συνήντησεν

---

1. Ἐξ. 4,13 2. Ἱερ. 1,6. 3. Ἐξ. 4,27.

αὐτῷ, μηδέν τι διακριθείς, [948] καὶ συνεπορεύθη εἰς Αἴγυπτον. Ὥστε κατὰ τὸν θεῖον χρησμόν, τὸν μὲν Μωσέα ἰσχνῇ καὶ λεπτῇ τῇ φωνῇ λαλεῖν πρὸς τὸν Ἀαρών· τὸν δὲ Ἀαρών, τὰ τοῦ Μωϋσέως ῥήματα μεγαλοφώνως διαπορθμεύειν πρὸς τὸν Φαραὼ καὶ πρὸς τὸν λαόν. Ἡσαΐας δὲ καὶ αὐτὸς ἀκούσας παρὰ τοῦ ὀφθέντος αὐτῷ ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, «τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον»[1], δηλαδὴ τῶν Ἰουδαίων; εἶπεν. «Ἰδοὺ ἐγώ, ἀπόστειλόν με»[2].

58,243,11-12. Τοῦ μεγάλου Βασιλείου. Ἐρώτησις. Διατί δὲ δήποτε Μωσῆς μὲν παρῃτεῖτο, Ἡσαΐας δὲ προσέτρεχεν; Ἀπόκρισις. Ὅτι Μωσῆς μὲν ᾔδει τὴν ὑπόθεσιν, ἧς ἕνεκα ἀπεστέλλετο· διὰ τοῦτο ὤκνει πρός τε τὸ ἀνένδοτον τῆς καρδίας τοῦ Φαραὼ ἀποβλέπων καὶ πρὸς τὸ δυσπειθὲς πάλιν καὶ δυσάγωγον τοῦ λαοῦ. Πεῖραν γὰρ εἶχε τῆς ἀγνωμοσύνης τῶν Ἰουδαίων, ὅτι καὶ εὐεργετηθέντες αὐτὸν ἐφυγάδευσαν. Ἡσαΐας δὲ μετὰ τὸ ἀφεθῆναι τὰς ἁμαρτίας αὐτοῦ, ἀκούσας, τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ νομίσας, ὅτι ἐπὶ τούτῳ ζητεῖται ὁ ἀποστελλόμενος, ἵνα τὰ παραπλήσια κἀκεῖνοι εὐεργετηθῶσι, πρὸς οὓς ἀποστέλλεται, ὑπὸ περιχαρίας ἑαυτὸν ὑποβάλλει, ἵνα κἀκείνοις ἀφεθῶσιν αἱ ἁμαρτίαι. Ἰδού, φησίν, ἐγώ, ἀπόστειλόν με. Ὥστε εὔλογος κἀκείνου ἡ παραίτησις καὶ τούτου ἡ προθυμία. Ἵνα δὲ μή τις εἴπῃ τῷ Θεολόγῳ· Πῶς ἐναντία ὄντα ἀλλήλοις, τὸ προσδραμεῖν τῷ Θεῷ καλοῦντι καὶ τὸ ὑποχωρῆσαι, σὺ λέγεις ἀμφότερα εἶναι ἀγαθά; Αὐτὸς προλαβὼν ἐπάγει τὴν λύσιν. Εἰ γὰρ εὐσεβῶς, φησί, καὶ ἡ ὑποχώρησις καὶ ἡ προθυμία γένηται, οὐδέτερον τούτων φαῦλον κριθήσεται. Πῶς δὲ καὶ παραιτήσεταί τις εὐσεβῶς καὶ προθυμηθήσεται εὐσεβῶς; Τὸ μέν, διὰ τὴν οἰκείαν ἀσθένειαν, ὅταν τις εἰς ταύτην ἀποβλέπων, τὸ μέγεθος τῆς διακονίας εὐλαβῆται· τὸ δέ, διὰ τὴν τοῦ καλοῦντος δύναμιν, ὅταν τις πιστεύσας, ὅτι πάντα δυνατὰ τῷ Θεῷ, ἀκολουθῇ αὐτῷ ἐπιτάττοντι. Ὅρα τοίνυν, πῶς θέλων ὁ Θεολόγος Πατὴρ συστῆσαι, ὅτι οὔτε ἡ δειλία τῶν ὑποχωρησάντων μεμπτή, οὔτε ἡ προθυμία τῶν ὁρμησάντων, πρὸς ἀμφότερα ἀπεῖδε τὰ πρόσωπα, τουτέστι πρὸς τὸ καλοῦν καὶ καλούμενον, ἵνα δείξῃ τοῦ μὲν καλοῦντος ἄξιον, τὸ τὸν καλούμενον ὑποτάσσεσθαι· τοῦ δὲ καλουμένου, τὸ τὸν καλοῦντα κατευλαβεῖσθαι καὶ ἀναδύεσθαι. Ὥστε κατὰ τοῦτον τὸν λόγον καὶ τὸ ὑποχωρῆσαι καὶ προσδραμεῖν ἐναντία ὄντα, ἄμφω ἐπαινετὰ ἔσται ἐκ τῆς αἰτίας.

58,243,16-22. Μυστήριον... συνιστάμενον. Μυστήριον, τὴν ἑορτὴν εἴωθε πολλάκις ὀνομάζειν, διότι ἐπὶ μυστηρίοις τισὶ γενομένοις καὶ θαύμασι τὰς ἑορτὰς ἄγομεν. Καὶ νῦν οὖν διὰ τὸ μυστικὸν τῆς ἑορτῆς καὶ [949] ἀπόρρητον τοῖς πολλοῖς, μυστήριον αὐτὴν καλεῖ. Καὶ λέγει, ὅτι ἐν ἑορτῇ ἐγενόμην ἱερεύς, τῇ τῆς Χριστοῦ

---

1. Ἡσ. 6,8. 2. Ἔνθ' ἀν.

Γεννήσεως, ἴσως, καὶ ἐν ἑορτῇ ὑπεχώρησα, τῇ τῶν Φώτων τάχα, καὶ ἐν ἑορτῇ ἐπανῆλθον, τῇ τοῦ Πάσχα. Τῆς μὲν οὖν ὑποχωρήσεως καὶ τῆς ἐπανόδου τὴν αἰτίαν εἴρηκεν. Αὐτὸς γὰρ ἦν κύριος καὶ τοῦ φυγεῖν καὶ τοῦ ἐπανελθεῖν καὶ ᾔδει περὶ αὐτῶν. Τῆς δὲ χρίσεως οὐκέτι. Ἕτεροι γὰρ αὐτὸν ἔχρισαν. Ἐχρίοντο δὲ πάλαι μὲν οἱ ἱερεῖς καὶ ἀρχιερεῖς τῷ νομικῷ χρίσματι· ὕστερον δὲ τῷ πνευματικῷ, ὅπερ ἐστὶ χειροθεσία καὶ τοῦ Ἁγίου Πνεύματος ἐπίκλησις. Ἀλλὰ τίς ἡ αἰτία τῆς ὑποχωρήσεως; Ἵνα, φησίν, ἐμαυτὸν ἐπισκέψωμαι καὶ ἴδω, εἰ ἄρα τῆς ἱερωσύνης εἰμὶ ἄξιος. Τίς δὲ ὁ λόγος τῆς κατὰ τὸ Πάσχα ἐπανόδου; Ἵνα αὐτήν, φησί, τὴν ἡμέραν καλὴν συνεργὸν ἔχω καὶ σύμμαχον, λύουσάν μοι καὶ τὴν ἀσθένειαν καὶ ἀδυναμίαν τὴν πρὸς τὴν ἱερωσύνην καὶ τὴν δειλίαν, ἣν εἶχον, εὐλαβούμενος τὴν μεγάλην ταύτην ἀξίαν καὶ τὸ τοῦ πράγματος μέγεθος. Ἐδειλίων γάρ, ὡς ἀσθενής, ἀναδέξασθαι λαοῦ προστασίαν. Λέγει δὲ ταῦτα, μετριάζων ὁ μέγας. Διὰ τοῦτο γάρ, φησίν, ἐπανῆλθον κατὰ τὴν ἡμέραν τῆς ἀναστάσεως τοῦ Χριστοῦ, ἵνα ὁ σήμερον ἐκ νεκρῶν ἀναστάς, κἀμὲ νεάζειν καὶ ἀκμάζειν πνευματικῶς καὶ ἐν τοῖς πνευματικοῖς παρασκευάσῃ ἢ καινοποιήσῃ τῷ Πνεύματι, τουτέστι μεταβαλεῖ ἀπὸ δειλοῦ καὶ ἀσθενοῦς εἰς θαρσαλέον καὶ ἰσχυρόν· ὥστε θαρρούντως καὶ εὐτόνως ἀφηγεῖσθαι τῆς ποίμνης. Μεταβαλεῖ δέ, τῷ θείῳ Πνεύματι καὶ τὸν καινὸν ἐνδύσας ἄνθρωπον, τὴν ἱερωσύνην φημί. Ἡ γὰρ χρίσις καὶ ἁμαρτίας λύει, καθά τισι τῶν Πατέρων ἔδοξε, καὶ νέον ἄνθρωπον ποιεῖ τὸν χριόμενον. Δῷ τῇ καινῇ κτίσει, τοῖς διὰ τοῦ βαπτίσματος ἀναγεννωμένοις, οἵτινες οὐκ ἐξ αἱμάτων, ἀλλ' ἐκ Θεοῦ γεννῶνται[1], πλάστην ἀγαθὸν καὶ διδάσκαλον (πλάστην μέν, ὡς διὰ τοῦ βαπτίσματος τρόπον τινὰ πλάττοντα· διδάσκαλον δέ, ὡς τὴν πίστιν αὐτοῖς ἐξηγούμενον· ἢ πλάστην μὲν τῶν ἠθῶν, διδάσκαλον δὲ τῶν δογμάτων), Χριστῷ καὶ συννεκρούμενον, διὰ τῆς πρὸς τὰ πάθη νεκρώσεως· καὶ συνανιστάμενον, τῇ ἀναζωώσει τῶν ἀρετῶν· ὁ γὰρ νεκρὸς τῇ ἁμαρτίᾳ γενόμενος, ζῇ πάντως τῇ ἀντικειμένῃ ἀρετῇ. Ἐκ τοῦ Ἀποστόλου δὲ τὰς χρήσεις ταύτας ἔλαβεν ὁ Θεολόγος. Λέγει γάρ που Ἐφεσίοις γράφων ὁ μακάριος Παῦλος, ὅτι «ἐδιδάχθητε ἀποθέσθαι τὸν παλαιὸν ἄνθρωπον τὸν φθειρόμενον κατὰ τὰς ἐπιθυμίας τῆς σαρκός, ἤτοι τῆς ἀπάτης· ἀνανεοῦσθαι δὲ τῷ πνεύματι τοῦ νοὸς ὑμῶν, καὶ ἐνδύσασθαι τὸν καινὸν ἄνθρωπον τὸν κατὰ Θεὸν κτισθέντα»[2]. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· Ἐμάθετε, ὦ Ἐφέσιοι, ὥσπερ ἱμάτιον ἀποδύσασθαι τὸν παλαιὸν ἄνθρωπον, τουτέστι τὴν ἐφάμαρτον ζωήν, ἀνανεοῦσθαι δέ, τὴν πνευματικὴν [952] ἀναγέννησιν, διὰ τοῦ ἐν τῷ νοῒ ὑμῶν κατοικοῦντος πνεύματος. Ὅπερ μεταβαλὼν εἶπεν ὁ Θεολόγος· κἀμὲ καινοποιήσῃ τῷ Πνεύματι. Καὶ αὖθις· Ἐδιδάχθητε ἐνδύσασθαι, ὡς λαμπρὰν ἐσθῆτα, τὴν ἀρετήν. Ταύτην γὰρ ὀνομάζει καινὸν ἄνθρωπον, κτιζόμενον κατὰ Θεόν, τουτέστιν ὡς ἀρέσκοντα.

1. Πρβλ. Ἰω 1,13 2 Ἐφ. 4,21-24.

58,243,23-25. Χθὲς... ἐτειχίσθημεν. Περὶ τῶν καθ' ἑαυτὸν ἀπολογησάμενος ὁ Θεολόγος, χωρεῖ νῦν καὶ ἐπὶ τὰ κατὰ τὴν ἑορτήν, ἃ καὶ ἀλληγορεῖ, καί φησιν, ὅτι χθὲς ὁ λογικὸς ἀμνός, ὁ Χριστός, διὰ τοῦ θείου ἄρτου ἐσφαγιάσθη καὶ ἐχρίσθησαν ἡμῶν αἱ φλιαί, ἡ πρᾶξις καὶ ἡ θεωρία καὶ αἱ πρῶται τοῦ νοῦ κινήσεις καὶ αἰσθήσεις ἐχρίσθησαν διὰ τοῦ θείου αἵματος. Καὶ ἡ μὲν Αἴγυπτος, ἡ διώκουσα ἡμᾶς ἁμαρτία, ἐθρήνησεν ἀπολλύμενα τὰ ἑαυτῆς πρωτότοκα, τουτέστι καὶ αὐτὰς τὰς πρώτας ὑποθέσεις καὶ ἀφορμάς. Τοῦ γὰρ παλαιοῦ νόμου τὰ τέλη τῶν ἁμαρτημάτων κολάζοντος, ἡμεῖς καὶ τὰς ἀρχὰς αὐτῶν, ὡς αἰτίας τῶν πράξεων, ῥιζόθεν ἀνασπᾶν ἐκελεύσθημεν. Ἢ καὶ πρωτότοκα, τὰ τελεώτερα μᾶλλον τῶν ἁμαρτημάτων καὶ μείζονα. Ἢ ἁπλῶς, τὰ πρότερα πλημμελήματα, ἅπερ ἀπώλλοντο Χριστοῦ τυθέντος ὑπὲρ ἡμῶν. Ἡμᾶς δὲ παρῆλθεν ὁ ὀλοθρεύων διάβολος, ὃς ἀναιρεῖν ἐπείγεται, ὥσπερ τινὰ πρωτότοκα, τοὺς πρώτους ἀγαθοὺς τόκους τῆς ψυχῆς ἡμῶν. Καὶ ἡ σφραγίς, ἡ διὰ τῆς χρίσεως τοῦ τιμίου αἵματος, φοβερὰ μὲν ἔστι τῷ ὀλοθρεύοντι δαίμονι, διὰ τὴν δύναμιν αὐτῆς· αἰδέσιμος δέ, διὰ τὸ ἀξίωμα· βασιλικὴ γάρ. Καὶ τῷ ἱερῷ αἵματι οὐ μόνον ἐχρίσθημεν καὶ ἐσφραγίσθημεν, ἀλλὰ καὶ ὡσεὶ τεῖχος αὐτὸ κυκλόθεν περιβαλλόμεθα. Διήκει γὰρ αὐτοῦ πρὸς πᾶσαν τὴν οὐσίαν ἡμῶν ἡ δύναμις, ὥστε συναμφότερα περιτειχίζειν καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. Κεῖται δὲ πᾶσα ἡ περὶ τοῦ ἀμνοῦ ἱστορία ἐν τῷ δευτέρῳ Μωσαικῷ βιβλίῳ, ὅπερ Ἔξοδος ἐπιγέγραπται, περὶ ἧς ἱστορίας πλατύτερον ἐν τῷ δευτέρῳ λόγῳ τοῦ Πάσχα ὁ Θεολόγος διέξεισιν.

58,243,26-244,3. Σήμερον... φυράματος. Χθὲς μέν, φησίν, ἐκεῖνα ἐγένετο, ἅπερ εἰρήκαμεν. Σήμερον δέ, κατὰ τὴν Κυριακὴν ἡμέραν, καθ' ἣν ὁ Χριστὸς ἀνεβίω καὶ ἀνεκαίνισεν ἡμῖν τὴν ἀπὸ φθορᾶς εἰς ἀφθαρσίαν διάβασιν καὶ τὴν ἀπὸ τῶν ἐπηρεαζομένων πρὸς τὰ ἀνεπηρέαστα, καθαρῶς ἐφύγομεν Αἴγυπτον· οὐ μόνον τὸν κίνδυνον τῆς ἁμαρτίας ἐκκλίναντες, ἀλλὰ καὶ αὐτὴν τὴν πρὸς τὴν ἁμαρτίαν διάθεσιν ἀπὸ καρδίας καθαρῶς μισήσαντες. Οὕτω δὲ διακειμένοις ἡμῖν, πικρὸς φανεῖται δεσπότης ὁ νοητὸς Φαραὼ **[953]** διάβολος· βαρεῖς δὲ ἐπιστάται, οἱ συνεργοῦντες αὐτῷ δαίμονες· καὶ ἡ ἁμαρτία, πηλὸς καὶ πλινθεία· πηλὸς μὲν λεγομένη, ὅταν πρὸς τὰς ἡδονὰς φαῦλοι ὦμεν· πλινθεία δέ, ὅταν ποσῶς συστελλώμεθα. Τηνικαῦτα δὲ καὶ ἑορτάσιμος ἡμῖν ἔσται ἡ ἐκ τῆς ἁμαρτίας πρὸς τὴν δικαιοσύνην διάβασις καὶ ᾄσομεν τὰ ἐξόδια καὶ διαβατήρια, οὐκέτι κωλυόμενοι ἑορτάζειν· ὥσπερ οὐδὲ οἱ Ἰσραηλῖται μετὰ τὴν τῆς Ἐρυθρᾶς διάβασιν· οὐδὲ χρώμενοι τῇ σεσηπυίᾳ καὶ ὀξώδει ζύμῃ τῆς ἁμαρτίας, ἀλλ' ὡς ἐν ἑπτὰ ἡμέραις, τῷ ἑπταδικῷ τούτῳ βίῳ, τὴν ἄζυμον καὶ καθαρὰν ἀρετὴν καὶ θεολογίαν μετιόντες. Εἰλικρίνεια γάρ ἐστι, βίου καθαρότης· ἀλήθεια δέ, δογμάτων ὀρθότης. Ἐν κεφαλαίῳ οὖν διὰ τῆς εἰλικρινείας καὶ ἀληθείας, τὴν πρακτικὴν καὶ θεολογικὴν φιλοσοφίαν

ἐσήμανεν. Ὥσπερ δὲ οἱ Ἰσραηλῖται ἐκ τῆς Αἰγύπτου ἐξιόντες, οὐδὲν ἐπεφέροντο Αἰγύπτιον χρᾶμα καὶ φύραμα, εἰ μὴ μόνον ἄλευρα· οὕτω χρὴ καὶ ἡμᾶς ἐκ τῆς ἁμαρτίας ἀναχωροῦντας, μὴ φυλάττειν τι τῆς προτέρας κακίας λείψανον, ἀλλὰ τὴν ἀρετὴν ἄζυμον ἔχειν, μὴ φυραθεῖσαν ἢ ἀνακραθεῖσαν, οἱά τινι ζύμῃ, τῇ παλαιᾷ καὶ πικρᾷ ἕξει, ἣν ἐσιτούμεθα, ὅτε ἐν Αἰγύπτῳ τῇ ἁμαρτίᾳ διήγομεν. Τί δὲ τὸ αἰγυπτιακὸν φύραμα, αὐτὸς ὁ Θεολόγος ἑρμηνεύει, ὅτι τὸ ἄθεον δόγμα, ἢ τὸ σκοτεινὸν καὶ ῥυπαρὸν ἔργον.

58,244,4-6. Χθὲς συνεσταυρούμην... συνεγείρομαι. Τὸ χθὲς δύναται καὶ ὅλον τὸν καιρὸν τῆς Τεσσαρακοστῆς αἰνίττεσθαι. Χθὲς οὖν, φησίν, συνεσταυρούμην Χριστῷ, τῶν γηΐνων ὑψούμενος καὶ τῆς κατ' ἐνέργειαν ἁμαρτίας ἀπεχόμενος, καὶ συνενεκρούμην καὶ συνεθαπτόμην καὶ πρὸς αὐτὰ τὰ πάθη καὶ τὴν κατὰ νοῦν ἁμαρτίαν μένων νεκρὸς καὶ ἀκίνητος. Σήμερον ἐνεργοῦμαι τὸ δοξάζεσθαι, τὸ ζωοποιεῖσθαι, τὸ ἐξανίστασθαι. Κατὰ ἀντίθεσιν δὲ σχηματίζει τὸν λόγον ὁ Θεολόγος. Ἀντίκειται γὰρ τῇ μὲν ἀδοξίᾳ τοῦ σταυροῦ, ἡ δόξα, τῇ δὲ νεκρώσει, ἡ ζωή, τῇ δὲ ταφῇ, ἡ ἀνάστασις. Καὶ ὅρα ἀκολουθίαν· πρῶτον γὰρ σταύρωσις, ὅπερ ἐστὶ κώλυσις τῆς κατ' ἐνέργειαν ἁμαρτίας· δεύτερον νέκρωσις, ἤγουν συστολὴ τῆς κατὰ νοῦν φαύλης κινήσεως· τρίτον ταφή, τουτέστιν ἀναίρεσις καὶ αὐτῆς τῆς πρὸς τὰ πάθη ἐνεργείας· τέταρτον, ἀνάστασις. Ὅταν γὰρ ἀποσχώμεθα τοῦ κατ' ἐνέργειαν ἁμαρτάνειν, εἶτα ἐντεῦθεν προκόψωμεν εἰς τὸ μηδὲ κατὰ νοῦν πολεμεῖσθαι, ἀλλὰ πᾶσαν κίνησιν ἁμαρτητικὴν οἱονεὶ θάψωμεν, τότε ὁ λόγος μόνος ἐν ἡμῖν, ὥσπερ ἐκ νεκρῶν ἐγηγερμένος, ἀναφαίνεται.

58,244,6-11. Ἀλλὰ ... οἰκειότατον. Ἐντεῦθεν ἐπὶ τὸ τῆς συμβουλῆς εἶδος χωρεῖ ὁ μέγας Πατήρ, καὶ προτρέπεται Χριστῷ καρποφορεῖν. Δίκαιον γάρ, ὅτι καὶ αὐτὸς ὑπὲρ ἡμῶν ἔπαθεν, ἵνα τὴν ἀπάθειαν ἡμῖν προξενήσῃ, καὶ ὑπὲρ ἡμῶν ἀνέστη, ἀπαρχὴ γενόμενος ἀναστάσεως, ἵνα βεβαίαν ἔχωμεν τὴν ἐλπίδα τῆς ἀναστάσεως. Τῆς γὰρ κεφαλῆς ἀναστάσης, δεῖ πάν[956]τως καὶ ἅπαν τὸ σῶμα ἀναστῆναι. Καὶ καρποφορεῖν κελεύει οὐ χρυσὸν καὶ λίθους καὶ ἄργυρον. Μικρὰ γὰρ ταῦτα καὶ εὐτελῆ, ἀπὸ γῆς τε ὄντα καὶ τῇ γῇ ἐναπομένοντα, ἀλλ' οὐκ ἀκολουθοῦντα τοῖς κτησαμένοις, ἃ καὶ κάκιστος ῥᾳδίως ἐκτήσατο καὶ περὶ ἃ οἱ φαῦλοι μᾶλλον σπουδάζουσιν καὶ οὓς ὁ κοσμοκράτωρ ἔχει καταδουλώσας. Οὕτω δὲ ὀνομάζεται ὁ διάβολος, οὐχ ὅτι τοῦ κόσμου κρατεῖ καὶ τῆς κτίσεως, ἄπαγε, ἀλλ' ὅτι ἐκείνων κρατεῖ, τῶν τὴν κακίαν ἐργαζομένων, ἥτις κόσμος πολλαχοῦ εὑρίσκεται λεγομένη, κατὰ τὸ πρὸς τοὺς μαθητὰς ὑπὸ Χριστοῦ εἰρημένον· ὑμεῖς οὐκ ἐστὲ ἐκ τοῦ κόσμου, καθὼς ἐγὼ ἐκ τοῦ κόσμου οὐκ εἰμί[1]· τουτέστιν, οὐκ ἐστὲ ἐκ τῶν ἀγαπώντων τὴν πονηρίαν ὥσπερ οὖν οὐδὲ

1 Πρβλ Ἰω 17,16.

ἐγώ. Τὴν μὲν οὖν γηΐνην καρποφορίαν ὁ Θεολόγος ἐκβάλλει, ὡς μόνοις τοῖς πλουσίοις δυνατὴν οὖσαν. Οὐδὲν δὲ μέγα παρὰ Θεῷ, ὃ μὴ καὶ πένης δωρεῖσθαι δύναται. Εἰσάγει δὲ τὴν κοινήν, ἣν ὁμοίως πάντες καρποφορεῖν δύνανται, κἂν πλούσιοι ὦσιν, κἂν πένητες, λέγων· καρποφορήσωμεν ἡμᾶς αὐτούς, οἵτινες κτῆμά ἐσμεν τῷ Θεῷ τιμιώτατον καὶ οἰκειότατον· τιμιώτατον μέν, ὅτι ταῖς αὐτοῦ χερσὶ διεπλάσθημεν καὶ δι' ἡμᾶς πάντα γέγονε τὰ ὁρώμενα· οἰκειότατον δέ, διὰ τὴν ἔμπνευσιν καὶ τὸ κατ' εἰκόνα καὶ διὰ τὸν λόγον. Πάντα μὲν γὰρ τὰ ὑπὸ Θεοῦ γενόμενα κοινωνοῦσι τῆς αὐτοῦ ἀγαθότητος, κατὰ τὸ εἶναι. Ἐκ περισσοῦ δὲ τὰ ζῶα. Κατά τε γὰρ τὸ εἶναι καὶ κατὰ τὸ τῆς ζωῆς μετέχειν κοινωνοῦσι τοῦ ἀγαθοῦ. Ὁ δὲ ἄνθρωπος καὶ κατὰ τὰ προειρημένα μέν, οὐ μὴν ἀλλὰ καὶ κατὰ τὸ λογικόν. Οἰκειότερος γάρ πώς ἐστι πρὸς Θεὸν τῶν αἰσθητῶν ὁ ἄνθρωπος, εἰ καὶ ἁπάντων ὁ Θεὸς ἀσυγκρίτως ὑπέρκειται

58,11,15. Ἀ π ο δ ῶ μ ε ν ... ἡ μ ᾶ ς ἄ ν θ ρ ω π ο ς. Ἀποδῶμεν, φησί, τῇ ψυχῇ, τῇ εἰκόνι τοῦ Θεοῦ, τὸ κατ' εἰκόνα ἀξίωμα, δηλαδὴ τοὺς θείους χαρακτῆρας, οὓς ἡ ἁμαρτία ἠμαύρωσε. Καλῶς δὲ εἶπεν, ἀποδῶμεν, ὡς ὀφειλόμενον. Ἐκεῖνο γάρ τις ἀποδιδόναι λέγεται, ὅπερ κεχρεώστηκε. Καὶ ἡμεῖς οὖν, λαβόντες τὸ κατ' εἰκόνα, ἀπαιτηθησόμεθα πάντως αὐτὸ παρὰ τοῦ δόντος Θεοῦ. Καὶ τῷ μὲν ἁγίῳ Κυρίλλῳ, τὸ αὐτὸ καὶ ἓν εἶναι δοκεῖ, τὸ κατ' εἰκόνα καὶ τὸ καθ' ὁμοίωσιν· τοῖς δὲ λοιποῖς θείοις Πατράσι, κατ' εἰκόνα μέν, τὸ νοερὸν καὶ αὐτεξούσιον καὶ τὸ ἀρχικόν· καθ' ὁμοίωσιν δέ, τὸ ἐν ἀρεταῖς τέλειον, ὡς ἐφικτὸν ἀνθρώπου φύσει, τὸ ἀγαθόν, τὸ σοφόν, τὸ δίκαιον, τὸ πάσης κακίας ἐλεύθερον, τὸ ἀμέριμνον, τὸ ἀπερίσπαστον καὶ ἀκέραιον. Αὗται γὰρ οἱονεὶ χαρακτῆρες τῆς θείας ὑπάρχουσι φύσεως. Ἀποδῶμεν οὖν τῇ ἡμετέρᾳ ψυχῇ τὸ οἰκεῖον αὐτῇ. Οἰκεῖον δὲ αὐτῇ, τὸ κατὰ τὴν εἰκόνα εἶναι τοῦ κτίσαντος, πρὸς ἣν καὶ γέγονεν. Ἀλλὰ καὶ τὸ ἀξίωμα ἡμῶν γνωρίσωμεν, τουτέστι τὸ μέγεθος καὶ τὴν ἐξ ἀρχῆς εὐγένειαν. Γνωρίσωμεν δ' ἄν, ἀναλαβόντες αὐτὸ τοιοῦτον, οἷον ἐξ ἀρχῆς ἐλάβομεν· ὡς νῦν ἄλλοι ἀντ' ἄλλων γενόμενοι, οὐ γνωρίζομεν ἑαυτούς, ὥσπερ εἴ τις ἄλλος ἀντ' ἄλλου γενόμενος, [957] λέγει, μὴ γινώσκειν ἑαυτὸν διὰ τὴν ἀλλοίωσιν. Γνῶμεν οὖν, ἡλίκοι παρὰ Θεοῦ γεγόναμεν καὶ τὸ ἀρχέτυπον τιμήσωμεν ἐν τῷ τηρεῖν τὴν εἰκόνα ἀμόλυντον. Γίνεται δὲ αὕτη ἡ τιμή, διὰ τῆς ἀπηκριβωμένης μιμήσεως, καὶ ὅταν τὸ παράδειγμα ὅμοιον τῷ ἀρχετύπῳ φαίνηται. Γνῶμεν καὶ τοῦ μυστηρίου τὴν δύναμιν, τουτέστι τῆς ἑορτῆς τὴν αἰτίαν καὶ τὸν σκοπόν. Δι' ἡμᾶς γὰρ πᾶσα ἡ φιλάνθρωπος τοῦ Δεσπότου οἰκονομία γέγονε καὶ ὑπὲρ ἡμῶν σαρκὶ θανάτου ἐγεύσατο ὁ ἀθάνατος Γενώμεθα ὡς Χριστός, ἐπεὶ καὶ Χριστὸς ὡς ἡμεῖς. Ὁ κορυφαῖος, φησι Πετρος, ὅτι «Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμον»[1].

---

1. Α' Πέτρ. 2,21

Γέγονε γὰρ ὁ Σωτὴρ ὑπογραμμὸς τοῖς ἀνθρώποις, τυπούμενος αὐτοῖς καὶ λαμβάνων ἀπαθῶς τὰ νοήματα τοῦ κόσμου τούτου. Τὸ οὖν, γενώμεθα ὡς Χριστός, οὕτω νοήσεις· γενώμεθα καθαροὶ καὶ ἀπαθεῖς, ἐπεὶ καὶ Χριστὸς ταπεινώσας ἑαυτὸν καὶ συγκαταβὰς ἡμῖν, μεμένηκεν, ὅπερ ἦν, καθαρὸς καὶ ἀπαθής· «ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδ᾽ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ»[1]. Ὁ μὲν Θεὸς ὤν, ἄνθρωπος γέγονε. Δεῖ οὖν καὶ ἡμᾶς, θεοὺς γενέσθαι. Ἀλλ᾽ ἐκεῖνος μὲν δι᾽ ἡμᾶς ἄνθρωπος, ἡμεῖς δὲ ὑπὲρ ἑαυτῶν θεοί. Καὶ ἐκεῖνος μὲν ἀντὶ τῆς ἀκροτάτης δόξης, τὴν ἀκροτάτην ἀναλαβόμενος ἀτιμίαν· ἡμεῖς δέ, ἀντὶ τῆς ἀκροτάτης ἀτιμίας, τὴν ἀκροτάτην τιμήν. Κἀκεῖνος μὲν φύσει γενόμενος ἄνθρωπος, ἡμεῖς δὲ θέσει θεοί. Γέγονε γάρ, ὅ ἐσμεν, κατ᾽ οἰκονομίαν, ἵν᾽ ἡμεῖς γενώμεθα, ὅ ἐστιν ἀντιμετρουμένης, ὡς οἶδεν αὐτός, τῇ αὐτοῦ κενώσει τῆς τῶν χάριτι σῳζομένων θεώσεως, ὅλων θεοειδῶν καὶ ὅλων Θεοῦ χωρητικῶν καὶ μόνου γενησομένων. Τοῦτο γὰρ ἡ τελείωσις, πρὸς ἣν σπεύδουσιν οἱ ταύτην ἀληθῶς ἔσεσθαι τὴν ἐπαγγελίαν πιστεύσαντες.

58,244,15-20. Π ρ ο σ έ λ α β ε ... π τ ώ μ α τ ι. Εἰσὶ τὰ ῥήματα ταῦτα σαφῆ καὶ οὐδεμιᾶς ἑρμηνείας δεόμενα. Προσέλαβε γὰρ ὁ Χριστὸς τὸ χεῖρον, τὴν ἀνθρωπότητα, ἵνα δῷ τὸ βέλτιον, τὴν θεότητα. Καὶ πλούσιος ὢν τῇ θεότητι, ἐπτώχευσε τῇ σαρκί, ἵν᾽ ἡμεῖς πλουτήσωμεν[2] τὴν θεότητα. Καὶ δούλου μορφὴν ἐφόρεσεν, ἵν᾽ ἡμεῖς τὴν ἀπὸ τῆς δουλείας τοῦ διαβόλου καὶ τῶν παθῶν ἐλευθρίαν λάβωμεν· ὅπερ δηλοῖ, ὅτι εἴχομεν ἐξ ἀρχῆς τὴν ἐλευθερίαν ἀπωλέσαμεν δὲ ταύτην. Δεῖ οὖν ἀπολαβεῖν, ἣν ἔχοντες ἀπεβάλομεν. Κατέβη πρὸς ἡμᾶς ὁ Ὕψιστος, ἵν᾽ ἡμεῖς οἱ ταπεινοὶ ὑψωθῶμεν, ὑπεραρθέντες τῆς τῶν γεηρῶν σχέσεως καὶ πτερωθέντες πρὸς τὰ οὐράνια. Ἐπειράσθη ἐν τῇ ἐρήμῳ εἰς γαστριμαργίαν, φιλοδοξίαν, φιλοχρηματίαν καὶ νενίκηκεν ἐν τῇ τρίτῃ ταύτῃ προσβολῇ καὶ πείρᾳ τὸν πειραστήν, ἡμῖν τὴν νίκην πραγματευόμενος. Ἀλλὰ ἠτιμάσθη ὁ τῆς δόξης Κύριος, ἵνα δοξάσῃ τοὺς ἀτίμους ἡμᾶς· ἀπέθανεν, ἵνα τῷ θανάτῳ αὐτοῦ σωθῶμεν· κατέβη καὶ ἀνέβη, ἵνα ἡμεῖς ἀκολουθήσωμεν αὐτῷ καὶ ἵνα κάτω κειμένους ἐν τῷ τῆς ἁμαρτίας πτώματι πρὸς ἑαυτὸν ἑλκύσῃ, ὡς ἡ ὑπόσχεσις. **[960]** Ἐπηγγείλατο γὰρ λέγων· «ὅταν ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν»[3].

58,244,21-24. Π ά ν τ α ... γ ε ν ό μ ε ν ο ν. Ἀπηριθμήσατο τὰ δι᾽ ἡμᾶς πάθη τοῦ Χριστοῦ καὶ τὰς δοθείσας ἡμῖν εὐεργεσίας, ἵνα δείξῃ μὴ κατὰ χάριν αὐτῷ καρποφοροῦντας, ἀλλὰ κατὰ χρέος. Καὶ ἄνω μὲν ἐδόκει τέλεον ἐκβάλλειν τὴν διὰ τῶν ὑλῶν καρποφορίαν, ἐν οἷς ἔλεγε· χρυσόν με ἴσως οἴεσθε λέγειν ἢ ἄργυρον, καρποφορήσωμεν ἡμᾶς αὐτούς· νῦν δὲ δείκνυσιν, ὅτι οὐ παντελῶς ἀποδοκιμάζει τὰ τοιαῦτα, ἀλλὰ προτιμᾷ τὸ μεῖζον, τουτέστι τὸ ἑαυτοὺς προσάγειν. Φησὶ

1 Α᾽ Πέτρ 2,22 2. Πρβλ. Β᾽ Κορ. 8,9. 3. Ἰω. 12,32

γοῦν· πάντα διδότω τις, καὶ χρυσὸν καὶ λίθους καὶ ὑφάσματα· διδότω δὲ κατὰ ὀφειλήν. Ἐπεὶ προλαβὼν ὁ Χριστὸς τὸν ὑπὲρ ἡμῶν ἀνεδέξατο θάνατον καὶ ἑαυτὸν τῷ Πατρὶ προσέφερεν θυσίαν ὑπὲρ ἡμῶν. Αὐτῷ γὰρ πεπλημμελήκαμεν καὶ αὐτὸν ἔδει τὸ ὑπὲρ ἡμῶν λύτρον δέξασθαι καὶ ὄντως ἡμᾶς λυθῆναι τῆς κατακρίσεως. Μὴ γὰρ γένοιτο τῷ τυράννῳ τὸ τοῦ Δεσπότου αἷμα προσενεχθῆναι. Λύτρον δὲ ὁ Χριστὸς καὶ ἀντάλλαγμα, ὡς τὰ ἡμῶν ὑπὲρ ἡμῶν ἀναδεξάμενος· ὥσπερ ἐάν τις ὑπὲρ τοῦ ὑπευθύνου ἢ αἰχμαλώτου ἐκδῷ ἑαυτόν. ὥστε παθεῖν, ἃ ἐκεῖνον ἔδει παθεῖν. Καλὴ μὲν οὖν, φησί, καὶ πᾶσα καρποφορία, ἣν ἂν δώσῃ τις τῷ εὐεργέτῃ Χριστῷ· οὐδὲν δὲ τοιοῦτον δώσει μέγα, οἷον ἑαυτὸν τοῦ μυστηρίου συνιέντα τουτέστι νοοῦντα, τίς ἡ τῆς ἀναστάσεως αἰτία καὶ τί δύναται χαρίζεσθαι τοῖς ἀνθρώποις, καὶ τὴν γνῶσιν ταύτην δεικνύντα ἐπὶ τῶν πράξεων καὶ πάντα γενόμενον διὰ Χριστόν, ὅσα ἐκεῖνος δι' ἡμᾶς, τουτέστιν ἀμέμπτως ὁδεύοντα διὰ πασῶν τῶν ἡλικιῶν Χριστοῦ καὶ δυνάμεων, ἁγνιζόμενον πνευματικῶς, περιτεμνόμενον τὴν ἐν καρδίᾳ περιτομήν, διδάσκοντα ἐν τῷ ἱερῷ, τοὺς θεοκαπήλους ἐλαύνοντα λιθαζόμενον, τὰ ἄλλα ποιοῦντα ἢ πάσχοντα, ὅσα καὶ αὐτὸς ὑπὲρ ἡμῶν ἐποίησεν ἢ ἔπαθεν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν[1].

58.244,25-29. Καρποφορεῖ...πνεύματος. Διεγείρων τοὺς ἀκούοντας εἰς τὸ καρποφορεῖν ὁ Θεολόγος, κατασκευάζει τὸ δεῖν τοῦτο γενέσθαι καὶ ἀπὸ τοῦ Χριστοῦ, εἰπών, ὅτι κἀκεῖνος λύτρον[2] ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν[3]. Κατασκευάζει δὲ νῦν καὶ ἀπὸ τοῦ ἰδίου Πατρός, προσθείς, ὅτι καὶ οὗτος ἐμὲ ὑμῖν ποιμένα, εἴτουν ἐπίσκοπον, προμνηστεύεται. Πρεσβύτερος γὰρ ἤδη εἰμί· καὶ τοῦτο ὁ Πατὴρ οὐκ ἐλπίζει, ἀλλὰ βλέπει· οὔπω δέ εἰμι ἐπίσκοπος, ἀλλὰ τοῦτο ὁ Πατὴρ ἐλπίζει γενέσθαι με μετὰ τὸν αὐτοῦ θάνατον, καὶ εὔχεται, ἄξιόν με γενέσθαι τοῦ πράγματος, ὡς μὴ μισθωτὸν εἶναι, μηδὲ κλέπτην ἀλλὰ ποιμένα. Καὶ παρ' ὑμῶν αἰτεῖ τῶν ὑπ' αὐτοῦ ποιμαινομένων, ἵνα με μετ' αὐτὸν τὸν ποιμαίνοντα δέξησθε καὶ τὴν εὐπείθειαν ἐπιδείξησθε. Δίκαιοι δ' ἂν εἴητε, αἰτοῦντι τῷ πατρὶ πείθεσθαι. Ποιμὴν γάρ ἐστι καλὸς (ὃ περὶ αὐτοῦ ὁ Σωτὴρ εἶπε) καὶ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ ὑμῶν **[961]** τῶν προβάτων τίθησι[4]. Δίδωσι δὲ καὶ ἑαυτὸν διπλοῦν ὑμῖν ἀνθ' ἁπλοῦ. Κἀμὲ γὰρ εἰς τὴν προστασίαν μεθ' ἑαυτοῦ ἔταξε· κἀγὼ διπλῆν αὐτῷ μέλω χρείαν πληροῦν, καὶ τοῦ γήρως βακτηρία γενόμενος καὶ τοῦ πνεύματος. Ὑποστηρίζω τε γὰρ τὸν πατέρα κεκμηκότα τῷ χρόνῳ καὶ τὰς πνευματικὰς αὐτῷ καὶ ἐκκλησιαστικὰς συνεισενέγκω φροντίδας.

58,244,29-32. Καὶ προστίθησι... ἄξιον. Καὶ δύο, φησί, ναοὺς ὑμῖν ὁ πατὴρ ἐχαρίσατο. Ἕνα μὲν ἄψυχον, ὃν ἐν Να-

---

1. Πρβλ. Α' Πέτρ. 2,21. 2. Πρβλ. Ματθ. 20,28 3. Τίτ 2 14
4. Πρβλ. Ἰω. 10,11.

ζιανζῷ φιλοτίμως ἀνήγειρε, περικαλλῆ τινα καὶ οὐράνιον. Οὐράνιον δὲ εἶπεν αὐτόν, τάχα μὲν διὰ τὸ ὕψος, τάχα δὲ διὰ τὸ ἡμισφαιρικὸν σχῆμα τῆς ὀροφῆς, ἴσως δὲ καὶ διὰ τὸ τὸν πάντα ναὸν τύπον ἀποσῴζειν τοῦ οὐρανοῦ· ἕτερον δὲ ἔμψυχον. Ἑαυτὸν δὲ οὕτω λέγει ὁ Θεολόγος κατὰ τὸ ἀποστολικόν· «οὐκ οἴδατε, ὅτι ναὸς Θεοῦ ἐστε»[1]; Καὶ ἀναγκάζεται μέν, ὡς ἐν συγκρίσει, εἰπεῖν ἑαυτὸν πολλῷ μείζονα καὶ ὑψηλότερον τοῦ ἀψύχου ναοῦ· ἐπεὶ δὲ φορτικόν ἐστι τὸ ἑαυτὸν ἐπαινεῖν, ἐκκλίνει τὴν περιαυτολογίαν καὶ μέσως πως λέγει, ὅτι προστίθησι τῷ ἀψύχῳ μέν, περικαλλεῖ δὲ ναῷ, ἐμὲ τὸν ὁποιονοῦν καὶ ἡλίκον, τουτέστιν οἷον ἂν καὶ ὅσον κρίνοι τις. Πλὴν ὁποῖος ἂν καὶ εἴην, τῷ πατρὶ τιμιώτατος σφόδρα εἰμί. Τοιοῦτον οὖν με παρ' αὐτῷ ὄντα, ὑμῖν ἐπιδέδωκε. Καὶ οὐκ ἔστιν εἰπεῖν, ὅτι εἰς μὲν τὸ ἀνεγεῖραι τὸν ἄψυχον ναὸν πολλοῦ πόνου καὶ ἀναλωμάτων ἐδέησε τῷ πατρί, εἰς ἐμὲ δὲ οὐχί· πολλοῖς γὰρ κἀγὼ ἱδρῶσι καὶ πόνοις, τοῖς τῶν μαθημάτων, δι' ἀσκήσεως τοιοῦτος συνετελέσθην. Ἐπεὶ δὲ πολλάκις τινὰ τῶν πραγμάτων οὐκ ἄξια τῶν πόνων ἀποβαίνουσιν, ὁ Θεολόγος μέσος χωρῶν, οὔτε κρύπτει τοῦτο, ὅτι ἄξιος ἀπέβη τῶν πόνων, οὔτε πάλιν ἀπαυθαδειάζεται, ἀλλ' ἐπεύχεται μόνον· εἴη δὲ εἰπεῖν, ὅτι καὶ τῶν πόνων ἄξιον.

58,244,32-33. Καὶ ... μεγαλοψυχίας. Ἔτι ἐμφιλοχωρεῖ ὁ Θεολόγος τῷ λόγῳ τῷ περὶ τῆς τοῦ πατρὸς ἐπιδόσεως· καὶ εἰπών, ὅτι πάντα προστίθησιν ὑμῖν τὰ ἑαυτοῦ, πρὶν ταῦτα ἀπαριθμήσασθαι, μεταξὺ ἐθαύμασε καὶ ἀνεφθέγξατο, Ὢ τῆς μεγαλοψυχίας! τῆς πρὸς τὴν καρποφορίαν δηλαδὴ ἁπλότητος. Οἱ μὲν γὰρ ἔξω σοφοὶ μεγαλοψυχίαν ὁρίζονται, ψυχῆς ἀρετήν, καθ' ἣν τινες εὖ δύνανται φέρειν τὰ συμβαίνοντα· οἱ δὲ ἡμέτεροι διδάσκαλοι, ὡς ἐπὶ τὸ πολὺ τὴν ἐλευθεριότητα καὶ μεγαλοδωρίαν, μεγαλοψυχίαν ὀνομάζουσιν. Ὥσπερ οὖν καὶ νῦν ὁ Θεολόγος τὸν ἑαυτοῦ πατέρα μεγαλόψυχον, εἴτουν μεγαλόδωρον, ἐκάλεσεν· οἱονεὶ δὲ ἐπιδιορθούμενος, ὃ εἶπεν, οὐ μεγαλοψυχίαν, ἀλλὰ μᾶλλον φιλοτεκνίαν, τὸ πρᾶγμα προσαγορεύει. Διὰ γὰρ τὴν ἀγάπην, φησίν, ὑμῶν, τῶν πνευματικῶν αὐτοῦ τέκνων, τοσαύτην ἐπεδείξατο τὴν ἁπλότητα. Ἐπεὶ οὖν ἡ φιλοτεκνία αἰτία γέγονε τῆς μεγαλοψυχίας καὶ τῆς ἁπλότητος, κυριώτερον ἂν εἴη, τὸ πᾶν φιλοτεκνίαν λέγειν, ἀπὸ τῆς αἰτίας καὶ τὸ αἰτιατὸν ὀνομάζοντας. Τάχα δ' ἄν τις καὶ κατὰ τοὺς ἔξω τὴν μεγαλοψυχίαν νοήσας ἐνταῦθα, οὐδ' οὕτω κακῶς ἐπιβαλεῖ. Ἐπειδὴ γὰρ παρ' ἐκείνοις ὁ μεγαλόψυχος **[964]** οὐκ ἔστι φιλόζωος, τοῦτο προσμαρτυρεῖ καὶ τῷ πατρὶ αὐτοῦ ὁ Θεολόγος. Εἶπε γάρ, ὅτι ποιμὴν ἐστι καλὸς καὶ τὴν ψυχὴν αὐτοῦ τίθησιν ὑπὲρ τῶν προβάτων. Προσέθηκε δέ, ὅτι καὶ ἐμὲ τὸν υἱὸν αὐτοῦ εὔχεται τοιοῦτον ποιμένα γενέσθαι, τιθέντα δηλαδὴ τὴν ψυχὴν ὑπὲρ ὑμῶν. Ἐπὶ τούτοις ἐβόησε μετὰ θαύματος τό, ὢ τῆς

---

1 Α' Κορ 3,16

μεγαλοψυχίας! Εἶτα, ἵνα μή τις ὑπολάβῃ, ὅτι τὸν υἱὸν ὁ Πατήρ, ὡς μεγαλόψυχος εἰς κινδύνους ἐπιδιδούς, οὐ φείδεται αὐτοῦ, διορθοῦται τὴν ὑπόνοιαν ταύτην εἰπών· ἤ, τό γε ἀληθέστερον εἰπεῖν, τῆς φιλοτεκνίας... Τὸ γὰρ οὕτως καὶ ἐπὶ τοιούτοις ἐκδιδόναι τὸν υἱόν, οὐκ ἔστι, φησί, μισοτέκνου, ἀλλὰ μάλιστα φιλοτέκνου. Ὥστε εἰ καὶ μεγαλοψυχίαν τὸ πρᾶγμα ὠνόμασα, διὰ τὸ μέλλειν πόνοις καὶ κινδύνοις ὁμιλεῖν, ἀλλ' οὖν ἐπεὶ δι' ὑμᾶς καὶ τὴν ὑμετέραν ὠφέλειαν καὶ διὰ Θεὸν τὰ τοιαῦτα χρὴ διαθλεῖν φιλοτεκνία τὸ πᾶν ἐστι. Ταῦτα εἰπὼν ὁ Θεολόγος, ἀπαριθμεῖται εὐθὺς καὶ τὰ παρὰ τοῦ πατρὸς καρποφορούμενα. Τὰ δέ ἐστι τρία. Κἂν μὲν ἁπλῶς εἰπεῖν ἐβούλετο, εἶπεν ἄν, ὅτι ἑαυτὸν δίδωσι καὶ ἐμὲ καὶ τὸν ναόν. Νῦν δὲ τὴν φιλότιμον καρποφορίαν ἐπαύξων καὶ μεγαλύνων, ὑποδιαιρεῖ καὶ τὰ ἑαυτοῦ καὶ τὰ τοῦ πατρός, ποικίλλων καὶ πολυπλασιάζων τὰ ὀνόματα. Καὶ πολιὰν μὲν λέγει τὸν πατέρα· νεότητα δέ, ἑαυτόν. Καὶ αὖθις κληροδότην μὲν τὸν πατέρα· ἑαυτὸν δὲ κληρονόμον, ὡς μέλλοντα τὸν θρόνον τῆς ἐπισκοπῆς διαδέχεσθαι καὶ κληρονομεῖν. Ἔχετε δέ, φησί, μετ' ἐμοῦ καὶ τοὺς ἐμοὺς λόγους, καὶ τούτων τοὺς ἱερωτέρους καὶ ὠφελιμωτέρους. Οὐ γὰρ πρὸς χάριν διδάξω, ἀλλὰ πρὸς ὠφέλειαν· οὐδ' ἐπιδεικτικῶς, ἀλλὰ πνευματικῶς· οὐδ' ἅπερ ἡ τῶν λόγων ἄσκησις δίδωσιν, ἀλλ' ἅπερ ἐντίθησι τὸ Πνεῦμα τὸ Ἅγιον. Οἱ μὲν γὰρ ἀνθρώπινοι λόγοι, τὰς ἀκοὰς μόνον θέλγουσιν, οὐ περαιτέρω προϊόντες· οἱ δὲ πνευματικοί, εἰς τὴν ψυχὴν διαβαίνουσιν. Ἐντυποῖ γὰρ αὐτοὺς τὸ Πνεῦμα, ὥσπερ πλαξί, ταῖς ἀνθρωπίναις καρδίαις. Καὶ λιθίναις δὲ εἰπών, ἡρμήνευσε τὴν τροπήν, ἐπαγαγών, Εἴτουν σαρκίναις. Ἀντιτυπὲς γὰρ καὶ λίθος καὶ σὰρξ καὶ τὰ ἐγκολαπτόμενα δυσέκνιπτα. Εἴληπται δὲ ὁ λόγος ἐκ τοῦ Ἀποστόλου, γράφοντος Κορινθίοις, ὅτι «ἐστὲ ἐπιστολὴ Χριστοῦ, διακονηθεῖσα ὑφ' ἡμῶν, ἐγγεγραμμένη οὐ μέλανι, ἀλλὰ Πνεύματι Θεοῦ ζῶντος· οὐκ ἐν πλαξὶ λιθίναις, ἀλλ' ἐν πλαξὶ καρδίας σαρκίναις»[1]. Ἔλαβε δὲ καὶ ὁ Ἀπόστολος τὴν χρῆσιν ἀπὸ τοῦ Ἰεζεκιήλ, δι' οὗ φησιν ὁ Θεός· Δώσω αὐτοῖς καρδίαν ἑτέραν, καὶ πνεῦμα καινὸν δώσω ἐν αὐτοῖς· καὶ ἐκσπάσω τὴν καρδίαν αὐτῶν τὴν λιθίνην ἀπὸ τῆς σαρκὸς αὐτῶν καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, ὅπως ἐν τοῖς προστάγμασί μου πορεύσωνται[2]. Λέγει δέ που καὶ ὁ θαυμάσιος Σιράχ· πᾶς ἄνθρωπος ἐκ νεότητος ἐπὶ τὸ πονηρὸν καὶ οὐκ ἴσχυσαν τὰς καρδίας αὐτῶν ἀντὶ λιθίνων ποιῆσαι σαρκίνας. Καὶ νῦν οὖν εἰπὼν ὁ Θεολόγος, πλαξὶ λιθίναις, εἴτουν σαρκίναις, δοκεῖ μοι μὴ ἑφερμηνεύειν τὴν λέξιν, ἀλλὰ μᾶλλον ἀντιδιαστέλλειν τῇ λιθίνῃ καρδίᾳ, τουτέστι τῇ σκληρᾷ καὶ ἀνενδότῳ καὶ ἀντιτυπούσῃ τὴν σαρκίνην, ὅ ἐστι τὴν μαλακὴν καὶ ῥᾳδίως ὑπείκουσαν καὶ δεχομένην **[965]** τὰ καλὰ γράμματα. Οὐ γὰρ ἁπλῶς πάσῃ καρδίᾳ ἐντυποῖ τοὺς θείους λόγους τὸ Πνεῦμα τὸ Ἅγιον, ἀλλὰ τῇ σαρκίνῃ, τουτέστι τῇ εὐαισθήτῳ. Σαρκὸς γὰρ τὸ αἰσθάνεσθαι·

---

1. Πρβλ. Β' Κορ. 3,3. 2. Πρβλ. Ἰεζ. 36,26-27

λίθου δὲ ἴδιον τὸ ἀναίσθητον. Ἢ τάχα καὶ λιθίνας καὶ σαρκίνας λέγει τὰς καρδίας ὁ Θεολόγος· λιθίνας μέν, διὰ τὸ στερρὸν καὶ τὸ δυσαπάλειπτα εἶναι τὰ ἐν αὐταῖς γράμματα· σαρκίνας δέ, διὰ τὸ αἰσθητικόν. Διὸ ἐπάγει, ὅτι ἐν ταῖς τοιαύταις οἱ λόγοι οὐκ ἐξ ἐπιπολῆς χαραχθήσονται, οὐδὲ οἷον ἄνωθεν ἐπιχρωσθήσονται, ἵνα καὶ ῥᾳδίως ἀπαλείφοιντο· ἀλλ' εἰς βάθος ἐνσημανθήσονται, ὥστε παραμένειν. Καὶ ἐνσημανθήσονται οὐ μέλανι, ἀλλὰ χάριτι· ἡ μὲν γὰρ τῶν δικαίων καρδία, ὥς φησιν ὁ μέγας Βασίλειος, Πνεύματι Θεοῦ ζῶντος καταγέγραπται· ἡ δὲ τῶν ἀδίκων καρδία, οὐ Πνεύματι, ἀλλὰ μέλανι, τῷ συγγενεῖ τοῦ σκότους καὶ ἐχθρῷ τοῦ φωτός.

58,245,3-6. Ταῦτα μὲν... ἐπαγγελίας. Ἐπεσφράγισε τὰ ῥηθέντα τοῦ πατρὸς ἐγκώμια καὶ δευτέρων αὖθις ἤρξατο, ἐξομοιῶν αὐτὸν τῷ Ἀβραάμ, ὁμοίως ἐκείνῳ τὴν πρώην πλάνην καταλιπόντα. Ἐκ γὰρ τῆς τῶν Ὑψισταρίων λεγομένης αἱρέσεως, εἰς τὴν εὐσέβειαν μετελήλυθεν. Οὐ μόνον δὲ διὰ τοῦτο Ἀβραὰμ ὀνομάζει τὸν ἑαυτοῦ πατέρα, ἀλλὰ καὶ ὡς γηραιὸν καὶ ὡς φιλόξενον καὶ ὡς προσάγοντα τὸν υἱὸν τῷ Θεῷ, εἰ καὶ ἑκούσιος ἦν αὕτη ἡ προσαγωγὴ καὶ οὐχὶ κατὰ τὴν τοῦ Ἀβραὰμ ἐξ ἐπιτάγματος. Πατριάρχην δὲ αὐτὸν καλεῖ, ὡς πατέρα καὶ ἄρχοντα τῆς πόλεως, ὅσον ἐπὶ τοῖς ἐκκλησιαστικοῖς πράγμασι. Κανόνα δὲ τῆς ἀρετῆς, ὡς πᾶσαν ἐν ἑαυτῷ συλλαβόντα τὴν ἀρετὴν καὶ τοὺς ἄλλους πρὸς ταύτην εὐθύνοντα, καὶ τὸ μὲν ἄρτιον δοκιμάζοντα καὶ κατέχοντα, καθάπερ ὁ κανών, τὸ δὲ περιττὸν καὶ ἐλλεῖπον, ὡς κακίαν, ξέοντα καὶ ἀποδοκιμάζοντα. Τῆς δὲ ἱερωσύνης τελείωσιν, ὡς πάντα τὰ τῆς ἱερωσύνης ἐντελῶς ἔχοντα. Ἑαυτὸν μέντοι μονογενῆ ὠνόμασεν ὁ Θεολόγος, βιασάμενος τὸν λόγον, ἵνα μηδ' ἐν τούτῳ τῆς κατὰ τὸν Ἰσαὰκ ἐλαττωθείη θυσίας· παρεμυθήσατο δὲ τὴν τόλμαν, ἐπαγαγὼν τὸν ἐξ ἐπαγγελίας. Εἰ γὰρ καὶ μὴ μονογενὴς ἦν κατὰ τὴν γέννησιν, ἐπεὶ μετ' αὐτὸν καὶ Γοργονία καὶ Καισάριος ἐγεννήθη, ἀλλ' οὖν κατὰ τὴν ἐπαγγελίαν μονογενὴς ἦν. Μόνος γὰρ τοῖς γονεῦσιν ἐξ ἐπαγγελίας ἐτέχθη, ὥσπερ καὶ ὁ Ἰσαὰκ τῇ Σάρρᾳ καὶ τῷ Ἀβραάμ. Ἢ τάχα μονογενῆ ἑαυτὸν λέγει, ὡς μόνον ὑπολειφθέντα τῷ πατρί, τῶν ἄλλων ἤδη τέκνων τετελευτηκότων.

58,245,7-12. Ὑμεῖς ... ἐπιβούλως. Τοιαύτη μέν, φησίν, ἡ τοῦ πατρὸς καρποφορία. Δεῖ δὲ καὶ ὑμᾶς καρποφορεῖν τῷ Θεῷ καὶ ἡμῖν τὴν εὐπείθειαν καὶ τὸ καλῶς ποιμαίνεσθαι. Ποιμανθείητε δ' ἂν καλῶς, εἰς μὲν τὴν πρακτικὴν ἀρετήν, ὥσπερ εἰς μαλακήν τινα καὶ χλοερὰν πεδιάδα κατασκηνούμενοι καὶ τὸ τῆς ψυχῆς πιαίνοντες πρόσωπον. Τῇ δὲ γνώσει καὶ τῇ θεωρίᾳ καὶ τῷ ποτίμῳ τῶν θείων Γραφῶν, ὡς ὕδατι ἀναπαύσεως ἐκτρεφόμενοι. Οὐ μόνον δέ, ἀλλὰ **[968]** καὶ τὸν ποιμένα καλῶς γινώσκοντες, ὥστε μὴ ἀπατᾶσθαι παρὰ τῶν ψευδοδιδασκάλων, μηδὲ περιπίπτειν αὐτοῖς, ὡς ποιμέσι, κλέπταις οὖσι καὶ λησταῖς. Καὶ γινωσκόμενοι αὖθις ὑπὸ τοῦ ποιμένος, μὴ παραμιγνύντες δηλονότι ἑαυτοὺς τοῖς ἀλλοτρίοις θρέμ-

μασιν, ἐξ ὧν ἡ ἄγνοια τοῖς ποιμέσι γίνεται. Ἀλλὰ τὰ ἐπίσημα φέροντες καὶ τοὺς χαρακτῆρας, οὓς ὁ ἀληθινὸς ποιμὴν ὑμῖν ἐπιβέβληκε καὶ ἐνετύπωσεν. Ἐκ τοῦ Εὐαγγελίου δὲ καὶ ταῦτα παραπέφρασται. Γινώσκω γάρ, φησὶν ὁ Χριστός, τὰ ἐμά, καὶ γινώσκομαι ὑπὸ τῶν ἐμῶν[1]. Γνῶσιν ἴσως λέγων, τὴν οἰκείωσιν, τουτέστι προσοικειωθήσομαι τοῖς προβάτοις τοῖς ἐμοῖς καὶ αὐτὰ ἐμοὶ οἰκειωθήσονται. Ἑπόμενοι δὲ καὶ τῷ καλοῦντι ποιμενικῶς καὶ ἐλευθερίως, τουτέστιν ἀδόλως καὶ φανερῶς καὶ ἐξουσιαστικῶς καὶ ὡς ἐλευθέροις πρέπον. Διὰ τῆς θύρας δέ, ἤγουν διὰ τῶν καθολικῶν δογμάτων, τῶν ἅπασι πιστοῖς ἀναπεπταμένων, καὶ δι' αὐτῆς τῆς Γραφῆς, δι' ἧς εἰς τὴν πίστιν εἰσαγόμεθα. Ἢ καὶ διὰ τοῦ Χριστοῦ τοῦ εἰπόντος· «ἐγώ εἰμι ἡ θύρα»[2]. Ἀλλοτρίῳ δὲ καὶ ψευδοποιμένι μὴ ἀκολουθοῦντες, ὅστις οὐ διὰ τῆς τοῦ Εὐαγγελίου ὁδοῦ πορεύεται, οὐδὲ διὰ τῆς θύρας Χριστοῦ εἰσέρχεται, ἀλλὰ λῃστρικῶς διὰ αὐλῆς ὑπερπηδᾷ. Βίαιον γὰρ ἅπαν τῶν ἑτεροδόξων τὸ ὅρμημα καὶ οὐ κατὰ τάξιν διὰ τῆς νομίμου θύρας ἡ πρὸς τὴν πίστιν καὶ τὴν Ἐκκλησίαν εἴσοδος.

58,245,12-22. Μ η δ ὲ ξ έ ν η ς . . . ἀ μ ή ν. Εἴρηκεν ὁ Χριστὸς ἐν τῷ Εὐαγγελίῳ, ὅτι τὰ πρόβατα τὰ ἐμὰ «οὐκ οἴδασι τῶν ἀλλοτρίων τὴν φωνήν»[3]. Ἐκεῖθεν οὖν λαβὼν ὁ Θεολόγος φησὶν ἐνταῦθα, ὅτι μηδὲ τῆς ξένης φωνῆς ἀκούετε, ἥτις ὑποκλέπτει καὶ ἀπατᾷ καὶ διασκορπίζει ἀπὸ τῆς μιᾶς καὶ ἑνοποιοῦ ἀληθείας εἰς διαφόρους δόξας· αἵτινες δόξαι διὰ μὲν τὸ ἄναντες, ὄρη λέγονται τροπικῶς· διὰ δὲ τὸ ἄκαρπον, ἐρημίαι· διὰ δὲ τὸ κρημνῶδες, βάραθρα. Τὸ δέ, καὶ τόπους, οὓς οὐκ ἐπισκοπεῖ Κύριος, τῶν ῥηθέντων ἑφερμηνευτικόν ἐστιν. Εἴληπται δὲ τὸ ῥητὸν ἀπὸ τῶν Παροιμιῶν Σολομῶντος. Ὁ πλανώμενος γάρ, φησίν, ἐν πύλαις, αὐλισθήσεται ἐν τόποις, οἷς οὐκ ἐπισκοπεῖται ὁ Αἰώνιος. Ἡ τοιαύτη τῶν ἑτεροδόξων φωνή, ἀπάγει μὲν ἀπὸ τῆς ὑγιοῦς πίστεως, τῆς εἰς τὴν Ἁγίαν Τριάδα, ἧς ἤκουσεν ἀεὶ φωνῆς, τῆς περὶ τῆς ὑγιοῦς δηλαδὴ πίστεως, τὰ ἐμὰ πρόβατα. Γένοιτο δὲ καὶ ἀκούειν. Συλαγωγεῖ δὲ ἡ τῶν αἱρετικῶν φωνή, τουτέστιν ὡς λάφυρα διαρπάζει καὶ ἀπάγει τοὺς ἁπλουστέρους, λόγοις παρασήμοις καὶ ἀδοκίμοις (τοιοῦτον γὰρ τὸ κίβδηλον), καὶ χωρίζει ἀπὸ Χριστοῦ τοῦ ἀληθινοῦ καὶ πρώτου ποιμένος· πρώτου μέν, ὅτι αὐτὸς ἀρχηγὸς τῆς πίστεως[4], ἡμῖν ἐχρημάτισε καὶ τῆς τελείας κατῆρξε διδασκαλίας· ἀληθινοῦ δέ, διὰ τὸ κυρίως καὶ καθ' ὑπεροχήν. Ἐκ δὲ τοῦ Ἀποστόλου καὶ ταῦτα ἐλήφθη. Γράφει γὰρ Κολοσσαεῦσι· «βλέπετε, μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης»[5]. Τὴν ἔξω οὖν φιλοσοφίαν ὁ μὲν ἅγιος Παῦλος κενὴν ἀπάτην ὠνόμασεν· ὁ δὲ Θεολόγος, λόγους παρακεχαραγμένους καὶ διε[969]φθαρμένους. Εἶτα καὶ εἰς εὐχὴν κατακλείει τὸν λόγον. Εὔχεται γὰρ τῶν τοιούτων ἀλλο-

1. Πρβλ. Ἰω. 10,14. 2. Ἰω. 10,7. 3. Ἰω. 10,5. 4. Πρβλ. Ἑβρ. 12,2. 5. Κολ. 2,8.

φύλων δογμάτων πόρρω γενομένους, καὶ ποιμένας καὶ ποίμνιον, ὥσπερ τινὸς φαρμακώδους βοτάνης καὶ θάνατον ἐπαγούσης, ἓν εἶναι πάντας καὶ νεμομένους καὶ νέμοντας. Καὶ μήτε νῦν διαζευχθῆναι, μήτε ἐν τῆ μελλούση ζωῆ καὶ ἀναπαύσει. Τοῦτο δὲ ἐκ τοῦ Εὐαγγελίου ἔλαβεν. Εἴρηκε γὰρ ὁ Χριστὸς πρὸς τὸν Πατέρα περὶ τῶν μαθητῶν· «τήρησον αὐτοὺς ἐν τῷ ὀνόματί σου, ἵνα ὦσιν ἓν»[1].

1 Ἰω 17,11.

ΤΟΥ ΑΥΤΟΥ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΝ Β' ⟨ΙΑ'⟩ ΛΟΓΟΝ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Πρόλογος

Ἐπίσκοπος Σασίμων ἄκων χειροτονηθεὶς ὑπὸ τοῦ μεγάλου Βασιλείου ὁ Θεολόγος Γρηγόριος καὶ τυραννηθῆναι δόξας ὁ μέγας οὗτος Πατήρ, ἀφίσταται μὲν τῆς ἐπισκοπῆς ταύτης εὐθέως, ἀφικνεῖται δὲ πρὸς Ναζιανζόν. Ὅπερ μαθὼν ὁ μέγας Βασίλειος, προτρέπεται τὸν ἀδελφὸν αὐτοῦ Γρηγόριον τὸν Νύσσης, ἀπελθεῖν εἰς ἐπίσκεψιν ὁμοῦ καὶ παραμυθίαν τοῦ φίλου καὶ λύσιν τῶν ἐν μέσῳ σκανδάλων. Τοῦτον δὲ δεξάμενος ἐκεῖνος ἡδέως, τὸν παρόντα λόγον ἐκφωνεῖ· πρῶτα μὲν ἐγκωμιάζων τὴν ξυνωρίδα τούτων τῶν ἀδελφῶν, εἶτα καὶ καθαπτόμενος τῆς τοῦ φίλου πρὸς αὐτὸν διαθέσεως, ὅτι ἐπισκοπῇ τοιαύτῃ τὸν ὁμόψυχον ἐπεκήρυξε, τὸν ἡσυχίας ἐραστήν, τῇ πάσης ἐμπεπλησμένῃ ταραχῆς καὶ συγχύσεως. Ἔπειτα πρὸς τὸν τηνικαῦτα παρόντα σύλλογον κατὰ τὴν ἐκκλησίαν ἀποστρέψας τὸν λόγον (ἑορτὴν γὰρ μαρτύρων ἐδόξαζον καὶ ἑώρταζον), διδασκαλικὴν προσάγει τὴν παραίνεσιν, πρὸς τὰ καλὰ μὲν παροξύνων, τῶν δὲ φαύλων ἀποτρεπόμενος.

59,53,12-27. Φίλου πιστοῦ ... εὐωδέστερον. Ἀπὸ γνώμης τὸ προοίμιον. Φησὶ γὰρ Ἰησοῦς ὁ τοῦ Σιράχ· «φίλου πιστοῦ οὐκ ἔστι ἀντάλλαγμα, καὶ οὐκ ἔστιν σταθμὸς τῆς καλλονῆς αὐτοῦ»[1]· καὶ πάλιν· «φίλος πιστός, σκέπη κραταιά· ὁ δὲ εὑρὼν αὐτόν, εὗρε θησαυρόν»[2]. Τὰ δὲ ἑξῆς ἀπὸ τοῦ Σολομῶντος παρεφράσθη, λέγοντος· ἀδελφὸς ὑπὸ ἀδελφοῦ βοηθούμενος, ὡς πόλις ὀχυρά. Ἰσχύει γὰρ ὥσπερ μεμοχλευμένον βασίλειον[3]. Τὸ δέ, θησαυρὸς ἔμψυχος, ἐκ τῶν ἔξω. Ἀλέξανδρος γὰρ ἐρωτηθείς, ποῦ τοὺς θησαυροὺς ἔχει, τοὺς φίλους παρόντας ὑπέδειξεν, οἵτινες ἔμψυχος ἦσαν θησαυρός. Λέγει δέ που καὶ Θέογνις ὁ ποιητής, ὅτι πιστὸς ἀνὴρ χρυσῷ τε καὶ ἀργύρῳ ἀντερείσασθαι ἄξιος, ἤγουν ἀντισταθμηθῆναι[α]. Τὸ δέ, «ὑπὲρ χρυσίον καὶ λίθον τίμιον πολύν»[4], ἐκ τοῦ Δαυίδ. Ἐκ δὲ τοῦ Ἄσματος τῶν ᾀσμάτων τό, «κῆπος κεκλεισμένος, καὶ πηγὴ ἐσφραγισμένη»[5], ἧς καὶ τὴν ἑρμηνείαν ὁ Θεολόγος προσέθηκεν, ὅτι ἡ πηγὴ καὶ ὁ κῆπος διὰ τοῦτό εἰσι κεκλεισμένα, ἵνα κατὰ τὸν τῆς χρείας καιρὸν ἀνοί**[972]**γωνται καὶ μεταλαμβάνωνται. Πάλιν τὸ μέν, υἱοὶ φωτός, ἐκ τοῦ Εὐαγγελίου.

---

1. Σ. Σειρ. 6,15. 2. Σ. Σειρ. 6,14. 3. Πρβλ. Παρμ. 18,19. 4. Ψαλμ. 18,11. 5. Ἆσμ. 4,12.

α. Θεογν. 77.

«Ἵνα» γάρ, φησίν, «υἱοὶ φωτὸς γένησθε»[1]. Ἄνθρωπος δὲ τοῦ Θεοῦ καὶ ὁ Μωϋσῆς εἴρηται[2], καί τις προφήτης ἐν ταῖς Βασιλείαις[3]. Καὶ τὸν Τιμόθεον οὕτως ὀνομάζει ὁ Ἀπόστολος[4]. Ἐν δὲ τῇ Ἐξόδῳ πάλιν εἴρηται· «οἱ ἱερεῖς οἱ ἐγγίζοντες Κυρίῳ τῷ Θεῷ»[5]. Ὁ δὲ Δανιὴλ ἀνὴρ ὠνομάσθη ἐπιθυμιῶν. Τὸ δέ, τῶν χρειττόνων, προσέθηκεν ὁ Θεολόγος· διότι εἰσὶ καὶ ἄνδρες ἐπιθυμιῶν[6] τῶν χειρόνων. Ἔστι μὲν οὖν ὁ πιστὸς φίλος λιμὴν ἀναψύξεως. Ἂν δὲ καὶ ἄξιος καλεῖσθαι τὰ κάλλιστα τῶν ὀνομάτων, καὶ οἷς τιμᾷ ἡ θεία Γραφὴ τοὺς ἁγίους, τοῦτο δῶρον Θεοῦ καὶ ὑπὲρ τὴν ἐμὴν ἀξίαν, τὸ ἐπιτυχεῖν με, φησί, τοιούτου φίλου [ἂν δὲ καὶ συνετὸς εἴη καὶ ἄκρος κατ' ἀμφότερα, τήν τε ἔξω παίδευσιν δηλαδὴ καὶ τὴν ἡμετέραν, λαμπρότερος]. Εἰ δὲ καὶ παρὰ φίλου ἀπέσταλται παρηγορήσων ἡμᾶς, τουτέστι παρὰ τοῦ μεγάλου Βασιλείου, ὃν καὶ ὁμότιμόν φημι τῷ Νύσσης, ἤγουν ἴσον κατά τε τὴν ἀρετὴν καὶ κατὰ τὴν πρὸς ἐμὲ φιλίαν, τοῦτο χαριέστερόν ἐστι τοῦ ἀρχιερατικοῦ μύρου ὅπερ κατὰ τὴν κεφαλὴν τοῦ ἀρχιερέως χυθέν, πρῶτον αὐτὸν ἐκόσμει, εἶτα τὸν πώγωνα, ἔπειτα κατῄει καὶ μέχρι τῶν ἄκρων τῶν ἐνδυμάτων αὐτοῦ[7]. Χρὴ δὲ μύρον νοεῖν καὶ τὸ Ἅγιον Πνεῦμα. Τοῦτο γὰρ πρῶτον τὴν τοῦ παντὸς σώματος κεφαλήν, ἥτις ἐστὶν ὁ Χριστός, ἐπλήρου· μεθ' ὃν κατέβαινεν ἐπὶ τὸν χορὸν τῶν Ἀποστόλων, κόσμον ὄντα τοῦ προσώπου Χριστοῦ· εἶτα κατῆλθε καὶ ἐπὶ τὸ λοιπὸν σῶμα, τουτέστι τὴν Ἐκκλησίαν. Ἐκ τοῦ Δαυὶδ δὲ καὶ ταῦτα εἴληπται, λέγοντος· «ἰδοὺ δή, τί καλὸν ἢ τί τερπνόν, ἀλλ' ἢ τὸ κατοικεῖν ἀδελφοὺς ἐπὶ τὸ αὐτό; Ὡς μύρον ἐπὶ κεφαλῆς τὸ καταβαῖνον ἐπὶ πώγωνα, τὸν πώγωνα τοῦ Ἀαρών, τὸ καταβαῖνον ἐπὶ τὴν ὤαν τοῦ ἐνδύματος αὐτοῦ»[8]. Ὤα δέ ἐστι, ὃ καλοῦμεν ἐπιτραχήλιον.

59,53,28-54,15. Ἆ ρ' ο ὖ ν . . . ἀ ν ε τ υ π ώ σ α τ ο. Ἆρά γε, φησί, συμμέτρως καὶ ἀρκούντως ὁ λόγος τὸν ἄνδρα εἰκόνισεν; Ἤ μιμήσομαι τοὺς ἐπιμελεῖς τῶν ζωγράφων· καὶ ὥσπερ ἐκεῖνοι ταῖς σκιαῖς τὰ σώματα προχαράσσοντες, δευτέρᾳ καὶ τρίτῃ χειρὶ ταύτας ἐπακριβοῦσι καὶ τελειοῦσι τοῖς χρώμασιν, οὕτε κἀγὼ πολλάκις ἐπιβαλῶ τοῦ λόγου τὰ χρώματα, ἵνα τὸν εἰκονιζόμενον παρ' ἐμοῦ παραστήσω ὑμῖν ἐντελέστερον. Οὐκ ἔχω δὲ μεῖζον, οὐδὲ γνωριμώτερον παράδειγμα, τοῦ κατὰ Μωσέα καὶ Ἀαρών. Ὥσπερ γὰρ ἐκεῖνοι, οὕτω καὶ ὁ μέγας Βασίλειος καὶ ὁ Νύσσης Γρηγόριος, ἀδελφοὶ καὶ κατὰ σάρκα καὶ κατὰ τὴν εὐσέβειαν. Καὶ ὁ μὲν μέγας Βασίλειος, νομοθέτης, ἤγουν κανονιστὴς ἐν ἱερεῦσι καὶ μονασταῖς ἐπιφανέστατος· ὁ δὲ Νύσσης, ἱερέων τῶν ἄλλων ἁγιώτατος, **[973]** ὡς ἐκεῖ Ἀαρών. Καὶ ὁ μὲν μέγας Βασίλειος, Θεὸς τοῦ νοητοῦ Φαραώ, ὡς ὁ Μωυσῆς τοῦ αἰσθητοῦ. Εἴρητο γὰρ πρὸς αὐτὸν ἐν τῇ Ἐξόδῳ· «ἰδού, δέδωκά σε

---

1. Ἰω 12,36 2 Πρβλ. Δευτ. 33,1. 3. Πρβλ. Δ' Βασ. 1,9·
4. Πρβλ. Α' Τιμ 6,11 5. Ἔξ. 19,22. 6. Πρβλ. Δαν. (Θδτ) 9,23.
7. Ψαλ. 132,2. 8 Ψαλ. 131,1-2.

Θεὸν Φαραώ»[1], ἤγουν ἐχειροτόνησά σε. Ὁ Ἰσραὴλ δὲ νοητός, ὁ εὐσεβὴς λαός, οὗ προΐστατο ὁ θεῖος Βασίλειος, καὶ ᾧ ἐνομοθέτει. Νεφέλη δέ, ἡ τοῦ νομικοῦ γράμματος παχύτης, οὗ εἴσω χωρῶν τῇ διανοίᾳ ἐπώπτευε τὰ θεῖα μυστήρια, τὰ ἀπόρρητα τοῖς ἄλλοις, καὶ ἐμυσταγώγησε ταῦτα διδάσκων· ἢ ὡς εἰς νεφέλην, εἰς τὰ ἄδυτα τοῦ Πνεύματος εἰσῄει καὶ ταῦτα ἐθεώρει. Σκηνὴ δὲ ἡ μὲν νομική, τυπική τις ἦν, ἣ ἐτεχνίτευσε μὲν Βεσελεήλ, ἐπήξατο δὲ Μωυσῆς[2]· Ἀληθινὴ δὲ σκηνή[3], καθά φησιν ὁ Ἀπόστολος, ἡ Ἐκκλησία τῶν Χριστιανῶν. Ἱερεῖς δὲ ἀμφότεροι· καὶ ὁ μὲν μέγας Βασίλειος ἔξαρχος τῶν ἱερέων, καὶ μυσταγωγῶν διὰ τοῦ Νύσσης ἑτέρους καὶ ἱλεῶν αὐτοῖς τὸν Θεόν· ὁ δὲ Νύσσης μετὰ τὸν μέγαν Βασίλειον εὐθύς. Καὶ ὅπερ ἐν τῇ Ἐξόδῳ εἴρηται πρὸς Μωυσῆν περὶ τοῦ Ἀαρών, ὅτι «αὐτὸς ἔσται σοι εἰς στόμα, σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς Θεόν»[4], τοῦτο καὶ οὗτοι ἦσαν ἀλλήλοις. Καὶ τότε μὲν ἐκεῖνοι ταῖς δέκα πληγαῖς τὴν Αἴγυπτον ἐβασάνισαν· νῦν δὲ οὗτοι τὴν σκοτεινὴν καὶ διώκτριαν ἁμαρτίαν. Ἐκεῖνοι τὴν Ἐρυθρὰν ἔτεμον, καὶ οὗτοι τὴν θάλασσαν τῶν παθῶν. Ἐκεῖνοι τὸν Ἰσραὴλ ἔσωσαν, καὶ τοὺς Αἰγυπτίους ἀπέπνιξαν· οὗτοι τοὺς εὐσεβεῖς διεφύλαξαν, τοὺς δὲ δαίμονας ἢ τοὺς αἱρετικοὺς κατεπόντισαν. Ἐκεῖνοι τὸ μάννα ἐξ οὐρανοῦ εἵλκυσαν καὶ ὕδωρ πολὺ καὶ παράδοξον, τὸ μὲν ἐξ ἀκροτόμου πέτρας ἐξήνεγκαν, τὸ δὲ ἐγλύκαναν, τὸ ἐν τῇ Μερρᾷ δηλαδή. Ἔστι δὲ καὶ ἐν τούτοις ἄρτος μὲν οὐράνιος, ἡ πνευματικὴ τροφή· ὕδωρ δέ, τὸ ζωηρὸν νᾶμα τῆς διδασκαλίας τοῦ Χριστοῦ, ὅς ἐστιν ἡ πέτρα κατὰ τὸν Ἀπόστολον[5]. Γλυκαινόμενον δὲ ὕδωρ ἐνταῦθα νοήσεις τὸ ἀπὸ τῶν ἑλληνικῶν λόγων εἰς Χριστὸν μεταγόμενον καὶ εὐσεβῶς μεταλαμβανόμενον. Ἐκεῖνοι μυστικῶς καὶ συμβολικῶς τῇ τῶν χειρῶν ἐκτάσει τὸν σταυρὸν τυποῦντες, τὸν Ἀμαλὴκ ἐτροπώσαντο, καὶ οὗτοι τὸν διάβολον. Ἐκεῖνοι πρὸς τὴν γῆν τῆς ἐπαγγελίας ἔσπευδον καὶ τοὺς ἄλλους ὡδήγουν· καὶ οὗτοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν.

59,54,16-55,2. Τούτων ὁ μέν... φοβερώτερον. Ἀπὸ τῶν δύο φησὶ τούτων. ὁ μὲν μέγας Βασίλειος κρυπτόμενόν με καὶ ἡσυχάζοντα, εἰς μέσον ἤγαγε καὶ ἐχειροτόνησεν, ἀναξίως κινηθεὶς τοῦ ἐν αὐτῷ Πνεύματος. Τοῦτο δέ φημι διὰ τὴν βίαν καὶ διὰ τὸ ἐμβαλεῖν με εἰς θορύβους καὶ ταραχάς. Τοιοῦτον γὰρ τὸ χωρίον τὰ Σάσιμα. Λέγω γάρ, ὅτι ἀναξίως ἐκινήθη, κἂν τραχύτερος ὁ λόγος. Πάντως δὲ ὁ μέγας Βασίλειος, φίλος ὤν, ὑπομενεῖ πάντα καὶ πάσχων καὶ ἀκούων. Ἡ γὰρ ἀγάπη πάντα στέγει, πάντα ὑπομένει[6]. Ὁ δὲ Νύσσης Γρηγόριος, ἦλθε παραμυθησόμενος καὶ καταλλάξων καὶ προσημερώσων διὰ **[976]** τοῦ ἐν αὐτῷ Πνεύματος. Καὶ ἐμοὶ μὲν μέγα ἐστίν, ὅτι καὶ νῦν ἦλθε· μέμφομαι δέ, ὅτι μετὰ τὴν χρείαν ἦλθε

---

1. Ἐξ. 7,1. 2. Πρβλ. Ἐξ. 36,1. 3. Πρβλ. Ἑβρ. 8,2 4. Ἐξ. 4,16. 5. Πρβλ. Α' Κορ. 10,4. 6. Πρβλ. Α' Κορ. 13,7.

καὶ μεθὸ κατέδραμέ μου καὶ ἥττησέ με, ἄκοντα πείσας χειροτονηθῆναι ὁ μέγας Βασίλειος. Ἐρωτῶ οὖν τὸν ὁμώνυμόν μοι· Διατί, ὅτε σοῦ ἔχρῃζον, οὐκ ἦλθες, ἵνα μοι συμμαχήσῃς, ἀλλ' ὕστερος τοῦ καιροῦ; Ἆρα ὡς φιλάδελφος ᾐσχύνθης τὴν τυραννίδα, ἣν ἐτυράννησέ με ὁ ἀδελφός σου; ἢ καὶ σὺ ὡς δυνάστης ἐδυσχέρανας, διότι ἠπείθουν αὐτῷ πρὸς τὸ χειροτονηθῆναι; Φθέγξομαί τι πρὸς σέ, ἀφ' ὧν εἶπεν ὁ Ἰώβ, ἀλγῶν κἀγώ, ὡς ἐκεῖνος καὶ πρὸς φίλον διαλεγόμενος, εἰ καὶ μὴ φαῦλον, οἷοι ἦσαν οἱ τοῦ Ἰώβ, μηδὲ ἐφ' ὁμοίοις ταῖς συμφοραῖς. Τί οὖν εἶπεν ἐκεῖνος; Τίνι πρόσκεισαι, ἢ τίνι μέλλεις βοηθεῖν; πότερον οὐχ, ᾧ πολλὴ ἰσχὺς καὶ ᾧ βραχίων κραταιός ἐστιν; Ἐγὼ δὲ προσθείην, καὶ ᾧ πολλὴ σοφία καὶ ἐπιστήμη. Ἔθος γὰρ τοῖς πολλοῖς, ἀεὶ πρὸς τὸ δυνατὸν μετατίθεσθαι μέρος, καὶ τοὺς μὲν ἀσθενεστέρους τῶν φίλων καταπατεῖν, θεραπεύειν δὲ τοὺς κρατοῦντας. Τοῦτο μὲν οὖν σὺ οἶδας, τουτέστι τίνι μέλλεις βοηθεῖν. Ἐμοὶ γὰρ οὐ δίκαιον περὶ σοῦ ἀποφαντικῶς λέγειν τι τῶν οὐ καλῶν. Τὸ μέν, ὅτι καλοῦ παντὸς τύπον σε καὶ κανόνα ἥγημαι· τὸ δέ, ὅτι καὶ ὑπὸ τῆς Γραφῆς νουθετοῦμαι, μὴ ταχὺς εἶναι εἰς κρίσιν, ἤτοι εἰς ἀπόφασιν ἢ εἰς κατάκρισιν· τοῦ μὲν σοφοῦ Σολομῶντος λέγοντος· μὴ ἴσθι ταχὺς ἐν λόγοις[1]· τοῦ δὲ Ἀποστόλου· «μὴ πρὸ καιροῦ τι κρίνετε»[2]. Ἐγὼ δὲ ἕτοιμός εἰμι διὰ φιλίαν, καὶ σοὶ καὶ παντὶ δοῦναι λόγον τῆς ἐμῆς προμηθείας καὶ ἀσφαλείας, κἂν τινες αὐτὴν ἀπείθειαν ὀνομάζουσιν· ἵνα μάθῃς, ὅτι οὐ πάνυ φαῦλον ἔχεις φίλον καὶ ἀπερίσκεπτον, ἀλλὰ θαρροῦντα μέν, ἃ θαρρεῖν ἄξιον, ἐκεῖ δὲ φοβούμενον, κατὰ τὴν ψαλμῳδίαν, οὗ ἔστι φόβος[3]. Φοβερὸν γὰρ τὸ μὴ φοβεῖσθαι τὸ τῆς ἐπισκοπῆς ἀξίωμα καὶ μέγεθος.

59,55,3-26. Τί οὖν δοκεῖ... ἐπαναστάσεις. Τὴν μὲν ἀπολογίαν, φησίν, εἰς ἄλλον καιρὸν ὑπερθώμεθα· νῦν δὲ εἴπωμέν τι πρέπον τῷ καιρῷ τούτῳ τῆς πανηγύρεως. Ἐλευθερωθῶμεν, ἀδελφοί, κατὰ τὴν Παύλου παραίνεσιν, ἀπὸ παντὸς μολυσμοῦ σωματικοῦ καὶ ψυχικοῦ[4]. Ἀκούσωμεν Ἡσαΐου λέγοντος· «λούσασθε καθαροὶ γίνεσθε»[5]· καὶ νιψώμεθα τῷ ὕδατι τῆς μετανοίας καὶ τῶν δακρύων· καὶ καθὼς Ῥωμαίοις γράφει ὁ Ἀπόστολος· παραστήσωμεν τὰ σώματα ἡμῶν, θυσίαν ζῶσαν, ἁγίαν, εὐάρεστον τῷ Θεῷ, τὴν λογικὴν ἡμῶν λατρείαν[6]. Ὅρα δὲ τὴν ἀκρίβειαν ἑκάστης λέξεως. Οὐ γὰρ εἶπε· ποιήσωμεν τὰ μέλη ἡμῶν θυσίαν, ἀλλά, παραστήσωμεν· ὡς ἂν εἰ ἔλεγε, μηδὲν κοινὸν ἔχωμεν λοιπὸν πρὸς αὐτά, μηδὲν καθέλκωμεν πρὸς ἰδιωτικὰς διακονίας, τῷ Θεῷ καθάπαξ αὐτὰ ἀφιερώσαντες. Ἀλλὰ καὶ πάντα μῶμον λοιπὸν περιέλωμεν ἀπὸ τῶν μελῶν, ἐπειδὴ θυσία ταῦτά ἐστι. Ἡ γὰρ θυσία, ἀπαρχὴ τῶν ἄλλων ἐστί, καὶ οὐδὲν ὀφείλει ἔχειν ἀκάθαρτον. **[977]** Διὸ χρὴ πάντοθεν ἄμωμον τηρεῖσθαι

1. Πρβλ. Σ Σειρ. 4,29 2. Α' Κορ. 4,5. 3. Πρβλ. Ψαλ 13,5. 4. Πρβλ. Β' Κορ 7,1. 5. Ἡσ 1,16. 6. Πρβλ. Ρωμ. 12,1.

τὸ σῶμα τὸ ἡμέτερον, ἵνα ἄξιον εἴη τοῦ θυσιάζεσθαι τῷ Θεῷ. Ἐπειδὴ δὲ εἶπε, παραστήσατε θυσίαν, ἵνα μή τις νομίσῃ, ὅτι κατασφάξαι κελεύει τὰ σώματα, ταχέως ἐπήγαγε, ζῶσαν. Καὶ προσέθηκεν, ἁγίαν καὶ εὐάρεστον, διαιρῶν αὐτὴν ἀπὸ τῆς Ἰουδαϊκῆς. Ἡ τοιαύτη γὰρ θυσία, εὐαρεστήσεως· ἡ δὲ τῶν Ἰουδαίων, ἀκάθαρτος. Ἐκείνη τὸ τεθυμένον νεκρὸν ἀπέφηνεν· αὕτη τὸ τεθυμένον, ζῶν ἐργάζεται· ὅτε γὰρ νεκρώσομεν ἡμῶν τὰ μέλη, τότε δυνησόμεθα ζῆν. Κἀκείνη μὲν σωματική, αὕτη δὲ λογική, τουτέστιν οὐδὲν ἔχουσα παχύ, οὐδὲ αἰσθητόν. Λογικὴ δὲ λατρεία ἐστίν, ἡ πνευματικὴ διακονία, ἡ κατὰ Χριστὸν πολιτεία. Καθάπερ οὖν ὁ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ διακονούμενος, οἷος ἂν ᾖ, συστέλλεται τότε καὶ ἱερώτερος γίνεται· οὕτω καὶ ἡμᾶς τὸν ἅπαντα βίον διακεῖσθαι χρή, ὡς λατρεύοντας καὶ ἱερωμένους. Τὴν μέντοι λατρείαν, ἔντευξιν ὁ Θεολόγος ὠνόμασε. Δι' αὐτῆς γὰρ ἐντυγχάνομεν καὶ ὁμιλοῦμεν Θεῷ. Οὐδὲν γὰρ οὕτω τῷ καθαρῷ Θεῷ τίμιον, ὡς καθαρότης ἢ κάθαρσις. Ἔστι δὲ καθαρότης μέν, τὸ ἤδη καθαρθῆναι· κάθαρσις δέ, τὸ ἔτι καθαίρεσθαι· ἡ καθαρότης μέν, τὸ μὴ ἐμπεσεῖν εἰς μολύσματα· κάθαρσις δέ, τὸ μετὰ τὸ ἐμπεσεῖν ἀπονίπτεσθαι. Ἐὰν τοίνυν βουλώμεθα ἑορτάζοντες θεραπεύειν τοὺς μάρτυρας, τοῦτο τοῖς ἄθλοις αὐτῶν χαρισώμεθα, τὸ καὶ αὐτοὶ στεφανωθῆναι, ὡς νικηταὶ τῆς ἁμαρτίας καὶ τῶν δαιμόνων, καὶ τὸ ἐπιτυχεῖν τῆς αὐτῆς δόξης, οὐ μόνον τῆς παρὰ τῶν ἀνθρώπων, ἀλλὰ καὶ τῆς μελλούσης, ἧς μικρά εἰσιν ὑπομνήματα, αἱ ὁρώμεναι τιμαί, αἱ παρ' ἡμῶν τοῖς μάρτυσι προσαγόμεναι. «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη», κατὰ τὸν Ἀπόστολον, «πρὸς αἷμα καὶ σάρκα»[1], ἤγουν πρὸς ἀνθρώπους, ἀλλὰ πρὸς τοὺς ἀσάρκους δαίμονας, οἵτινες ἀρχαὶ μὲν λέγονται, ὡς ἀρχηγοὶ τῶν παθῶν, οἷς οἱ ταλαίπωροι ἑκόντες δουλεύομεν· ἐξουσίαι δέ, ὡς διὰ μέσων τῶν παθῶν κατεξουσιάζοντες ἡμῶν· κοσμοκράτορες δέ, ὡς κατακρατοῦντες τῶν τὰ κοσμικὰ φρονούντων. Τὰ πνεύματα τῆς πονηρίας, τὰ ἐν τοῖς ἐπουρανίοις, ἤγουν τὰ ἐν τῷ ἀέρι στρεφόμενα. Λέγεται γὰρ καὶ ὁ ἀὴρ οὐρανός, ὅπερ ἑρμηνεύων ὁ Θεολόγος, ἐπήγαγε, καὶ περὶ τὰ οὐράνια. Ἀγωνισώμεθα οὖν πρὸς τὸν ἐμφύλιον ἐν ἡμῖν πόλεμον· λέγει γὰρ ὁ Ἀπόστολος, εἶναί τινα ἐν τοῖς μέλεσιν ἡμῶν νόμον ἁμαρτίας, τὸν ἀντιστρατευόμενον τῷ νόμῳ τοῦ νοός[2], ἤγουν τῷ φυσικῷ, καὶ ποιοῦντα πολλάκις ἑαυτῷ τὸν νοῦν αἰχμάλωτον καὶ ὑποχείριον. Ἀντιπαραταξώμεθα δὲ καὶ πρὸς τὰς ἔξωθεν ἐπερχομένας ἐπαναστάσεις

59,55,27-56,13. Ἐ ν έ γ κ ω μ ε ν... μ ε τ ρ ι ώ τ ε ρ ο ν. Ὑπέμειναν, φησίν, οἱ μάρτυρες θηρία καὶ ξίφος καὶ πῦρ· ὑπομείνωμεν καὶ ἡμεῖς, ὡς μὲν θηρίον, τὸν θυμόν· ὡς δὲ ξίφος τμητικόν, τὴν γλῶσσαν· ὡς δὲ πῦρ, τὴν ἡδονὴν κατασβέσωμεν. Πάσας τὰς αἰσθήσεις δουλαγωγήσωμεν· θῶμεν θύρας ταῖς ἀκοαῖς, εὐκαίρως ἀνοιγομένας,

---

1. Ἐφ. 6,12. 2. Πρβλ. Ρωμ. 7,23.

πρὸς τὰ θεῖα ῥήματα καὶ εὐκαίρως κλειομένας πρὸς τὰ θέλγοντα καὶ βλάπτοντα [980] ᾄσματα. Κυβερνήσωμεν τὸν ὀφθαλμόν, μήποτε δι' αὐτοῦ ἡμῖν λαῦρον ἐμπέσῃ τῆς ἐπιθυμίας τὸ κύημα· τὴν γλῶτταν μὴ φθεγξώμεθα μηδὲν ἀπηγορευμένον· τὴν ἀφὴν λυττῶσαν πρὸς τὰς περιέργους καὶ βλαβερὰς ἐπαφάς· τὴν γεῦσιν, λιχνευομένην περὶ τὰ ἡδύσματα καὶ σπαράττουσαν· πάντοθεν γὰρ ἀγώγιμός ἐστιν ὁ ἀκόλαστος, καὶ ἀπὸ ἐδωδῆς καὶ ἀπὸ στρωμνῆς καὶ ἀπὸ συναναστροφῆς, καὶ ἀπὸ τῶν ὀφθαλμῶν καὶ ἀπὸ τῶν ὤτων καὶ τῶν γνάθων, ἀλλὰ καὶ ἐκ τῶν μυκτήρων. Καὶ καθάπερ οἱ βόες τοῖς κρίκοις καὶ τοῖς σχοινίοις, οὕτω καὶ ὁ ἀκόλαστος θυμιάμασι καὶ μύροις καὶ ταῖς ἀπὸ τῶν στεφάνων εὐωδίαις περιέλκεται· καὶ τοῦτό ἐστιν, ὅ φησιν Ἱερεμίας, ὅτι «ἀνέβη θάνατος διὰ τῶν θυρίδων»[1]· διὰ γὰρ τῶν αἰσθήσεων, ὡς διὰ θυρίδων, εἰσέρχεται εἰς τὴν ψυχὴν ὁ τῆς ἁμαρτίας θάνατος. Πρὸς τοῖς ἄλλοις, καὶ τὸν γέλωτα φύγωμεν· καὶ ὥσπερ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν τῷ Ἠλίᾳ ἐντυγχάνοντι τῷ Θεῷ κατὰ τοῦ Ἰσραὴλ καὶ λέγοντι, Κύριε, τοὺς προφήτας σου ἀπέκτειναν καὶ τὰ θυσιαστήριά σου κατέστρεψαν, κἀγὼ ἀπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου[2], λέγει ὁ χρηματισμός, κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῷ Βάαλ[3] (εἴδωλον δὲ ἦν ἡ Βάαλ ὑπὸ τῶν Ἰουδαίων τότε τιμώμενον)· οὕτω μηδὲ ἡμεῖς ὑποκύψωμεν τῇ ἁμαρτίᾳ διὰ τὴν χρείαν· ἀλλ' ὥσπερ οἱ τρεῖς παῖδες τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησεν ὁ Ναβουχοδονόσορ, οὐ προσεκύνησαν· οὕτω καὶ ἡμεῖς τῷ ἐμπαθεῖ εἰδώλῳ τῆς ἁμαρτίας, ὅπερ ἵστησιν ὁ διάβολος, μὴ προσκυνήσωμεν. Ὁ τὴν κοιλίαν φιληδονίας ἕνεκα θεοποιήσας, ἐξ ἀνάγκης τὴν ταύτης συστατικὸν θεοποιεῖ φιλαργυρίαν· ὁ γὰρ προσκυνήσας τῇ Βάαλ διὰ τὴν χρείαν, τουτέστι τὴν γαστριμαργίαν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, τῇ φιλαργυρίᾳ φημί, διὰ τὸν φόβον προσκυνήσειεν, αἰτίαν ἄλλην περιποιητικὴν τῆς παρούσης ζωῆς μετὰ τὸν χρυσὸν οὐκ εἰδώς. Μὴ καθυβρίσωμεν τὴν ψυχὴν διὰ κακίας, ἀλλά, κατὰ τὴν ἀποστολικὴν παραίνεσιν, ἀναλάβωμεν τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνησόμεθα πάντα τὰ βέλη τοῦ Πονηροῦ τὰ πεπυρωμένα σβέσαι[4]. Καὶ οὗτος ὁ πόλεμος, ὁ πρὸς τὰ πάθη, φημί, δεινός ἐστιν, ὥσπερ ὁ πρὸς τοὺς τυράννους· καὶ τὸ νικῆσαι τὴν ἁμαρτίαν, μέγα τρόπαιον, ὡς τὸ περιγενέσθαι τῶν διωκόντων οἱ μάρτυρες. Ἐὰν οὕτω πάντοτε συντρέχωμεν εἰς τὰς τῶν ἁγίων ἑορτάς, ἀληθῶς τιμῶμεν τοὺς μάρτυρας· ἐὰν δὲ συνερχώμεθα, ἵνα τρυφήσωμεν σαρκικῶς καὶ προσκαίρως, καὶ ἵνα τὰ κενούμενα βρώματα εἰσενέγκωμεν καὶ ἵνα ποιήσωμεν τοὺς ναοὺς τῶν μαρτύρων χωρία κραιπάλης καὶ μέθης καὶ ἐὰν τὸν καιρὸν τῶν ἑορτῶν, καιρὸν συναλλαγμάτων ὑπολαμβάνωμεν καὶ ἡ σύνοδος ἡμῖν γένηται, ἵνα ὠνίων διάμειψιν ποιησώμεθα, οὐχ ἵνα τῆς θεώ-

1 Ἱερ 9,20. 2. Πρβλ. Γ' Βασ. 19,10. Ρωμ. 11,3. 3. Πρβλ. Γ' Βασ. 19,18. Ρωμ 11,4 4. Πρβλ. Ἐφ. 6,16.

σεως ἐπιτύχωμεν, ἧς μεσῖται γίνονται οἱ ἅγιοι, τὸν μὲν λαὸν παρακαλοῦντες ἀναβαίνειν καὶ θεοῦσθαι, τὸν δὲ Θεὸν ἱκετεύοντες ἐπικλίνεσθαι καὶ βοηθεῖν, πρῶτον μέν, οὐδὲ τὸν καιρὸν ἐπιγινώσκω, καιρὸν ἑορτῆς. «Τί γὰρ τὸ ἄχυρον πρὸς τὸν σῖτον»[1], φησὶν ὁ Κύριος διὰ Ἱερεμίου· τί δὲ κοινὸν τῇ τῆς σαρκὸς [981] τρυφῇ πρὸς τοὺς ἀγῶνας τῶν μαρτύρων; Ἔπειτα θέλω μὲν εἰπεῖν τι τολμηρόν· αἰδούμενος δὲ τὴν ἑόρτιον ταύτην ἡμέραν, σιωπῶ τὸ βλάσφημον· πλήν, οὐ τρυφὴν καὶ μέθην παρ' ἡμῶν ἀπαιτοῦσιν οἱ μάρτυρες, ἵνα μετρίως εἴπω. Ἀλλ' ἐνταῦθα μὲν ὁ Θεολόγος τὴν βλασφημίαν ἐσίγησεν· ἐν δὲ τοῖς θείοις αὐτοῦ ἔπεσιν, αὐτὴν ἐξελάλησεν, εἰπών, ὅτι τοῖς δαίμοσιν οἱ πάλαι γαστριζόμενοι καὶ τρυφῶντες ἑώρταζον· οἱ δὲ Χριστιανοὶ τούτων ἐλευθερωθέντες, πνευματικὰς συνόδους τοῖς ἀθλοφόροις συνεστησάμεθα· νῦν δὲ ἀκούσατε τί φοβοῦμαι, ὦ φιλόκοσμοι καὶ φιλογάστορες· πρὸς τοὺς δαιμονικοὺς αὐτομολεῖτε τύπους, τουτέστιν ἐὰν γαστρίζησθε ἐν ταῖς ἑορταῖς τῶν ἁγίων καὶ ταῖς πανηγύρεσιν, οὐ τοὺς ἁγίους τιμᾶτε, ἀλλὰ τοὺς δαίμονας.

59,56,14-40. Μὴ τοίνυν... τὴν εὐσέβειαν. Μὴ ἀνάγνως, φησίν, ἑορτάζωμεν τὰς ἑορτὰς τῶν ἁγίων· ἀλλ' ὥσπερ πάντα ἡμῖν ἐστι πνευματικά, καὶ κατὰ τὸν Σιράχ, «στολισμὸς ἀνδρός, καὶ γέλως ὀδόντων καὶ βῆμα ποδὸς ἀναγγελεῖ περὶ αὐτοῦ»[2], εἰς πάντα φθάνοντος τοῦ λόγου, ἤτοι τοῦ εὐαγγελικοῦ, ἢ τοῦ κατὰ τὸ καθῆκον· οὕτω καὶ ἡ ἐν ταῖς ἑορταῖς ἔστω φαιδρότης. Οὐ γὰρ κωλύω τὴν ἐν ταύταις ἄνεσιν, ὥστε καὶ δαψιλεστέραν τῆς συνήθους παραθέσθαι τράπεζαν καὶ διαχυθῆναι μετρίως, ἀλλὰ κολάζω τὴν ἀμετρίαν, ἥτις πανταχοῦ βλαβερόν ἐστιν. Ἂν οὕτω συνερχώμεθα καὶ οὕτως ἑορτάζωμεν, μέγα μέν ἐστιν εἰπεῖν, ὅτι καὶ ἡμεῖς τῶν αὐτῶν ἐπάθλων τοῖς μάρτυσιν ἐπιτύχωμεν. Τούτοις γὰρ ἐκεῖνα ἀπόκειται, ἃ μήτε ὀφθαλμὸς εἶδε, καθώς φησιν ὁ Ἀπόστολος, μήτε οὖς ἤκουσε, μήτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη[3]. Οὐδὲ γὰρ ἀνθρώπινος νοῦς τῇ εὐκολίᾳ ἐπὶ πάντα φερόμενος καὶ ἀναπλάττων ἐν ἐξουσίᾳ μακαριότητα καὶ εὐδαιμονίαν, ἐκεῖνα τὰ ἀγαθὰ δύναται ἀνατυπώσασθαι, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν, τοῖς δι' αἵματος τελειωθεῖσι καὶ τὴν Χριστοῦ μιμησαμένοις σφαγήν. Τέως δὲ εἰ καὶ τῶν ἴσων βραβείων τοῖς ἀθληταῖς μὴ ἐπιτύχωμεν, ἀλλ' οὖν τὴν δόξαν αὐτῶν ὀψόμεθα καὶ ἀκουσόμεθα καὶ ἡμεῖς· «εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου»[4], καὶ τῷ φωτὶ τῆς Ἁγίας Τριάδος τελεώτερον ἐλλαμφθησόμεθα, ἣν ὁμολογοῦμεν παρρησίᾳ· καὶ εἴθε ὁμολογοίημεν ἄχρι τελευτῆς, τὴν καλὴν παρακαταθήκην, ἣν παρὰ τῶν ἁγίων Πατέρων ἐλάβομεν, τῶν ἐν Νικαίᾳ συνηθροισμένων, τῶν ἐγγυτέρων τῆς Χριστοῦ παρουσίας καὶ τῆς πρώτης πίστεως τῶν Ἀποστόλων. Εἰκότως δὲ Χριστὸν μὲν

1. Ἱερ 23,28. 2. Σ. Σειρ. 19,30. 3. Πρβλ. Α' Κορ. 2,9
4. Ματθ. 25,21.

τὸ μυστήριον τῆς ἐνανθρωπήσεως ὁ Θεολόγος ἐκάλεσε· πρώτην δὲ πίστιν, τὴν θεολογίαν. Ὁ γὰρ μὴ πιστεύσας πρότερον εἶναι Θεόν, οὐκ ἂν οὐδὲ ἐνανθρωπῆσαι τοῦτον δι' ἡμᾶς πιστεύσειε. Προηγεῖται γὰρ τῆς περὶ ἡμᾶς οἰκονομίας ἡ ἀληθὴς θεολογία.

59,56,41-57,17. Ὁ δὲ Θεὸς ... αἰώνων. Ἀμήν. Εἰς εὐχὴν κατακλείει τὸν λόγον ὁ Θεολόγος. Ἔλαβε δὲ τὸ μέν, «ὁ Θεὸς τῆς εἰρήνης»[1], ἐκ τοῦ ἁγίου Παύλου· ὁμοίως καὶ τό, ὁ καταλλάξας ἡμᾶς ἑαυτῷ διὰ τοῦ σταυροῦ[2], ἐχθροὺς ὄντας διὰ τῆς ἁμαρτίας. Καὶ τὸ εὐαγγελισάμενος εἰρήνην τοῖς ἐγγὺς καὶ τοῖς μακράν[3]· ὅπερ ὁ ἅγιος Παῦλος ἐκ τοῦ Ἡσαΐου λαβὼν ἡρμήνευσεν, ἐγγὺς μὲν καλέσας τοὺς ὑπὸ νόμον, μακρὰν δέ, τοὺς ἔξω νόμου. Τὸ δέ, ὁ τῆς ἀγάπης **[984]** Πατὴρ καὶ ἡ ἀγάπη, ἐκ τοῦ Θεολόγου Ἰωάννου ἐστί. Φησὶ γὰρ ἐκεῖνος· «ἡ ἀγάπη ἐκ τοῦ Θεοῦ ἐστι»[4], καί, «ὁ Θεὸς ἀγάπη ἐστίν»[5]. Ἐν δὲ τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ λέγει ὁ Κύριος· «ἐντολὴν καινὴν δίδωμι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους, καθὼς ἠγάπησα ὑμᾶς»[6]. Καὶ μὴν παλαιὰ ἦν ἐντολή, τὸ ἀγαπᾶν ἀλλήλους. «Ἀγαπήσεις γάρ, φησίν, τὸν πλησίον σου ὡς ἑαυτόν»[7]. Ἀλλ' ὁ Χριστὸς καινὴν αὐτὴν ἐποίησε τῷ τρόπῳ, κελεύσας ἀλλήλους ἀγαπᾶν ὑπὲρ ἑαυτούς, καθὼς καὶ αὐτὸς ἠγάπησεν ἡμᾶς, καὶ ὑπὲρ ἡμῶν εἰς θάνατον ἔδωκεν ἑαυτόν· διὸ καὶ ἔλεγε· «μείζονα ταύτης ἀγάπην οὐδεὶς ἔχει, ἵνα τις τὴν ψυχὴν αὐτοῦ θῇ ὑπὲρ τῶν φίλων αὐτοῦ»[8]. Εἰπὼν μέντοι ὁ Θεολόγος, ὅτι ἔδωκεν ὁ Θεὸς καὶ τυραννεῖν καλῶς, καὶ τυραννεῖσθαι διὰ τὸν φόβον, δοκεῖ πρὸς τὴν ἐξ ἀρχῆς ὑπόθεσιν τρέπειν τὸν λόγον, ὅτι ἐτυράννησε μὲν αὐτὸν ὁ μέγας Βασίλειος καλῶς τοῦτο ποιῶν, ἵνα ὠφελῶνται διὰ τῆς τούτου διδασκαλίας οἱ ὑπ' αὐτόν· ἐτυραννήθη δὲ πάλιν αὐτὸς καὶ ὑπεκάμφθη βίᾳ πρὸς τὴν ἐπισκοπήν· καὶ τοῦτο, διὰ τὸν φόβον· ἐφοβήθη γὰρ τὸ ἔγκλημα τῆς ἀπειθείας, ὥστε καὶ εὐλόγως παρῃτεῖτο καὶ ἀνεδύετο, καὶ πάλιν μετὰ λόγου ἐθάρρησε καὶ ὑπέδυ τὴν χειροτονίαν. Αὖθις δὲ ἐπαγαγὼν ὁ Θεολόγος, ὅτι ὁ Θεὸς καὶ τὰ μικρὰ ποίμνια μεγαλύνει διὰ τῆς αὐτοῦ χάριτος, ᾐνίξατο τὸ ἐμπιστευθὲν αὐτῷ ποίμνιον, τὸ τῶν Σασίμων, σφόδρα μικρὸν ὑπάρχον καὶ πενιχρὸν καὶ στενόν· εἶτα ἔλαβεν ἐκ τοῦ Ἀποστόλου τό, αὐτὸς ἡμᾶς παρακαλέσει παρακλήσει πολλῇ[9], τουτέστι παρηγορήσει ἐν μεγάλῃ παραμυθίᾳ. Εὐχόμενος δὲ πολλῆς παρακλήσεως ἀξιωθῆναι, ἐμφαίνει, ὅτι πολλὴν λύπην ἔσχεν ἐν τῇ χειροτονίᾳ· διὸ ἀνάλογον ζητεῖ ταύτῃ καὶ τὴν παραμυθίαν. Ἐκ τῆς πρὸς Ἑβραίους δὲ εἴληπται καὶ τό, καταρτίσειεν ἡμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ[10], ἤγουν τελειώσειεν. Ἐκ δὲ τοῦ Δαυὶδ τό, ὡς «εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί»[11]· ὁμοίως δὲ τό, «ἐγὼ ἐν δικαιοσύνῃ ὀφθήσομαι τῷ προσώπῳ σου·

1. Ρωμ 15,33 16,20 Β' Κορ 13,11. 2. Πρβλ. Ἐφ. 2,16. Ρωμ. 5,10. 3. Πρβλ. Ἐφ. 2,17. 4. Α' Ἰω 4,7. 5. Α' Ἰω 4,8. 6. Ἰω. 13,34. 7. Λευΐτ. 19,18. 8. Ἰω. 15,13. 9. Πρβλ. Β' Κορ. 1,4. 10. Πρβλ. Ἑβρ. 13,21. 11. Ψαλ. 86,7.

χορτασθήσομαι ἐν τῷ ὀφθῆναί μοι τὴν δόξαν σου»[1]. Ἡ γὰρ ἐνταῦθα ἔλλαμψις, οἱονεὶ γεῦμα καὶ ἀρραβών ἐστι τοῖς δικαίοις. Τότε δὲ τέλεον ἀπολήψονται καὶ χορτασθήσονται τῆς τοῦ Θεοῦ δόξης, ἣν θεωρήσουσιν ἐν δικαιοσύνῃ, τουτέστι διὰ τὴν ἀρετὴν αὐτῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

1. Ψαλ. 16,15.

ΝΙΚΗΤΑ ΗΡΑΚΛΕΙΑΣ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΓΡΗΓΟΡΙΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ *

59,62,21. Ἄνδρες ἀδελφοὶ καὶ συμπένητες· πτωχοὶ γὰρ ἅπαντες καὶ τῆς θείας χάριτος ἐπιδεεῖς.

356 Οἰκείως τοὺς ἀκροατὰς ἀδελφοὺς ὠνόμασε καὶ συμπένητας, ἵνα καὶ ἀπὸ τῶν προσηγοριῶν τούτων ἑλκύσῃ αὐτοὺς εἰς συμπάθειαν τῶν νοσούντων τὴν φύσιν, ἐννοοῦντας καὶ τὸ τῶν ἔξωθεν συμπιπτόντων ἄδηλον· πτωχοὶ γάρ φησίν ἐσμεν ἅπαντες, καθ' ὃ χρῄζομεν τῆς τοῦ Θεοῦ χάριτος, κἂν ἄλλος ἄλλου προέχειν δοκῇ τοῖς τοῦ σωματικοῦ πλούτου μέτροις μετρούμενος, ἃ μικρά ἐστι διὰ τὸ φθείρεσθαι καὶ μάλιστα πρὸς τὸν θεῖον καὶ ἀληθινὸν πλοῦτον παραβαλλόμενα. Δέξασθέ φησι τὸν ὑπὲρ τῶν πενήτων λόγον μὴ μικροψύχως μηδὲ μικρολόγως, ὡς ἄν τις ὑποδέχοιτο πένητα, ἀλλὰ λίαν φιλοτίμως τε καὶ προθύμως, ὡς ἄν τις ὑποδέχοιτο πλούσιον, καὶ μὴ σπείρητε φειδομένως, ἵνα πλουσίως θερήσητε. Εὔξασθε δὲ ἵνα κἀγὼ πλουσίως ὑμῖν χορηγήσω τὸν λόγον καὶ ὅ φησιν Ἡσαΐας, διαθρύψω πεινῶσι τὸν ἄρτον μου[1], τὸν πνευματικὸν δηλαδὴ καὶ διδασκαλικὸν λόγον, τὸν τὴν λογικὴν ψυχὴν τρέφοντα, εἴτε ἀπ' οὐρανοῦ τροφὴν βρέχων[2], ὡς ὁ Μωυσῆς, εἴτε καὶ ἄρτοις ὀλίγοις τρέφων[3], ὡς ὁ Χριστός. Ἀλλὰ Μωυσῆς μὲν ἀπ' οὐρανοῦ τροφὴν ἔβρεξε, τὸ μάννα[4], ὡς ἡ βίβλος τῆς Ἐξόδου διέξεισιν, ὃ καὶ ἄρτον ἀγγέλων ὁ Δαβὶδ ὀνομάζει, ὡς δι' ἀγγέλου χορηγούμενον· ἄρτον γάρ φησιν οὐρανοῦ ἔδωκεν αὐτοῖς, ἄρτον ἀγγέλου ἔφαγεν ἄνθρωπος. Ἐγὼ δὲ ὡς ἀπ' οὐρανοῦ τροφὴν βρέξειν φημὶ τοὺς θεοπνεύστους λόγους, τὰ οὐράνια νοήματα, οἷς οἱ ἄγγελοι τρέφονται. Πάλιν δὲ ὁ Χριστὸς ἐν ἐρημίᾳ αἰσθητοῖς ἄρτοις χιλιάδας ἐξέθρεψεν, ἐγὼ δὲ τοῖς ἐμοῖς λόγοις ὡς ἄρτοις τρέφειν ἀεὶ τοὺς ἐντυγχάνοντας ἐπαγγέλλομαι, εἰ καὶ μὴ ὡς ὁ Χριστός, ὅς ἐστιν ἀληθινὸς ἄρτος, καθὼς αὐτὸς περὶ ἑαυτοῦ φησιν ἐν τῷ κατὰ Ἰωάννην· ὁ πατήρ μου δίδωσιν ὑμῖν τὸν ἄρτον ἐκ τοῦ οὐρανοῦ τὸν ἀληθινόν[5]· καὶ αὖθις «ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς»[6], ὁ αὐτὸς καὶ τῆς ἀληθινῆς ζωῆς δοτήρ· οὗτος γάρ φησίν ἐστιν ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβαίνων, ἵνα τις ἐξ αὐτοῦ φάγῃ καὶ μὴ ἀποθάνῃ[7].

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ Κ. Δυοβουνιώτου, Νικήτα Ἡρακλείας ἑρμηνεία εἰς τοὺς λόγους Γρηγορίου Ναζιανζηνοῦ, «Θεολογία» τ. ΚΑ', Ἀθῆναι 1950, σελ 356-384

1. Πρβλ. Ἡσ. 58,7. 2. Πρβλ. Ἐξ. 16,8. 3. Πρβλ. Ματθ. 14,17 ἑξ. 4. Πρβλ Ἐξ. 16,14. 5. Πρβλ. Ἰω. 6,26. 6. Ἰω. 6,35. 7. Πρβλ. Ἰω 6,58.

357 59,62,30-31. Ἔστι μὲν οὖν οὐ πάνυ τι ῥάδιον τῶν ἀρετῶν τὴν νικῶσαν εὑρεῖν καὶ ταύτῃ δοῦναι τὰ πρεσβεῖα καὶ τὰ νικητήρια.

Οἷόν τι πάσχουσι πρὸς τοὺς πολυανθεῖς τῶν λειμώνων οἱ τούτων φιλοθεάμονες, οἷς οὐ πρὸς ἕν τι τῶν φαινομένων διὰ τὸ τῆς ὥρας ὁμότιμον ὁ ὀφθαλμὸς ἐπερείδεται, ἀλλ' ἐπὶ πάντα ταῖς ἐπιθυμίαις χρώμενος οὐδένα ἐθέλουσι διαμαρτεῖν ἑκάστου ἄνθους ὡς μὲν καλοῦ τὴν ὄψιν ὡς δὲ εὐώδους τὴν ὄσφρησιν εἰς ἑαυτὸ ἕλκοντος, τοιοῦτόν τι πάσχει καὶ ἡ διάνοια τοῦ πρὸς λειμῶνα τῶν ἀρετῶν ἀποβλέποντος· τὸ γὰρ ποικίλον τῆς ὥρας αὐτῶν ὁμοτίμως ἐπὶ πάντα τὴν ψυχὴν ἐφελκόμενον αὐτὴν ποιεῖ τὴν ἐπιθυμίαν ὡς μὴ δύνασθαι ῥᾳδίως εὑρεῖν ἐν τοῖς ὁμοτίμοις τὸ προτιμότερον, ἀλλὰ δύσκολον εἶναι τοῦ κυριωτέρου τὴν προτίμησιν.

59,63,1. Καλὸν πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα καὶ μάρτυς τῆς πίστεως Ἀβραάμ.

Φησὶν ὁ Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ, «νυνὶ δὲ μένει ἡ πίστις, ἐλπίς, ἀγάπη, τὰ τρία ταῦτα, μείζων δὲ τούτων ἡ ἀγάπη»[1]. «Ἀβραὰμ μὲν» οὖν «ἐπίστευσε τῷ Θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην»[2]· ἐπαγγειλαμένου γὰρ τοῦ Θεοῦ πατέρα πολλῶν ἐθνῶν θεῖναι, οὐ διεκρίθη διὰ τὸ γῆρας, ἀλλ' ἐπληροφορήθη ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι. Ἐνὼς δὲ πρῶτος ἤλπισεν ἐπικαλεῖσθαι τὸν Κύριον καὶ οἱ ἅγιοι πάντες διὰ τὴν ἐλπίδα τῶν ἀποκειμένων ἀγαθῶν ἀμοιβῶν ἐκακοπάθησαν. Ὁ δὲ Παῦλος δι' ἀγάπην τῶν συγγενῶν αὐτοῦ Ἰουδαίων καθ' ἑαυτοῦ εὔχεται λέγων «ηὐχόμην αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ τῶν ἀδελφῶν μου, τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν οἱ Ἰσραηλῖται»[3], τουτέστι χωρισθείην καὶ ἀλλοτριωθείην ἀπὸ Χριστοῦ ὑπὲρ τοῦ πιστεῦσαι καὶ σωθῆναι Ἰουδαίους. Ὁ δὲ θεολόγος Ἰωάννης φησὶν ὅτι «ὁ Θεὸς ἀγάπη ἐστιν»[4].

59,63,6. Καλὸν ἡ φιλοξενία καὶ μάρτυς ἐν μὲν δικαίοις Λώτ.

Ὁ Λὼτ Σοδομίτης μὲν ἦν ὡς ἐν Σοδόμοις οἰκῶν, οὐ Σοδομίτης δὲ ὡς μὴ τὴν τῶν Σοδομιτῶν ἀνδρομανίαν μιμούμενος. Οὗτος φιλόξενος ὢν ἀγγέλους ὑπεδέξατο καὶ ὑπ' ἐκείνων εἰς τὸ ὄρος ἀνεσώθη[5], ὅτε ἔμελλεν ὁ Θεὸς πυρὶ ἀποτεφροῦν τὰ Σόδομα. Ἡ δὲ Ἱεριχουντία πόρνη Ῥαὰβ οὐκ ἦν πόρνη καὶ καπηλικὴ τὴν προαίρεσιν· πονηραὶ μὲν γὰρ αἱ τῶν πορνῶν προαιρέσεις καὶ βλαβεραί, ἡ δὲ ταύτης ἀγαθὴ καὶ ὠφέλιμος· οὐ μόνον γὰρ φιλόξενος ἐγένετο πρὸς τοὺς ἐπιξενωθέντας αὐτῇ, οὓς ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ κατασκόπους ἀπέστειλεν εἰς Ἱεριχώ, ἐν ᾗ Ῥαὰβ[6] κατῴκει, ἀλλὰ καὶ καταζητουμένους παρὰ τῶν τῆς πόλεως ἔκρυψε καὶ σωτηρίας ἠξίωσε, διὸ καὶ μετὰ τὴν τῆς πόλεως ἅλωσιν

---

1. Α' Κορ. 13,13 2. Ρωμ. 4,3 3. Ρωμ. 9,3 4. Α' Ἰω. 4,8
5. Πρβλ. Γεν. 19,5,22. 6. Πρβλ. Ἰησ. Ν. 2,1 ἑξ.

μόνη τῶν πάντων μετὰ τῶν ἐν τῇ οἰκίᾳ αὐτῆς διεσώθη ἀπὸ θανάτου, τοῦ ψηφισθέντος κατὰ πάσης τῆς πόλεως, καθὼς ἡ Ἰησοῦ τοῦ Ναυῆ βίβλος διέξεισι. Τὴν δὲ φιλαδελφίαν καὶ φιλανθρωπίαν διδάσκει ὁ Κύριος, τὴν μὲν ὅτι ἀδελφὸς ἡμῶν ἐκλήθη· ἀπαγγείλατε γάρ φησι τοῖς ἀδελφοῖς μου, ἵνα ἀπέλθωσιν εἰς τὴν Γαλιλαίαν καὶ **358** ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου καὶ πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς, τὴν δὲ ὅτι, καθὼς Ἐφεσίοις ὁ Παῦλος γράφει, «αὐτοῦ ἐσμεν ποίημα κτισθέντες ἐπ' ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν»[1]· καὶ τὴν ψυχὴν τῷ πηλίνῳ συνέζευξε σώματι, ἵνα ὁδηγῇ αὐτὸ πρὸς τὰ κάλλιστα καὶ τὰ ἄνω προξενῇ. Οὐ μόνον δέ, ἀλλὰ διὰ φιλανθρωπίαν καὶ ἄνθρωπος γέγονε.

59,63,14-15. Καλὸν ἡ μακροθυμία καὶ ὁ αὐτὸς μάρτυς.

Διὰ μακροθυμίας ὁ Κύριος τὰς λεγεῶνας τῶν ἀγγέλων παρῃτήσατο ἐν τῷ καιρῷ τοῦ πάθους εἰπὼν τῷ Πέτρῳ σπασαμένῳ τὴν μάχαιραν· «ἢ δοκεῖς ὅτι οὐ δύναμαι ἄρτι παρακαλέσαι τὸν πατέρα μου καὶ παραστήσῃ μοι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων; Πῶς οὖν πληρωθῶσιν αἱ Γραφαί»[2]; Ἐπετίμησε δὲ καὶ τῷ μαθητῇ εἰπών· «ἀπόστρεψόν σου τὴν μάχαιραν εἰς τὸν τόπον αὐτῆς· πάντες γὰρ οἱ λαβόντες μάχαιραν ἐν μαχαίρᾳ ἀποθανοῦνται»[3]. Καὶ τῷ δούλῳ τοῦ ἀρχιερέως Μάλχῳ ἀποκατέστησε τὸ ἀφαιρεθὲν ὠτίον καὶ ἰάσατο αὐτόν[4]. Ὁμοίως δὲ καὶ Στέφανος διὰ μακροθυμίαν ὑπὲρ τῶν λιθαζόντων αὐτὸν προσηύχετο λέγων· «Κύριε μὴ στήσῃς τὴν ἁμαρτίαν ταύτην»[5]

59,63,20. Καλὸν ἡ πραότης καὶ μαρτυροῦσι Μωυσῆς καὶ Δαβίδ.

Ὁ Μωυσῆς καὶ ὁ Δαβὶδ πρὸ τῶν ἄλλων ἀνθρώπων ἢ πρὸ τῶν ἄλλων αὐτῶν κατορθωμάτων ἐπὶ πραότητι ἐμαρτυρήθησαν παρὰ τῆς Γραφῆς, ὁ μὲν Μωυσῆς ἐν τῇ βίβλῳ τῶν Ἀριθμῶν «πρᾶος σφόδρα παρὰ πάντας ἀνθρώπους, τοὺς ὄντας ἐπὶ τῆς γῆς»[6], ὁ δὲ Δαβὶδ ἐν τῇ πρώτῃ καὶ δευτέρᾳ τῶν Βασιλειῶν καὶ ἔτι ἐν τῇ βίβλῳ τῶν Ψαλμῶν· «μνήσθητι γάρ φησι τοῦ Δαβίδ, Κύριε, καὶ πάσης τῆς πραότητος αὐτοῦ»[7]. Περὶ δὲ τοῦ Χριστοῦ φησι δι' Ἡσαΐου ὁ Θεός· «ἰδοὺ ὁ παῖς μου, ὃν ἡρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν ηὐδόκησεν ἡ ψυχή μου, θήσω τὸ πνεῦμά μου ἐπ' αὐτὸν καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ, οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ»[8]. Διὰ τοῦ αὐτοῦ δὲ προφήτου εἰσάγεται ὁ Χριστὸς μὴ ζυγομαχῶν πρὸς τοὺς ἀπάγοντας αὐτὸν ἐπὶ τὸν σταυρόν· λέγει γὰρ «ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη»[9] καὶ τὰ ἑξῆς.

59,63,24. Καλὸν ὁ ζῆλος καὶ μαρτυρεῖ Φινεές.

Ἐν τῇ Βίβλῳ τῶν Ἀριθμῶν γέγραπται ὅτι ἐπόρνευον οἱ Ἰου-

---

1 Ἐφ 2,10 2 Ματθ. 26,53-54. 3. Ματθ. 26,52. 4. Πρβλ. Λουκ 22,51 5 Πράξ. 7,60 6. Ἀριθ. 12,3. 7. Ψαλ. 131,1. 8 Ματθ 12,18-19 9 Ἡσ 53,7.

δαῖοι εἰς τὰς Μαδιανίτιδας, ἰδὼν δὲ ὁ Φινεὲς ἐξανέστη ἐκ μέσου τῆς συναγωγῆς καὶ λαβὼν σειρομάστην ἐν τῇ χειρὶ αὐτοῦ ἦλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου καὶ ἀπεκέντησε τόν τε ἄνθρωπον τὸν Ἰσραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας[1]. Ὄνομα δὲ τῷ μὲν ἀνδρὶ Ζαμβρῆ, τῇ δὲ γυναικὶ Χασβῇ[2]. Διαπερονήσας οὖν ἀμφοτέρους ἐξεῖλεν ὄνειδος ἐξ υἱῶν Ἰσραήλ, ὅπερ ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν Δαβὶδ εἶπε· τί γάρ, φησί, ποιηθήσεται τῷ ἀνδρὶ ὃς ἂν πατάξει τὸν ἀλλόφυλον ἐκεῖνον τῆς ζωῆς, τουτέστι τὸν Γολιὰθ καὶ ἀφελεῖ ὄνειδος ἐξ υἱῶν Ἰσραήλ[3]. Καὶ μέντοι ὠνομάσθη καὶ ὁ Φινεὲς διὰ τὴν προαίρεσιν ζηλωτής· ἐζήλωσε γὰρ ἀθετουμένου τοῦ νόμου, τοῦ κε**359**λεύοντος ἀπέχεσθαι μίξεως ἀλλοφύλου γυναικός. Μετὰ δὲ τὸν Φινεὲς ἐζήλωσεν Ἠλίας· γέγραπται γὰρ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν, ὅτι φεύγοντα τὸν Ἠλίαν ἠρώτησεν ὁ Θεός, «τί σὺ ἐνταῦθα Ἠλιού, ὁ δὲ εἶπε, ζηλῶν ἐζήλωσα Κυρίῳ παντοκράτορι», τουτέστιν ὑπὲρ τοῦ Κυρίου μου, «ὅτι ἐγκατέλιπόν σε υἱοὶ Ἰσραήλ, τὰ θυσιαστήριά σου κατέσκαψαν καὶ τοὺς προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ»[4]. Γράφει δὲ πρὸς Κορινθίους Παῦλος· «ζηλῶ γὰρ ὑμᾶς Θεοῦ ζήλῳ»[5], μὴ βουλόμενος δηλαδὴ φθαρήσεσθαι τὰ νοήματα ὑμῶν πρός τινος τῶν κακὰ λεγόντων. Λέγει δὲ καὶ Δαβὶδ ἐν βίβλῳ Ψαλμῶν ἐκ προσώπου Κυρίου· «ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με»[6], τουτέστιν ἐκτήξει, ὡς καὶ ἀλλαχοῦ· ἐξέτηξέ με ὁ ζῆλός σου. Ἐπληρώθη δὲ τοῦτο ὅτε ἐξέβαλεν ὁ Χριστὸς ἐκ τοῦ ἱεροῦ τοὺς πωλοῦντας τὰ ζῶα καὶ εἶπε· «μὴ ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου, οἶκον ἐμπορίου»[7].

59,63,29-30. Κ α λ ὸ ν ὑ π ο π ι α σ μ ὸ ς σ ώ μ α τ ο ς κ α ὶ π ε ι θ έ τ ω σ ε Π α ῦ λ ο ς ἑ α υ τ ὸ ν ἔ τ ι π α ι δ α γ ω γ ῶ ν.

Καλόν, φησίν, ὁ τοῦ σώματος ὑποπιασμὸς ἤτοι δαμασμός. Λέγει γοῦν ὁ Παῦλος Κορινθίοις ἐπιστέλλων· «ὑποπιάζω μου τὸ σῶμα καὶ δουλαγωγῶ»[8], ἤτοι ὡς δοῦλον ἄγω καὶ παιδεύω καὶ τοὺς Ἰουδαίους εἰς παράδειγμα φέρει δι' ἐπιθυμιῶν καὶ τοῦ πιεῖν καὶ φαγεῖν ἀπολωλότας· κατεστρώθησαν γάρ φησιν ἐν τῇ ἐρήμῳ[9], καὶ πάλιν «ἔπεσον ἐν μιᾷ ἡμέρᾳ εἴκοσι τρεῖς χιλιάδες»[10], καὶ ἐπιφέρει ὅτι «ταῦτα τύποι ἡμῖν ἐγενήθησαν εἰς τὸ μὴ εἶναι ἡμᾶς ἐπιθυμητὰς κακῶν»[11]. Καὶ ὁ Χριστὸς δὲ νηστεύσας οὕτως ἐνίκησε τὸν διάβολον[12], δεικνὺς δὲ καὶ τὸ χρήσιμον τῆς προσευχῆς καὶ τῆς ἀγρυπνίας πρὸ τοῦ πάθους ἠγρύπνει καὶ προσηύχετο[13]. Παῦλος δὲ τὸ τίμιον τῆς παρθενίας παρίστησιν, ἐν οἷς γράφει πρὸς Κορινθίους διὰ τὴν δικαίως κοσμίῳ γάμῳ καὶ ἀγαμίᾳ λέγων «ὁ μὲν ἄγαμος μεριμνᾷ τὰ τοῦ Κυρίου πῶς ἀρέσει τῷ Κυρίῳ, ὁ δὲ εἰς

---

1 Πρβλ. Ἀριθ. 25,7 ἑξ 2. Πρβλ. Ἀριθ 25,14-15. 3 Πρβλ Α' Βασ. 17,26. 4. Γ' Βασ. 19,10. 5. Β' Κορ 11,2. 6. Ψαλ. 68,10. Ἰω. 2,16. 7. Ἔνθ' ἀν. 8. Α' Κορ. 9,27. 9 Πρβλ Ἀριθ 14,16 10. Α' Κορ. 10,8. 11. Α' Κορ 10,6. 12. Πρβλ. Ματθ. 4,2 13 Ματθ. 26,36,39,42, 44-45.

γάμον ἐλθὼν μεριμνᾷ τὰ τοῦ κόσμου πῶς ἀρέσει τῇ γυναικί»[1]. Καὶ ὁ Χριστὸς δὲ ἐκ παρθένου γεννᾶται, διὰ μὲν τοῦ γεννηθῆναι τὴν γέννησιν τιμῶν, διὰ δὲ τοῦ ἐκ παρθένου τὴν παρθενίαν προτιμῶν τοῦ γάμου, ὡς καλοῦ κάλλιον· οὐ γάρ, εἰ μέγα ἡ παρθενία, ἐν τοῖς ἀποβλήτοις ὁ γάμος.

59,64,1-2. Καλὸν ἐγκράτεια καὶ πειθέτω σε Δαβὶδ ἡνίκα τοῦ ἐν Βηθλεὲμ ἐκράτησε φρέατος.

Γέγραπται γὰρ ἐν τῇ πρώτῃ τῶν Παραλειπομένων, ὅτι ἐν Βηθλεὲμ ὄντων ἀλλοφύλων ἐπεθύμησε Δαβὶδ ὕδωρ πιεῖν ἐκ τοῦ φρέατος τοῦ ἐν Βηθλεὲμ καὶ εἶπε, «τίς ποτιεῖ με ὕδωρ ἐκ τοῦ λάκκου Βηθλεέμ»[2]. Καὶ διέρρηξαν τρεῖς στρατιῶται τὴν παρεμβολὴν τῶν ἀλλοφύλων καὶ ὑδρευσάμενοι ἦλθον πρὸς τὸν Δαβὶδ καὶ οὐκ ἠθέλησε πιεῖν καὶ πληρῶσαι τὴν ἐπιθυμίαν αὐτοῦ, ἀλλ' ἔσπεισε τὸ ὕδωρ τῷ Κυρίῳ καὶ εἶπεν· οὐχ αἷμα ἀνδρῶν τούτων πίομαι[3], αἷμα δὲ τουτί, τὸ ὕδωρ ὠνόμασεν, ἅτε τῶν ὑδρευσαμένων αὐτό, ὅσον τὸ ἐπ' αὐτοὺς χεάντων τὸ ἴδιον αἷμα τοῦ λαβεῖν αὐτό.

360 59,64,5. Καλὸν ἐρημία καὶ ἡσυχία.

Ὅτι δὲ καλὸν ἡ ἐν μονώσει ἡσυχία δείκνυσιν Ἠλίας καὶ Ἰωάννης καὶ Χριστός, ὁ μὲν ἐν τῷ Καρμήλῳ διαιτώμενος, ὡς ἡ τρίτη τῶν Βασιλειῶν ἱστορεῖ, ὁ δὲ ἐν τῇ ἐρήμῳ, ἀφ' ἧς ἦλθεν εἰς τὴν περίχωρον τοῦ Ἰορδάνου, ὡς τὸ Εὐαγγέλιον διέξεισιν, ὁ δὲ εἰς τὸ ὄρος πολλάκις ἀναβαίνων καὶ κατ' ἰδίαν προσευχόμενος.

59,64,7-8. Καλὸν ἡ εὐτέλεια καὶ διδάσκει με Ἠλίας.

Τοῦ καλοῦ τῆς εὐτελείας ἀπόδειξις Ἠλίας παρὰ τῇ Σαραφθίᾳ γυναικὶ καταγόμενος καὶ Ἰωάννης τὸ ἔνδυμα ἔχων ἀπὸ τριχῶν καμήλου καὶ Πέτρος ἐκ θέρμων μόνον τρυφῶν ἀσσαρίου ἐωνημένων, ἤγουν δέκα νούμμων· τοῦτο δὲ ἔκ τινος τῶν μὴ ἐκκλησιαζομένων βίβλων ἀνείληπται.

59,64,10. Καλὸν ἡ ταπεινοφροσύνη καὶ πολλὰ ταύτης.

Παραδείγματα τῆς ταπεινοφροσύνης πολλά· σὺν πολλοῖς ἄλλοις δὲ ὁ Κύριος, ὅς, καθὼς Φιλιππησίοις ὁ Παῦλος γράφει, «ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ»[4] καὶ μέσον δύο λῃστῶν[5] ἠνέσχετο σταυρωθῆναι, ἵνα πληρωθῇ τὸ τοῦ Ἠσαΐου, ὅτι «μετὰ τῶν ἀνόμων ἐλογίσθη»[6] ὁ «αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[7], καθώς φησιν Ἰωάννης, καὶ «τὸ πρόσωπον οὐκ ἀπέστρε-

---

1 Α' Κορ 7,32-33. 2 Β' Βασ. 23,15 3. Πρβλ Β' Βασ. 23,16-17
4 Φιλιπ 2,7. 5 Πρβλ. Ματθ. 27,38. 6. Λουκ. 22,37. Ἡσ. 53,12.
7. Ἰω 1,29.

ψεν ἀπὸ αἰσχύνης ἐμπτυσμάτων»[1], κατὰ τὴν τοῦ Ἡσαΐου πρόρρησιν, καὶ μέντοι καὶ τοὺς πόδας ἔνιψε[2] τῶν μαθητῶν, ὡς τὸ Εὐαγγέλιον ἱστορεῖ.

59,64,16. Καλὸν ἡ ἀκτημοσύνη καὶ χρημάτων ὑπεροψία.

Ὅτι κάλλιστον ἡ τῶν χρημάτων καταφρόνησις ὁ Χριστὸς μαρτυρεῖ· τῷ γὰρ πλουσίῳ ἐκείνῳ νέῳ μαθεῖν χρῄζοντι, πῶς ἂν τοῦ τελείου κατατύχοι, οὐκ ἐν ἄλλῳ τὸ ἄκρον περιέγραψεν ἢ μόνῳ τῷ δεῖν ἅπαντα τοῖς πένησι σκορπίσαι, σταυρὸν δὲ ἐπ' ὤμων φέρειν ἀεὶ καὶ αὐτῷ ἕπεσθαι τοῖς κάτω νεκρούμενον, εἴπερ ποθείη καὶ συνυψοῦσθαι Θεῷ. Οὕτω καὶ τελώνας τελειοῖ εἰσόδου πάντα προθύμως τῷ Θεῷ δωρουμένοις. Καὶ πειθέτω σε ὁ Ζακχαῖος, ὃς πλουτῶν κακῶς οἴκτῳ πενήτων τῶν τε ἠδικημένων πλουτεῖ τὸ πένεσθαι καὶ ῥύπου καθαίρεται· σταθεὶς γὰρ εἶπε πρὸς τὸν Ἰησοῦν· «ἰδοὺ τὰ ἡμίση τῶν ὑπαρχόντων μου, Κύριε, δίδωμι τοῖς πτωχοῖς καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τὸ τετραπλοῦν»[3]. Καὶ συντομώτερον ἔτι περὶ τούτων εἰπεῖν. Καὶ ἵνα συντόμως περὶ τούτων εἴπω, καλόν ἐστι θεωρία καὶ πρᾶξις, ἡ μὲν τὸν νοῦν ἀπὸ τῶν ὁρωμένων ἀπάγουσα καὶ πρὸς τὰ νοητὰ καὶ οὐράνια ἐπανάγουσα, ἅτινα οἰκεῖά ἐστιν αὐτῷ καὶ συγγενῆ κατὰ τὸ ἀόρατόν τε καὶ νοερόν. Ἡ δὲ Χριστὸν ὑποδεχομένη καὶ θεραπεύουσα διὰ τῶν πενήτων· «ἐφ' ὅσον» γάρ φησιν «ἐποιήσατε ἑνὶ τούτων, ἐμοὶ ἐποιήσατε»[4], καὶ διὰ τῶν ἔργων τὴν ἀγάπην δείκνυσι, τούτων τῶν ἀπηριθμημένων ἕκαστον μία τις ὁδός ἐστι σωτηρίας εἴς τινα τῶν αἰωνίων μονῶν φέρουσα, περὶ ὧν φησιν ὁ Σωτὴρ ἐν τῇ οἰκίᾳ τοῦ πατρός μου πολλαὶ μοναί εἰσι»[5], του**361**τέστιν «ἐν τῇ ἐξουσίᾳ τοῦ πατρός μου πολλαί εἰσιν ἀξιωμάτων διαφοραὶ κατὰ τὰ μέτρα τῆς ἀρετῆς καὶ τὴν ποικίλην τῶν προαιρέσεων διαφορὰν καὶ τὰς αἱρέσεις τῶν βίων τοῖς ἀνθρώποις ἀναλόγως μεριζόμεναι. Ὁ μὲν οὖν ταύτην, ὁ δὲ ταύτην κατορθούτω τὴν ἀρετήν, ὁ δὲ πλείους, ὁ δὲ πάσας, εἰ δυνατόν. Μόνον μὴ στήτω τοῦ καλοῦ δρόμου, ἀλλὰ τοῖς ἔμπροσθεν ἐπεκτεινέσθω[6] ἀκολουθῶν Χριστῷ, τῷ διὰ τῆς ἐνταῦθα στενοχωρίας εἰς τὸν ἐκεῖ πλατυσμὸν ἀνάγοντι, καθὼς αὐτός φησιν, «ὅτι στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωήν»[7]. Ἔτι σημείωσαι, ὅτι δυνατὸν κατορθοῦντα μίαν τῶν ἀρετῶν σωτηρίας τυχεῖν, οὐκ ἄμοιρον μὲν ἴσως τῶν ἄλλων, οὐ μὴν διὰ τὸ μὴ τελείως ἑκάστην κατορθοῦν ἐκπίπτοντα τῆς ἀποκειμένης αὐτῷ μονῆς κατ' ἀναλογίαν τῆς αὐτοῦ πολιτείας, ὅπερ οὐκ ἐδοκίμασαν οὕτως ἔχειν τινὲς τῶν διδασκάλων, ἀλλὰ πάσας ἀνταχολουθεῖν ἀλλήλαις τὰς ἀρετάς. Ὁ Θεολόγος ἅγια ἁγίων εἰς τὰ Θεοφάνεια ἐννοεῖ τὴν παναγίαν Τριάδα, ἅτε ἐν ἑαυτῇ πᾶσαν ἁγιότητα συλλαβοῦσαν. Πρᾶξίς ἐστιν ἀρετῶν μὲν ἐργασία σὺν τῷ λόγῳ γενομέ-

1. Ἠσ. 50,6. 2 Πρβλ. Ἰω. 13,6. 3. Λουκ. 19,8. 4 Ματθ. 25,40. 5. Ἰω. 14,2. 6. Πρβλ. Φιλιπ. 3,13. 7. Ματθ. 7,14.

νη διακρίνοντι τὸ βέλτιον τὰ τοῦ χείρονος. Καὶ ἄλλως, πρᾶξίς ἐστιν ἡ τῶν ἀρετῶν ἐπιτήδευσις, θεωρία δὲ ἡ ἐκ τῶν αἰσθητῶν ἀποσπῶσα τὸν νοῦν καὶ ἐπανιστῶσα τῶν νοερῶν καὶ πρὸς τὸ συγγενὲς ἐπανάγουσα· νοερὰ γὰρ ἡ ψυχὴ καὶ ὁ νοῦς καὶ συγγενεῖς τούτων τὰ θεῖα καὶ νοερά, ἅπερ ἐννοεῖν καὶ φαντάζεσθαι ποιεῖ ἡ θεωρία.

59,64,31-32. Εἰ δὲ δεῖ Παύλῳ καὶ αὐτῷ Χριστῷ πειθόμενον.

Ὁ Παῦλος τῶν ἄλλων ἀρετῶν τὴν ἀγάπην ὑπερτίθησι λέγων «μείζων δὲ πάντων ἡ ἀγάπη»[1], ὁ δὲ Χριστὸς ἐρωτηθεὶς ποία ἐντολὴ μεγάλη ἐν τῷ νόμῳ ἔφη· «ἀγαπήσεις Κύριον τὸν Θεόν σου, αὕτη ἐστὶν ἡ πρώτη καὶ μεγάλη ἐντολή, δευτέρα δὲ ὁμοία αὐτῇ, ἀγαπήσεις τὸν πλησίον σου ὡς ἑαυτόν, ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος καὶ οἱ προφῆται κρέμανται»[2], τουτέστι περὶ τούτων ἴσως διαφορὰς διαλαμβάνουσι, ταύτας τὰς δύο ἐντολὰς ἔχουσι ῥίζαν καὶ αἰτίαν καὶ ἀφορμήν· αὗται γάρ εἰσι τοῦ νόμου κεφάλαιον, τουτέστι κεφαλὴ καὶ κρεῖττον μέρος καὶ καιριώτατον· ταύταις γὰρ αἱ πᾶσαι ἀρεταὶ συμπεριλαμβάνονται. Εἰ τοίνυν, καθώς φησιν ὁ Παῦλος καὶ Χριστὸς αὐτός, πρώτη πάντων καὶ μείζων ἡ ἀγάπη, ταύτης τὸ κράτιστον εὑρίσκω τὴν φιλοπτωχίαν, ᾗ καὶ Θεὸς θεραπεύεται· οὐδὲν γάρ ἐστιν αὐτῷ οἰκειότερον παρὰ τὸν ἔλεον. Φησὶ γοῦν πρὸς αὐτὸν ὁ Δαβίδ, «ἔλεος καὶ ἀλήθεια προπορεύεται πρὸ προσώπου σου»[3], καὶ πάλιν «ἔλεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε»[4], τὸν ἔλεον προτιθεὶς τῆς κρίσεως. Ἀλλὰ καὶ τὸ τοῦ Θεοῦ φιλάνθρωπον οὐκ ἐν ἄλλῳ τινὶ ἡμῖν ἀντιδίδοται ἢ ἐν τῇ πρὸς τοὺς δεομένους φιλανθρωπίᾳ· «μακάριοι γὰρ οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται»[5]. «Ἡ δὲ κρίσις ἀνίλεως τῷ μὴ ποιήσαντι ἔλεος»[6], καθὼς ὁ ἀδελφόθεος γράφει Ἰάκωβος, λέγει δὲ καὶ διὰ Ἡσαΐου ὁ Θεὸς ὅτι «ἡ ἐλεημοσύνη μου εἰς σταθμούς»[7]· οἴκτῳ γὰρ οἶκτος παρ' αὐτῷ σταθμίζεται, ὅς, κατὰ τὸ ἐν τῇ Σοφίᾳ Σολο**362**μῶντος εἰρημένον, «πάντα μέτρῳ καὶ ἀριθμῷ καὶ σταθμῷ διέταξεν»[8].

59,65,4. Πᾶσι μὲν δὴ πτωχοῖς ἀνοικτέον τὰ σπλάγχνα.

Πάντας μὲν ἐλεῶμεν τοὺς πένητας, τοὺς κατά τινα αἰτίαν κακοπαθοῦντας, καθὼς ὁ Ἀπόστολος νομοθετεῖ, κελεύων «χαίρειν μετὰ χαιρόντων καὶ κλαίειν μετὰ κλαιόντων»[9] καὶ ἄνθρωποι ὄντες τοῖς δυστυχοῦσιν ἀνθρώποις προσφέρωμεν τὸν ἔρανον τῆς χρηστότητος. Ἔρανος δέ ἐστι τὸ ἀπὸ πολλῶν συναγόμενον χάριν ἔργου τινός· πάντες γὰρ ἐλεεινοί εἰσιν, ἐλεεινότεροι δὲ οἱ μὴ ἐν ἔθει ὄντες τοῦ δυστυχεῖν, ἀλλὰ κακοπαθοῦντες παρὰ τὴν τύχην, ἧς ἦσάν ποτε. Ἐξαιρέτως δὲ ἐλεῶμεν, οὓς διέφθειρεν ἡ ἐλεφαντίασις, βεβρωμένους ἄχρι σαρκῶν καὶ

---

1 Α' Κορ 13,13. 2 Ματθ 22,37-40. 3. Ψαλ. 88,15. 4 Ψαλ. 100,1 5 Ἰακ. 2,13 6 Ματθ 5,7. 7 Ἡσ. 28,17 8. Πρβλ. Σ Σολ. 11,20 9 Ρωμ. 12,15.

ὀστέων, καθά τισιν ὁ Θεὸς δι' Ἡσαΐου ἠπείλησε. Καταφάγεται γάρ φησιν ἀπὸ ψυχῶν ἕως σαρκῶν, οὓς καὶ αὐτὸ τὸ σῶμα προδέδωκε διαρρύεν καὶ οἰχόμενοι, τὸ μοχθηρὸν μὲν ὡς ἐπανιστάμενον τῇ ψυχῇ, ἄπιστον δὲ ὡς μὴ φυλάττον ὑγείαν ἢ κάλλος ἢ ῥώμην, ἀλλὰ ταχέως ἀλλοιούμενον, ταπεινὸν δὲ ὡς κατὰ τὸν Ἀπόστολον ταπεινώσεως σῶμα, ὡς ἄτιμον καθ' ἑαυτό· γῆ γὰρ καὶ σποδός, ἔτι δὲ καὶ ὡς κατασπῶν τὸ ἡμέτερον φύσημα ὑπὸ τῆς ἀσθενείας αὐτοῦ, ᾧτινι πῶς συνεζεύχθην ἐγὼ ἡ ψυχὴ οὐκ οἶδα καὶ πῶς εἰκών τε τοῦ Θεοῦ εἰμι καὶ τῷ πηλίνῳ συμφύρομαι σώματι, ὅπερ εὐεκτοῦν μὲν πολεμεῖ τῇ ψυχῇ κατεπαιρόμενον αὐτῆς σώματος γὰρ εὐεξία καχεξίαν ψυχῆς ἐργάζεται, ἀνιᾷ δὲ αὐτὴν πολεμούμενον, ἤτοι δαμαζόμενον καὶ σκληραγωγούμενον· μεταλαμβάνει γὰρ αὐτὴ τῶν τούτου πόνων καὶ ἀλγηδόνων, ὅπερ θέλομεν τῆξαι, ἵνα μὴ ὡς ἐν βορβόρῳ ταῖς ἡδοναῖς αὐτοῦ κατορύττωμαι, ἵνα, ὥς φησι Πλάτων, μὴ χαλεπώτερον ἐμαυτῷ κατασκευάζων τὸ δεσμωτήριον, οὐκ ἔχω δέ, ἐὰν τοῦτο συμποδίσω, τίνι συνεργῷ πρὸς φιλοσοφίαν χρήσομαι, ὡς εἰδὼς ὅτι διὰ τοῦτο γέγονα καὶ συνεζύγην τῷ σώματι, ἵνα διὰ τῶν πράξεων, αἵτινες διὰ τοῦ σώματος γίνονται, πρὸς Θεὸν ἀναχθῶ, παρ' οὗ καὶ γέγονα. Τοσοῦτον οὖν ἀνθεκτέον τοῦ σώματος, ὥς φησι Πλάτων, ὑπηρεσίαν φιλοσοφίᾳ κτωμένοις, ἐοικότα που λέγει τῷ Παύλῳ, ὃς παραινεῖ μηδεμίαν ἔχειν τοῦ σώματος πρόνοιαν εἰς ἐπιθυμιῶν ἀφορμήν[1].

59,65,25 Φείδομαι ὡς συνεργοῦ.

Φείδομαι φησι τοῦ σώματος ἐν τῷ ἀνιέναι αὐτὸ καὶ θεραπεύειν, ἅτε συνεργοῦν μοι πρὸς τὰ κάλλιστα, οὐκ ἔχω δὲ πῶς διαφύγω τὴν ἐκείνου ἐπανάστασιν ἢ πῶς μὴ ἐκπέσω Θεοῦ βαρυνθείς, ὥσπερ τισὶ πέδαις ταῖς φροντίσι· κατὰ γὰρ τὴν Σοφίαν «φθαρτὸν σῶμα βαρύνει ψυχὴν καὶ βρίθει τὸ γεῶδες σκῆνος νοῦν πολυφρόντιδα»[2] ὑπὸ τῶν φροντίδων· ὁ μὲν γὰρ θεωρητικός, ὁ ἄσχετος ἤδη τῷ σώματι κατὰ τὴν ἕξιν γενόμενος, κατασπᾶται μὲν ὁ ὑπεραρθεὶς μικρὸν τῶν βιωτικῶν πραγμάτων, κατέχεται δὲ ὁ ἐξ ἀρχῆς δήπου ἐπαρθῆναι βουλόμενος. Ἐχθρός ἐστι τὸ σῶμα ὡς ἐπανιστάμενον, εὐμενὲς δὲ ὡς συνεργοῦν πρὸς τὰ κάλλιστα καὶ φίλος καὶ ἐπίβουλος κατὰ τὴν αὐτὴν ἔννοιαν. Ὢ τῆς συζυγίας καὶ τῆς ἀλλοτριώσεως, συζυγίας μὲν ἐν τῷ **363** συνεργεῖν πρὸς τὰ κάλλιστα, ἀλλοτριώσεως δὲ ἐν τῷ ἐπανίστασθαι, ὅπερ φοβοῦμαι ὡς ἐπανιστάμενον, τοῦτο δὲ περιέπω ὡς συνεργὸν πρὶν τῆξαι αὐτὸ τελείως, φείδωμαι δὲ τούτου καὶ πρὶν φείσασθαι τελείως αὐτοῦ διίσταμαι· ἐχθραίνω γὰρ διὰ τὴν ἐπιβουλήν, τὴν ἐκ τῆς εὐεξία.

59,65,30. Τίς ἡ περὶ ἐμὲ σοφία, ἢ τί τὸ μέγα τοῦτο μυστήριον.

Τίς ἐστί φησιν ἡ περὶ τὴν ἐμὴν συζυγίαν σοφία τοῦ Θεοῦ καὶ τί τὸ κατὰ ταύτην ἀπόρρητον. Ἢ τάχα ἐπειδὴ μοῖρα τοῦ Θεοῦ γεγονα-

1. Πρβλ Ρωμ. 13,14. 2. Σ Σολ. 9,15

μεν διὰ τὸ τοὺς τοῦ εἶναι ἡμῶν λόγους ἐν τῷ Θεῷ προϋφεστάναι, ἐρρεύσαμεν δὲ ἄνωθεν, διότι οὐ καθ' ὃν γεγενήμεθα λόγον τὸν ἐν τῷ Θεῷ προόντα κεκινήμεθα. Βούλεται δὲ ἡμᾶς, ἵνα μὴ ἐπαιρόμενοι διὰ τὴν ἀξίαν τῆς ψυχῆς καταφρονῶμεν αὐτοῦ παλαίοντας τῷ σώματι πρὸς αὐτὸν βλέπειν, ἢ μοῖρα Θεοῦ λεγόμεθα, καθ' ὃ οὐσία τῆς ἐν ἑκάστῳ ἀρετῆς ὁ τοῦ Θεοῦ λόγος ἐστί· πᾶς γὰρ ἄνθρωπος ἀρετῆς καθ' ἕξιν παγίαν μετέχων ἀναμφηρίστως τοῦ Θεοῦ μετέχει τῆς οὐσίας τῶν ἀρετῶν, ἢ πάλιν μοῖρα Θεοῦ ἐσμεν, ὡς οἰκεῖοι αὐτοῦ διὰ τὸ νοερὸν τῆς ψυχῆς· οἰκεῖον γὰρ θεότητος αἱ νοεραὶ φύσεις, ναὶ μὴν καὶ διὰ τὸ ἀρχικόν, καθ' ὃ καὶ κατ' εἰκόνα Θεοῦ λεγόμεθα πεποιῆσθαι καὶ τὸ ἄνωθεν δὲ ῥεῦσαι. Οὕτω νοῶ ὅτι ἡ ἀνθρωπίνη ψυχὴ οὐ κάτωθεν γέγονεν, ὥσπερ ἡ τῶν ἀλόγων, ἀλλ' ἄνωθεν παρὰ τοῦ πλάστου ἐνερρύη τῷ σώματι· «ἐνεφύσησε γάρ φησιν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν»[1]. Καὶ ἐν τοῖς ἔπεσι δὲ τὴν ψυχὴν μοῖραν Θεοῦ ὠνόμασεν, ὧδέ πως εἰπὼν ὅτι λαβὼν ὁ Θεὸς χοῦν ἀπὸ τῆς γῆς χερσὶν ἀθανάτοις τὴν ἐμὴν ἐστήσατο μορφήν[2], ταύτῃ δὲ μοῖραν ἔδωκε τῆς ἰδίας ζωῆς· ἐνέθηκε γὰρ πνεῦμα, ὃ δὴ θεότητός ἐστιν ἀπορρώξ, ἤγουν ἀπορροή, καὶ οὕτω συνεπάγων ἐκ χοὸς καὶ ψυχῆς. Διὸ τὸν μὲν κάτω βίον στέργω διὰ τὸ σῶμα, τὸν δὲ ἄνω διὰ τὴν θείαν μοῖραν. Κἂν μὲν νεύσω πρὸς Θεόν, εἰμὶ μέγιστος καὶ οὐράνιος καὶ ἀθάνατος καὶ φωτὸς κληρονόμος, εἰ δὲ ἀποκλίνω πρὸς τὴν σάρκα καὶ τὸν κάτω κόσμον, γίνομαι ταπεινὸς καὶ ἐπίγειος καὶ πρόσκαιρος καὶ κληρονόμος πυρός, ὅπερ καίει μέν, οὐ φωτίζει δέ, ἀλλὰ σκοτεινόν ἐστι. Λόγος γάρ ἐστιν ἐν ἀπορρήτῳ, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην διαιρεθήσεται τὸ πῦρ, καὶ τὸ μὲν φωτιστικὸν αὐτοῦ τοῖς δικαίοις ἀποκληρωθήσεται, τὸ δὲ καυστικὸν τοῖς ἁμαρτωλοῖς. Τοιοῦτον γέγονε τὸ κρᾶμα ἡμῶν καὶ διὰ ταύτην τὴν αἰτίαν, ἵνα ὅταν διὰ τὴν ψυχὴν ἐπαιρώμεθα, ὡς μοῖραν οὖσαν Θεοῦ, τότε ἀποβλέψαντες εἰς τὸ σῶμα συστελλώμεθα διὰ τὸ εἶναι αὐτὸ ἐκ πηλοῦ.

59,65,40. Ταῦτα μὲν ὁ βουλόμενος φιλοσοφείτω.

Τὰ μὲν περὶ ψυχῆς καὶ σώματος καὶ τῆς τούτων συνδέσεως ἐν ἄλλῳ καιρῷ ἐπιτηδείῳ φιλοσοφήσω, νῦν δέ, ὅπερ εἰπεῖν ὥρμησα, θεραπευτέον, ἀδελφοί, τὸ συγγενὲς ἡμῖν σῶμα, καὶ θεραπευτέον οὐχ ἧττον τὰ τῶν πλησίον ἢ τὰ ἑαυτῶν· πάντες γὰρ ἓν ἐσμεν ἐν Κυρίῳ[3] κατὰ τὸν Ἀπόστολον καὶ μία κεφαλὴ πάντων ὁ Χριστός[4], ἡμεῖς δὲ «ἀλλήλων μέλη»[5], ὥστε ὁ θεραπεύων **364** τὸν νοσοῦντα ἑαυτὸν θεραπεύει. Μὴ τοίνυν ἀγαπήσωμεν εἴτ' οὖν ἀρκεσθῶμεν ὅτι αὐτοὶ ὑγιαίνομεν, ἀλλὰ πενθήσωμεν ὅτι ἀθλίως ἔχει τὸ σῶμα τοῖς ἀδελφοῖς καὶ μίαν ἡγώμεθα σωτηρίαν τῶν ἡμετέρων ψυχῶν καὶ σαρκῶν τὸ μὴ

1. Γεν 2,7 2. Ἔνθ' ἄν 3. Πρβλ. Ρωμ. 12,5. 4. Πρβλ. Ἐφ. 4,15 5. Ρωμ 12,15.

φυγεῖν τοὺς λελωβημένους ἀλλὰ τὸ εἰς ἐκείνους φιλανθρωπεύεσθαι.

59,66,15-16. Ἐκσπῶμεν δὲ οὕτως τοῖς ἄλλοις ἓν μόνον ἐλεεινὸν τὸ τῆς ἀπορίας.

Ἵνα, φησί, γνῶμεν τὴν συμφορὰν τῶν λελωβημένων, ὅση τίς ἐστιν, οὕτως ἐξετάσωμεν, ὅτι οἱ μὲν ἄλλως δυστυχοῦντες ἓν μόνον ἔχουσιν ἐλεεινόν, τὴν ἀπορίαν, ἣν τάχα ἂν λύσῃ ἢ χρόνος μακρὸς ἢ πόνος· ὑγιαίνοντες γὰρ τὸ σῶμα δύνανται πονεῖν καὶ κτᾶσθαι τὰ ἀναγκαῖα ἢ φίλος καὶ συγγενὴς ἐλεήσας ἢ καιροῦ μεταβολὴ τὰ πράγματα περιτρέπουσα καὶ ἀπὸ τῶν ἐχόντων μετατεθεῖσα εἰς τοὺς μὴ ἔχοντας· οἱ δὲ λελωβημένοι ἀποροῦσιν οὐχ ἧττον τῶν ἄλλων πενήτων, ἀλλὰ καὶ πλέον, ὅσον οὐδὲ πονεῖν δύνανται καὶ βοηθεῖν ἑαυτοῖς διὰ τὰ ἀναγκαῖα· ὁ γὰρ μήτε τι τῶν ἀναγκαίων οἴκοθεν ἔχων, μήτε μισθωτὸς γενέσθαι δυνάμενος διὰ τὸ περικεκόφθαι τὰς σάρκας ἐξ ἀνάγκης πάντων ἄπορος τῶν ἐπιτηδείων πρὸς τὸ ζῆν ἐστι· τὸ δὲ λυπηρότερον ὅτι, ὅσον ὁ χρόνος πρόεισιν ἐπιταθῆναι, μᾶλλον προσδοκῶσι τὴν ἀσθένειαν διὰ τὸ τῆς νόσου ἀθεράπευτον, ἐλπίδα δὲ ὑγείας οὐδεμίαν ἔχουσιν, ἵνα μικρὸν γοῦν παραμυθῶνται· ἡ γὰρ ἐλπὶς τοῖς ἀτυχοῦσι φάρμακον λύπης γίνεται. Μετὰ δὲ τῆς πενίας ἔχουσι καὶ ἄλλο δυστύχημα, τὴν ἀρρωστίαν τὴν βαρυτάτην καὶ ἣν οἱ πολλοὶ τοῖς ἐχθροῖς εἰς κατάραν προβάλλονται, εὐχόμενοι ἰδεῖν ἐκείνους λελωβημένους, καὶ τρίτον ὅτι καὶ ἀποστρέφονται αὐτοὺς οἱ πλείονες καὶ οὐδὲ ἰδεῖν θέλουσιν, ἀλλὰ ἀποφεύγουσιν, ὃ καὶ πικρὸν αὐτοῖς, ὅταν αἴσθωνται ὅτι διὰ τὴν συμφορὰν οὐκ ἐλεοῦνται, ἀλλὰ καὶ μᾶλλον μισοῦνται. Ἐγὼ μὲν οὖν πολλάκις ἐπεδάκρυσα τῷ σκυθρωπῷ τούτῳ θεάματι, πολλάκις πρὸς αὐτὴν τὴν φύσιν ἀπεδυσπέτησα, καὶ νῦν δὲ πρὸς τὴν μνήμην παθαίνομαι καὶ ἐγκόπτομαι τὴν φωνὴν καὶ συγχέομαι δάκρυσι καὶ οἷον ὑπ᾽ ὄψιν μοι τὸ πάθος ἔρχεται. Πάσχετε δὲ καὶ ὑμεῖς, ὅσοι φιλόπτωχοι καὶ ὅσοι Θεοῦ μιμεῖσθε τὸν ἔλεον καὶ παρὰ Θεοῦ τὴν ἀρετὴν ταύτην ἐκτήσασθε, ἵνα ἐνταῦθα δακρύσαντες τὰ ἐκεῖσε δάκρυα ἐκφύγητε.

59,66,33-34. Πρόκειται τοῖς ὀφθαλμοῖς ἡμῶν θέαμα δεινὸν καὶ ἐλεεινὸν καὶ πᾶσι, πλὴν τῶν εἰδότων, ἄπιστον.

Εἶδον θέαμα δακρύων πλῆρες, οὗ καὶ ἡμεῖς μάρτυρες, πρόκεινται κατὰ τὰς ὁδοὺς τῶν παριόντων ἄνθρωποι, καθά φησι Δημοσθένης· περιῃρημένοι χρημάτων, ἠκρωτηριασμένοι τὸ σῶμα, μᾶλλον δὲ οὐκέτι ἄνθρωποι, ἀλλὰ τῶν ποτε ἀνθρώπων ἄθλια λείψανα, συμβόλων τινῶν ἀνθρωπίνων καὶ γνωρισμάτων εἰς τὸ πιστευθῆναι δεόμενοι· οὐ γὰρ ἔχουσιν ἀπὸ τῶν τῆς φύσεως χαρακτήρων ἐπιγινώσκεσθαι, ἄνθρωποι μόνοι τῶν πάντων ἑαυτοὺς μισοῦντες, ἄπαυστον τῶν θρήνων τὴν ὑπόθεσιν ἔχοντες· ἕως γὰρ ἂν ἑαυτοὺς βλέπουσιν, ἀεὶ τὰς τοῦ θρηνεῖν ἀφορμὰς ἔχουσιν ἀποροῦντες **365** ὅ,τι καὶ μᾶλλον ὀδύρονται τὰ μηκέτι ὄντα τοῦ σώματος ἢ τὰ λειπόμενα, ὅτι ἐν αἰσθήσει τὰ τῶν νεκρῶν δυστυχοῦσιν ἢ ὅτι καὶ τῶν αἰσθήσεων αὐτῶν τὸ πλέον προσαφῄρην-

ται. Καὶ ὁ μὲν Ἀπόστολος παραινεῖ «μιμνήσκεσθαι τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι»[1], ἡμεῖς δὲ ἐπελαθόμεθα ὅτι σάρκες ἐσμὲν καὶ ὅτι, καθώς φησιν ὁ Ἀπόστολος, «τὸ σῶμα τῆς ταπεινώσεως»[2] περικείμεθα καὶ τοσοῦτον ἀπέχομεν τοῦ θεραπεύειν τοὺς εἰς τὴν ἱερὰν νόσον ἐμπεσόντας, ὥστε καὶ ἀσφάλειαν τῶν ἡμετέρων σωμάτων νομίζομεν τὸ φεύγειν αὐτοὺς καὶ μὴ πλησιάζειν καὶ μικροῦ οὐδὲ τὸν αὐτὸν αὐτοῖς ἀέρα ἀναπνεῖν ἀνεχόμεθα.

59,67,15. Τί πατρὸς γνησιώτερον καὶ τί μητρὸς συμπαθέστερον.

Ἀπεκλείσθη, φησί, τοῖς λελωβημένοις καὶ αὐτὴ ἡ φύσις, τουτέστι τὰ φυσικὰ τοῦ πατρὸς καὶ μητρὸς σπλάγχνα· ἀπελαύνει γὰρ ὁ πατὴρ τὸν υἱόν, τὸ μὲν ἑκὼν διὰ τὴν αἰσχύνην τοῦ γένους, τὸ δὲ τυραννούμενος διὰ τὴν φύσιν, καὶ ἡ μήτηρ ἀνακαλεῖται τὸ παιδίον, ὦ τέκνον, λέγουσα, ἐλεεινόν, ὅπερ, ὡς ἔοικεν, ὄρεσι καὶ κρημνοῖς ἐθρεψάμην, ὥστε τούτοις δοθῆναι καὶ ἀντὶ σκέπης ἔχειν σε τὰς πέτρας. Τοῦτο δὴ τὸ τοῦ Ἰώβ· «παρὰ τὸ μὴ ἔχειν γὰρ αὐτοὺς σκέπην πέτρας περιεβάλλοντο»[3], καὶ τὸ παρὰ τῷ Δανιήλ, μετὰ θηρῶν ἀγρίων[4] ἔσται ἡ κατοικία σου. Προστίθησι δὲ ἡ μήτηρ καὶ τὰ ἄλλα, ὅσα ὁ Ἰὼβ περὶ ἑαυτοῦ φησι λέγων, «διατί ἐν κοιλίᾳ οὐκ ἐτελεύτησα, ἐκ γαστρὸς δὲ ἐξῆλθον καὶ οὐκ εὐθὺς ἀπωλόμην καὶ ἵνα τί δὲ συνήντησάν μοι γόνατα, ἵνα τί δὲ μαστοὺς ἐθήλασα;»[5]. Καὶ ταῦτα μὲν ἡ μήτηρ, πάνδημοι δὲ καταβοήσεις γίνονται κατὰ τῶν ἐλεφαντιόντων, οὐδὲν ἀδικούντων ἵνα καὶ διώκωνται, ἀλλὰ καὶ μᾶλλον δυστυχούντων καὶ διὰ τοῦτο ἐλεεῖσθαι ὄντων ἀξίων. Τί γὰρ ἐγκαλεῖν ἔχεις τῷ ἀρρωστοῦντι, ὅτι διέφθαρται τὸ ὑγρὸν ἐκείνῳ καί τις σηπεδονώδης χυμὸς ἐγκατέσπαρται τῷ αἵματι τῆς μελαίνης χολῆς τῷ ὑγρῷ παρεγχυθείσης; Τί οὖν ἀδικεῖ ὁ ἄνθρωπος, εἰ ῥευστὴ οὖσα ἡ φύσις καὶ ἄστατος ἐπὶ τὸ εἶδος τοῦτο τῆς ἀρρωστίας παρωλίσθησε καὶ πλέον ἔχει νόσου κακία. Φονέα μὲν γὰρ καὶ μοιχὸν καὶ ἱερόσυλον κακοὺς ὄντας πολλάκις δεχόμεθα συνοίησις καὶ τοῖς βλάψασιν ἡμᾶς ἐνίοτε ἐσπεισάμεθα εἴτουν κατηλλάγημεν, τὸ δὲ πάθος τοῦ λελωβημένου ἀπεστράφημεν ὡς ἔγκλημα καὶ τὴν πρὸς αὐτὸν ἀπανθρωπίαν ὡς ἀρετὴν ἠγαπήσαμεν, τὴν δὲ συμπάθειαν ὡς κακίαν ἠτιμάσαμεν.

58,68,1. Ἀπελαύνονται πόλεων, ἀπελαύνονται οἰκιῶν, ἀγορῶν.

Ἀπελαύνονται, φησίν, οἱ ἐλεφαντιῶντες συλλόγων κοινῶν, ἑορτῶν τε καὶ πανηγύρεων, ὥσπερ ἀνδροφόνοι τινὲς τῇ ἀειφυγίᾳ κατάκριτοι, οὐ στέγης μιᾶς, οὐ τραπέζης κοινῆς, οὐ χρήσεως σκευῶν ἀξιούμενοι· καὶ οὔπω τοῦτο δεινόν, ἀλλ' οὐδὲ πηγαὶ βρύουσι τούτοις, αἱ πρὸς ἄλλους ἀνθρώπους κοιναί, οὐδὲ ποταμοὶ πιστεύονται μηδὲν ἐφέλκεσθαι διὰ τοῦ τῆς ἀρρωστίας μολύσματος. Κἂν μὲν κύων λάψῃ τοῦ

1 Ἑβρ 13,3 2 Φιλιπ 2,21 3. Ἰὼβ 24,8 4. Πρβλ. Δαν. 4,15. 5 Ἰὼβ 3,11-12.

ὕδατος τῇ αἱμοβόρῳ γλώσσῃ, οὐκ ἐνομίσθη βδελυκτὸν διὰ τὸ θηρίον τὸ ὕδωρ, ἐὰν δὲ ὁ ἄρρωστος προσεγ**366**γίσῃ τῷ ὕδατι, ἀπεκηρύχθη τὸ ὕδωρ διὰ τὸν ἄρρωστον, καὶ τὸ παράδοξον ὅτι ὡς μιάσματα αὐτοὺς ἀπελαύνομεν. Πάλιν δὲ καθ' ὃ οὐδεμίαν αὐτοῖς θεραπείαν ἐπινοοῦμεν πρὸς ἡμᾶς ἔρχεσθαι αὐτοὺς ἀναγκάζομεν, διὰ τοῦτο κατὰ πάντας ἀλῶνται τοὺς τόπους γυμνοὶ καὶ ἄποροι, ὥσπερ τινὲς θαυματοποιοὶ τὰς πολυπλόκους ἀρρωστίας τοῖς συνιοῦσιν ἐπιδεικνύμενοι, ποιηταὶ γοερῶν μελῳδημάτων, ἐφευρέται σκυθρωπῶν διηγημάτων, διὰ τῶν οἰκείων κακῶν τὴν σκηνὴν πληροῦντες, πᾶσι τὴν νόσον ἀνθ' ἱκετηρίας προτείνοντες, τῶν χειραγωγούντων δι' ἀρρωστίαν δεόμενοι καὶ ἀλλήλοις δι' ἀπορίας ὑποστηρίζοντες· καθ' ἑαυτὸν γὰρ ἕκαστος ἀσθενοῦντες ἔρεισμα τῷ ἑτέρῳ γίνονται, τοῖς ἀλλήλων μέλεσιν ἀντὶ τῶν λειπόντων χρώμενοι. Καὶ αἰσχύνονται μὲν τοῖς ἀνθρώποις διὰ τὴν συμφορὰν καὶ ὅπερ δι' Ἡσαΐου εἶπεν ὁ Κύριος καὶ πάλιν αὐτοπροσώπως δι' ἑαυτοῦ ἐν τῷ Εὐαγγελίῳ μονονουχὶ λέγουσι τοῖς ὄρεσι, πέσατε ἐφ' ἡμᾶς καὶ τοῖς βουνοῖς καλύψατε ἡμᾶς. Ῥιπτοῦνται δ' ὅμως πρὸ τῶν ἀνθρώπων οἱ δείλαιοι, ἵνα ἄλλος ἄλλο τι τῶν ἀναγκαίων πορίσωνται, πάντες δὲ ἵνα μικρόν τι ἐλαφρυνθῶσι τὰ πάθη ἑαυτῶν δημοσιεύουσιν· οἱ γὰρ περιωδυνίᾳ τινὶ κατεχόμενοι διὰ τοῦ ἐκλαλεῖν τὴν ὀδύνην κουφίζειν πως τὰς ἀλγηδόνας πεφύκασιν, οἷον ἀποσκευαζόμενοι τῆς λύπης τὸ βάρος, δι' ὧν πρός τινας τὰς πολυειδεῖς συμφορὰς ἐξαγγέλλουσιν.

59,68,31. Τίς οὐ κατακλᾶται τοῖς τούτων ὀδυρμοῖς.

Τίς φησιν οὐ κατακάμπτεται τοῖς τῶν νοσούντων ὀδυρμοῖς, ἐλεεινὴν συντιθέντων θρηνῳδίαν. Οἱ μὲν κεῖνται μετ' ἀλλήλων· οὐ γὰρ καθ' ἕνα φαίνονται. Ἀλλ' ἔχει τι καὶ ἡ ταλαιπωρία σοφὸν εἰς τὴν τοῦ βίου ἐπίνοιαν, τὸ μετ' ἀλλήλων θέλειν αὐτοὺς ὁρᾶσθαι· ὄντες γὰρ καὶ καθ' ἑαυτοὺς ἕκαστος ἐλεεινοί, ὡς ἂν μᾶλλον τοῖς ἀνθρώποις συμπαθεστέρους ποιήσειεν, προσθήκη τοῦ πάθους ἀλλήλοις γίνονται τὸν πονηρὸν τῷ κοινῷ συνεισφέροντες ἔρανον. Ἄλλοι δι' ἄλλης τινὸς συμφορᾶς ἔλεον ἑαυτοῖς ἐρανίζονται, ὁ μὲν χεῖρας ἠκρωτηριασμένας προτείνει, ἄλλος γαστέρα καταδεικνύει φλεγμαίνουσαν καὶ πρόσωπον ἠχρειωμένον, ἕτερος καὶ ἄλλος τὸ σκέλος ἀποσκεπόμενον, ὁ δὲ ὃ ἂν σώματος τύχῃ ἀπογυμνώσας ἐκείνῳ τὸ πάθος ἔδειξε. Περιίστανται δὲ αὐτοὺς πολλοὶ συναλγοῦντες μέν, ἀλλὰ πρόσκαιρα, οἱ δὲ κυλίονται πρὸς τοῖς ποσὶ τῶν ἀνθρώπων παρ' ὀλίγον καὶ συμπατούμενοι, εἰ μὴ τὸν προσεγγισμὸν αὐτῶν βδελυττόμεθα. Ἀντηχεῖ δὲ τοῖς ἐν τῇ ἐκκλησίᾳ ᾀδομένοις ἱεροῖς ὕμνοις ὁ ὀδυρμὸς αὐτῶν. Ἴσως δέ, εἰ πάντα τὰ ἑαυτῶν ἐκτραγῳδήσω ἐπιμελῶς, καὶ ὑμᾶς , τοὺς νῦν ἑορτάζοντας, θρηνεῖν παρασκευάσω. Λέγω δὲ τοῦτο, ὅτι κινήσω καὶ ὑμᾶς εἰς θρῆνον, διότι οὐδέπω πεῖσαι ὑμᾶς δύναμαι, ὅτι ἐστί ποτε λύπη καὶ κατήφεια καὶ δάκρυα προτιμότερα ἡδονῆς καὶ γέλωτος.

59,69,6-7. Οὗτοι μὲν δὴ ταῦτα καὶ πολλῷ γε ὧν εἶπον ἀθλιώτερον οἱ κατὰ Θεὸν ἡμῶν ἀδελφοί, κἂν μὴ βούλησθε.

Πάσχουσι δηλαδὴ καὶ πολλῷ χείρονα οἱ κατὰ Θεὸν ἡμῶν ἀδελφοί, κἂν **367** μὴ καταδέχησθε, μηδὲ ἀκούητε Μαλαχίου λέγοντος, «οὐχὶ Θεὸς εἷς ἔκτισεν ἡμᾶς, οὐχὶ πατὴρ εἷς πάντων ἡμῶν;»[1]. Οἱ τὴν αὐτὴν ἡμῖν λαχόντες φύσιν, οὐδὲν γὰρ ἰδιάζον παρὰ τὴν κοινὴν φύσιν ἐφ' ἑαυτῶν ἔχομεν, μία δὲ πάντων ἐπὶ τὸν βίον εἴσοδος, εἷς ὁ τῆς ζωῆς ἅπασι τρόπος, βρῶσις καὶ πόσις, ἡ τοῦ ζῆν ἐνέργεια ὁμοιότροπος, ἡ κατασκευὴ τοῦ σώματος μία καὶ ἡ καταστροφὴ τοῦ βίου ἐπ' ὀλίγον ἡμῶν τῷ πνεύματι περιταθέντος τοῦ σώματος εἶτα ἀπέβημεν, οὐδὲ ἴχνος τοῦ προσκαίρου τούτου φυσήματος καταλιπόντες τῷ βίῳ καὶ ὅ φησιν Ἰὼβ ἐκ τοῦ αὐτοῦ πηλοῦ διηρτίσμεθα[3], ὅστις Ἰὼβ δεικνύων τὴν εὐτέλειαν τοῦ φαινομένου ἡμῶν, ἤγουν τοῦ σώματος, λέγει πρὸς Θεόν, «μνήσθητι ὅτι πηλόν με ἔπλασας, εἰς γῆν με πάλιν ἀποστρέφεις. Ἢ οὐχ ὥσπερ γάλα με ἤμελξας, ἐτύρωσας δέ με ἴσα τυρῷ, δέρμα καὶ κρέας μὲ ἐνέδυσας, ὀστέοις δὲ καὶ νεύροις με ἐνεῖρας;»[3]. Καὶ ἵνα εἴπω τὸ μεῖζον, οἱ λελωβημένοι πάντως μὲν τὸ κατ' εἰκόνα, ἤγουν τὴν ψυχήν, ἔλαχον ὁμοίως ἡμῖν, ἴσως δὲ φυλάττουσιν ὑπὲρ ἡμᾶς, κἂν τὰ σώματα διεφθάρησαν. Καὶ μέντοι κατὰ τὸ Ἐφεσίοις γεγραμμένον καὶ «εἰς τὸν ἔσω ἄνθρωπον»[4] κατῴκησεν ὁ Χριστὸς διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις αὐτῶν καὶ τὸν αὐτὸν «ἀρραβῶνα τοῦ Πνεύματος»[5], ὡς γράφει Κορινθίοις ὁ Παῦλος ἐνεπιστεύθησαν καὶ ἐδέξαντο καὶ τῶν αὐτῶν μετέσχον νόμων, τοῦ τε φυσικοῦ καὶ τῶν ἄλλων καὶ τῶν δύο διαθηκῶν καὶ τῶν ἐν τῇ ἐκκλησίᾳ συνάξεων καὶ ἑορτῶν καὶ τῶν μυστηρίων τῆς πίστεως καὶ τῶν ἐλπίδων τῆς μελλούσης ἀναπαύσεως, «ὑπὲρ ὧν Χριστός», κατὰ τὴν τοῦ Παύλου φωνήν, ὁμοίως «ἀπέθανεν»[6], «ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου»[7], καθώς φησιν ὁ Βαπτιστής· ὥσπερ γὰρ ὁ τυπικὸς ἀμνὸς ὑπὲρ τῆς ἁμαρτίας τῶν προσαγόντων αὐτὸν σφαγιαζόμενος ἀφῄρει ταύτην, οὕτω καὶ ὁ Χριστὸς ὑπὲρ τῆς ἁμαρτίας τοῦ κόσμου σφαγιασθεὶς ἀφεῖλε ταύτην καὶ ἠλευθέρωσε τοὺς πιστεύοντας εἰς αὐτόν. Οὗτοι τῆς μελλούσης ζωῆς εἰσι κληρονόμοι καὶ εἰ τῆς ἐνταῦθα ἀπέτυχον, συνθαπτόμενοι γὰρ Χριστῷ, συναναστήσονται αὐτῷ εἰς δόξαν καὶ αἰωνίαν ἀπόλαυσιν, «εἴπερ καὶ συμπάσχουσιν, ἵνα καὶ συνδοξασθῶσι»[8], τοῦτο δὴ τὸ πρὸς Ῥωμαίους εἰρημένον.

59,69,22. Τί δὲ ἡμεῖς, οἱ τὸ μέγα καὶ καινὸν κεκληρωμένοι.

Τῶν μὲν λελωβημένων τοιαῦτα τὰ πάθη, ἡμεῖς δὲ τί διανοησόμεθα οἱ χριστιανοὶ περὶ τούτων, τὸ καινὸν ὄνομα, καθά φησι διὰ Ἡσαΐου ὁ Θεός, «τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινὸν καὶ εὐλογη-

---

1. Μαλ. 2,10 2. Πρβλ. Ἰὼβ 33,6. 3. Ἰὼβ 10,9. 4. Ἐφ. 3,16. 5 Β' Κορ 1,22. 6 Ρωμ. 14,15. 7. Ἰω. 1,29. 8. Ρωμ. 8,17.

θήσεται ἐπὶ πάσης τῆς γῆς»[1]. Πάλιν ἐν τῇ Ἐξόδῳ, εἰ καὶ πρὸς Ἰουδαίους, ἀλλ' οὖν εἴρηται, «ὅτι ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμὴ γὰρ πᾶσα ἡ γῆ, ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον»[2], λαὸς εἰς περιποίησιν. Καὶ ὁ Παῦλος δὲ Τίτῳ ἐπιστέλλων φησὶ περὶ Χριστοῦ, ὅτι «ἔδωκεν αὐτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας καὶ καταστήσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων»[3], περιούσιος **368** δὲ λέγεται ὁ οἰκεῖος καὶ ἐκλεκτὸς καὶ ἐξαίρετος. Ἡμεῖς οὖν τί ποιήσομεν, οἱ πάντα ταῦτα τὰ ὀνόματα καλούμενοι, οἱ μαθηταὶ Χριστοῦ, τοῦ πράου· «μάθετε γάρ, φησίν, ἀπ' ἐμοῦ ὅτι πρᾶός εἰμι»[4], ὅς, κατὰ τὸν Ἡσαΐαν, «τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται», «ἐτραυματίσθη τε διὰ τὰς ἀνομίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἁμαρτίας ἡμῶν»[5], ἀνέλαβε δὲ τὰς ἀσθενείας ἡμῶν καὶ ἐβάστασεν, ὡς ἀναδεξάμενος φύσιν ἀνθρωπίνην ὑποκειμένην ἁμαρτίαις, ἣν ἐν ἑαυτῷ ἀνεκάθηρεν, φυλάξας ἄσπιλον τὸ κατ' εἰκόνα; Αὐτός, κατὰ τὸν Ἀπόστολον, πλούσιος ὢν δι' ἡμᾶς ἐπτώχευσε[6] τὸ γεῶδες κατὰ τὸ τῆς σοφίας σκῆνος, ἵνα ἡμεῖς τῇ αὐτοῦ πτωχείᾳ πλουτήσωμεν τὴν αὐτοῦ θεότητα. Ἔχοντες οὖν ὑπόδειγμα συμπαθείας τὸν Χριστὸν παραδραμούμεθα τοὺς νοσοῦντας; Μηδαμῶς· τοῦτο γὰρ οὐθ' ἡμῶν ἄξιον τῶν ποιμενομένων ὑπὸ Χριστοῦ, ὃς ἐν μὲν τῷ Εὐαγγελίῳ φησίν, «ἐγώ εἰμι ὁ ποιμὴν ὁ καλός»[7], διὰ δὲ τοῦ Ἰεζεκιὴλ «τὸ ἀπολωλὸς ζητήσω καὶ τὸ πλανώμενον ἐπιστρέψω καὶ τὸ συντετριμμένον καταδήσω καὶ τὸ ἐκλεῖπον ἐνισχύσω καὶ τὸ ἰσχυρὸν φυλάξω»[8]. Οὔτε οἰκεῖόν ἐστι τῆς ἀνθρωπίνης φύσεως τὸ παραβλέπειν τὸν ὁμογενῆ· ἡ γὰρ φύσις τὴν συμπάθειαν ἐνομοθέτησε μαθοῦσα, τὴν φιλανθρωπίαν ἐκ τῆς ἴσης ἀσθενείας.

59,70,1. Ἀλλ' οἱ μὲν ὕπαιθροι ταλαιπωρήσουσι.

Οἱ μὲν λελωβημένοι, φησίν, ἄστεγοι ὑπὸ τὸν αἰθέρα ταλαιπωρήσουσιν, ἡμεῖς δὲ λαμπρὰς οἰκίας, τὰς μὲν κατοικήσομεν, τὰς δὲ οἰκοδομήσομεν τῷ μὲν σκοπῷ τοῖς κληρονόμοις ἡμῶν, τῇ δὲ ἀποβάσει ἴσως οἷς οὐ θέλομεν. Καὶ οἱ μὲν οὐδὲ τριχίνων ῥακίων τυχὸν εὐπορήσουσιν, ἡμεῖς δὲ τὰς σάρκας ἑαυτῶν εὐθρύπτους καὶ ἁπαλὰς καὶ ἀσθενεστέρας ποιήσομεν ἐν ἐσθῆτι μαλακῇ καὶ τοῖς ἀερώδεσι καὶ λεπτοτάτοις ὑφάσμασι, τοῖς ἐκ λίνου καὶ μετάξης, ἣν οἱ σῆρες γεννῶσιν, εἴτουν οἱ σκώληκες. Καὶ τὰ μὲν τῶν ἱματίων περιβαλλόμενοι ἀσχημονήσομεν· ἀσχημοσύνην γὰρ ἐγὼ καλῶ μετὰ Πλάτωνος καὶ φλυαρίαν πᾶν τὸ περιττὸν εἴτ' ἐν λόγῳ εἴτ' ἐν πράγμασι, τὰ δὲ τοῖς κιβωτίοις ἐναποθέμενοι ἄχρηστα ἕξομεν ὑπὸ σητῶν καὶ χρόνου δαπανώμενα. Καὶ οἱ μὲν νοσοῦντες λιμώξουσιν, οὔτε φωνὴν ἔχοντες, ἵνα ὀδύρωνται, οὔτε χεῖρας, ἵνα προτείνωσιν ἐφ' ἱκεσίᾳ, οὐδὲ πόδας,

1. Ἡσ. 65,15-16. 2. Ἐξ. 19,5-6. 3 Τίτ. 2,14. 4. Ματθ 11,29 5. Ἡσ. 53,5-6. 6. Πρβλ. Β' Κορ. 8,9. 7. Ἰω. 10,11 7. Ἰεζ. 34,16.

ἵνα προσέλθωσι τοῖς εὐποροῦσιν, οὔτε ἀναπνοὴν ἵνα εὐτόνως θρηνήσωσι. Λελώβηνται δὲ καὶ τοὺς ὀφθαλμούς, καί γε τοῦτο κουφότατον κρίνουσι, κἂν τοῖς ἄλλοις δοκῇ βαρύτατον, ὅτι οὐ βλέπουσι τὴν ἑαυτῶν λώβην ἀμαυρωθείσης αὐτῆς ἐν τῷ πάθει τῆς ὄψεως.

59,70,23. Καὶ οἱ μὲν οὕτως, ἡμεῖς δὲ ἀνακεισόμεθα λαμπροὶ λαμπρῶν.

Καὶ οἱ μὲν νοσοῦντές φησιν οὕτω κακοπαθήσουσιν, ἡμεῖς δὲ ἀναπαυθησόμεθα ἐπὶ κλίνης ὑψηλῆς καὶ τῶν ἐπ' αὐτῆς ἐπιβαλλομένων ἀψαύστων ἐπίπλων δυσχεραίνοντες καὶ πρὸς μόνην τὴν βραγχῶσαν φωνὴν τῶν λελωβημένων. Ἀναγκαῖον δὲ ἡμῖν τὸ μὲν ἔδαφος εὐωδεῖν τοῖς ἄνθεσι πολλάκις καὶ παρὰ καιρόν, τὴν δὲ τράπεζαν μύροις καταρραίνεσθαι, δούλους δὲ **369** παρίστασθαι κατὰ τάξιν, τοὺς μὲν τῇ κατὰ πρόσωπον κουρᾷ περιέργως κεχαρμένους πρὸς εὐμορφίαν καὶ πλέον κεκοσμημένους παρ' ὃ συμφέρει τοῖς ἀκολάστοις ὀφθαλμοῖς, ὁ γὰρ περίεργος καλλωπισμὸς τοῖς τοιούτοις ἀσύμφορος, τοὺς δὲ ἐπ' ἄκρων δακτύλων τὰ ποτήρια βαστάζοντας οὐκ ἀσφαλῶς μόνον ὡς μὴ διαπεσεῖν ἢ ῥυῆναι τὸ προσφερόμενον, ἀλλὰ καὶ εὐπρεπῶς, τοὺς δὲ διὰ τῶν ῥιπιδίων ἄνεμον χειροποίητον κατασκευάζοντας καὶ τὸ πλῆθος ἡμῖν τῶν σαρκῶν ἀναψύχοντας καὶ τὰ ἐπὶ τούτοις. Ἀναγκαῖον πληροῦσθαι μὲν τὴν τράπεζαν κρεάτων, πάντων χορηγούντων ἡμῖν τῶν στοιχείων, τοῦ ἀέρος τὰ πτηνά, τῆς γῆς τὰ πεζά, τοῦ ὕδατος τὰ νηκτὰ καὶ στενοχωρεῖσθαι ταῖς τῶν μαγείρων μηχαναῖς καὶ τοῖς γοητεύμασι γοητευόντων, καθάπερ τι θηρίον τὴν γαστέρα τοῖς ἀπὸ τῆς τέχνης σκευάσμασι καὶ παραρτύμασιν, ἀγωνίζεσθαι δὲ πάντας ποῖος μάλιστα θεραπεύσει πλέον ἡμῖν τὴν κοιλίαν, τὴν λίχνον, ἄχρις ἂν πληρωθῆναι τὴν ἀχάριστον· μόνη γὰρ ὧν πέπονθεν οὐκ ἔχει χάριν, ἀλλὰ καὶ μετὰ τὸ κενωθῆναι τοῦ προλαβόντος κόρου ἐπιλανθάνεσθαι -ὁ βαρὺ φορτίον· βαρύνεται γὰρ πληρωθεῖσα καὶ τὴν ψυχὴν προσεπιβαρύνει τὴν ἀρχέκακον, αὕτη γὰρ καὶ τοὺς πρωτοπλάστους ἐκάκωσε καὶ ἀπώλεσε, τὴν ἄπληστον, ὡς ἀεὶ ἀπαιτοῦσαν καὶ οὐδέποτε λήγουσαν, λαμβάνουσαν σήμερον καὶ αὔριον ἐπιλανθανομένην, τὴν ἄπιστον· πολλῶν γὰρ ἐναποτεθέντων τὴν μὲν βλάβην παρακατέχει, τὰ δὲ δοθέντα οὐ διασῴζει, ἀλλὰ καθ' ἑκάστην ἐκφορεῖται καὶ οὐ φυλάττεται τὸ παρακατατιθέμενον, περὶ ἧς φησιν ὁ Ἀπόστολος, «τὰ βρώματα τῇ κοιλίᾳ καὶ ἡ κοιλία τοῖς βρώμασιν, ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει»[1], τουτέστιν ἀργὴν καὶ ἀνενέργητον ποιήσει ποτὲ ἐν τῷ καιρῷ τῆς συντελείας· γαστέρα δὲ νοήσεις οὐκ αὐτὸ τὸ μόριον, ἀλλὰ τὴν γαστριμαργίαν, ἥτις οὐκ ἔσται ἐν τῷ μέλλοντι αἰῶνι. Καὶ τοῖς μὲν νοσοῦσι πολὺ δοκεῖ, ἐὰν καὶ ὕδατος κορεσθῶσιν, ἡμῶν δὲ οἱ ἀκολαστότεροι καὶ ὑπὲρ τὴν μέθην τὸν οἶνον ἐκχεόμεθα καὶ ἄλλον μὲν οἶνον ἀποπεμψόμεθα ὡς ἄχρηστον, ἄλλον δὲ ὡς εὐώδη ἐγκρινοῦμεν

1. Α' Κορ 6,13

καὶ ἐντάξομεν τοῖς ἀρέσκουσι. Περὶ ἄλλου δὲ φιλοσοφήσομεν, μᾶλλον δὲ φλυαρήσομεν, ζημίαν δὲ κρινοῦμεν· εἰ τοῖς ἐγχωρίοις μόνοις ἀρεσκόμεθα, μὴ παρέσται δὲ καὶ ἔπηλύς τις οἶνος καὶ ξένος, οἷα τις τύραννος τὸν ἐγχώριον ἐκβάλλων καὶ ἐκ μέσου ποιῶν· δεῖ γὰρ ἡμᾶς τρυφεροὺς ἢ εἶναι ἢ νομίζεσθαι καὶ τῆς χρείας περιττοτέρους καὶ βλακικούς, ὡσανεὶ αἰσχυνομένους, εἰ μὴ κακοὶ νομιζοίμεθα καὶ δοῦλοι γαστρὸς καὶ τῶν ὑπογαστρίων παθῶν· ἔστι δὲ δοῦλος γαστρὸς ὁ γαστρίμαργος, δοῦλος δὲ τῶν ὑπογαστρίων ὁ πόρνος καὶ ἀκόλαστος.

59,71,7. Τί ταῦτα, ὦ φίλοι καὶ ἀδελφοί.

Οἱ μὲν λελωβημένοι, φησί, κατὰ τὸ σῶμα νοσοῦσι νόσον ἀκούσιον καὶ διὰ τοῦτο ἐλεουμένην, ἡμεῖς δὲ τί νοσοῦμεν; Κατὰ τὴν ψυχὴν χείρονα νόσον καὶ ἑκούσιον, τὴν κακίαν, ἥτις μισεῖται τοῖς νοῦν ἔχουσιν, ὥστε ἤθελον μὲν τῶν ἀσπλάγχνων κατεύξασθαι καὶ εἰπεῖν, ὅτι μηδενὸς ἀπολαύ**370**σομεν τῶν ἀγαθῶν, εἰ μὴ καὶ τοῖς χρῄζουσιν αὐτῶν μεταδοῖεν. Ἀλλ' ἵνα φύγω τὸ φορτικὸν κατ' ἐμαυτοῦ τοῦτο εὔχομαι, παραινῶ μέντοι ἢ πάντα ἀπορρίψαι κατὰ τὴν ἐντολήν· «ὕπαγε», γάρ φησιν, «ὅσα ἔχεις πώλησον καὶ δὸς πτωχοῖς καὶ δεῦρο ἀκολούθει μοι»[1] ἄρας τὸν σταυρόν[2]. Ἀκολουθεῖ δέ τις τῷ Χριστῷ ἑπόμενος ταῖς ἐντολαῖς αὐτοῦ, σταυρὸς δὲ ἡ πρὸς τὰ παρόντα νέκρωσις, δι' ἧς ἀνίσταταί τις κοῦφος καὶ εὐσταλὴς πρὸς τὸν ἄνω κόσμον, ὡς ὑπὸ μηδενὸς καθελκόμενος καὶ εἰπεῖν μετὰ τοῦ Ἀποστόλου, «πάντα ἐζημιώθην καὶ ἡγοῦμαι σκύβαλα, ἵνα Χριστὸν κερδήσω»[3], ἢ ἐὰν μὴ πάντα προώμεθα, ἵνα Χριστὸν μόνον κτησώμεθα. Συμμεριστέον Χριστῷ τὰ ὄντα, ἵνα τὸ μέρος προθύμως δοθὲν παράσχῃ τῷ πλείονι τὴν ἀσφάλειαν καὶ ἁγιασθῶσιν, ἃ ἔχομεν, διά τε τὸ ἀπὸ καλοῦ σπόρου ταῦτα ἔχειν καὶ διὰ τοῦ μεταδιδόναι τοῖς μὴ ἔχουσι. Πάλιν ἃ ἔμελλον ἄλλων κατεύξασθαι, ἐμαυτοῦ κατεύξομαι καὶ ἐρῶ ὅτι, ἐὰν ἐμαυτῷ μόνῳ σπείρω, ἄλλοι τὰ σπαρέντα φάγοιεν καὶ ἀντὶ τροφίμων τὰ ἄβρωτα ἡ γῆ βλαστήσει καὶ ὑπὸ καύσωνος ἀνέμου καὶ λαίλαπος τὰ γεώργιά μου διαφθαρείη, ἵνα μὴ ἀπολαύσω τοῦ πόνου μου. Εἰ δὲ τὸν πλούσιον ἐκεῖνον μιμήσομαι, οὗ εὐφόρησεν ἡ χώρα[4] καὶ μὴ ποιήσω ἐμαυτῷ φίλους τοὺς πένητας, ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας[5] ἤγουν ἐκ τοῦ περιττοῦ καὶ ὑπὲρ τὴν χρείαν πλούτου, ἀδικία δὲ καὶ οὗτος, τῶν πενήτων γάρ ἐστιν, ἀλλ' ἐκ τοῦ μαμωνᾶ θησαυρίσω, τουτέστιν ἐξ ἀδικίας καὶ τῷ μαμωνᾷ, ἤγουν τῷ δαίμονι, ἀκούσαιμι· «ἄφρον ταύτῃ τῇ νυκτὶ ἀπαιτοῦσι τὴν ψυχήν σου ἀπὸ σοῦ»[6] καὶ δοίην εὐθύνας, ὧν κακῶς ἐθησαύρισα.

59,71,31. Οὐ σωφρονήσωμεν ὀψὲ γοῦν, οὐ καταβαλοῦμεν τὴν ἀναλγησίαν, ἵνα μὴ λέγω τὴν μικρολογίαν.

Οὐ ῥίψομεν, φησί, τὸ ἀσυμπάθητον, μᾶλλον δὲ τὴν φειδωλίαν,

---

1. Μάρκ. 10,21 2. Πρβλ. Ματθ 16,24. 3. Φιλιπ. 3,8 4. Πρβλ Λουκ 12,16 5. Πρβλ Λουκ. 16,9. 6 Λουκ 12,20.

οὐ λογισόμεθα τὰ ἀνθρώπινα πάθη καὶ ἐν ταῖς τῶν ἄλλων συμφοραῖς τὰ ἡμέτερα καλῶς οἰκονομήσομεν; Οὐδὲν γὰρ τῶν ἀνθρωπίνων μέχρι τέλους μένει ὅμοιον, ἀλλὰ κύκλος τις τῶν πραγμάτων περιτρέχει, ἄλλοτε ἄλλων ἀνθούντων καὶ ἀπανθούντων καὶ οὔτε τοῦ εὖ πράττειν ἑστῶτος ἡμῖν, οὔτε τοῦ δυστυχεῖν, ἀλλὰ τάχιστα μετακινουμένου καὶ μεταπίπτοντος. Τοῦτο δὲ γίνεται, ἵνα μὴ πιστεύωμεν τοῖς παροῦσιν, ὡς ἀνωμάλοις, ἀλλὰ τοῖς μέλλουσιν ὡς ἑστῶσι προσέχωμεν ἢ προστρέχωμεν. Εἰ δὲ δεῖ καὶ τοῦτο προσθεῖναι τοῖς εἰρημένοις, τρία κερδανοῦμεν ἀγαθὰ ἐκ τῆς πρὸς τοὺς ἀτυχοῦντας συμπαθείας, ἓν μὲν τὸ μὴ δυστυχῆσαι ἐνταῦθα· πολλάκις γὰρ ὁ Θεὸς καὶ τοῖς ἐνταῦθα ἀγαθοῖς τοὺς ἐλεήμονας ἀμείβεται, δεύτερον δὲ τὸ παρρησίαν ἔχειν ἐν συνειδήσει πρὸς Θεὸν ὅτε δυστυχήσομεν, ὡς οὐ διὰ κακίαν τοῦτο πάσχομεν ἀλλὰ διά τινα οἰκονομίαν, τρίτον δὲ τὸ ὡς ὀφειλὴν ἀπαιτεῖν παρὰ τῶν εὐτυχούντων τὴν εἰς ἡμᾶς φιλανθρωπίαν χρεωστουμένην ἡμῖν, διότι καὶ αὐτοὶ ταύτην τοῖς χρῄζουσι προεισενέγκαμεν, ὅτε ἦμεν ἐν εὐπραγίᾳ.

59,72,10. Μὴ καυχάσθω, φησίν, ὁ σοφὸς ἐν τῇ σοφίᾳ αὐτοῦ.

Ἄννα[1] μέν, ἡ τοῦ Σαμουὴλ μήτηρ, ἐν τῇ πρώτῃ τῶν Βασιλειῶν καὶ **371** Ἱερεμίας μετ' αὐτήν φησι· «μὴ καυχάσθω ὁ σοφὸς»[2] καὶ τὰ ἑξῆς, ἐγὼ δὲ προσθήσω, μηδὲ ἐν ἄλλῳ τινὶ τῶν παρόντων θαρρείτω τις· πάντα γὰρ ὡς ἐν παιδιᾷ ψήφων ἢ κύβων τῇδε κἀκεῖσε μεταβάλλονται καὶ ἄλλοτε εἰς ἄλλους μεταρριπτοῦνται, τὰ δὲ μέλλοντα μένουσιν ἀσάλευτα καὶ οὐ σφάλλουσι τοὺς ἐλπίζοντας. Καί μοι δοκεῖ εἴπερ τι ἄλλο καὶ τοῦτο καλῶς οἰκονομηθῆναι τῇ πάντα νοῦν ὑπερεχούσῃ[3], καθώς φησι Παῦλος, σοφίᾳ, τὸ μηδὲν εἶναι ἐνταῦθα βέβαιον, ἀλλὰ πρὶν κρατηθῆναι φεύγειν, ἵνα τῶν στασίμων ἐπιθυμῶμεν ὡς κατ' εἰκόνα Θεοῦ γεγονότες τουτέστι κατὰ τὸν μονογενῆ Λόγον τοῦ Θεοῦ, ὃς ἄνω τέ ἐστι πρὸς τὸν πατέρα καὶ τὴν ἑαυτοῦ εἰκόνα ἕλκει πρὸς τὸ ἀρχέτυπον· «ὅταν» γάρ, φησίν, «ὑψωθῶ πάντας ἑλκύσω πρὸς ἐμαυτόν»[4]· ἡμεῖς γὰρ εἰκόνος εἰκόνες ἐσμέν, ὥς φησιν ὁ θεῖος Ἀντώνιος.

59,72,38. Τίς σοφὸς καὶ συνήσει ταῦτα[5].

Φησὶν Ὠσηέ, «τίς σοφὸς καὶ συνήσει ταῦτα», τουτέστι νοήσει, καὶ διαιρέσει τῇ τομῇ τοῦ γνωστικοῦ λόγου τὰ μὲν παρόντα ὡς γραφήν, εἴτουν ὡς κάλλος τι γεγραμμένον χρώμασιν, ἀλλ' οὐ φυσικόν, οὐδ' ἀληθές, τὰ δὲ μέλλοντα ὡς ἀλήθειαν· ὡς μακάριός ἐστιν, ὅστις φεύγων, καθά φησιν ὁ Δαβίδ, τὴν ἰλὺν τοῦ βυθοῦ[6] καὶ τὴν σκιὰν τοῦ θανάτου[7] καὶ τὴν κοιλάδα τοῦ κλαυθμῶνος[8], τὴν ἐν τῷ βίῳ τούτῳ, φημί,

---

1 Πρβλ Α' Βασ 2,10. 2. Ἰερ 9,22 3. Πρβλ. Φιλιπ. 4,7. 4. Ἰω. 12,32 5 Ὠσ 14,10 6 Πρβλ. Ψαλ 68,3. 7. Πρβλ. Ψαλ. 22,4. Ματθ 4,16 8. Πρβλ Ψαλ 83,6.

παροικίαν, τὰ ἄνω ζητεῖ[1] μετὰ τοῦ Παύλου καὶ νεκρούμενος πρὸς τὰ κοσμικὰ πράγματα καὶ τὰς κακίας Χριστῷ συνανίσταται ἀναζωούμενος διὰ τῶν ἀρετῶν καὶ συνανέρχεται διὰ τὸ φρονεῖν οὐράνια καὶ πρὸς τὸν οὐρανὸν πορεύεται καὶ ἄνεισιν, ὅπου μηκέτι δάκνων ὄφις ἐπὶ τῆς ὁδοῦ ἐγκαθεζόμενος, κατὰ τὸ ἐν βίβλῳ Γενέσεως εἰρημένον «Δάν, ὄφις ἐφ' ὁδοῦ ἐγκαθήμενος ἐπὶ τρίβου»[2]. Νοεῖται δὲ Δὰν καὶ ὄφις ὁ διάβολος, ἐνεδρεύων ὡς ἐν ὁδῷ τῷ παροδικῷ τούτῳ καὶ ἀστάτῳ βίῳ, περὶ οὗ ἐν τῇ αὐτῇ βίβλῳ εἴρηται, «αὐτός σου τηρήσει κεφαλὴν καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν»[3]. Ἔστι δὲ κεφαλὴ μὲν τοῦ νοητοῦ ὄφεως ἡ ἀρχὴ ἐπιβουλῆς, ἣν τηρεῖν ἐκελεύσθημεν, πτέρνα δὲ τηρουμένη ὑπ' αὐτοῦ ἡ πορεία ἡμῶν καὶ τὰ διαβήματα. Ὁ μὲν οὖν τὰ ἄνω ζητῶν μακάριος, πρὸς δὲ τοὺς ἄλλους ἡμῶν φησιν ὁ Δαβίδ, «υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι», ἤγουν παχεῖς καὶ γήϊνοι, «ἵνα τί ἀγαπᾶτε ματαιότητα καὶ ζητεῖτε ψεῦδος»[4], δηλαδὴ τὰ τοῦ παρόντος βίου τερπνὰ ὡς ἄστατα καὶ ἀβέβαια. Καὶ προτίθησιν, «ἀπὸ καρποῦ σίτου, οἴνου καὶ ἐλαίου αὐτῶν ἐπληθύνθησαν»[5], διδάσκων ὅτι οὐ χρὴ ἄλλο τι νομίζειν τὴν τοῦ παρόντος βίου εὐδαιμονίαν ἢ πλησμονὴν σίτου, οἴνου καὶ ἐλαίου· εἰς γὰρ τὸ κορεσθῆναι τούτων ἡ πᾶσα ἡμῶν ἀπόλαυσις περιΐσταται. Μιχαίας δὲ ἀπάγων ἡμᾶς τῶν χαμαὶ συρομένων καὶ δοκούντων ἀγαθῶν, ἀλλ' οὐκ ὄντων, φησίν· «ἐγγίσατε ὄρεσιν αἰωνίοις»[6], τουτέστι τοῖς ἐπουρανίοις ἀγαθοῖς· ταῦτα γὰρ ὄρη μὲν διὰ τὸ ὑψηλὸν καὶ τὸ ἀσάλευτον, αἰώνια δὲ διὰ τὸ ἀΐδιον. Διατί δὲ ἐκείνοις ἐγγίζειν κελεύει; Διότι, φησίν, «οὐκ ἔστι σοι αὕτη ἀνάπαυσις»[7], ἡ ἐν τῷ παρόντι βίῳ δηλαδή. Συμφωνεῖ δὲ τὰ τοῦ Μιχαίου τοῖς τοῦ Χριστοῦ λέγοντος· «ἐγείρεσθε, ἄγωμεν ἐντεῦθεν»[8]· διὰ τοῦτο γὰρ ἦλθον **372** ἐνθάδε, ἵνα ἄνω θέσω τὸν πεσόντα τῇ ἁμαρτίᾳ, ἕλξας αὐτὸν εἰς τὰ οὐράνια.

59,33,22. Ἵνα τί ἀγαπᾶτε ματαιότητα[9].

Μάταιον γὰρ ἐκεῖνο λέγεται τὸ κενόν, ὅταν ὄνομα ᾖ, πρᾶγμα δὲ μὴ ᾖ. Ὄνομα πλούτου, πρᾶγμα οὐδαμοῦ, καὶ ὄνομα δόξης, πρᾶγμα δὲ οὐδαμοῦ, ὄνομα δυναστείας καὶ μένει ψιλὸν ὄνομα. Τίς οὕτως ἀνόητος ὡς ὀνόματα ζητεῖν πραγμάτων ἔρημα καὶ τὰ διάκενα διώκειν, ἃ φεύγειν δεῖ;

59,73,28. Τοιγαροῦν ἀκολουθήσωμεν ἢ δὴ τῷ λόγῳ ζητήσωμεν.

Ἐπειδή, φησίν, ὁ Χριστὸς καλεῖ λέγων, «ἄγωμεν ἐντεῦθεν»[10], σπεύσωμεν ἐπτερωμένοι ἀκολουθοῦντες αὐτῷ καὶ ἐπειδὴ ὁ προφήτης λέγει, «οὐκ ἔστιν ἐνταῦθα ἀνάπαυσις»[11], ζητήσωμεν τὴν ἐκεῖθεν, πάντα μεθ' ἡδονῆς ἀποδῶμεν ἢ ἐπιθυμῶμεν τὰ τοῦ Θεοῦ, ὡς τοῦτο μόνον κερδανοῦντες ὅ,τι ἂν ὑπὲρ τῶν ψυχῶν ἡμῶν ἀναλώσωμεν. Τί γὰρ δεῖ

---

1. Πρβλ. Κολ. 3,1. 2. Γεν. 49,17. 3. Γεν 3,15 4 Ψαλ 4,3. 5. Ψαλ. 4,8 6. Μιχ. 2,9. 7. Μιχ. 2,10. 8 Ἰω. 14,31. 9 Ψαλ. 4,3. 10. Ἰω. 14,31. 11. Μιχ. 2,10.

θησαυρίζειν λησταῖς καὶ κλέπταις καὶ καιρῶν μεταβολαῖς, ἄλλοτε εἰς ἄλλους μετατιθέντων καὶ ῥιπιζόντων τὴν ἄστατον εὐπορίαν, ἀλλὰ μὴ εἰς τὰς ἀσφαλεῖς ἀποθήκας ἀποτίθεσθαι καὶ τῶν ἐπιβουλευόντων ἰσχυρότερον ἅρπασόν τι ὡς ἀπὸ πυρὸς τῆς ἐνταῦθα φλεγμονῆς τῶν παθῶν, μᾶλλον δὲ τῆς πάντα δαπανώσης φθορᾶς, ὥσπερ ἡ φλὸξ τὴν εὐκατάπρηστον ὕλην. «Δὸς μερίδα τοῖς ἑπτά, καί γε τοῖς ὀκτώ»[1], Σολομών σοι διακελεύεται, ἑπτὰ μὲν λέγων τὸν παρόντα βίον ὡς διὰ τῆς ἑβδομάδος ἀριθμούμενον καὶ ταύτην ἀριθμοῦ θεμέλιον ἔχοντα, ὀκτὼ δὲ τὸν μέλλοντα μετὰ τὸν παρόντα· μετὰ γὰρ τὸν ἑπτὰ ἀριθμὸν ὁ ὀκτώ. μερίδα δέ φησι πλούτου, ἥτις δίδοται διανεμομένη τοῖς ἐνδεέσιν. Οὐδέποτε νικήσεις τὰς εἰς σὲ γενομένας τοῦ Θεοῦ δωρεὰς καὶ φιλοτιμίας, κἂν πάντα δώσῃς τὰ ὄντα, κἂν τοῖς οὖσι σεαυτὸν προσθῇς· κἂν γὰρ σαυτὸν δῷς τῷ Θεῷ, οὐκ ἔδωκας, ἀλλὰ μᾶλλον ἔλαβες· λαμβάνει γὰρ ἤτοι κερδαίνει ἑαυτὸν ὁ διδοὺς ἑαυτὸν τῷ Θεῷ. Καὶ ὥσπερ οὐ δύναταί τις τὴν οἰκείαν ὑπερβῆναι σκιὰν ὑποχωροῦσαν, ὅσον γὰρ προΐεμεν, τοσοῦτον ἀεὶ τρέχει καὶ τοσοῦτον προλαμβάνει, ὅσον καταλαμβάνεται· οὐδέ ἐστι μέγεθος σώματος ὑψηλότερον τῆς κεφαλῆς, ἀεὶ γὰρ αὕτη τοῦ σώματος ὑπέρκειται· οὕτως οὐδὲ ἡμεῖς δυνησόμεθα νικῆσαι τὸν Θεόν ποτε, οἷς δίδομεν. Εἰ γὰρ βουλεύεται ὁ Θεὸς κριθῆναι καὶ λόγον ποιῆσαι, οὐδὲν εὑρίσκεται ἴδιον τοῦ ἀνθρώπου· τίς ἐποίησε τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτῇ; τίς ἔκτισε τὸ σῶμα; τίς τὴν ψυχὴν ἐποίησε; τί τοίνυν ἴδιον ἔχει ὁ ἄνθρωπος, ἵνα ἐπ' αὐτῷ δικαιωθῇ ἢ οἰηθῇ εἶναί τι; Πάντα γὰρ λαβὼν ἔχει χάριτι καὶ αὐτὸ τὸ εἶναι.

59,74,9. Γνῶθι πόθεν σοι τὸ εἶναι, τὸ ἀναπνεῖν.

Γνῶθι, φησίν, ὦ ἄνθρωπε, πόθεν σοι τὸ ἐλπίζειν τὰ μέγιστα, ἤγουν δόξης θεωρίαν, ἧς τὸ μὲν νῦν φαίνεται, τὸ δὲ ὕστερον ἐλπίζεται· «βλέπομεν γὰρ ἄρτι», φησί, «δι' ἐσόπτρου καὶ ἐν αἰνίγματι, τότε δὲ πρόσωπον πρὸς πρόσωπον»[2], καὶ τὸ γενέσθαι υἱοὺς Θεοῦ, καθὼς Ῥωμαίοις γράφει ὁ Ἀπόστολος. «Αὐτὸ γάρ», φησί, «τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ, εἰ δὲ τέκνα καὶ κληρονόμοι, κληρονόμοι μὲν Θεοῦ, συγ**373**κληρονόμοι δὲ Χριστοῦ»[3]. Πόθεν σοι τὰ μικρὰ καὶ ὁρώμενα, τὸ βλέπειν οὐρανόν, ἥλιον, σελήνην καὶ ἀστέρας, τάξιν ἐν ὥραις καὶ καιροῖς καὶ τοῖς ἄλλοις πᾶσι, νυκτός τε καὶ ἡμέρας πρόσληψιν καὶ αὖθις ὑφαίρεσιν, θάλασσαν λελυμένην διὰ τὴν φυσικὴν ὑγρότητα καὶ ἱσταμένην τῶν ἰδίων ὅρων ἐντός[4], καὶ ψάμμον ὅριον ἔχουσαν καὶ οὐχ ὑπερβαίνουσαν διὰ τὸ τοῦ κτίσαντος πρόσταγμα[5]; Τίς σοι ἔδωκε νοῦν καὶ λόγον προφορικὸν καὶ τὰ λοιπὰ πλεονεκτήματα, οἷς τῶν ἄλλων ζῴων προέχει ὁ ἄνθρωπος; Ἡμεῖς δὲ τοσοῦ-

---

1 Ἐκκλ 11,2 2 Α' Κορ. 13,12 3. Ρωμ 8,16-17 4 Πρβλ. Ψαλ 103,9 5 Πρβλ Ἱερ 5,22.

τον ὑπὸ τῆς τρυφῆς διεφθάρημεν, ὥστε βελτίους ἐσμὲν τῶν πενήτων κατὰ τὴν μάζαν καὶ τὰ πίτυρα ὡς αὐτοὶ ἔχοντες ἐκείνων μὴ ἐχόντων ὑπολαμβάνομεν καὶ κατὰ τὴν φύσιν βελτίονας εἶναι καὶ οἵους ὁ μῦθος πλάττει τοὺς γίγαντας ὑπὲρ ἄνθρωπον. Καὶ μὴν οὐχ ὁ μῦθος, ἀλλὰ ἡ βίβλος τῆς Γενέσεως γενέσθαι πρὸ τοῦ κατακλυσμοῦ τοὺς γίγαντας λέγουσα, οἱ δὲ γίγαντες ἦσαν ἐν ταῖς ἡμέραις ἐκείναις[1]. Ἀλλ' ἐκείνη μὲν γίγαντας ὠνόμασε τοὺς ἰσχυροὺς τῷ σώματι, οὐ μὴν τοὺς κατὰ φύσιν τῶν λοιπῶν ἀνθρώπων ὑπερέχοντας, ὁ δὲ μῦθος καὶ ἀλλοκότους αὐτοὺς εἰσάγει. Περὶ μέντοι τοῦ Νεβρὼδ ἡ κοσμογένεια διαλαμβάνει· «χοὺς γάρ», φησίν, «ἐγέννησε Νεβρώδ· οὗτος ἤρξατο εἶναι μέγας ἐπὶ τῆς γῆς»[2] μετὰ τὸν κατακλυσμὸν δηλονότι. Περὶ δὲ τοῦ Ἐνὰκ ἡ βίβλος τῶν Ἀριθμῶν, οὗ ἡ γενεὰ τοὺς Ἰουδαίους ἐξέθλιβε[3]. Μὴ γενώμεθα κακοὶ τῶν παρὰ Θεοῦ δοθέντων ἡμῖν οἰκονόμοι, ἵνα μὴ εἴπῃ καὶ πρὸς ἡμᾶς ὁ Πέτρος· αἰσχύνθητε οἱ κατέχοντες τὰ ἀλλότρια[a] καὶ τὰ ἑξῆς. Ἔστι δὲ ἡ χρῆσις τῆς Ὀκταβίβλου τῶν ἀποστολικῶν διατάξεων, ἣν ὕστερον ἡ ἕκτη Σύνοδος ἀπεδοκίμασεν ὡς ἐπιβουλευθεῖσαν καὶ νοθευθεῖσαν παρὰ τῶν αἱρετικῶν.

59,75,3-4. Μὴ κάμνωμεν θησαυρίζοντες καὶ φυλάσσοντες.

Μὴ κοπιῶμεν, φησί, καὶ ἀναγκαζώμεθα θησαυρίζοντες ἀεὶ καὶ ἐπαγρυπνοῦντες τοῖς θησαυροῖς ἄλλων κακοπαθούντων διὰ πενίαν, μήποτε ὀνειδίσει ἡμῖν ὁ θεῖος Ἀμὼς λέγων· ἀκούσατε δὴ οἱ ἐκθλίβοντες εἰς τὸ πρωῒ πένητα καὶ καταδυναστεύοντες πτωχοὺς «ἐπὶ τῆς γῆς, οἱ λέγοντες πότε διελεύσεται ὁ μὴν καὶ ἐμπολήσομεν»[4], ἤγουν κερδήσομεν, καὶ ἁδροτέρας τὰς ἑαυτῶν ἐμπολὰς ποιήσομεν μικρὸν ἐπὶ μικρῷ συλλέγοντες καὶ τόκους ἐπὶ τόκοις ἀνοσίως ἐρανιζόμενοι, πότε δὲ παρελεύσεται τὰ σάββατα τὰ τῶν ἐτῶν, δηλαδὴ ὁ ἑβδομαδικὸς ἐνιαυτὸς τῆς ἀφέσεως καὶ τότε ἀνοίξομεν θησαυρούς[5]· οἱ γὰρ πολλοὺς θησαυροὺς ἔχοντες καὶ τὴν χεῖρα συστέλλοντες τὰ τῶν ἐτῶν σάββατα παρελθεῖν ἐσπούδαζον ἐπὶ θύραις ὄντα λοιπὸν εἶθ' οὕτως ἐδάνειζον, ἵνα μὴ τοῖς τῆς ἀφέσεως νόμοις ὑπενεχθείη τὸ ὄφλημα, μηδὲ ἀναγκασθῶσι διὰ τὸν ἕβδομον ἐνιαυτὸν ἀφιέναι τῷ λαβόντι, ὅπερ ἐδάνεισαν. Ὅρα δὲ καὶ τὴν ἐφεξῆς κατηγορίαν «τοῦ ποιῆσαι», φησί, «μικρὸν μέτρον καὶ μεγαλῦναι στάθμιον καὶ ποιῆσαι τὸν ζυγὸν ἄδικον τοῦ κτᾶσθαι ἐν ἀργυρίῳ πτωχοὺς καὶ ταπεινὸν ἀντὶ ὑποδημάτων καὶ ἀπὸ παντὸς γεννήματος ἐμπορευσόμεθα»[6]. Ὃ δὲ λέγει ὁ προφήτης, τοιοῦτόν ἐστι, ὅτι οἱ **374** γλίσχροι καὶ φιλάργυροι ἐπιπηδῶντες ταῖς τῶν ἀθλίως δυστυχούντων πτωχείαις μικροῖς μὲν μέτροις ἐποιοῦντο πρὸς αὐτοὺς

---

1 Πρβλ. Γεν. 6,4. 2 Α' Παρλ 1,10 3 Πρβλ Ἀριθ 13,23 4 Ἀμ. 8,4-5. 5 Πρβλ. ἔνθ ἀν. 6 Ἀμ 8,5-6

α. Ἀποστ Διατ.

τὴν δόσιν, ἀντεκομίζοντο δὲ σταθμίοις οὐκ ἴσοις ἀλλὰ μείζοσι καὶ διαβριθεστέροις, καίτοι τοῦ Θεοῦ διὰ Μωϋσέως λέγοντος, «οὐκ ἔσται ἐν τῷ μαρσίπῳ σου στάθμιον καὶ στάθμιον μέγα καὶ μικρόν»[1] καὶ στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς»[2] καὶ τοῦ Σολομῶντος ἐν παροιμίᾳ φάσκοντος, «στάθμιον μέγα καὶ μικρὸν καὶ μέτρα δισσὰ ἀκάθαρτα ἐνώπιον Κυρίου»[3] καὶ αὖθις «βδέλυγμα Κυρίῳ δισσὸν στάθμιον»[4]. Ἀλλ' οὗτοι, οὓς ὁ προφήτης ἐστηλίτευσεν, ἐξέθλιβον πένητας μονονουχὶ κατακτώμενοι τοὺς ἀθλίους καὶ ἐν ὑποδημάτων καταπατοῦντες τάξει· «νομαὶ γὰρ πλουσίων πτωχοί»[5] κατὰ τὸ γεγραμμένον. Ἐπισημαίνεται δὲ ὁ Θεολόγος ὅτι ταῦτα μὲν εἶπεν Ἀμώς, ἐκεῖθεν δὲ λέγει ὁ Μιχαίας τὰ ῥηθησόμενα. Ἔστι δὲ καὶ ταῦτα τοῦ Ἀμὼς λέγοντος, «οὐαὶ οἱ καθεύδοντες ἐπὶ κλινῶν ἐλεφαντίνων καὶ κατασπαταλῶντες ἐπὶ ταῖς στρωμναῖς αὐτῶν καὶ ἐσθίοντες ἐρίφους ἐκ ποιμνίων καὶ μοσχάρια ἐκ βουκολίων γαλαθινά»[6], εἴτουν γαλακτερά, «οἱ ἀντικροτοῦντες πρὸς τὴν φωνὴν τῶν ὀργάνων ὡς ἑστῶτα ἐλογίσαντο καὶ οὐχ ὡς φεύγοντα, οἱ πίνοντες τὸν διυλισμένον οἶνον καὶ τὰ πρῶτα μύρα χριόμενοι καὶ οὐκ ἔπασχον οὐδὲν ἐπὶ τῇ συντριβῇ τοῦ Ἰωσήφ»[7]· Ἰωσὴφ δὲ ὀνομάζει νῦν τὸ ἐξ Ἰωσὴφ καταγόμενον γένος, ὅπερ ἔμελλεν ὅσον οὔπω συντρίβεσθαι τῆς Σαμαρείας τότε ὑπὸ τῶν Ἀσσυρίων ἁλούσης· ἀλλὰ τοῦτο αἱ λοιπαὶ προγνοῦσαι φυλαὶ οὐκ ἤλγουν, ἀλλὰ καὶ ἐτρύφων καὶ ᾤοντο ὅτι ἑστῶσα ἔσται αὐτοῖς ἡ τοιαύτη τρυφὴ καὶ ἄνεσις, ἀλλ' οὐ φεύγουσα οὐδὲ παρερχομένη. Ὅπερ μὴ πάθωμεν νῦν καὶ ἡμεῖς, μηδὲ καταφρονήσωμεν τοῦ Θεοῦ δυσχεραίνοντος ἐπὶ τούτοις, κἂν ἀνέχηται ὡς «μακρόθυμος καὶ μὴ ὀργὴν ἐπάγων καθ' ἑκάστην ἡμέραν»[8], καθὼς λέγει ὁ Δαβίδ.

59,75,21. Μιμησώμεθα νόμον Θεοῦ, τὸν ἀνώτατον καὶ πρῶτον.

Μιμησώμεθα τὸν ἐξ ἀρχῆς νόμον τοῦ Θεοῦ, ὃς τὰς πρώτας τοῦ ζῆν ἀφορμάς, βροχήν, ἥλιον, πηγάς, ἀέρα, ἡμέραν καὶ νύκτα καὶ τὰ λοιπά, ὅσα ἀναγκαῖα κοινῶς πᾶσιν ἐχαρίσατο καὶ οὐδὲ ἐνδεεστέρας προέθηκε διὰ τὸ πάντας κοινωνεῖν αὐτῶν· τοὺς γὰρ ὁμοτίμους κατὰ τὴν φύσιν καὶ ἰσότητι τῆς δωρεᾶς ἐτίμησε. Χρυσὸς δὲ καὶ οἱ διαφανεῖς λίθοι καὶ ἡ φλεγμαίνουσα τράπεζα καὶ τῆς ἐσθῆτος, ὅση περίεργος, καὶ τὰ περιττὰ τῆς κτήσεως ταῦτα ὀλίγων ἐστίν, οἵτινες αὐτὰ κατορύξαντες οὐδὲ διὰ τῶν περιττῶν θέλουσι βοηθεῖν εἰς τὰ ἀναγκαῖα τοῖς πένησιν, οὐκ ἐνθυμούμενοι ὅτι ἐξ ἀρχῆς μὲν ὁ Θεὸς ἐλεύθερον ἀφῆκε τὸν ἄνθρωπον καὶ ἤθελε διὰ τοῦ ἑνὸς καὶ εἰς πᾶν τὸ γένος διαβῆναι τὴν ἐλευθερίαν, ἡ δουλεία δὲ καὶ ἡ πενία καὶ τὰ τοιαῦτα ὀνόματα μετὰ τὴν παράβασιν, ὥσπερ ἀρρωστία τῇ κακίᾳ συνεισέπεσε καὶ ὑπ' αὐτῆς ἐπενοήθη.

---

1 Δευτ 25,13. 2. Δευτ. 25,15. 3 Παρμ. 20,10. 4. Παρμ. 20,23. 5 Σ. Σειρ. 13,19. 6. Ἀμ. 6,4. 7. Ἀμ. 6,5-6. 8. Ψαλ. 7,12

59,76,7. Ἀφοῦ δὲ φθόνοι καὶ ἔριδες καὶ ἡ δολερὰ τοῦ ὄφεως τυραννίς.

«Ἀπ' ἀρχῆς μέν», φησὶν ὁ Κύριος, «οὐ γέγονεν οὕτω»[1], τουτέστιν οὐκ ἦν ἡ **375** φαύλη τομὴ καὶ διαίρεσις, ὥστε τοὺς μὲν ἐλευθέρους εἶναι, τοὺς δὲ δούλους, ἀλλ' ἐλευθερία μὲν ἦν ἀληθὴς καὶ πλοῦτος ἡ φυλακὴ τῆς ἐντολῆς, τὰ δ' ἐναντία ἡ παράβασις· ἀφοῦ δὲ φθόνοι καὶ ἔριδες καὶ τυραννὶς ἐπανιστᾶσα κατὰ τῶν ἀσθενεστέρων τοὺς θρασυτέρους, τότε ἐρράγη τὸ ἓν γένος εἰς ὀνομάτων ἀλλοτριότητα, εἰς ἐλεύθερον καὶ δοῦλον, εἰς πλούσιον καὶ πένητα, εἰς ἔντιμον καὶ ἄτιμον, καὶ ἡ πλεονεξία προσλαβοῦσα καὶ νόμον συνεργὸν κατέτεμε τὸ τῆς φύσεως ἀγαθόν. Ἀλλὰ σὺ τὸν πρῶτον νόμον βλέπε τοῦ Θεοῦ, μὴ τὸν ὕστερον, τὸν ὑπὸ τοῦ βασιλέως τεθέντα, καὶ αἰδέσθητι σαυτόν, τουτέστι τὴν σαυτοῦ φύσιν· σὴ γὰρ φύσις καὶ σὸς συγγενὴς ὁ πάσχων, ἀλλήλων γάρ ἐσμεν μέλη κατὰ τὸν Ἀπόστολον· καὶ παραμύθησαι ὁ πᾶσι τοῖς δεξιοῖς εὐθυνούμενος, ἤγουν τῇ εὐρωστίᾳ, τῷ πλούτῳ καὶ τοῖς λοιποῖς ἀγαθοῖς, τὸν τοῖς ἀριστεροῖς καὶ κακωτικοῖς κάμνοντα· οὕτω γὰρ ὁ ἅγιος Ἀπόστολος τὰ μὲν ἱλαρὰ καὶ τερπνὰ δεξιὰ ὀνομάζει, τὰ δὲ περιστατικὰ καὶ σκυθρωπὰ ἀριστερὰ λέγων· «ἐν παντὶ συνιστῶντες ἑαυτοὺς ὡς Θεοῦ διάκονοι»[2] «διὰ τῶν ὅπλων τῆς δικαισύνης τῶν τε δεξιῶν καὶ ἀριστερῶν, διὰ δόξης καὶ ἀτιμίας, διὰ δυσφημίας καὶ εὐφημίας»[3].

59,76,19-20. Δός τι Θεῷ χαριστήριον ὅτι τῶν εὖ ποιεῖν δυναμένων ἐγένου, ἀλλ' οὐ τῶν εὖ παθεῖν δεομένων.

Δός τι τῷ Θεῷ εὐχαριστῶν ὅτι ἄλλους εὐεργετεῖν δύνασαι, ἀλλ' οὐκ αὐτὸς χρήζεις τοῦ ἐλεηθῆναι Γενοῦ τοῦ πλησίον σου τιμιώτερος ἐκ τοῦ φανῆναι χρηστότερος, ὥσπερ καὶ ὁ ἐν τῇ εὐαγγελικῇ παραβολῇ Σαμαρείτης τιμιώτερος ὤφθη τοῦ ἱερέως καὶ τοῦ λευΐτου ἐκ τοῦ ποιῆσαι τὸ ἔλεος μετὰ τοῦ ἐμπεσόντος εἰς τοὺς λῃστάς[4]. Εὐεργετῶν νόμιζε μιμεῖσθαι τὸν Θεόν· ὁ μὲν ἐποίησε καὶ λύπας τῇ μεταστάσει, συνάγει πάλιν τῇ ἀναστάσει, σὺ δὲ τὸν ἀσθενοῦντα μὴ παρίδῃς. Ὁ μὲν ἠλέησεν εἰς τὰ μέγιστα, δοὺς νόμον τὸν Μωσαϊκὸν καὶ προφήτας καὶ πρότερον τὸν φυσικὸν νόμον, τουτέστι τὴν διάκρισιν τοῦ καλοῦ καὶ τοῦ κακοῦ, ἤγουν τὴν συνείδησιν, ἥτις ἄγραφός ἐστι νόμος, εἶτα καὶ ἑαυτὸν ἔδωκε λύτρον, ἵνα σχῇ ὁ κόσμος τὴν πνευματικὴν καὶ ἀληθινὴν ζωήν, ἐχαρίσατο δέ, καθὼς γράφει ὁ Ἀπόστολος, εὐαγγελιστάς, ποιμένας, διδασκάλους πρὸς καταρτισμὸν ἡμῶν[5] καὶ ἰάσεις καὶ ποικίλας δυνάμεις καὶ Πνεύματος Ἁγίου μερισμούς[6], μερισθέντος κατὰ τὰς διαφορὰς τῶν χαρισμάτων, καὶ αὐτὸ τὸ μυστήριον τῆς καινῆς διαθήκης ἢ σωτηρίας, ἤτοι τὸ σῶμα αὐτοῦ καὶ τὸ αἷμα ἢ καὶ τὸ βάπτισμα.

---

1. Ματθ. 19,8. 2. Β' Κορ. 6,4. 3. Β' Κορ. 6,7. 4. Πρβλ. Λουκ 10,36-37. 5. Πρβλ. Ἐφ. 4,11-12. 6. Πρβλ. Ἑβρ. 2,4

59,76,37. Σὺ δὲ εἰ μὲν καὶ τὰ μείζω δυνατὸς εἶ καὶ οἷς εὐεργετεῖται ψυχή.

Ὁ μὲν Θεός, φησί, τὰ μέγιστα τοῖς ἀνθρώποις ἐχαρίσατο, σὺ δέ, εἰ μὲν δύνασαι καὶ τὰ πνευματικά, ἅτινα μείζω ἐστὶ τῆς σωματικῆς εὐεργεσίας, μηδὲ τούτων ἀπόσχῃ εὖ ποιῶν ἐνδεῆ[1], Σολομὼν διακελεύεταί σοι, ἀλλὰ παντὶ τῷ αἰτοῦντί σε δίδου[2] κατὰ τὴν ἐντολήν, ὅλην τὴν ἡμέραν ἐλεῶν καὶ δανείζων[3], ὥς φησι Δαβίδ, τὸν λόγον, ἤτοι τὴν πνευματικὴν διδασκαλίαν, καὶ ἀπαιτεῖν, καθὼς ὁ τῶν ταλάντων διανομεὺς καὶ ἐν εὐαγγελίοις λέγει, μετὰ **376** τόκου τὸ δάνειον[4]· τόκον δέ φημι τὴν προσθήκην της ἀρετῆς, ἣν ὁ παρὰ σοῦ ὠφεληθεὶς τῷ σῷ λόγῳ προστίθησιν οὐ μόνον ἀκούσας, ἀλλὰ καὶ ποιήσας, ἃ ἐδιδάχθη, καὶ κατὰ μικρὸν αὔξων τὰ σπέρματα τῆς εὐσεβείας, ἃ παρὰ σοῦ ἐδέξατο. Εἰ δὲ μὴ δύνασαι τὰ μείζονα καὶ πνευματικά, δίδου κἂν τὰ μικρότερα καὶ σωματικά, τροφήν, ῥάκος, φάρμακον, καταδέσμους. Θαρρῶν πρόσελθε τῷ λελωβημένῳ, οὐ μὴ μεταλάβῃς τοῦ πάθους τῷ προσεγγισμῷ· οὐ γὰρ διαδόσιμον τὸ κακόν, λόγοι ταῦτα καὶ προφάσεις καὶ τῆς περὶ τὰς ἐντολὰς τοῦ Θεοῦ ῥᾳθυμίας, εὐπρόσωπά τινα προκαλύμματα, τὸ δ' ἀληθὲς οὐχ οὕτως ἔχει. Πόσους γάρ ἐστιν ἰδεῖν ἐκ νεότητος καὶ μέχρι γήρως ταῖς θεραπείαις τῶν λελωβημένων σχολάζοντας καὶ οὐδέν τι τῆς εὐεξίας τῶν σωμάτων διὰ τῆς τοιαύτης σπουδῆς ἀμαυρώσαντας. Τινὰ μὲν γὰρ τῶν νοσημάτων, οἷον αἱ λοιμώδεις ἐπιφοραὶ καὶ ὅσα τοιαῦτα τῆς ἔξωθεν αἰτίας ἠρτημένα, ὅταν ἐκ διαφθορᾶς ἀέρος ἢ ὕδατος γίνηται, ὕποπτα τοῖς πολλοῖς ἐστιν, ὡς ἐκ τῶν προσαλωήστων καὶ πρὸς τοὺς ἐγγίζοντας διαβαίνοντα, ἐνταῦθα δὲ ἔνδοθεν συνισταμένης τῆς τοῦ τοιούτου πάθους κατασκευῆς καί τινα τοῦ αἵματος ἐκ τῆς παρεγχύσεως τῶν φθοροποιῶν χυμῶν διαφθορὰν ὑπομένοντος ἐν τῷ κάμνοντι τὸ πάθος περιορίζεται. Εἰ δὲ καὶ φοβερὸν τὸ πρᾶγμα καθ' ὑπόθεσιν, ἀλλὰ σὺ τῇ πίστει θάρσησον καὶ νικησάτω τὴν ἐν σοὶ μαλακότητα ὁ τοῦ Θεοῦ φόβος καὶ ἡ εὐσέβεια. Σοὶ ἐγκαταλέλειπται ὁ πτωχὸς κατὰ τὸν ψαλμῳδόν, ἐγκαταλέλειπται δὲ ὡς Θεῷ· τάχα γάρ σε δυσωπήσω Θεόν σε καλέσας τοῦ ἀδελφοῦ. Σοὶ πρόκειται εἰς ἐλεημοσύνην, κἂν ὁ ἀλλότριος διάβολος ἀλλοτριοῖ σε τοῦ εὖ παθεῖν παρὰ Θεοῦ, ὅπερ ἐπιγίνεται ἀπὸ τοῦ εὖ ποιεῖν.

59,77,23. Πᾶς ὁ πλέων ἐγγύς ἐστι τοῦ ναυαγίου.

Ὥσπερ ὁ πλέων ἐγγύς ἐστι τοῦ ναυαγῆσαι, οὕτω ὁ τὸ σῶμα περικείμενος ἐγγύς ἐστι τῶν συμφορῶν τοῦ σώματος καὶ τοσούτῳ μᾶλλον, ὅσῳ περ ἂν ὀρθὸς βαδίζῃ, τουτέστιν ὑψαυχενῶν καὶ ὑπεραιρόμενος καὶ μὴ βλέπων τοὺς πρὸ ποδῶν αὐτοῦ κειμένους ἀρρώστους. Δὸς τοίνυν χεῖρα τῷ ναυαγήσαντι, ἕως ἀπαθὴς εἶ καὶ ἀκινδύνως δια-

1 Πρβλ. Παρμ. 3,27. 2 Λουκ. 6,30. 3. Πρβλ. Ψαλ. 36,26.
4 Πρβλ. Ματθ. 25,27

πλέεις τὴν κοινὴν τοῦ βίου θάλασσαν. Μὴ παρέλθῃς ἀνηλεῶς τὸν προπταίσαντα, ἐν εὐθηνίᾳ ὢν τοῦ βίου, ἐκδέχου ποτὲ καὶ χειμῶνα πραγμάτων, ἥξει γὰρ νόσος, ἥξει πενία, οὐχ ἀεὶ κατὰ πρύμναν ἱσταμένου τοῦ πνεύματος. Τίς ἐγγυητής σοι τῆς διηνεκοῦς εὐπλοΐας; Οὔπω κατῆρας εἰς τὸν λιμένα τῆς ἀναπαύσεως, οὔπω τῶν κυμάτων ἐκτὸς ἕστηκας, οὔπω σοι βέβηκεν ἐπὶ σταθεροῦ ἡ ζωή, ἔτι φέρῃ διὰ τοῦ βίου πελάγιος, οἷον σεαυτὸν δείξῃς τῷ δυστυχήσαντι, τοιούτους παρασκευάσεις σεαυτῷ τοὺς συμπλέοντας. Μὴ οὖν ἀναμείνῃς ἐπὶ σεαυτοῦ μαθεῖν ὅσον κακόν ἐστιν ἡ ἀσπλαγχνία καὶ οἷον ἀγαθὸν ἡ φιλανθρωπία τοῖς χρῄζουσι. Μὴ θελήσῃς ἵνα ὁ Θεὸς ἐπάρῃ κατὰ σοῦ ὡς ὑψαύχενος καὶ ἀπειθοῦς τὴν τιμωρητικὴν αὐτοῦ χεῖρα κατὰ τὸ εἰρημένον παρὰ τοῦ Δαβίδ, «ἔπαρον τὰς χεῖράς σου κατὰ τῆς ὑπερηφανείας αὐτῶν»[1], καὶ κατὰ τὸ ἐν Ἠσαΐᾳ κείμενον, **377** «ἔτι αὐτοῦ ἡ χεὶρ ὑψηλή»[2], ὡς ἂν ἑτοίμη τὴν πληγὴν ἐπενεγκεῖν, τοῦτο δὲ εἴρηται ἐκ μεταφορᾶς τῶν παλαιόντων καὶ ἐπαιρόντων τὰς χεῖρας κατὰ τῶν τυπτομένων. Δὸς μικρὸν τῷ παντων ἐπιδεεῖ· ἐκείνῳ γὰρ καὶ τὸ μικρὸν μέγα δόξει διὰ τὴν ἄκραν πενίαν καὶ τῷ Θεῷ δὲ μόνον ἂν μὴ κατὰ τὴν γλισχρότητα δῷς, ἀλλὰ κατὰ δύναμιν. Καὶ δάκρυον δὲ καὶ ἔλεος ἀπὸ ψυχῆς εἰσφερόμενον παρὰ τοῦ μηδὲν ἔχοντος σφόδρα παραμυθεῖται τὸν ἀτυχοῦντα· γέγραπται γὰρ ἐν τῇ Ἐξόδῳ, «ἐὰν συναντήσῃς τῷ βοῒ τοῦ ἐχθροῦ σου ἢ τῷ ὑποζυγίῳ πλανωμένοις ἀποστρέψας ἀποδώσεις αὐτῷ, ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτό, ἀλλὰ συναγερεῖς αὐτὸ μετ' αὐτοῦ»[3]. Τὸ δὲ ῥητὸν τοῦτο, εἰ μὲν καὶ μυστικόν τι αἰνίττεται, οἶδε τὸ Πνεῦμα· «τὸ γὰρ Πνεῦμα», καθώς φησιν ὁ Ἀπόστολος, «πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ»[4], ὅσον δὲ εἰς τὴν ἐμὴν γνῶσιν ἔρχεται, γυμνάζει ἡμᾶς ὁ νόμος διὰ τῶν μικρῶν εἰς τὴν μείζονα συμπάθειαν· εἰ γὰρ τὰ ἄλογα τοσαύτης δεῖ ἀξιοῦσθαι παρ' ἡμῶν ἐπιμελείας, πολλῷ μᾶλλον τοὺς ὁμοτίμους ἡμῖν ἀνθρώπους.

59,78,5. Ταῦτα μὲν οὖν ὁ λόγος καὶ ὁ νόμος. Ταῦτα ὁ νόμος καὶ ὁ λόγος ὑποτίθεται καὶ τῶν ἀνθρώπων οἱ συμπαθέστεροι, οἵτινες τὸ αὐτοὺς ἄλλους ἐλεεῖν αἱρετώτερον κρίνουσι τοῦ παρ' ἄλλων ἐλεεῖσθαι τοῦ Κυρίου ἀκούοντες λέγοντος, ὥς φησι Παῦλος ἐν ταῖς Πράξεσιν, ὅτι «μακάριόν ἐστι διδόναι μᾶλλον ἢ λαμβάνειν»[5], ἵνα μὴ παρέλθω τοὺς Ἕλληνας, οἳ θεοὺς ἔπλασαν ἑαυτοῖς πονηρούς, ἵνα ἔχωσιν αὐτοὺς συνηγόρους τοῖς αὐτῶν ἁμαρτήμασι· τὸν γὰρ Ἑρμῆν κλεπτικὸν εἰσάγοντες καὶ κερδῷον αὐτὸν ὀνομάζοντες τὰ πρῶτα τῆς τιμῆς αὐτῷ ἀπονέμουσι, κλέπτοντες καὶ ἁπανταχόθεν κερδαίνοντες, οἱ δὲ Ταῦροι, ἔθνος οὕτω καλούμενον, ἀνθρώπους θύουσι τῇ Ἀρτέμιδι. Ἀλλ' εἰσί τινες τῶν χριστιανῶν, οἳ οὐ μόνον οὐ

---

1. Ψαλ 73,3   2. Ἡσ. 5,26   3. Ἐξ. 23,4-5   4 Α' Κορ. 2,10.
5. Πράξ. 20,35.

συναλγοῦσι τοῖς δυστυχοῦσιν, ἀλλὰ καὶ προσονειδίζουσι καὶ ὅ φησιν Ἡσαΐας περὶ τῶν ἐγγαστριμύθων ἀπὸ γῆς φωνοῦσιν[1], ἤγουν γήϊνα· φησὶ γὰρ ὅτι τῷ Θεῷ ἔδοξεν ἐμὲ εὐτυχεῖν καὶ ἐκείνους δὲ δυστυχεῖν καὶ τίς εἰμι ἐγώ, ἵνα λύσω ψῆφον Θεοῦ καὶ φανῶ αὐτοῦ φιλανθρωπότερος; Καὶ ἐνταῦθα μόνον εἰσὶ φιλόθεοι, ὅπου δεῖ φυλάττειν τοὺς ὀβολούς· τῷ μὲν γὰρ λόγῳ φιλοθεΐαν ὑποκρίνονται, τῇ δὲ ἀληθείᾳ καὶ τῷ σκοπῷ ἀνελεύθεροι εὑρίσκονται καὶ ἀμετάδοτοι ἐλέγχονται· ὅτι γὰρ οὐδὲ ὅταν ὁ Θεὸς κολάζῃ τινὰ φείδεσθαι βούλεται ἡμᾶς τοῖς κολαζομένοις δῆλον· φησὶ γὰρ Ἰεζεκιὴλ διὰ τοῦτο τοὺς Μωαβίτας κολάζεσθαι[2], διότι ἐπέχαιρον τοῖς Ἰσραηλίταις, καίτοι γε ὁ Θεὸς αὐτοὺς ἐκόλαζεν.

59,78,23-24. Ὅτι μὲν οὖν οὐκ ἐκ τοῦ Θεοῦ τὸ εὖ πράττειν αὐτοὺς εἶναι νομίζουσι.

Οἱ λέγοντες, φησίν, ὅτι ἐκ Θεοῦ ἔχουσι τὸν πλοῦτον, ἐὰν ἀληθῶς τοῦτο ὑπελάμβανον, ὅτι ὁ Θεὸς ἐχορήγει αὐτοῖς, ἃ ἔχουσιν, οὐκ ἂν οὕτω ἀσπλάγχνως διενοοῦντο περὶ τῶν δεομένων· οἱ γὰρ ἔχοντες παρὰ Θεοῦ καὶ κατὰ τὸ τοῦ Θεοῦ θέλημα πάντως χρῶνται οἷς ἔχουσιν, ὅτι δὲ καὶ τοῖς νοσοῦσι **378** καὶ πενομένοις παρὰ Θεοῦ ἐστιν ἡ κακοπάθεια οὐ δύναμαι ἀποφήνασθαι ἕως ἂν βλέπω, ὅτι ὑπὸ φθορὰν καὶ ἀλλοίωσίν ἐστι τοῦτο τὸ πᾶν καὶ τοῖς ἐκ τοῦ σώματος πολυτρόποις κακοῖς διὰ τὴν ἔμφυτον ἀσθένειαν ὑποκείμεθα· ὑλικὰ γὰρ ὄντα καὶ ἡμῖν τὰ σώματα τῆς ὑλικῆς ἀταξίας καὶ μεταβολῆς μετείληχε καὶ τοῖς νόμοις τῆς ὕλης τὰ τῆς ὕλης ἀκολουθεῖ καὶ μιμεῖται ῥεῦμα ἀστατοῦν καὶ μὴ παραμένον. Καὶ τίς οἶδεν εἰ ὁ μὲν δυστυχῶν διὰ τὰς ἁμαρτίας αὐτοῦ δυστυχεῖ, ὁ δὲ εὐτυχῶν ὡς δι᾽ ἀρετὴν ὁ παρὰ τοῦ Θεοῦ ἐπαινούμενος ὑψοῦται, ἀλλὰ μὴ ἀντιστρόφως τὸ πρᾶγμα γίνεται, καὶ ὁ μὲν πονηρὸς ἐᾶται ἐπὶ πολὺ ὑψωθῆναι, ἵνα ἀναπολόγητος ᾖ καὶ κολασθῇ δικαιότερον, ὡς μηδὲ ὑπὸ τῆς θείας εὐεργεσίας κρείττων γινόμενος, ὁ δὲ δίκαιος πιέζεται παρὰ τὴν τῶν πολλῶν δόκησιν δι᾽ ἀρετήν, ἵνα καθάπερ χρυσὸς ἐν πυρὶ δοκιμασθείς, εἰ καὶ μικρόν τι τῆς κακίας ἔχει, ἐκτήξῃ τοῦτο. «Τίς γὰρ καθαρὸς ἔσται ἀπὸ ῥύπου, ἀλλ᾽ οὐδεὶς ἐὰν καὶ μίαν ἡμέραν ἔχῃ ὁ βίος αὐτοῦ ἐπὶ τῆς γῆς»[3]. Ἠκούσαμεν τοῦ Ἰὼβ λέγοντος, εἰ γὰρ ἕτερος ἑτέρου δοκιμώτερος φαίνεται, ἀλλ᾽ οὖν ἐν γεννητῇ φύσει οὐκ ἔστιν εὑρεῖν τι παντελῶς ἄρρυπον καὶ ἀναμάρτητον. Εὑρίσκω δὲ καὶ τοιοῦτόν τι μυστήριον ἐν τῇ θείᾳ Γραφῇ, ὅτι τινὲς διὰ δοκιμασίαν κακοπαθοῦσιν, ὥσπερ ὁ Ἰώβ, καὶ πολλὰς ἔχω τὰς γραφικὰς μαρτυρίας, ἀλλ᾽ ὅπερ φησὶν ὁ θαυμάσιος Σειράχ, ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξαριθμήσει. Ὕψος οὖν οὐρανοῦ καὶ πλάτος γῆς καὶ ἄβυσσον καὶ σοφίαν τίς ἐξιχνιάσει»[4]. Σοφίαν δέ φημι τὴν τοῦ Θεοῦ, ἀφ᾽ ἧς καὶ ἐποίησε τὰ πάντα

---

1. Πρβλ Ἡσ 8,19 2. Πρβλ Ἰεζ. 25,9,11. 3. Ἰὼβ 14,4-5.
4. Σ. Σειρ 1,2

καὶ οἰκονομεῖ, ὡς αὐτὸς οἶδεν· ἀρκεῖ γὰρ θαυμάσαντας μόνον τὸ δυσκατανόητον τῶν τοῦ Θεοῦ οἰκονομιῶν παρελθεῖν καὶ εἰπεῖν μετὰ Παύλου, «ὢ βάθος πλούτου»[1] καὶ τὰ ἑξῆς, καὶ μετὰ τοῦ Ἠσαΐου, «τίς ἔγνω νοῦν Κυρίου»[2], καὶ μετὰ τοῦ Ἰώβ, εἰς τὰ ἔσχατα τῆς σοφίας αὐτοῦ τίς ἀφίκοιτο[3]; φαίη δὲ καὶ Ὠσηέ, «τίς σοφὸς καὶ συνήσει ταῦτα»[4] καὶ οὐχὶ τῷ ἀμετρήτῳ καὶ ἀκαταλήπτῳ μετρήσει τὰ ἀμέτρητα; Ἐκ γὰρ τοῦ μὴ ἐφικνεῖσθαι, μηδὲ εἰς κατάληψιν τῶν τοῦ Θεοῦ κριμάτων ἔρχεσθαι διδάσκεταί τις ἀχανῆ ταῦτα εἶναι καὶ ἀριθμοῦ καὶ μέτρου παντὸς ὑπερκείμενα.

59,79,10. Ἄλλος μὲν οὖν εἴη περὶ ταῦτα τολμηρός.

Ἄλλος μὲν ἀποφαίνεσθαι περὶ τούτων τολμάτω, ἐγὼ δὲ φοβοῦμαι εἰπεῖν ὅτι πάντως ἡ ἐνταῦθα κόλασις διὰ κακίαν γίνεται, ἡ δὲ ἄνεσις δι' ἀρετήν, ἀλλὰ δυσπαθοῦσι πολλοὶ πολλάκις πονηροί, ἵνα ἐκκοπῇ ἡ κακία, καὶ εὐπαθοῦσι πάλιν οἱ ἀγαθοί, ἵνα εὐοδωθῇ ἡ ἀρετή. Οὐκ ἀεὶ δὲ τοῦτο συμβαίνει, οὐδὲ ἐξ ἀνάγκης· ἡ γὰρ τῶν κατ' ἀξίαν ἀντίδοσις τοῦ μέλλοντός ἐστι καιροῦ καλοῦ· ἀναστήσονται γάρ, φησὶν ἐν τῷ Ἰωάννῃ ὁ Κύριος, «οἱ μὲν τὰ ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως»[5]. Τὰ δ' ἐνταῦθα ἑτέρου τρόπου ἐστὶ καὶ ἄλλης διεξαγωγῆς καὶ οἰκονομίας, πλὴν καὶ ἡ δοκοῦσα ἡμῖν ἀνωμαλία ἔχει τι ὁμαλὸν παρὰ τῷ Θεῷ, ὥσπερ καὶ ἐν τῷ σώματι ἔχουσιν αἱ εἰσοχαὶ καὶ ἐξοχαὶ καὶ τὰ μεγέθη **379** καὶ αἱ μικρότητες καὶ ὥσπερ αἱ τῆς γῆς ἐπαναστάσεις καὶ ὑφέσεις· ἐξ αὐτῶν γὰρ τὸ κάλλος τῇ πρὸς ἄλληλα σχέσει συνίσταται, ἐπεὶ καὶ ὁ ἀνδριαντοποιὸς ὅταν πρὸς ἀνδριάντος κατασκευὴν τὸν χαλκὸν εὐτρεπίζῃ καὶ ποιῇ εἰσοχάς τινας καὶ ἐξοχάς, ἡ ἐνταῦθα ἀνωμαλία τεχνικῶς παρ' αὐτοῦ γίνεται, ἡμῖν δὲ τότε νοεῖται ὅταν ἴδωμεν τὸ κάλλος τοῦ ἀνδριάντος ἀποτελεσθέν. Ἀλλ' οὔτε ὁ ἀνδριαντοποιὸς ἄτεχνος ἦν, διότι ἡμεῖς ἀγνοοῦμεν τὰ τῆς τέχνης ἐκείνου, οὔτε τὰ ἐνταῦθα διοικοῦνται ἀτάκτως, διότι τοὺς λόγους καὶ τὰς αἰτίας οὐκ οἴδαμεν· πείθομαι γὰρ μηδὲν ἄλογον εἶναι παρὰ τῷ λόγῳ τῷ ἡμετέρῳ, κἂν ἡμῖν οὕτω φαίνηται, εἰ δὲ καὶ ἡμῖν πάνδηλα ἦν, ποῦ τὸ πιστεύειν; Ἡ πίστις γάρ ἐστιν ἀπράγων σύνεσις.

59,79,29. Ἀλλ' εἴ τινα δεῖ καὶ εἰκόνα λαβεῖν.

Ὥσπερ φησὶν οἱ ἰλιγγιῶντες δοκοῦσι τὰ πάντα στρέφεσθαι αὐτοὶ τοῦτο πάσχοντες, οὕτω καὶ οἱ περιεργαζόμενοι τὰς τοῦ Θεοῦ οἰκονομίας, ἐπειδὰν πρός τι τῶν συμβαινόντων ἰλιγγιάσκουσι, δέον αὐτοὺς κοπιάσαι ἐρευνῶντας ὥστε θηρεῦσαι διὰ τῆς φιλοπονίας τὴν ἀλήθειαν ἢ ἄλλους ἐρωτῆσαι σοφωτέρους, ἐπειδὴ καὶ τὸ χάρισμα τῆς γνώσεως οὐ πάντων ἐστὶν ἢ διὰ βίου κεκαθαρμένου, ὅστις ἐστὶν ἡ

---

1. Ρωμ. 11,33. 2. Ἠσ. 40,13. 3 Πρβλ. Ἰὼβ 11,7 4. Ὠσ. 14,10. 5. Ἰω. 5,29.

πρώτη σοφία, αἰτεῖν τὸ ἀληθές, ἐκεῖνοι ἐπὶ τὸ ἑτοιμότερον τρέπονται καὶ διότι ἀγνοοῦσι τὸν λόγον ἀλόγως καταψεύδονται τοῦ παντός, τουτέστιν ἀλόγως φασὶ πάντα φέρεσθαι καὶ αὐτομάτως καὶ ἵνα εἴπω τι παράδοξον διὰ πολλὴν σοφίαν εἰσὶν ἄσοφοι· δοκοῦντες γὰρ σοφοὶ παρ' ἑαυτοῖς ἀπέμειναν ἄσοφοι καὶ ἀπαίδευτοι. Ἐντεῦθεν οἱ μὲν Ἐπικούρειοι πάντα ὡς ἔτυχε φέρεσθαι καὶ αὐτομάτως ἀκυβέρνητα καὶ ἀδιοίκητα ἐδογμάτισαν, μηδεμιᾶς προνοίας διὰ τῶν πραγμάτων ἠκούσης καὶ ὡσὰν συντομώτερον εἴποιμεν, τὴν πλάνην αὐτῶν πρὸς ἀθεΐαν αὐτοῖς βλέπει τὰ δόγματα. Ἄλλοι τοῖς κινήμασι τῶν ἀστέρων πλέκεσθαι τὰ ἡμέτερα ἐφλυάρησαν, μᾶλλον δὲ καὶ αὐτὸ τὸ πλέκειν ἀνάγκῃ τινὶ ἀλογίας διδόασι, συνόδους τινὰς καὶ ἀποστάσεις ἀστέρων εἰσάγοντες καὶ κίνησιν αὐτῶν τοῦ παντὸς κυριεύουσαν. Ὁ δὲ Ἀριστοτέλης μέχρι σελήνης τὴν πρόνοιαν ἱκνεῖσθαι ἔλεγε, τὰ δὲ κατώτερα ταύτης ἀπρονόητα εἶναι καὶ ὡς ἔτυχε φέρεσθαι, ὡσανεὶ φοβούμενος μὴ ἀγαθώτερος φανῇ ὁ Θεὸς ἢ μὴ κοπιάσῃ εὐεργετεῖν πλείονα.

59,80,15. Ἀ λ λ' ο ὗ τ ο ι μ ὲ ν ὅ π ε ρ ε ἶ π ο ν.

Οἱ μὲν τὴν τύχην καὶ τὸ αὐτόματον δογματίσαντες ἀπορριφθήτωσαν, ἐπεὶ καὶ καλῶς πρὸ ἡμῶν ὁ μακάριος Παῦλος αὐτοὺς ἠμύνατο· «ἐματαιώθησαν» γάρ, φησίν, «ἐν τοῖς διαλογισμοῖς αὐτῶν καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία· φάσκοντες εἶναι σοφοὶ ἐμωράνθησαν καὶ ἤλλαξαν τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ πετεινῶν καὶ τετραπόδων καὶ ἑρπετῶν»[1] καὶ μύθους τινὰς ἀναπλάσαντες καὶ αὐτοματισμοὺς τὴν πρόνοιαν ἠρνήσαντο. Ἡμεῖς δὲ μήτε αὐτοὶ τὰς τερατείας καὶ μυθολογίας ταύτας πλάττωμεν, εἴπερ μέλει ἡμῖν τοῦ λόγου, καθ' ὃν λογικοί ἐσμεν, μήτε τοὺς πλάττοντας ἀποδεχώμεθα, κἂν εὐδρομῶσι τὴν γλῶτταν καὶ **380** τοῖς ἀτόποις λόγοις καὶ δόγμασι καὶ τῷ καινῷ τέρπωσιν ἢ κἂν τὰς λύχνους ἀκοὰς ἐφέλκωνται τῷ ἀήθει καὶ ξενίζοντι καὶ διὰ τοῦτο τερπνῷ· τοιοῦτος γὰρ ὁ μῦθος· ἀλλὰ πιστεύσωμεν ὅτι οὔτε ἐξ ἀρχῆς ἐγένετο τὸ πᾶν μὴ οὐσιώσαντος αὐτό τινος καὶ ὅτι ὁ παραγαγὼν αὐτὸς καὶ συνέχει τῇ προνοίᾳ· εἰ γὰρ μὴ ἦν ὁ προνοούμενος, διελύθη αὖ τὸ πᾶν, ὥσπερ ναῦς ἀκυβέρνητος ὑπὸ σφοδροῦ ἀνέμου καὶ εἰς τὴν ἀρχαίαν ἀκοσμίαν ἐπανήχθη τὴν πρὸ τοῦ διακριθῆναι καὶ κοσμηθῆναι τὸ πᾶν· ὑπὲρ δὲ τὰ ἄλλα πάντα ἡμῶν προνοεῖσθαι τὸν Θεὸν ὁμολογήσωμεν τὸν ἡμέτερον εἴτε ποιητὴν διὰ τὴν ψυχὴν εἴτε πλάστην διὰ τὸ σῶμα κατὰ τὸ «αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με»[2]. Ὁ μὲν γὰρ ποιητὴς οὐδενὸς ἑτέρου προσδεόμενος ἐκ τῆς ἑαυτοῦ δυνάμεως καὶ ἐξουσίας ποιεῖ τὸ ποιούμενον, ὁ δὲ πλάστης τὴν τῆς δημιουργίας δύναμιν, ἐπὶ τῆς ὕλης εἰληφὼς κατασκευάζει τὸ γιγνόμενον. Πιστεύομεν τοίνυν ὅτι ὁ Θεὸς ἐπιστατεῖ μάλιστα τοῖς ἡμετέροις, κἂν ὁ βίος ἡμῶν διὰ τῶν ἐναντίων διεξάγηται, νόσου καὶ ὑγείας, πλούτου καὶ πενίας καὶ τῶν τοιούτων

---

1 Ρωμ 1,21-23. 2. Ψαλ. 118,73

δεξιῶν καὶ ἀριστερῶν, ἅτινα διὰ τοῦτο τάχα ἀγνοοῦνται ἡμῖν, ἵνα θαυμάζωμεν τὸν ὑπὲρ πάντα λόγον διὰ τὴν ἀκαταληψίαν· τὸ γὰρ διαφεῦγον τὴν ἔφεσιν γυμνάζει τὸν πόθον ἡμῶν, τὸ δὲ ἐκ τοῦ προχείρου καταληπτὸν εὐκαταφρόνητον· διὰ τοῦτο τυχὸν καὶ ἀγνοοῦμεν, ἵνα τῷ δυσθεωρήτῳ τὸν ὑπὲρ πάντα λόγον θαυμάζωμεν, ἐπεὶ τὸ μὲν ῥᾳδίως ληπτὸν ἅπαν εὐκαταφρόνητον, τὸ δὲ ὑπὲρ ἡμᾶς ὅσον δυσεφικτότερον τοσούτῳ θαυμασιώτερον καὶ γυμνάζει τὸν πόθον ἅπαν τὸ διαφεῦγον τὴν ἔφεσιν.

59,80,38. Διὰ τοῦτο μήτε ὑγείαν πᾶσαν θαυμάζωμεν.

Ἐπειδὴ ἀγνοοῦμεν τοὺς λόγους τῶν ἐνταῦθα γινομένων, μὴ τὰ δοκοῦντα δεξιὰ θαυμάζωμεν, τὰ δὲ ἀριστερὰ διαβάλλωμεν, ἀλλὰ μάθωμεν ὅτι κρείττων ὑγείας ἀχαλινώτου νόσος φιλόσοφος καὶ πλούτου ἀδίκου πενία ὁσία καὶ εὐχάριστος καὶ τῷ Δαβὶδ πειθώμεθα ψάλλοντι, «πλοῦτος ἐὰν ῥέῃ, μὴ προστίθεσθε καρδίαν»[1], τουτέστι μὴ τῇ ῥοῇ τοῦ πλούτου πρόσκεισθε, μηδὲ πλέον τοῦ εἰκότος ὡς καὶ μέρος τι τῆς ψυχῆς προσδαπανᾶν, κόλπους δ' Ἀβραὰμ[2] τὴν περιοχὴν τῶν ἀγαθῶν, τῶν ἀποκειμένων τοῖς δικαίοις, τοῖς ἀπὸ ζάλης εἰς λιμένας οὐρανίους καταντήσασι.

59,81,11. Ἀλλ' ἐμοὶ μέν.

Ἐμοί, φησίν, ἀναγκαῖον δοκεῖ ἡ πρὸς τοὺς δεομένους φιλανθρωπία διὰ τὸ ἐπιστομίζειν τοὺς οὕτω ὑπολαμβάνοντας ὅτι αὐτοῖς μὲν παρὰ Θεοῦ τὸ πλουτεῖν, ἄλλοις δὲ τὸ ταλαιπωρεῖν καὶ διὰ τὸ μὴ ἐνδιδόναι τοῖς ματαιοις αὐτῶν λόγοις, ἵνα μὴ λάθωμεν νομοθετήσαντες καθ' ἑαυτῶν τὴν ὠμότητα· ὥσπερ γὰρ διὰ τοῦ ἐλεεῖν τὸν παρὰ Θεοῦ ἔλεον ἐπισπώμεθα, οὕτω διὰ τοῦ ἀφιλανθρώπου τὸ ἀφιλάνθρωπον, πάντων δὲ τὸ πλέον τὴν περὶ τῆς ἐλεημοσύνης ἐντολὴν αἰδώμεθα καὶ τιμῶμεν· πάντες γὰρ οἱ πνευματοφόροι περὶ αὐτῆς ὡς περὶ μεγάλου τινὸς καὶ ἀναγκαίου καὶ ἀεὶ καὶ ἐν πρώτοις καὶ μετ' ἐπιμονῆς διακελεύονται, ἵνα διὰ τοῦ συνεχῶς ὑπομιμνήσκειν ἐνεργηθῆναι **381** ταύτην παρ' ἡμῶν ποιήσωσιν, αὐτίκα ὁ Δαβὶδ ἀνιστάμενον εἰσάγει τὸν Θεόν, ἤγουν διεγειρόμενον εἰς ἐκδίκησιν ἕνεκεν τῶν πτωχῶν καὶ ἀναστῆναι παρακαλεῖ αὐτὸν καὶ ὑψῶσαι τὴν κολαστικὴν χεῖρα[3], ἵνα ἐπαρθεῖσα πληγὴν ἐπενέγκῃ, ὅπερ καὶ δι' Ἡσαΐου ὁ Θεὸς ἀπειλεῖ λέγων, «ἐπάξω τὴν χεῖρά μου ἐπὶ σὲ καὶ πυρώσω σε εἰς καθαρόν, τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω»[4]. Τίς οὐ φοβεῖται τὴν χεῖρα ταύτην, τὴν τοὺς ἀπειθεῖς ἀπολλύουσαν καὶ τοὺς σκληροὺς κατὰ τὴν ψαλμῳδίαν· «οὐκ εἰσήκουσαν» γάρ φησι, «τῆς φωνῆς τοῦ Κυρίου καὶ ἐπῆρε τὴν χεῖρα αὐτοῦ ἐπ' αὐτούς, τοῦ καταβαλεῖν αὐτοὺς ἐν τῇ ἐρήμῳ»[5]. Τοσοῦτος δὲ ὁ λόγος τῷ Θεῷ τῶν πενήτων, ὥστε οἱ μὲν ὀφθαλμοὶ αὐτοῦ, ἡ κρείττων καὶ κυριωτέρα

---

1. Ψαλ. 61,10. 2. Πρβλ. Λουκ. 16,23. 3 Πρβλ Ψαλ 9,33
4. Ἡσ. 1,25 5. Ψαλ 105,26

καὶ φρουρητικὴ ἐνέργεια, ἐπὶ τὸν πένητα ἀποβλέπουσι, τὰ δὲ βλέφαρα αὐτοῦ, ἡ ἐλάττων καὶ δευτέρα ἐπισκοπή, ἐξετάζει τοὺς υἱοὺς τῶν ἀνθρώπων, κἂν πολλοὶ ὦσιν, ὡσανεὶ μὴ παρατηρούμενον τὰ αὐτῶν ἁμαρτήματα.

59,81,35. Τάχα ἂν εἴποι τις ὑπὲρ τῶν ἀδικουμένων ταῦτα πτωχῶν καὶ πενήτων.

Ἴσως, φησίν, ἀντιθήσει τις ὅτι ὑπὲρ ἀδικουμένων πτωχῶν ἡ Γραφὴ λέγει ταῦτα. Ἔστω, οὐ ζυγομαχῶ, οὐδὲ ἀνίσταμαι, ἀλλά σε καὶ ταῦτα διεγειρέτω εἰς φιλανθρωπίαν· εἰ γὰρ ἀδικουμένων τῶν πενήτων ὁ Θεὸς ἀγανακτεῖ, εὐεργετουμένων πάντως ἡσθήσεται· κατὰ γὰρ τὸν Σολομῶντα, «ὁ ἀτιμάζων πένητα ἁμαρτάνει, ὁ ἐλεῶν δὲ πτωχοὺς μακαριστός» καὶ «ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν»[1]. Σὺ δὲ πρόστηθι καὶ τὸ ἀκόλουθον, ὅτι ὁ περιέπων τὸ ποίημα τιμᾷ τὸν ποιήσαντα. Ἐὰν δὲ ἀκούσῃς τοῦ Σολομῶντος λέγοντος, «πένης καὶ πλούσιος συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησεν»[2], μὴ ὑπολάβῃς ὅτι τὸν μὲν πένητα τὸν δὲ πλούσιον ἐποίησεν, ἵνα κατεπαρθῇς τοῦ πένητος ὡς ἐκ Θεοῦ κακοπαθοῦντος· ἄδηλον γὰρ εἰ ἀπὸ Θεοῦ ἡ τοιαύτη διαίρεσις καὶ τῷ μὲν ἀπὸ Κυρίου ὁ πλοῦτος, τῷ δὲ ἡ πενία, ἀλλὰ τὸ ἐποίησεν ἀμφοτέρους ἀντὶ τοῦ ἔπλασε νόησον· ὅμοιον γάρ φησι πλάσμα Θεοῦ καὶ ὁ πτωχὸς καὶ ὁ πλούσιος, κἂν τὰ ἔξωθεν ὦσιν αὐτοῖς ἄνισα, ἤγουν κἂν ὁ μὲν πενιτεύῃ, ὁ δὲ πλουτῇ. Καὶ λέγει ταῦτα ὁ Σολομών, ὅτι ἀμφότεροι παρὰ Θεοῦ ἐπλάσθησαν, ἐφελκόμενός σε εἰς συμπάθειαν, ἵνα, ὅταν ὑπὸ τῶν ἔξωθεν ἐπαρθῇς, φημὶ δὲ τοῦ πλούτου καὶ τῶν χρημάτων, πάλιν ὑπὸ τούτου συσταλῇς μαθὼν ὅτι ὅμοιος ἐπλάσθης τῷ πένητι.

59,82,7-8. Τί ὅτι ὁ ἐλεήμων.

Φησὶν ὁ Σολομών, «ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ»[3], τῷ ἀποδιδόντι μετὰ τόκου τὸ δάνειον. Πάλιν λέγει, ἐλεημοσύναις ἀποκαθαίρονται ἁμαρτίαι[4], ὥσπερ τῇ πόᾳ τῇ λεγομένῃ δορύχνιον κηλῖδες τοῦ σώματος, ἧς μέμνηται Ἱερεμίας λέγων· ἐὰν πληθύνῃς σεαυτῷ πόαν, κεκηλίδωσαι ἐν ταῖς ἀδικίαις σου ἐναντίον ἐμοῦ[5], λέγει Κύριος· καὶ ὁ Μαλαχίας περὶ τοῦ Κυρίου φησίν, αὐτὸς πορεύεται ὡς πῦρ χωνευτήριον καὶ ὡς πόα πλυνόντων[6]· βοτάνη γάρ τίς ἐστι καθαρτική, ἣν κατατρίβοντες πρὸς τὰς ῥίψεις χρῶνται τῶν αἰσθημάτων, σμῆγμα ταύτην ἀπὸ τῆς ἐνεργείας ὀνομάζοντες. Ῥίψωμεν οὖν διὰ τῆς ἐλεημο**382**σύνης, ὡς διὰ βοτάνης καθαρτικῆς, τὰ τῶν ψυχῶν ῥυπάσματα καὶ κατὰ τὴν προφητείαν Ἡσαΐου λευκανθῶμεν οἱ μὲν ὡς ἔριον, οἱ δὲ ὡς χιὼν[7] κατ' ἀναλογίαν πάντως τῆς ἐλεημοσύνης· εἰ μὲν γὰρ ταύτην δαψιλεστέραν ἐπιδειξάμενοι πλέον καθαρθησόμεθα ὥστε λευκοὶ γενέσθαι ὡς χιών, εἰ δὲ μετριωτέραν εἰς γοῦν τὴν τοῦ ἐρίου λευκότητα φθάσομεν, τὴν

1. Παρμ 14,21,31. 2. Παρμ. 22,2 3. Παρμ. 19,17. 4. Πρβλ· Παρμ 15,27 5. Πρβλ Ἱερ. 2,22. 6. Πρβλ. Μαλ. 3,2. 7. Πρβλ. Ἡσ. 1,18

ἐλάττονα. Ὡς οὖν τὸ ἔριον φυσικῶς λευκὸν ὑπάρχον ἐξ ἐπιμελείας αὐτοῦ λευκότερον γίνεται, οὕτω καὶ ὁ ἄνθρωπος τὰς φυσικὰς εἰς ἀρετὴν ἀφορμὰς ἐξ ἀσκήσεως τελειῶν ἐπὶ πολὺ τῆς ἀρετῆς προελθεῖν δύναται. Πάλιν ἡ χιὼν ὕδωρ οὖσα τῇ ὑποκειμένῃ τῇ τοῦ ἀέρος προσθήκῃ λευκὴ γίνεται, ὅταν τὸ ἐν νεφέλαις ὑγρὸν ὑπὸ μὲν τῆς σφοδρᾶς κινήσεως τοῦ ἀνέμου εἰς ἀφρὸν ἐξοιδαίνηται, ὑπὸ δὲ τῆς ἐν τῷ ἀέρι πήξεως συμπήγνυται, οὕτω καὶ ψυχὴ τὰς φυσικὰς ἀφορμὰς οἰκείᾳ τε ἀσκήσει καὶ τῇ βοηθείᾳ τοῦ Πνεύματος αὐξήσασα ἀξία γίνεται τῆς τῶν ἁγίων λαμπρότητος. Τοῦ Ἡσαΐου μέντοι ἐστὶ καὶ τὸ «οὔτε τραῦμα οὔτε μώλωψ οὔτε πληγὴ φλεγμαίνουσα»[1]. Ἔστι δὲ τραῦμα μὲν λύσις τῆς τοῦ σώματος συνεχείας κατὰ μικρόν τι μέρος τῆς συναφείας διακοπείσης, μώλωψ δὲ ἴχνος πληγῆς ὕφαιμον πλασθέντος τοῦ σώματος ἐκ τῆς ἀντιτυπίας τοῦ πλήξαντος, φλεγμονὴ δὲ ὄγκος πυρώδης συρρυέντων ἐπὶ τὸ ἀσθενῆσαν μέλος τῶν ὑγρῶν καὶ τῇ παρὰ φύσιν θερμοκρασίᾳ φλεγόντων τὸ πεπονθός· ταῦτα δὲ πάθη τοῦ σώματος ὄντα εἰς τὰ κατὰ ψυχὴν μεταφέρει τροπολογῶν ὁ Θεολόγος καὶ τραῦμα μὲν ἴσως λέγει τὰς πρὸς ἀλλήλους διαφορὰς καὶ μάχας καὶ τὰ ἐντεῦθεν σχίσματα, μώλωπα δὲ τὴν ὕπουλον καρδίαν καὶ φλεγμονὴν τὴν ἐξ ἀλόγου οἰήσεως ἔπαρσιν. Πάλιν ἐν τῷ Λευϊτικῷ περὶ λέπρας σώματος ὁ νομοθέτης διαλεγόμενός φησιν· ἐάν τινι γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ οὐλὴ σημασίας ἢ τηλαυγὴς καὶ τὰ ἑξῆς· τὴν μέντοι οὐλὴν καὶ ἀφὴν καλεῖ, ἔστι δὲ οὐλὴ σηφάστας καὶ ἀφὴ τὸ ἴχνος τῆς λέπρας, δι' οὗ ἀμυδρῶς ἔτι σημαίνεται, τηλαυγὴς δὲ τὸ λευκότερον ἴχνος τῆς λέπρας, δι' οὗ καὶ πόρρωθεν ὁρᾶται καὶ δήλη ἐστί. Περὶ δὲ τῆς αὐτῶν καθάρσεως ὁ νόμος διαλαμβάνει, τουτέστιν ἀμυδρῶς καὶ σκιωδῶς, δέεται δὲ τὰ τοιαῦτα Χριστοῦ θεραπεύοντος, ὥσπερ οὖν καὶ ἐθεράπευσε πολλοὺς λεπριῶντας. Μεταφορικῶς δὲ ἀφὴ μὲν λέπρας ἡ ἀρχὴ τῆς ἁμαρτίας καὶ οἷον ἡ συγκατάθεσις, τηλαυγὴς δὲ ἡ φανερὰ πρᾶξις. Ὃ δὲ βούλεται ὁ Θεολόγος εἰπεῖν τοῦτό ἐστιν, ὅτι ἐὰν καὶ μηδὲν ἔχῃς τραῦμα ψυχικόν, ἀλλ' οὖν αἰδέσθητι Χριστόν.

59,82,18. Ἀλλὰ σύ γε τὸν ὑπὲρ ἡμῶν τραυματισθέντα.

Ἀλλ' οὖν αἰδέσθητι Χριστόν, ὃς κατὰ τὸν Ἡσαΐαν ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, αἰδεσθήσει δὲ Χριστόν, ἐὰν φανῇς φιλάνθρωπος τῷ τοῦ Χριστοῦ μέλει· εἰ γὰρ αὐτὸς κεφαλὴ τοῦ σώματος τῆς Ἐκκλησίας, κατὰ τὸν Ἀπόστολον, μέλη πάντως αὐτοῦ πάντες. Ἐὰν δὲ κατὰ τὴν ἐν Εὐαγγελίοις παραβολὴν ἄοπλον εὑρών σε ὁ λῃστὴς διάβολος, ὡς ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ, ἀπὸ τοῦ ὕψους τῆς ἀρετῆς εἰς ταπείνωσιν τῆς κακίας καταβαίνοντα **383** οὕτω δεινῶς κατετραυμάτισεν, ὥστε τὸ ψαλμικὸν ἐκεῖνο, ἁρμόζει σοι τὸ «προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου»[2]. Εἰ μὲν οὕτω διάκεισαι ὡς μηδὲ ζητῶν θε-

1. Ἡσ. 1,6. 2. Ψαλ. 37,6

ραπείαν, ἀλλ' εἰς τελείαν ἐλθεῖν ἀπόγνωσιν, θρήνῳ σε τῆς συμφορᾶς, εἰ δὲ οὐκ ἀπελπίζεις τὴν σωτηρίαν, πρόσελθε τῷ ἰατρῷ, θεράπευσον τὰ σὰ ψυχικὰ τραύματα διὰ τῆς θεραπείας τῶν ἀλλοτρίων τραυμάτων, τῶν σωματικῶν, κτῆσαι τῷ ὁμοίῳ τὸ ὅμοιον, τουτέστι διὰ τῆς θεραπείας τῶν ἄλλων τὴν σεαυτοῦ θεραπείαν, μᾶλλον δὲ διὰ τῆς ἐλάττονος καὶ σωματικῆς τὴν μείζονα καὶ ψυχικήν. Ἐὰν οὕτω ποιήσῃς, ἐρεῖ τῇ ψυχῇ σου, σωτηρία σού εἰμι ἐγὼ κατὰ τὴν ψαλμῳδίαν. Καὶ ταῦτα δὴ τὰ ἐν τοῖς Εὐαγγελίοις ἡ πίστις σου σέσωκέ σε καὶ ἴδε ὑγιὴς γέγονας καὶ ὅσα φιλανθρωπίας ῥήματα, μόνον ἐὰν ἴδῃ καὶ σὲ τοῖς ἀλγοῦσι φιλανθρωπευόμενον.

59,82,34. Μακάριοί φησιν οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται.

Ἐπειδὴ μακαρίζονται οὐ μετὰ πολλούς, ἀλλ' ἐν τοῖς πρώτοις οἱ ἐλεήμονες, ἁρπάσωμεν καὶ ἡμεῖς τὸν μακαρισμὸν διὰ τοῦ ἐλεεῖν καὶ ἐπειδὴ παρὰ τῆς ψαλμῳδίας «μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα»[1] καὶ «χρηστὸς ἀνὴρ ὁ οἰκτείρων καὶ κιχρῶν»[2], ἤτοι διδοὺς καὶ παρέχων, γενώμεθα καὶ ἡμεῖς χρηστοὶ ὡς κιχρῶντες καὶ θελήσωμεν συνιέντες κληθῆναι, τουτέστι συνετοὶ καὶ ἐννοοῦντες τὰ καθήκοντα· συνετὸς γὰρ ὄντως ὁ ἐννοῶν ἃ προσήκει περὶ τῶν πενήτων. Λέγει καὶ ἡ παροιμία, «μὴ εἴπῃς ἐπανελθὼν ἐπάνηκε καὶ αὔριον δώσω σοι δυνατοῦ σου ὄντος εὖ ποιεῖν»[3]· οὐ γὰρ οἶδας τί τέξεται ἡ ἐπιοῦσα. Λέγει δὲ καὶ Ἡσαΐας, «διάθρυπτε πεινῶντι τὸν ἄρτον σου»[4] καὶ ταῦτα μετὰ προθυμίας, κατὰ τὴν τοῦ Σειρὰχ ὑποθήκην λέγοντος, ἐν πάσῃ δόσει ἱλαρὸν ἔστω τὸ πρόσωπόν σου[5], καὶ κατὰ τὴν παροιμίαν τὴν φάσκουσαν, «ἄνδρα ἱλαρὸν καὶ δότην ἀγαπᾷ ὁ Θεός»[6], καὶ κατὰ τὸν Ἀπόστολον, «ὁ ἐλεῶν γάρ, φησίν, ἐν ἱλαρότητι»[7], ἵνα τῇ προθυμίᾳ διπλασιασθῇ ὁ ἔλεος· τὸ γὰρ «ἐκ λύπης ἢ ἐξ ἀνάγκης»[8] ἀτερπὲς καὶ ἀχαλλὲς ὁ μέγας Παῦλος ὁρίζεται· χρὴ γὰρ μετὰ πάσης τερπωλῆς καὶ εὐφροσύνης τὸ δῶρον δίδοσθαι, ἀλλὰ μὴ μετὰ λύπης καὶ στυγνότητος.

59,83,12,8. Τίς οὖν οὐκ ἐφίεται φωτὸς καὶ ἰάσεως. Ἐὰν ἀνέλῃς σύνδεσμον.

Ἡσαΐου μὲν τὰ ῥητά, ἑρμηνεύων δὲ ταῦτα ὁ Θεολόγος, σύνδεσμον μὲν νοεῖ τὴν μικρολογίαν, εἴτουν τὴν φειδωλίαν· ὁ γὰρ φειδωλὸς οἱονεὶ δεσμεῖ καὶ συστέλλει τὴν χεῖρα καὶ οὐκ ἐκτείνει αὐτὴν εἰς μετάδοσιν, χειροτονίαν δὲ ὀνομάζει τὴν δοκιμασίαν τοῦ ληψομένου, ὅστις τε ἄξιος καὶ ὅστις οὔ, ὅπερ ἐν ταῖς χειροτονίαις γίνεται, πολλῷ δὲ βέλτιον διὰ τοὺς ἀξίους διδόναι καὶ τοῖς ἀναξίοις ἢ τοὺς ἀξίους ἀποστερεῖν δέει τῶν ἀναξίων. Σὺ οὖν ἐὰν ἀνέλῃς σύνδεσμον καὶ χειροτονίαν καὶ ῥῆμα γογγυσμοῦ, ὅπερ πολλοὶ πάσχουσι διδόντες μέν, τὸ δὲ προθύμως οὐ

---

1 Ψαλ. 40,1. 2 Ψαλ 111,5. 3. Παρμ 3,28. 4. Ἡσ. 58,7. 5 Πρβλ Σ Σειρ 26,4 6 Παρμ 22,8. 7. Ρωμ. 12,8. 8. Ρωμ. 9,7.

προστιθέντες, οὐχ ἁπλῶς δοθήσεταί σοι παρὰ Θεοῦ τὸ φῶς, ῥαγήσεται δὲ μᾶλλον κατὰ τὴν προφητείαν, οἷον ἀστραπῆς τινος δίκην σὺν ὁρμῇ καὶ δρόμῳ καθιέμενον παρὰ Θεοῦ, δι' οὗ δείκνυται σαφῶς τοῦ χορηγοῦντος ἡ προθυμία· οἱονεὶ γὰρ ὠδίνει τὴν ἔλλαμ384ψιν καὶ ὁρμᾷ πρὸς τὸ εὐεργετῆσαι καὶ ἰάματά σου πάσης ἀρρωστίας ψυχικῆς ταχὺ ἀνατελεῖ. Ὁ τοίνυν ἐπιθυμῶν τοῦ θείου καὶ νοητοῦ φωτὸς καὶ τῆς ψυχικῆς ἰάσεως ἐλεείτω τοὺς πτωχούς.

59,83,13-14. Αἰδοῦμαι δὲ καὶ τὸ Χριστοῦ γλωσσόκομον, ὃ πρὸς πτωχοτροφίαν ἡμᾶς παρακαλεῖ.

Τὸ γλωσσόκομον, οὗ μέμνηται τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον, διὰ τοῦτο εἶχεν ὁ Χριστός, ἵνα τὰ παρά τινων αὐτῷ προσφερόμενα δεχόμενος καὶ ἐν αὐτῷ φυλάττων σκορπίζει πάλιν τοῖς χρῄζουσι. Παῦλος δὲ γράφει Γαλάταις, ὅτι ὁ «ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη· καὶ γνόντες τὴν χάριν τὴν δοθεῖσάν μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας, ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν· μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν»[1]. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν, ὅτι τὸ μὲν κήρυγμα διειλόμεθα ἐγὼ καὶ Πέτρος, ἐκεῖνος μὲν γὰρ τοῖς Ἰουδαίοις ἐκήρυττεν, ἐγὼ δὲ τοῖς ἔθνεσι· τῶν δὲ πτωχῶν τὴν φροντίδα κοινὴν εἴχομεν. Ὁ δὲ Κύριος ἐν Εὐαγγελίοις τῷ πλουσίῳ ἐκείνῳ νέῳ ἔφη, «εἰ θέλεις τέλειος εἶναι, ὕπαγε πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς»[2].

59,83,17 Οἴει μὴ ἀνάγκην εἶναί σοι τῆς φιλανθρωπίας. ἀλλ' αἵρεσιν.

Ἴσως, φησίν, ἀκούων, εἰ θέλεις πώλησόν σου τὰ ὑπάρχοντα, ὑπολαμβάνεις ὡς μὴ νόμον κεῖσθαι τὴν περὶ ἐλεημοσύνης ἐντολὴν ὥστε ἐξ ἀνάγκης γίνεσθαι, ἀλλ' ἁπλῶς προτροπὴν καὶ παραίνεσιν· κἀγὼ βουλόμενος ἀταλαιπώρως σῴζεσθαι ἤθελον ἐπὶ τῇ ἡμετέρᾳ προαιρέσει καὶ γνώμῃ κεῖσθαι τὴν ἐκπλήρωσιν τῆς ἐντολῆς, ἀλλὰ μὲ φοβεῖ τὸ Εὐαγγέλιον, ἐν ᾧ οἱ ἀμετάδοτοι ἐρίφια διὰ τὴν ἀκαρπίαν ὀνομασθέντες τὴν ἐξ εὐωνύμων στάσιν κατακρίνονται, οὐ δι' ἄλλο τι ἁμάρτημα, ἀλλ' ὅτι Χριστὸν διὰ τῶν πενήτων οὐκ ἐθεράπευσαν· «ἐπείνασα γάρ, φησί, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν»[3].

59,83,24-25. Εἴ τι οὖν ἐμοὶ πείθεσθε δοῦλοι Χριστοῦ καὶ ἀδελφοὶ καὶ συγκληρονόμοι.

Μὴ τραπέζῃ μόνον, φησί, τιμήσωμεν τὸν Χριστόν, ὡς Ματθαῖος καὶ Ζακχαῖος καί τις τῶν Φαρισαίων καὶ ὁ ἐν Κανᾷ γήμας καὶ Μάρθα καὶ Σίμων ὁ λεπρός, μηδὲ μύροις ὡς ἡ τοῦ Λαζάρου ἀδελφὴ Μαρία, μηδὲ τοῖς πρὸς ταφὴν ἐπιτηδείοις, ὡς ὁ Νικόδημος, ὃς ἐν νυκτὶ μόνον, ἥτις τὸ ἥμισυ τῆς ὅλης ἡμέρας ἐστίν, ἐντυγχάνων τῷ Χριστῷ εἰκό-

1 Γαλ. 2,8-10. 2 Ματθ. 19,21 3. Ματθ. 25,35

τως ἐξ ἡμισείας φιλόχριστος λεχθήσεται. Ἀλλ᾽ ἐπειδή, φασὶ δι᾽ Ὠσηὲ ὁ Κύριος, ἔλεον θέλω καὶ οὐ θυσίαν καὶ ὅ φασιν οἱ μακάριοι παῖδες ὑπὲρ μυριάδας ἀμνῶν πιόνων ἀρέσκει αὐτῷ ἡ ἐλεημοσύνη, ταύτην αὐτῷ διὰ τῶν πενήτων εἰσφέρωμεν καὶ πεισθῶμεν λέγοντι «ποιήσατε ἑαυτοῖς φίλους ἐκ τοῦ μαμωνᾶ τῆς ἀδικίας, ἵνα, ὅταν ἐκλείπητε, δέξωνται ἡμᾶς εἰς τὰς αἰωνίους σκηνάς»[1].

1 Λουκ. 16,9

ΝΙΚΗΤΑ ΗΡΑΚΛΕΙΑΣ

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΟΥΣ ΕΙΣ ΤΟ ΑΓΙΟΝ ΒΑΠΤΙΣΜΑ ΔΥΟ ΛΟΓΟΥΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ *

Ἐπεὶ γάρ φησιν· αὐτός ἐστιν ὁ γεννήσας, οὐδέποτε δὲ γεννηθείς, εἰκότως ἀγέννητος, ἐπὶ γὰρ ἡμῶν ἐξίσταται καὶ ὁ Πατὴρ τῆς ἀγεννησίας. Διότι μὴ γεγέννηκε μόνον Υἱόν, ἀλλ' ὅτι καὶ αὐτὸς ἐγεννήθη παρὰ Πατρός. Οὕτως οὖν καὶ ἐπὶ τοῦ Υἱοῦ ἰδιότης ἡ γέννησις, καὶ οὐδέποτε οὐδὲ οὗτος ἐξίσταται τῆς γεννήσεως. Διατί; Διότι οὐ καθάπερ καὶ ἐφ' ἡμῶν ἐστιν, ὅτε γεγέννηκεν, ἢ καὶ γεννᾶν ἕτερον φύσει Θεὸν κατὰ φύσιν λέγεται, ἀλλ' ἀεὶ γεννητός ἐστι καὶ ἐκ τοῦ Πατρός. Καὶ τὸ Πνεῦμα δὲ ὁμοίως οὔτε εἰς Πατέρα μεταπίπτειν δύναται οὔτε εἰς Υἱόν· οὔτε γάρ ἐστιν, ὅτε γεγέννηκεν ὥσπερ ὁ Πατήρ, οὔτε δὲ γεγέννηται ὥσπερ ὁ Υἱός· ἀλλ' ἐκπεπόρευται μόνον. Ἐπεὶ δὲ τὰς διακρίσεις ταύτας πεποίηκεν εὐλαβούμενος εὐθὺς τοὺς τὸ Πνεῦμα τῆς θεότητος ἀφορίζοντας, ἐπαναλαμβάνει τὸ ταὐτὸν τῆς φύσεως καὶ ἐπισφραγίζεται. Εἰ γὰρ ἐκπεπόρευται, φησίν, εὔδηλον ὅτι καὶ τῆς αὐτῆς φύσεως. Οὐ γὰρ τὸ ἔκ τινος ὡς ἐκ φύσεως, ἀλλότριον τῆς αὐτῆς, ἀλλ' ἀναγκαῖον κοινωνὸν εἶναι καὶ αὐτὸ τῆς οὐσίας. Τὸ δέ· ἡ γὰρ ἰδιότης ἀκίνητος, οὐ πρὸς τὸ Θεὸς εἴρηται, ἀλλὰ πρὸς τὴν ἀγεννησίαν καὶ τὴν γέννησιν καὶ τὴν ἐκπόρευσιν· ἀμετάπτωτον γάρ. Τὸ μὲν τῆς ἀγεννησίας ἐπὶ τοῦ Πατρός, τὸ δὲ τῆς γεννήσεως ἐπὶ τοῦ Υἱοῦ, τὸ δὲ τῆς ἐκπορεύσεως ἐπὶ τοῦ Πνεύματος. Εἰ δὲ δεῖ καὶ διαλεκτικώτερον ἄνωθεν περὶ τούτων διαλαβεῖν, ἔστι καὶ ἑτέρως εἰπεῖν, ὅτι τὴν μίαν ἀποδείξας φύσιν τῶν τριῶν ὑποστάσεων, συλλογίζεται πάλιν καὶ τὸ τρεῖς εἶναι τὰς ὑποστάσεις καὶ ἰδιότητας τῆς μιᾶς φύσεως καὶ ὁ συλλογισμὸς ἐν τρόπῳ σχήματι καὶ τῷ πρώτῳ τρόπῳ τοῦ πρώτου σχήματος. Τὸ μὲν συμπέρασμα τῶν ἄκρων ὅρων μέσον τιθέντος, τὸν δὲ μέσον ὅρον ἔσχατον, ὡς εἶναι τοῦ συλλογισμοῦ τὴν πλοκὴν οὕτως· Πατὴρ ὁ Πατὴρ καὶ οὐκ ἔκ τινος. Τὸ οὐκ ἔκ τινος ἄναρχον· ὁ Πατὴρ ἄρα ἄναρχος. Καὶ ἐπὶ τοῦ Υἱοῦ πάλιν· ὁ Υἱὸς ἐκ τοῦ Πατρός· τὸ ἐκ τοῦ Πατρὸς κατὰ τὸν τῆς αἰτίας λόγον οὐκ ἄναρχος· κατὰ δὲ τὸν χρόνον καὶ ἄναρχος. Καὶ τούτου δύο λόγοι τῆς ἀποδείξεως· εἷς μέν, ὅτι ἀεὶ Πατὴρ ὁ **208** Πατὴρ καὶ οὐκ ἦν, ὅτε οὐκ ἦν Πατήρ· ὥστε καὶ οὐκ ἦν, ὅτε οὐκ ἦν αὐτῷ καὶ Υἱός· ἕτερος δέ, ὅτι καὶ πάντων τῶν ὄντων ποιητὴς ὁ Υἱός. Ἓν δ' ἔτι καὶ ὁ χρόνος τῶν ὄντων· ποιητὴς ἄρα καὶ

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Sajdak, Historia Critica .. Pars I Cracoviae 1914, σελ. 207-208.

τῶν χρόνων ἐστὶν ὁ Υἱός. Ὁ δὲ ποιητὴς τῶν χρόνων οὐχ ὑπὸ χρόνον· καὶ ἐπὶ τοῦ Πνεύματος δὲ ὁμοίως κτλ. *(Σχόλια εἰς τὸν λόγον Γ'. Ἄρχεται).* Ὁ παρὼν λόγος ἔοικε μὲν δευτερολογίᾳ, καθὼς καὶ αὐτὸς ἐξ ἀρχῆς ἐπισημαίνεται ὁ Πατήρ, ὅτι μέρος τοῦ προλαβόντος λόγου καὶ αὐτός, ἡνωμένος μὲν κατὰ φύσιν, διῃρημένος δὲ κατὰ τὴν περίστασιν, τῆς ὥρας αὐτὸν ἐκκλειούσης. Ἀλλὰ τοῦτο μὲν ᾠκονόμηται, ἵνα μὴ δόξῃ περιττὸς ὁ Πατήρ, ἑτέραν ἀφορμὴν ἐπεισάγων λόγου, μιᾶς οὔσης καὶ τῆς αὐτῆς ὑποθέσεως. Ἀπέοικε γὰρ τοῦ προλαβόντος καὶ οὐδοτιοῦν ἐστι μέρος αὐτοῦ. Ὁ μὲν γὰρ πανηγυρικός· εἰ γὰρ καὶ τοῦ ἀγωνιστικοῦ καὶ τοῦ συμβουλευτικοῦ κατά τι μετέσχε μέρος, ἀλλ' ἐκ τῆς ὑποθέσεως καὶ τοῦ σκοποῦ, τάχα δὲ καὶ τοῦ πλεονάζοντος τὰ εἴδη κρίνονται... Λόγ. Μ' κεφ. 10 ἑξ. Κατ' ἀρχὰς μὲν τὸν πιστεύοντα καὶ διδασκόμενον ἐμακάριζεν, ἐνταῦθα καὶ τὸν εἰς πίστιν ἄγοντα καὶ διδάσκοντα, ἵν' ἀμφοτέρους πρὸς ἑαυτοὺς ἐπιστρέφῃ καὶ συναγάγῃ, καὶ τὸν μὲν ποιήσῃ ποθεῖν τὸ πιστεύειν τε καὶ διδάσκεσθαι, τὸν δὲ τὸ εἰς πίστιν ἄγειν τε καὶ διδάσκειν· ἔλαβε δὲ καὶ τοῦτο παρὰ τῆς προφητικῆς φωνῆς αἰνιγματῶδές τε ὂν καὶ ὀλίγοις κατανοούμενον, διὰ βραχέος δὲ παρ' αὐτοῦ τοῖς εὐσυνέτοις εὖ ἀνακαλυπτόμενον Ὁ μὲν γὰρ προφητικός φησιν λόγος· ὁ σπείρων ἐπὶ πᾶν ὕδωρ καὶ πᾶσαν γῆν, ὧν ἡ διαφορά, ὅσα γε καὶ ἡμᾶς γινώσκειν· ὕδωρ μὲν ἡ διαλελυμένη ψυχὴ τοῖς πάθεσιν ἢ ταῖς πράξεσιν ὑγρά τε καὶ ὑδατώδης, γῆ δὲ ἄνυδρός τε καὶ χέρσος· ἡ στερεωτέρα μὲν ἀκατέργαστος καὶ ὅμως διὰ τῆς ἐργασίας τῶν ἐντολῶν· καὶ ἀνάρδευτος, ὡς ἀνεπίδεκτος θείας ἐπιρροῆς καὶ διδασκαλίας· ἅπερ οὖν ὁ προφητικὸς λόγος ὕδωρ καὶ γῆν ὠνόμασεν, οὗτος διὰ μιᾶς λέξεως ἐξηγήσατο· ἐπὶ πᾶσαν εἰπὼν ψυχήν, μὴ διακρινόμενος, ἀλλὰ καὶ τὴν ἄπιστον ὁμοίως παραλαμβάνων καὶ τὴν ἀκόλαστον κτλ.

⟨ΗΛΙΑ ΚΡΗΤΗΣ⟩

ΕΞΗΓΗΣΙΣ ΕΙΣ ΤΟΥΣ ΛΟΓΟΥΣ ΤΟΥ ΑΓΙΟΥ ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ ΠΟΝΗΘΕΙΣΑ Τῼ ΕΥΤΕΛΕΙ ΜΗΤΡΟΠΟΛΙΤῌ ΚΡΗΤΗΣ ΗΛΙᾼ ΥΠΕΡΩΡΙῼ ΤΥΓΧΑΝΟΝΤΙ

Προθεωρία

[757] Ἐν πεντηκοστῷ δευτέρῳ ἀριθμῷ τῶν τοῦ μεγάλου τούτου περιγραφομένων λόγων· λόγους γὰρ καλῶ καὶ τὰς συναριθμηθείσας τούτοις ἐπιστολάς· δι' ἃς αἰτίας εἴπαμεν ταύτας ἐπεξηγούμενοι οἱ μὲν ἑκκαίδεκα τούτων, ἐν περιοχῇ μιᾶς συνειλημμένοι βίβλου, πολλῶν ἐξηγητῶν εὐμοιρήκασι, καὶ παλαιῶν καὶ νέων, εὖ τεθηγμένας τὰς γλώσσας ἐχόντων ἐπὶ λόγοις. Οἱ δέ γε λοιποὶ τούτων ὑπ' οὐδενὸς τῶν ἐπὶ δυνάμει λόγων ἀκμασάντων καὶ τὰ τοῦ πνεύματος συγκρίνειν εἰδότων μετὰ τοῦ πνεύματος μετρίας γοῦν, ὅσα ἡμᾶς εἰδέναι, τετυχήκασιν ἀναπτύξεως. Μόνος δέ τις Βα**[758]**σίλειος καὶ Γρηγόριος, οἳ καὶ τοῖς ἑξκαίδεκα τούτου λόγοις ἐπιβεβλήκασι, προεθυμήθησαν μὲν σχολικάς τινας παρασημειώσεις καὶ εἰς τοὺς προκειμένους νῦν ἐπὶ θεωρίᾳ λόγους ἡμῖν καταλιπεῖν· τὸ δὲ κατ' αὐτοὺς ἀδιδάκτους ἡμᾶς εἴασαν, οὐ τῶν ἀπὸ τῆς θειογράφου Γραφῆς, οὐ τῶν ἀπὸ τῆς θύραθεν ὅλως φροντίσαντες χρήσεων, οὐ τῶν ἄλλων οὐδενός, ὧν τὰ μὲν παρῳδῶν, τὰ δὲ προσκολλῶν, τὰ δ' ἀλλοιῶν καὶ πολυτρόπως καταποικίλλων ὁ μέγας οὗτος τούτους συνύφανεν. ὧν πολλῷ κατόπιν ἐλθὼν αὐτὸς καὶ θαμινώτερον τούτοις προσομιλῶν, ἐσφάδαζον μὲν καὶ μαιμῶσαν εἶχόν μου τὴν καρδίαν τῷ ὕψει τούτων ἐπιβαλεῖν, ὤκνουν δὲ ἄλλως καὶ ἀνεδυόμην, μὴ θεμιτὸν μηδ' ἀσφαλὲς εἶναι καθαροῦ μὴ καθαροῖς ἅπτεσθαι διδασκόμενος. Ἐπεὶ δέ, **[759]** οὐκ οἶδ' ὅπως εἴπω, πολλοὺς παρακαλοῦντας εὗρον πρὸς τοῦτο καὶ παραθήγοντας, οὐκ ἄνευ θειοτέρας οἶμαι κινήσεως τόν τε ὄκνον ἀπεσκευασάμεθα καὶ τῷ ἐν ἀνοίξει τοῦ στόματος διδόντι λόγον τεθαρρηκότες τὴν ὁποιανοῦν ταύτην ἐξήγησιν κατὰ τὸ ἡμῖν ἐφικτὸν ἐκδεδώκαμεν, τὰ μὲν θεολογικὰ θεολογικῶς, τὰ δὲ φυσικὰ φυσικῶς καὶ τὰ ἠθικὰ ἠθικῶς, καὶ ἵνα συνελὼν εἴπω, καταλλήλως ἕκαστον τούτων ταῖς ἐφεστώσαις τέχναις αὐτοῖς ἀναπτύσσοντες. Ἀξιῶ οὖν τοὺς ἐντυγχάνοντας μὴ τὸ ἀκριβὲς σκοποῦντας, ἀλλὰ πρὸς τὸ πρόθυμον ἡμῶν ἀποβλέποντας, οὕτως ἀποδέχεσθαι τὰ εἰρημένα.

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J.-P. Migne, Patrologiae Cursus Completus, Series Graeca, τ. 36 στ. 757-902.

ΛΟΓΟΣ ΚΖ΄.

59,213,5. Πρὸς τοὺς ἐν λόγῳ κομψοὺς ὁ λόγος. Κομψοὺς δὲ ἤτοι τοὺς πιθανοὺς καὶ σοφοὺς ἐν λόγοις φησίν, ἢ τοὺς πανούργους τε καὶ καμπύλους καὶ διεστραμμένους τὴν διάνοιαν. Τὸ γὰρ κομψὸν ἐπὶ μὲν ἐπαίνου τὸ χαρίεν καὶ πιθανὸν καὶ σοφὸν σημαίνειν βούλεται, ἐπὶ δὲ ψόγου τὸ διεστραμμένον καὶ σκολιὸν καὶ περίεργον, ὃ καὶ μᾶλλον ἐνταῦθα ὑποσημαίνει.

59,213,7. Οἱ τὴν ἀκοὴν προσκνώμενοι καὶ τὴν γλῶσσαν. *(Ὁ Ἠλίας συγκρίνει τὸ Β΄ Τιμ. 4,3 καὶ λέγει):* Τοὺς σφαδάζοντάς τε τῷ πνεύματι καὶ οἷον τὴν ψυχὴν προωθοῦντας καὶ τὴν ἀκοὴν ἑτοιμάζοντας καὶ τὴν γλῶσσαν πρὸς θήραν τινὸς συλλαβῆς ἢ καὶ λέξεως μεταφορικὴ δὲ ἡ τοῦ κνήθεσθαι λέξις, ἐκ τῶν οἷς δριμύς τις χυμὸς διὰ βάθους ἐμφωλεύει τοῦ σώματος καὶ διὰ τοῦ κνήθεσθαι πρὸς τὴν ἐπιφάνειαν ἐρεθίζεται διαδίδοσθαι πάνυ θαυμασίως παραληφθεῖσα.

Εὐκτικῶς δὲ τὸν λόγον ἐσχημάτισεν εἰπών· εἴθε μέν,. . δεικνὺς τὸ ἐνδιάθετον αὐτοῦ καὶ ὅτι σφόδρα ἐκείνων ἐκήδετο.

59,213,16. Σοφισταὶ καὶ κυβευταὶ λόγων. Κυβευταὶ λόγων· αὕτη γὰρ ἡ ἀσφαλεστέρα γραφή· ἤτοι πεττευταὶ καὶ στροφεῖς, οἱ γὰρ πεττεύον[760]τες, ὡς ἔτυχε, στρέφουσι τοὺς πεσσούς, ῥίπτοντές τε καὶ μεταρρίπτοντες. — Ἀλλ' οὕτω μέν, εἰ κυβευτὰς ἔχει ἡ γραφή. Εἰ δὲ κυβιστάς· εὕρηται γὰρ καὶ οὕτως ἔν τισι τῶν ἀντιγραφῶν· οὐχ ἔθ' ὅμοιος ὁ λόγος. Κυβισταὶ γὰρ οἱ κολυμβηταί, καὶ ἴσως ὡς καὶ τούτων ἄνω καὶ κάτω περιφερομένων τε καὶ σοφιζομένων, τοὺς λόγων στροφεῖς κυβιστὰς κέκληκεν. Ἀσφαλέστερον δὲ ἡ προτέρα γραφὴ καὶ διάνοια.

59,213,18. Πᾶσαν εὐσεβείας ὁδόν. (Εὐσέβεια) ὅση τε διὰ πράξεως καὶ ὅση διὰ θεωρίας, ἐπεὶ καὶ δι' ἀμφοῖν ἡ ἀληθὴς εὐσέβεια θεωρεῖται.

59,213,24-25. Πᾶσαν δὲ ἑορτὴν καὶ πένθος ἅπαν. Καὶ εἰς ἑορτὰς δὲ καὶ εἰς πένθη τινῶν παραβάλλοντες, ἐπεισκύκλουν τὰ τοιαῦτα ζητήματα.

59,213,24. Τὸ μὲν οὖν ἀποκναίεσθαι ἀντὶ τοῦ βαρύνεσθαί ἐστι κείμενον.

59,213,27. Γυναικωνῖτιν. Ἤδη δὲ καὶ μέχρι τῶν γυναικωνιτίδων ἡ τοιαύτη τούτων παρεισεφθάρη φλυαρία καὶ βλασφημία.

59,214,11. Μὴ θαυμάσητε δέ. Τοῦτο δὲ προθεραπεία τίς ἐστι, προθεραπεύουσά τε καὶ τὸ σφοδρὸν τῆς καταφορᾶς ἀφαιρουμένη.

59,214,11. Ἑστιάσητε. Ὅτι ὡς τρυφὴν τὰς κατ' αὐτοῦ λοιδορίας ἐλογίζοντο.

59,214,15. Ἡ δὲ ἐπαναδίπλωσις τοῦ οὐ παντὸς ἀσφαλείας χάριν τῷ μεγάλῳ καὶ βεβαιώσεως ᾠκονομήθη.

59,214,16. Τῶν χαμαὶ ἐρχομένων. Τῶν μήπω πτέρυγας πράξεως καὶ θεωρίας ἀναλαβόντων καὶ ὑψοῦ πτερύσσεσθαι δυναμένων, ἀλλ' ἔτι πρόσγεια φρονούντων καὶ χαμαὶ συρομένων.

59,214,18-19. Τῶν... διαβεβηκότων ἐν θεωρίᾳ. Τῶν ἐξητασμένων ἤτοι τῶν ἠκριβωμένων τε καὶ ἀνηγμένων ἢ ἡδραιωμένων ἐν θεωρίᾳ. Ἀμφοτέρως γὰρ τὸ διαβεβηκότων τινὲς ἑρμηνεύουσι.

59,214,20-21. Μὴ καθαρῷ γὰρ ἅπτεσθαι καθαροῦ τυχὸν οὐδὲ ἀσφαλές. Ἐπιφέρει... ἐργα[761]σίαν ἐκ τῶν τοῦ Πλάτωνος. Εἴρηκε γὰρ οὗτος, ὅτι τῷ μὴ καθαρῷ ἅπτεσθαι καθαροῦ οὐδὲ θεμιτόν. Πρὸς οὖν τό· οὐχὶ θεμιτόν, φησὶν ὁ θεολόγος, ὅτι τυχὸν οὐδὲ ἀσφαλές. Οὐ μόνον γὰρ ἀθέμιτον, ἀλλὰ καὶ σφαλερὸν καὶ βλαβερόν.

59,214,22-24. Ἡνίκα ἂν σχολὴν ἄγωμεν ἀπὸ τῆς ἔξωθεν ἰλύος καὶ ταραχῆς, καὶ μὴ τὸ ἡγεμονικὸν ἡμῶν συγχέηται τοῖς μοχθηροῖς τύποις καὶ πλανωμένοις. Ἰλὺν δὲ οἶμαι τὸ γεῶδες ἡμῶν σῶμα λέγειν, οὗ ἐντὸς ἡ ψυχή, ὑφ' οὗ ὡς τὰ πολλὰ πολεμεῖται αὕτη, κατεξανισταμένου αὐτῆς, ἢ τὸ φρόνημα τῆς σαρκός[1] ἢ καὶ αὐτὰ τὰ γεώδη πράγματα, περὶ ἃ ταρασσόμεθα, τύπους δὲ τὰς φαντασίας τῶν γεηρῶν.

59,214,23. Ἀπαλείψαντες τοὺς προεντυπωθέντας τῷ νοΐ χαρακτῆρας τῶν κάτω πραγμάτων.

59,214,25-26. Δεῖ γὰρ τῷ ὄντι σχολάσαι καὶ γνῶναι Θεόν[2]. Σχολάσατε ... *(Ἐκ τοῦ ψαλμοῦ 45,10)*.

59,214,24. Εἰς πολλὰ περισπᾶν τὸν νοῦν.

59,214,25-26. Ἐφ' ὅσον μὲν ... τοῖς ἔξω Θεοῦ σχολάζομεν πράγμασιν, οὐ δυνάμεθα χωρῆσαι γνῶσιν Θεοῦ. Τίς γὰρ μεριμνῶν τὰ τοῦ κόσμου[3] καὶ ἐμβατεύων τοῖς περισπασμοῖς τῆς σαρκὸς δύναται τοῖς περὶ Θεοῦ λόγοις προσέχειν καὶ τῇ ἀκριβείᾳ τῶν θεωρημάτων αὐτοῦ ἐμβαθύνειν;

[762] 59,214,29. Τὴν γαστέρα καὶ τὰ ὑπογάστρια. Τὴν γαστέρα· *(ὁ Ἠλίας ἑρμηνεύει τὴν γαστριμαργίαν)*. Τὰ ὑπογάστρια *(δηλ.)* ἡ τῶν ἀφροδισίων ἀκόλαστος ἡδονή.

59,215,3. Εὐλογεῖν τὸν Κύριον ἐν παντὶ καιρῷ[4]. Δύναται... ἡ ἐντετυπωμένη ἅπαξ τῷ ἡγεμονικῷ τῆς ψυχῆς περὶ Θεοῦ ἔννοια αἴνεσις ὀνομάζεσθαι Θεοῦ διὰ παντὸς ἐνυπάρχουσα αὐτῷ, τῷ ἡγεμονικῷ τῆς ψυχῆς λέγω, ὃ στόμα ἐστὶ νοητόν, διαπαντὸς δυνάμενον εὐλογεῖν τὸν Θεόν.

---

1. Πρβλ. Ρωμ. 8,6,7. 2. Πρβλ. Ψαλ. 45,10. 3. Πρβλ Α' Κορ. 7,33. 4. Πρβλ. Ψαλ. 33,2.

59,215,10-11. Τὸ καλὸν οὐ καλόν, ὅταν μὴ καλῶς γένηται. Ἔστι δὲ τοῦτο παροιμία μὲν κοινή, ἐχρήσατο δὲ ταύτῃ καὶ Κλήμης ὁ πάπας Ῥώμης ἐν τῇ βίβλῳ τῶν τοῦ μεγάλου Πέτρου ἐπιδημιῶν.

59,215,11,12. (Ἄωρον) πένθει γεωμετρία. (Λύπης) σκοτιζούσης καὶ οὐκ ἐώσης ἐπιβάλλειν τῇ τῶν θεωρημάτων λεπτότητι.

59,215,22-23. Ἀγνώμονα δὲ νῦν ἀκοὴν... Οὐ τὴν ἀχάριστον, ἀλλὰ τὴν ἀσύνετον λέγει. Λέγεται γὰρ εὐγνώμων καὶ ὁ καλῶς λογιζόμενος καὶ ὁ συνιών.

[763] 59,216,3. Γέννησιν... Θεοῦ. Γεννήσεις θεῶν καὶ σειρὰς καὶ ὁρμαθούς, καὶ ὅσα ἐφεξῆς καταλέγει, θεοποιοῦντες.

59,216,20. Ἀπεσκευασάμεθα. Ἀπεσκευασάμεθα καὶ πόρρω ἐποιήσαμεν.

59,216,21. Ἀγέλην... χοίρων καλεῖ τοὺς ἀνοήτους τε καὶ βεβορβορωμένους Ἕλληνας καὶ εἰς πάθη ἄτιμα ἐγκυλισμένους.

59,216,23. Ξέσωμεν εἰς κάλλος ὥσπερ ἀνδριάντα τὸν θεολόγον. Ὁποῖον δεῖ εἶναι τὸν θεολόγον, καλῶς διαγράψωμέν τε καὶ ὑποτυπώσωμεν, ὥσπερ οἱ ἀδριαντοποιοὶ τυποῦσι τοὺς ἀνδριάντας.

59,216,28-29. Οὐ τὸ σῶμα νηστείαις ὑποπιέζομεν.

59,216,31-32. Οὐ μελέτην θανάτου ποιούμεθα. Ἐκεῖνος δὲ μελέτην θανάτου τὸν βίον ποιεῖται, ὁ ἐν ὅλῳ τῷ βίῳ μνημονεύων θανάτου καὶ γυμναζόμενος πρὸς αὐτὸν καὶ ἑτοιμαζόμενος καὶ ὑποπιέζων ἢ καὶ ὑπωπιάζων τὴν σάρκα, κατὰ τὸν μέγαν Ἀπόστολον, καὶ δουλαγωγῶν[1].

59,216,33. Ἔστι μὲν οὖν... καὶ θυμὸς χρήσιμος ὁ κατὰ τοῦ διαβόλου.

59,216,35-36. Κατέληξεν... εἰς ... τὴν ἄπληστον ἀκοὴν διὰ τοὺς λίχνους πρὸς θεολογίας ἀκρόασιν.

59,216,37-38. (Ὁ πονηρὸς) τὸν διὰ τῶν θυρίδων, ὡς ἡ Γραφή φησιν, εἴτουν αἰσθητηρίων εἰσάγων θάνατον· Ταῦτα γὰρ θυρίδες τοῦ νοῦ, δι' ὧν προκύπτων ἀντιλαμβάνεται τῶν αἰσθητῶν.

59,217,27. Τερατείας. Τερατεία τὸ πλάττειν ἄτοπά τε καὶ ἀλλόκοτα.

59,217,25-26. Ὁ Θεὸς διὰ τοῦ ἐμφυσήματος ζῷον λαλητὸν τὸν ἄνθρωπον ἔθηκεν[2].

[764] 59,217,34-35. Τί καὶ τοὺς ἄλλους αὐθήμερον πλάττεις ἁγίους καὶ χειροτονεῖς θεολό-

1. Πρβλ Α' Κορ 9,27 2. Πρβλ. Ἰὼβ 38,14.

γους; Πόθεν δὴ λαβὼν ἢ ποίᾳ ἐξουσίᾳ τε καὶ δυνάμει αὐθημερὸν καὶ τοὺς ἄλλους πλάττεις ἁγίους, οἷα δὴ πηλίνους τινὰς ἀνδριάντας καὶ χειροτονεῖς θεολόγους;

59,217,37. Τί τοῖς ἀραχνίοις ὑφάσμασιν ἐνδεσμεῖς τοὺς ἀσθενεστέρους; Ταῖς πλεκτάναις τῶν σῶν λογισμῶν. *(Καὶ κατωτέρω)*: Καλῶς δὲ τούτοις τοὺς συλλογισμοὺς αὐτῶν καὶ παραλογισμοὺς παρείκασε. Τοῖς γὰρ ἀραχνίοις νήμασι μυῖαι μὲν καὶ μικρά τινα ζωΰφια ἁλίσκονται, ὑπὸ δὲ τῶν ἰσχυροτέρων ταῦτα διαρρήσονται, καὶ τοῖς τοιούτοις συλλογισμοῖς οἱ μὲν ἀσθενεῖς εἰς γνῶσιν ἁλίσκονται, ὑπὸ δὲ τῶν ἰσχυροτέρων δίκην ἀραχνίων νημάτων ἐκεῖνοι μᾶλλον διαρρήγνυνται καὶ ἀφανίζονται.

59,218,2. Θηλύνας. Ἐκθηλύνας τε καὶ ἀτονώσας.

59,218,8. Βάλλε μοι. Βάλλε ταύτην τοῖς βέλεσι τῶν λόγων, ἀντίλεγε, μὴ φείσῃ.

59,218,10. *(Ὁ Πλάτων)*. Οὗτος πρῶτος ἐπενόησε καὶ προσηγόρευσε τὰς ἰδέας, οἷον τὸν καθόλου ἄνθρωπον, τὸν καθόλου βοῦν, τὸν καθόλου ἵππον καὶ ὅσα καθόλου, νοητά τινα ταῦτα λέγων τῶν αἰσθητῶν παραδείγματα. Ἀλλ' ἡμεῖς μὲν ταῦτα λόγους δημιουργικοὺς νομίζομέν τε καὶ ὀνομάζομεν, καθ' οὓς ὁ Θεὸς ὑπεστήσατο τὰ πάντα, παρ' αὐτῷ τε ὄντα καὶ οὐκ ἐξ ἐνθυμήσεως ἐπιγινόμενα ὕστερον. Ἅμα γὰρ Θεὸς καὶ ἅμα παρ' αὐτῷ πάντων τῶν ὄντων οἱ λόγοι νοητῶν τε καὶ αἰσθητῶν. Ὁ δὲ Πλάτων ἔξωθεν τοῦ Θεοῦ ταῦτα λέγει, καὶ πρὸς αὐτὰ βλέποντα τὸν Θεόν, ὡς εἰς ἀρχέτυπα, δημιουργῆσαι τὰ αἰσθητά.

59,218,10-11. *(Ὁ Πλάτων)* τὸ περὶ προϋπάρξεως [765] ψυχῶν δόγμα προπεφλυαρημένον ἐκράτυνε.

59,218,10-12. Ἔλεγε δὲ *(Πλάτων)* διὰ τῶν καλῶν σωμάτων ἐπὶ ψυχὴν ἐρᾶν, ἤγουν διὰ μέσου τῶν ὡραίων σωμάτων ἐρᾶν τῆς ψυχῆς, παιδεραστῶν καὶ σεμνολογίᾳ τὸ πάθος περιστέλλων.

59,218,13. Παρ' ἡμῖν ... πέρας εὐδαιμονίας ἡ ἡδονή, ἀλλ' ἡ ἀπαθής τε καὶ ἀληθής, ἐνταῦθα μὲν ἡ τῆς ἀρετῆς, ἐκεῖθεν δὲ ἡ τῆς μακαριότητος καὶ θεώσεως.

59,218,13-14. Ἀριστοτέλους τὴν μικρολόγον πρόνοιαν. Οὗτος Θεοῦ μὲν πρόνοιαν ὡμολόγει, μέχρι δὲ σελήνης διήκειν, τὰ δ' ὑπὸ σελήνης ἀπρονόητα καταλέλοιπεν, ἵνα μὴ κάμνῃ, φησίν, ὁ Θεὸς καὶ πράγματα ἔχοι καὶ τῶν καθ' ἕκαστα προνοούμενος.

59,218,16. *(Οἱ Κυνικοί)*. Οὗτοι φιλοσοφεῖν ἐπαγγελλόμενοι Κυνικοὶ προσηγορεύθησαν διὰ τὴν ἀναίδειαν καὶ τὸ ὑλακτικὸν καὶ τὸ λίχνον καὶ ἀκρατὲς εἰς ἡδονὰς καὶ τὸ ταῖς ἀγοραῖς ἀεὶ προστρίβεσθαι καὶ τὸ ἀδιάφορον περὶ παντα, εἰ καὶ σεμνολογοῦντες τὴν μὲν ἀναίδειαν ὠνόμαζον παρρησίαν, τὸ δὲ ὑλακτικὸν ἐλεγκτικόν, τὸ δὲ λίχνον καὶ φιλήδονον φυσικόν, τὸ δὲ ἀγοραῖον ταπεινόν, τὸ δὲ ἀδιάφορον ἁπλοῦν.

59,218,12. Ὅτι... σῶμα καὶ ὁ ἀήρ, δῆλον. Ὄχημα γὰρ οὗτος τοῖς πετεινοῖς, καὶ τὰ μὲν βαρύτερα ταχύτερον δι' αὐτοῦ πρὸς τὰ κάτω φέρεται, μὴ στέγοντος τὸ βάρος, ἀλλὰ ταχέως ὑποχαλῶντος, τὰ δὲ κουφότερα βραδύτερον διὰ τὴν ἐλαφρότητα, μικρὸν ὑποβαστάζοντος.

59,218,18-19. Θεαγωγία δὲ καὶ ψυχαγωγία κακοτεχνία τίς ἐστι, δι' ἐπῳδῶν τε καὶ θυσιῶν ἄγουσα θεοὺς καὶ ψυχὰς εἰς ἐρώτησιν καὶ ἀπαγγελίαν τῶν **[766]** μελλόντων, οὐ τῇ ἀληθείᾳ, τῇ φαντασίᾳ δέ.

59,218,23. Β ε λ τ ι ό ν ω ν — χ ε ι ρ ό ν ω ν. Τὸ δὲ συγκριτικὸν Ἀττικῶς ἀντὶ ἀπολύτου.

ΛΟΓΟΣ ΚΗ'.

Οὗτος δὲ (δηλ. ὁ λόγος) αὐτὸν ἡμῖν τὸν Θεολόγον παρίστησιν ἀπεξεσμένον, ἀκραιφνῆ τε τὴν θεολογίαν πραγματευόμενον καὶ ἐπὶ τῶν σκαμμάτων αὐτῶν ἤδη συμπλεκόμενον, καὶ τῶν πάντα εἰδέναι βρενθυομένων τὴν ἄνοιαν διελέγχοντα καὶ τῶν δογμάτων τὸ κίβδηλον θριαμβεύοντα.

59,219,9. Ὥ σ τ ε μ ὴ κ α θ ά π ε ρ ο ἱ λ ύ ζ ο ν τ ε ς τ ῷ π ν ε ύ μ α τ ι δ ι α κ ό π τ ε σ θ α ι. Καθάπερ οἱ λύζοντες τῷ πνεύματι διακόπτονται δηλονότι. Λύζον δὲ εἶδος νόσου. Γράφεται δὲ καὶ λυσσῶντες.

59,219,10. Ὅ σ ο ν... χ ω ρ ο ύ μ ε θ α. Τῇ στενῇ πύλῃ τῆς θεολογίας λεπτυνθέντες διὰ τῆς καθάρσεως.

59,219,11. Ἄκανθαι δὲ αἱ βλάσται τῆς κακίας ἢ καὶ αἱ βιωτικαὶ μέριμναι αἱ συμπνίγουσαι[1] τὸν λόγον καὶ μὴ συγχωροῦσαι τελεσφορεῖν αὐτόν.

59,219,12. Τ υ π ω θ έ ν τ ε ς. Ἤγουν παρασκευασθέντες καὶ παρασκευάσαντες ὑμᾶς.

Ὄρος τὸ ὕψος τῆς θεολογίας, ᾧ προσβῆναι τοῖς χαμαιρριφὲς τὸ φρόνημα ἔχουσιν οὐ δυνατόν.

59,219,20. Ἀ γ ω ν ι ῶ ν τ ι. Ἀγωνιῶντι... καὶ τρέμοντι διὰ τὴν ἀσθένειαν. Ἀγῶνος γὰρ ὡς ἀληθῶς, οὐδ' ὅσον εἰπεῖν, ἐγγίσαι τῷ ἀπροσίτῳ καὶ πάσῃ γεννητῇ φύσει ἀψαύστῳ καὶ μόνῳ φύσει ἀοράτῳ Θεῷ, οὗπερ οἱ πολλοὶ μακρὰν ἀπελήλανται, καὶ τούτων μάλιστα ὁ πάντη ἄναγνος. Μὴ καθαρῷ γὰρ καθαροῦ ἅπτεσθαι, ὡς μὲν ὁ Πλάτων φησίν, οὐ θεμιτόν, ὡς δὲ οὗτος, οὐδ' ἀσφαλές.

[767] 59,219,25. Ψυχῇ καὶ σώματι καθαρὸν εἶναι καὶ ἀκηλίδωτον.

59,219,25 ἑξ. Κατὰ ... τῶν μικροψύχων καὶ χαμερπῶν καὶ εὐεπιχειρήτων καὶ οἱ ἑτερόδοξοι ἴσχυον.

---

1. Πρβλ. Ματθ. 13,7.

59,220,22-23. Τὴν νεφέλην διέσχον, εἴσω γενόμενος ἀπὸ τῆς ὕλης καὶ τῶν ὑλικῶν καὶ εἰς ἐμαυτὸν, ὡς οἷόν τε συστραφείς. Εἰς ἑαυτὸν κατὰ τὸ δυνατὸν συσταλεὶς ἀπὸ τῆς ἔξωθεν περιφορᾶς, καὶ ὑλικῶν τῶν ἔξω γενόμενος καὶ τὴν νεφέλην διαστείλας καὶ τῷ νοὶ ἐντὸς γενόμενος.

59,220,26. Ἐντρανίζειν τῇ πρώτῃ καὶ ἀκτίστῳ φύσει.

59,220,25-29. Δι' ἧς (ἀγαθότητος) ἀχώρητος ὢν (Θεὸς) τῇ φύσει, ὡς δυνατόν, τοῖς ἀξίοις γίνεται χωρητός. Τότε δὲ γέγονε χωρητός, ἀχώρητος ὤν, ὅτε ὁ μονογενὴς ἐσαρκώθη.

59,220,31-34. Ταῦτα γὰρ Θεοῦ τὰ ὀπίσθια[1], ὅσα μετ' ἐκεῖνον ἐκείνου γνωρίσματα, ὥσπερ αἱ καθ' ὑδάτων ἡλίου σκιαὶ καὶ εἰκόνες ταῖς σαθραῖς ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον. Ὡς διά τινων γραμμάτων τῆς ἐν τούτοις (*Τοῖς τοῦ Θεοῦ ἔργοις λέγει*) εὐαρμοστίας τε καὶ εὐταξίας ἡ μεγαλειότης αὐτοῦ κηρύττεται. Ἀπὸ τούτων καὶ τῆς ἐν τούτοις ἁρμονίας καὶ συνοχῆς τὸν συνοχέα καὶ συντηρητὴν τούτων γνωρίζομεν. Ὥσπερ οἱ τὴν ὄψιν ἀσθενοῦντες ἐν ὕδατι τὸν ἥλιον βλέπουσιν, οὕτω καὶ ἡμεῖς ἀδυνατοῦντες ἐντρανίζειν τῷ προσώπῳ τοῦ Θεοῦ, τουτέστι τῇ ὑπερκοσμίῳ ὑπάρξει τε καὶ θειότητι αὐτοῦ, ὡς ἐν ἐσόπτρῳ τινὶ τοῖς κτίσμασι ταύτην ὁρῶμεν. Καὶ ὥσπερ αἱ καθ' ὑδάτων ἡλίου σκιαὶ καὶ εἰκόνες γνωρίσματά εἰσιν ἡλίου, δη-**[768]**λονότι ταῖς σαθροτέραις ὄψεσι παραδεικνῦσαι τὸν ἥλιον, οὕτω καὶ τὰ κτίσματα, οἱονεί τινες σκιαὶ τοῦ νοητοῦ ἡλίου τυγχάνοντα, ἡμῖν ὑποδεικνύουσιν αὐτόν.

59,220,32 ἑξ. Ὧν ἁπασῶν κατὰ πᾶσαν ὑπερούσιον ὑπεροχὴν ἀσυγκρίτως ὑπερίδρυται τὸ Θεῖον ὡς καθόλου (*Διον. Ἀρεοπ.*).

59,220,37. Ἰωάννης ὁ πάνυ, τὸ τῆς Δαμασκοῦ θρέμμα (*ὑμνεῖ λίαν τὸν τοῦ οὐρανοῦ ὅρον Ὀρθοδ. Πίστ. 2,6*).

59,220,38. (*Οἱ ἄγγελοι*) νόες ὄντες... οὐ σωματικῶς περιγραφόμενοι... οὐδὲ τριχῇ εἰσι διαστατοί.

59,220,38 ἑξ. Τοῖς ἐκεῖ πολιτευομένοις τῶν ἁγίων ἀγγέλων χαίρειν χοροῖς.

59,221,15. Οἷς ὁ ζόφος ἐπιπροσθεῖ καὶ τὸ παχὺ τοῦτο σαρκίον. Ἐπιπροσθεῖ, τουτέστιν ἐμποδίζει, ἐπισκοτεῖ πρὸς τὴν τοῦ ἀληθοῦς κατανόησιν. Τίς δὲ ὁ ζόφος, ἑρμηνεύει, τὸ παχὺ τοῦτο λέγων σαρκίον. Τοῦτο γὰρ ἐπιπροσθοῦν καὶ μὴ τῆς ψυχῆς τῷ ὀφθαλμῷ καθαρῶς ὁρᾶν συγχωροῦν, οὐ δίδωσι τοῦ νοητοῦ ἡλίου εἰλικρινεῖς τὰς ἀκτῖνας εἰσδέχεσθαι. Ζόφον δὲ τοῦτο διὰ τὸ πάχος καὶ τὴν ἐκ τῶν παθῶν ἐγειρομένην ἀχλὺν ἐκάλεσε.

59,221,16 ἑξ. Μετριοφροσύνης καὶ τοῦ ἠθικοῦ καὶ πιθανοῦ λόγου καὶ τὸ περὶ τῶν ... ὁμολογουμένων διστάζειν.

---

1. Πρβλ. Ἐξ. 33,23.

59,221,19. Ἐκτυπώτερον. Ἀντὶ τοῦ ἀληθέστερον, ἐκτὸς τύπου καὶ σκιᾶς.

59,221,24. Ὅτι δὲ καὶ ἀντὶ τοῦ νοῦ τὴν διάνοιαν ἔλαβεν, δῆλον ὁ θεῖος Διονύσιος εἰ[769]ρηκώς, ἀφθέγκτως τε καὶ ἀγνώστως συνάπτεσθαι ἡμᾶς κατὰ τὴν κρείττονα τῆς καθ' ἡμᾶς λογικῆς καὶ νοερᾶς δυνάμεως καὶ ἐνεργείας ἕνωσιν τοῖς ἀφθέγκτοις τε καὶ ἀγνώστοις. Μόλις γὰρ ἄν τις τῷ ἀκροτάτῳ ἄνθει τοῦ νοῦ ἐν περιλήψει μετρίᾳ γενήσεται.

58,221,30. Ἀπερίληπτος δὲ (Θεὸς) κατὰ τὸ ἄπειρον, οἷόν τι πέλαγος βαθὺ καὶ ἀόριστον. Οἱ ἐν ἑκάστῳ τῶν ὄντων τῇ ἀπ' ἀρχῆς ὑπάρξει συγκαταβληθέντες λόγοι, καθ' οὓς ὑπέστη τῶν ὄντων ἕκαστον καὶ εἰδοπεποίηται.

58,221,27,37. *('Εκ τοῦ ἁγίου Μαξίμου).* Ὁ ... μὴ συγχωρῶν αὐτὴν (τὴν αἴσθησιν) μὴ δὲ καθ' ἑαυτὴν γενομένην ἐκτὸς τοῦ ἡνιοχοῦντος λόγου ἐνεργεῖν, μὴ δὲ τὸν λόγον αὐτὸν τῆς τοῦ νοῦ ἁπλότητος ἄφετον ἐῶν... οὗτος ἀληθῶς διὰ τῶν ὁρωμένων καὶ τῆς ἐν αὐτοῖς εὐταξίας τὸν ποιητὴν τούτων καὶ συνοχέα καὶ ἀρχηγόν, ὡς ἀνθρώπῳ δυνατόν, ἀνετυπώσατο. Μετὰ πᾶσαν τὴν κατ' αἴσθησιν ἐν σχήματι θέσεώς τε καὶ μορφῆς καὶ τυπώσεως καὶ φαντασίας διάβασιν. Ἡ πρὸς τὸ κρεῖττον μετ' ἐμμελοῦς ἐξετάσεως καθ' ὁδὸν ἀπὸ τῶν ἡττόνων ἀνάβασις.

59,221,38-39. (Ἡ ὄψις) τοῖς ὁρωμένοις προσβάλλουσα καὶ πεπηγόσι καλῶς καὶ ὁδεύουσι καὶ ἀκινήτως, ἵν' οὕτως εἴπω, κινουμένοις καὶ φερομένοις. Κινεῖσθαι... λέγεται τῷ κατὰ ῥοὴν καὶ ἀπορροὴν λόγῳ, αὐξήσει τε τῇ περὶ τὸ ποσὸν καὶ μειώσει. Ἡ πρὸς τὰ αἰσθητὰ τῆς ὄψεως **[770]** προσβολὴ καὶ ἀπόβλεψις πρὸς οὐρανόν, ἥλιον, σελήνην καὶ τῶν λοιπῶν ἀστέρων τὸν χορόν. *(Πρὸ τοῦ ἀνωτέρω χωρίου)*· μεταβάλλειν εἰς ἄλλο καὶ φύρεσθαι.

59,222,1. (Ἡ κατὰ λόγον γινομένη εὔτακτος τῶν ἁπάντων διοίκησις) ἀφ' ἧς ἔστι συνιδεῖν τοῖς ὁρῶσι, μὴ μόνον ἀκυβέρνητον μὴ εἶναι τόδε τὸ πᾶν, ἀλλὰ καὶ ἀρχηγὸν καὶ αἴτιον ἔχειν Θεὸν τὸν συνέχοντά τε καὶ οὐσιώσαντα, τουτέστι ποιήσαντα καὶ προνοίας ἀρρήτοις λόγοις διέποντα.

59,222,1,16. Θεοῦ ... φύσιν, τὴν ὑπὲρ φύσιν καὶ ἀκατάληπτον καὶ τῶν ἁπάντων ὀρεκτῶν τὸ ἔσχατον, οὐκ ἂν ὅσον ἐστὶ καταλήψεταί τις. Κἂν γὰρ ἐπιχειρήσῃ, οὐκ ἐφικνεῖται μέν, μόνον δὲ τὰς νοερὰς ὄψεις ἀμαυρούμενος, καὶ τοῦ ὄντος ἐκπίπτει φωτός, ὡς φιλονεικήσας ὅλον ἥλιον τῷ σωματικῷ δέξασθαι ὀφθαλμῷ.

59,222,7. (Θεός) κινῶν καὶ τηρῶν τὰ πάντα, αὐτὸς μὴ κινούμενος. Πάσης γὰρ γενέσεώς τε καὶ κινήσεως τῶν ὄντων ἀρχὴ καὶ τέλος ἐστὶν ὁ Θεός, ὡς ἐξ αὐτοῦ γεγενημένων καὶ δι' αὐτοῦ κινουμένων καὶ εἰς αὐτὸν τὴν στάσιν ποιησομένων.

59,222,8. Λίαν ἀγνώμων ὁ μὴ μέχρι τοῦ εἰδέναι ποιητὴν καὶ δημιουργὸν καὶ συνοχέα καὶ προνοητὴν τὸν Θεὸν προϊὼν ἑκουσίως.

59,222,8-10. (Θεὸς) ὁ πάσης οὐσίας ἐπέκεινα καὶ πάσης γνώσεώς ἐστιν ἐξῃρημένος.

59,222,14,15-17. Ἵνα... μηκέτι τοῦ πρόσω δέηται, τὸ ἔσχατον ὀρεκτὸν ἔχων ἤδη καὶ εἰς ὃ πᾶσα σπεύ[771]δει καὶ πολιτεία τοῦ ὑψηλοῦ καὶ διάνοια. Ἵνα ... μηκέτι τὸν πρόσω δέηται, τὸ ἄκρον ὀρεκτὸν ἔχων ἤδη, καὶ εἰς ὃ πᾶσα ἔφεσις ἵσταται, παυομένων τῶν νοερῶν ἡμῶν ἐνεργειῶν, ἐν ᾧ πάντα τὰ πέρατα πασῶν τῶν γνώσεων ὑπεραρρήτως προϋφέστηκε. Νοοῦσα... ἡ ψυχὴ ἵσταται τοῦ νοεῖν ἐκεῖνο τὸ νοηθὲν μετὰ τὴν αὐτοῦ νόησιν. Τὸ γὰρ νοηθὲν κυρίως ἅπαξ οὐκ ἔτι τὴν πρὸς τὸ νοηθῆναι πάλιν ἐκκαλεῖται τῆς ψυχῆς δύναμιν.

59,222,21. Πότερον σῶμα; Πρόεισι δὲ ἡ δεῖξις τούτῳ κατὰ διαίρεσιν Πλατωνικῶς, διὰ τοὺς ταύτῃ μέγα φρονοῦντας.

59,222,32-33. Πῶς σωθήσεται τὸ διὰ πάντων διήκειν... τὸν Θεὸν *(Πρβλ. Σ. Σολ. 7,24)*.

59,222,39-40. Εἰς ἄτομα κατακερματίζεσθαι *('Επίκουρος)*.

59,223,1-2. Καὶ οὕτω διαπεσεῖται ἡμῖν καὶ σῶμα οὐχ ἕξει οὐδὲ πῆξίν τινα ὁ περὶ τοῦ σώματος λόγος. Τὸ τριχῇ λέγω δυνατόν· τοῦτο γὰρ σώματος ὅρος καὶ λόγος· καὶ σῶμα οὐχ ἕξει Θεός, ὁ ὑφ' ὑμῶν σῶμα εἶναι ὑποτεθείς, οὐδὲ πῆξίν τινα οὐδὲ μῆκος καὶ βάθος καὶ πλάτος, ταῦτα δὴ οἷς σῶμα χαρακτηρίζεται. Τὸ ... ἡμῖν... εἴρηκεν... ὡς διὰ τῆς κοινολεξίας ἐξιδιούμενος τοὺς δι' ἐναντίας.

59,223,2-4. Εἰ δ' ἄυλον φήσομεν. εἰ μὲν τὸ πέμπτον, ὥς τισιν ἔδοξε, καὶ τὴν κύκλῳ φορὰν φερόμενον, ἔστω μὲν ἄυλόν τι καὶ πέμπτον σῶμα. Ἀριστοτέλης ὁ φιλόσοφος πέμπτον τι σῶμα τὸν οὐρανὸν ἐδογμάτισε, ἄλλο τι ὂν παρὰ τὰ τέσσαρα στοιχεῖα, γῆν, ὕδωρ, ἀέρα καὶ [772] πῦρ ἐκείνων γὰρ τὴν ἐπ' εὐθείας κίνησιν κινουμένων, καὶ τῶν κούφων μὲν ἄνω φερομένων, πυρὸς καὶ ἀέρος, τῶν δὲ βαρέων κάτω. ὕδατός τε καὶ γῆς. Αὗται γὰρ αὐτῶν αἱ κατὰ φύσιν κινήσεις· τὸν οὐρανὸν μόνον κατὰ μηδὲν ἐκείνων κινούμενον κυκλοφορεῖσθαι εἴρηκεν ἰδιοτρόπως. Ὥς τισιν ἔδοξε, τοὺς περὶ Ἀριστοτέλην.

59,223,6. Ἡ κίνησις... λέγεται ἐπὶ τῶν ὑπὸ γένεσιν καὶ φθοράν.

59,223,13. Εἰ γὰρ καὶ Δαυΐδ εἶπεν· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα[1]. Ἀλλὰ τὸ κοῦφόν τε καὶ διάπυρον αὐτῶν καὶ ὀξὺ περὶ τὴν θείαν ἔφεσίν τε καὶ λειτουργίαν

---

1 Ψαλ. 103,4

διαγράφων καὶ πάσης ὑλικῆς ἐννοίας ἀπηλλαγμένον, εἴρηκε τοῦτο.

59,223,14-15. Πάλιν εἰσήχθη σωμάτων ἑσμὸς ἀλόγιστος καὶ φλυαρίας βυθὸς οὐδαμοῦ στῆναι δυνάμενος. Πλῆθος εἰσάγοντας σωμάτων ἀλόγιστον καὶ βυθόν, ἐξ οὗ ἀπειρία γεννᾶται σωμάτων, ἄλλων ἐξ ἄλλων τικτομένων καὶ οὐδαμοῦ στῆναι δυναμένων.

59,223,17-18. Οὐδὲ τῆς ἡμετέρας αὐλῆς ὁ λόγος. Ἑλληνικὸς γὰρ οὗτος ὁ λῆρος καὶ τῆς τῶν Στωϊκῶν φλυαρίας, ὑλικὸν τὸ Θεῖον ὑπειληφότων.

59,223,18-21. Τοὺς ἀνόμοιον μάλιστα τῷ Πατρὶ τὸν Υἱὸν κακούργως εἰσάγοντας. Εἴπερ οὐσίαν Θεοῦ τὸ ἀγέννητον εἶναι πάντως βιάσαιντο.

59,223,20-30. Ὁρῶν ὁ ἅγιος τοὺς αἱρετικοὺς Εὐνομιανοὺς ἕνα μόνον ἔχοντας ἀγῶνα, τὴν ὑπερούσιον αὐτοῖς ἀνοήτως συγκαταβάλλειν φύσιν **[773]** καὶ τεχνικαῖς μεθόδοις περιλήψει τῆς κατ' αὐτοὺς γνώσεως κρατεῖν ἐπιχειροῦντας, ὡς ᾤοντο, τὴν ἀκράτητον δύναμιν καὶ πάσῃ τῇ κτίσει κατὰ τὸ ἴσον ἀχώρητον, δι' ὅλου σχεδὸν τοῦ λόγου τὰς στερήσεις τε καὶ ἀποφάσεις προυτίμησεν ἐπὶ Θεοῦ λέγειν, μὴ δὲ μιᾶς ἀνασχόμενος θέσεως ἢ καταφάσεως.

59,223,26-28. Τὸ ... ὑποκείμενον, ὅπερ γεννᾶται καὶ φθείρεται καὶ πεποίωται. Τὸ ὑποκείμενον θεμελίου τρόπον, ἐφ' ᾧ ταῦτα βέβηκε.

59,223,28-29. Εἰ μέλλει τελέως καὶ ἀποχρώντως τὸ νοούμενον παραστήσασθαι. Εἰ μέλλοιμεν τελείως καὶ ἀπαραλείπτως τὸ νοούμενον παριστάναι. Παραστῆσαι οὐσίαν Θεοῦ, καὶ Οὐσίας Θεοῦ παραστατικόν.

59,224,3. Τυχόν. Συμπεριφερόμενος τοῖς περὶ Εὐνόμιον ἀμφέβαλε τὴν ἀντιστροφήν.

59,224,20-25. Εὐνομιανοὶ πρὸς τὴν ἐξ ἀνθρώπων δόξαν ἐπτοημένοι καὶ σοφοί τινες διὰ τοῦτο καὶ ὑπέρογχοι.

59,224,20-21. Τὸ σκολιὸν καὶ γριφοειδὲς ἐπεισήγαγεν. (Γριφοειδὲς) τὸ αἰνιγματῶδες καὶ σκοτεινόν.

59,224,26-28. Ὅ μοι λέγειν ὁ λόγος ἀπ' ἀρχῆς ὥρμησε. Τοῦτο δὲ ἦν τί; τὸ μὴ ληπτὸν εἶναι ἀνθρωπίνῃ διανοίᾳ τὸ Θεῖον, μὴ δ' ὅλον ὅσον ἐστὶ **[774]** φαντάζεσθαι. Μηδ' ὅλον ὅσον ἐστὶ πίπτον εἰς φαντασίαν. Οὐκ ἂν ἠρώτησεν, εἰ μὴ πάνυ ἐθάρρει ταῖς ἀποδείξεσι. Τοιοῦτον γὰρ καθ' Ἑρμογένην τὸ σχῆμα τῆς ἐρωτήσεως.

59,224,26. 226,6. Ἡ λογικὴ φύσις δύναται ἀνατείνεσθαι πρὸς Θεὸν καὶ τῆς αὐτοῦ μετέχειν πληρώσεως.

59,224,28. Μακρὰν γὰρ τῆς θείας φύσεως φθόνος. Τὰ δὲ μεταξὺ αἰτιολογίαν τινὰ ἔχει βραχεῖαν τοῦ μακρὰν τῆς θείας καὶ ἀπαθοῦς φύσεως φθόνον ἀποσκηνοῦν. Εἰ γὰρ ἀγαθὸς ὁ

Θεός· «οὐδεὶς γάρ, φησίν, ἀγαθός, εἰ μὴ εἷς ὁ Θεός»[1]· ἀγαθῷ δὲ οὐδεὶς ἐγγίνεται φθόνος, καθά φησι καὶ Πλάτων, πῶς ἂν εἰκότως διὰ φθόνον τὸν περὶ τὰς λογικὰς φύσεις λέγοιτο ἀποκρύπτειν ἑαυτόν; Ὧν δὴ λογικῶν φύσεων καὶ ἡ παραγωγὴ καὶ ὑπόστασις τῆς ἄκρας αὐτοῦ ἦν ἀγαθότητος. Πῶς ὁ κυριεύων πάντων φθονήσειε τοῖς κυριευομένοις; τί γὰρ τῶν ἀγαθῶν ἔχουσιν, ὃ μὴ ἐκεῖθεν αὐτοῖς χορηγεῖται; πᾶσα γὰρ δόσις ἀγαθὴ ἄνωθεν αὐτοῖς ἐστιν.

59,224,37-38. Οἱ ἐγγυτέρω Θεοῦ καὶ τῶν ἀνεξιχνιάστων αὐτοῦ κριμάτων[2] ἐπόπται καὶ θεωροί. Ἐπόπτας δὲ καὶ θεωροὺς εἶπεν, ἀπὸ τῆς ἐν ἡμῖν ἀκριβεστέρας αἰσθήσεως τὴν τρανεστέραν κατάληψιν τῶν τοῦ Θεοῦ ἀνεξιχνιάστων ὁδῶν[3]..., κατὰ τὸν μέγαν εἰπεῖν Ἀπόστολον, αὐτοῖς χαριζόμενος.

[775] 59,224,39-40. Ἐν ἴχνεσιν ἀβύσσου περιπατοῦντες, τὸ δὴ λεγόμενον[4].

59,225,1-5. Ἵνα μὴ τῷ ῥᾳδίῳ τῆς κτήσεως ῥᾴστη γένηται καὶ ἡ τοῦ κτηθέντος ἀποβολή. Φιλεῖ γὰρ τὸ μὲν πόνῳ κτηθὲν μᾶλλον κρατεῖσθαι, τὸ δὲ ῥᾳδίως κτηθὲν καὶ ἀποπτύεσθαι τάχιστα, ὡς πάλιν ληφθῆναι δυνάμενον. Καὶ οὕτως εὐεργεσία καθίσταται τὸ μὴ πρόχειρον τῆς εὐεργεσίας. Οὐχ ὅλον ὅσον ἐστὶν ἑαυτὸ ἐνδίδωσι τὸ Θεῖον, τάχα μέν, ἵνα μὴ τῷ ἑτοίμῳ περιφρονῆται τῆς καταλήψεως, ὡς καὶ ἐν ἄλλοις εἴπομεν. Εἴωθεν γὰρ τὸ προχείρως καταλαμβανόμενον ῥᾳδίως περιφρονεῖσθαί τε καὶ ἀποβάλλεσθαι, διὰ τὴν ῥᾴστην τε καὶ πρόχειρον τούτου πάλιν ἀνάληψιν.

59,225,9-11. Τυχὸν ... τοῖς ἐνταῦθα κεκαθαρμένοις καὶ μακροθυμοῦσι πρὸς τὸ ποθούμενον. (Θεὸς) οὐχ ἁπάσας ἡμῖν τὰς ἀκτῖνας τῆς αὐτοῦ φωτοληψίας ἐνδίδωσι. *(Καί)*· Οὐδὲ γὰρ ἐκεῖνος *(ὁ Ἑωσφόρος)* ὅλον τὸ φῶς ἐχώρησεν, ἀλλ' ὅσον ἦν ἐφικτὸν αὐτῷ, ἢ ὅλον τὸ ἐνδεδομένον. Τῶν... τοῖς ἐξ ἐγκρατείας νίτροις καὶ ταῖς μικτικαῖς πόαις τῆς πρακτικῆς εἰς βάθος καθαιρομένων καὶ ..... ὡς διὰ κλίμακός τινος τῆς πρακτικῆς εἰς θεωρίαν ἀναπηδώντων τοῖς μὲν μᾶλλον, τοῖς δὲ ἧττον αἱ ἐκεῖθεν ἐλλάμψεις οἱονεί τις ἀρραβὼν[5] καὶ γεῦμά τι ἐνταῦθα ἐνδίδονται τοῦ τελείου, ἐκεῖθεν ταμιευομένου ὃ δὴ καὶ ὁ Δαυὶδ αἰνιττόμενος καὶ δεικνύς, ὡς αἱ ἐνταῦθά τισιν ἐλλάμψεις διδόμεναι οἱονεὶ πρόγευμά τί ἐστι τῆς τελείας ἐκεῖθεν ἐλλάμψεως[6α]. Συνεποπτεύοντες τὴν ἁγίαν καὶ μακαρίαν Τριάδα καθαρώτερόν τε καὶ τελεώτερον, ἧς νῦν μετρίας δεδέγμεθα τὰς ἐμφάσεις, ἐνταῦθα σταίημεν τῆς ἐφέσεως.

---

1. Ματθ. 19,17. 2. Πρβλ. Ρωμ. 11,33. 3. Ἔνθ' ἀν. 4. Πρβλ Ἰὼβ 38,16. 5. Πρβλ. Β' Κορ. 1,22. 5,6. Ἐφ. 1,14. 6. Πρβλ Ψαλ. 16,15.
α. Γρηγ. Θεολ. Ἐπιτάφ. εἰς Μ. Βασίλ. ΒΕΠ. 179,29 ἑξ.

59,225,13-15. Καὶ τοῦτό ἐστιν ἴσως, ὃ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ[1], τὴν ἡμετέραν παχύτητα, δι' ἣν ὀλίγοι καὶ μικροὶ διακύπτουσιν. Γνόφον[2] μὲν καλεῖ τὸ ἡμέτερον σῶμα διὰ τὸ πάχος καὶ τὸν ἐντεῦθεν ἐκ τῶν παθῶν ζόφον. Ἐπιπροσθεῖ [776] γὰρ τῷ ἐν ἡμῖν νοερῷ, ὥσπερ τὸ νέφος τῷ ἡλίῳ, καὶ οὐ συγχωρεῖ καθαρῶς ἐντρανίζειν τῷ τῆς δικαιοσύνης ἡλίῳ. Συνέδησε Θεὸς τὴν ψυχὴν ἡμῶν σώματι. Ἡμεῖς μὲν... κυρίως ἐσμὲν ἡ ψυχή, καὶ ταύτης μᾶλλον ὁ νοῦς, ἡμέτερον δὲ τὸ σῶμα, περὶ ἡμᾶς δὲ τὰ ἐκτός, οἷον χρήματα καὶ ὅσα τοιαῦτα. Ἵσταται οὖν μέσος ἡμῶν, τουτέστι τῆς ψυχῆς ἡμῶν καὶ τοῦ Θεοῦ ὁ σωματικὸς οὗτος γνόφος. (Τὸ σῶμα) μέσον αὐτοῦ ἱστάμενον καὶ Θεοῦ, ἀποτειχίζει ἀπὸ τοῦ Θεοῦ καὶ οὐ συγχωρεῖ καθαρῶς ἐνατενίζειν αὐτῷ. *(Καὶ ἀκολουθεῖ τὸ ἑξῆς)*· Ἐκλεπτύνειν ἀσιτίαις τὴν τοῦ σώματος παχύτητα. Νῦν μὲν γὰρ διὰ τὸ πάχος ἐπιπροσθεῖ τὸ σῶμα τῇ ψυχῇ, μετὰ δὲ τὴν ἀνάστασιν λεπτότερόν τε καὶ καθαρώτερον ἀπολαβόντες αὐτό, καθαρώτερόν τε ὀψόμεθα καὶ τρανότερον.

59,225,18-21. Ἀδύνατον... ὄψιν... χωρὶς ἀέρος πεφωτισμένου πλησιάσαι τινὶ τῶν ὁρατῶν καὶ τοὺς τύπους τῶν ὁρωμένων ἐκμάξασθαι. Ἐν ᾗ ὡς ἐν κηρῷ τυποῦνται καὶ οἱονεὶ διαγράφονται καὶ δι' αὐτῆς τῇ τε μνήμῃ καὶ τῇ καθ' ὅλου αἰσθήσει παραπέμπονται.

59,225,21-22. Ὅπερ δέ ἐστιν ὁ ἀὴρ τοῖς χερσαίοις τε καὶ πτηνοῖς, τοῖς μὲν τοῦ ἀναπνεῖν αἴτιος ὤν, τοῖς δὲ πρὸς τούτῳ καὶ ὄχημα τούτοις γινόμενος, τοῦτο τὸ ὕδωρ τοῖς νηκτοῖς. Τὰ δὲ περὶ τούτων ἀκριβέστερον ἐρευνήσας ἐν τῇ εἰς τὴν ἑξαήμερον βίβλῳ τοῦ μεγάλου Βασιλείου εὑρήσεις.

59,225,22-26. Ἀμήχανον τοῖς ἐν σώμασι δίχα τῶν σωματικῶν πάντῃ γενέσθαι μετὰ τῶν νοουμένων. Ἀεὶ γάρ τι παρεμπεσεῖται τῶν ἡμετέρων, κἂν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων ὁ νοῦς καὶ καθ' ἑαυτὸν γενόμενος προσβαλεῖν ἐπιχειρῇ τοῖς συγγενέσι καὶ ἀοράτοις. Ἀμήχανον εἶναι τὸν δεσμώτην τοῦ σώματος νοῦν ἀποδύσασθαι τέλεον τὰ σωματικὰ μορφώματα καὶ τυπώματα καὶ γυμνὸν τῶν τοιούτων τοῖς νοητοῖς συγγενέσθαι. Κἂν γὰρ ὅτι μάλιστα μύσαι τὰς αἰσθήσεις σπουδάσῃ, καὶ καθ' ἑαυτὸν γεγονὼς ἐπι[777]χειροίη τοῖς συγγενέσι καὶ ἀοράτοις προσβάλλειν, οὐχ ἕξει παντελῶς τὸ γυμνωθῆναι τῶν φαντασιῶν. Ἀεὶ γὰρ ἐφέλκεται τὰ εἴδη καὶ τὰς μορφὰς καὶ τὰ σχήματα, ὡς ἐν κηρῷ τινι τῷ μνημονευτικῷ ἐντετυπωμένα. Συγγενῆ δὲ τῷ νῷ τὰ νοερὰ καὶ νοητὰ καλεῖ διὰ τὸ νοερὸν τοῦ νοῦ καὶ ἀσώματον.

1 Πρβλ Ψαλ 17,12 2. Πρβλ. Ἐξ. 14,20.

59,225,27-30. Πῦρ δὲ τὸ Θεῖον λέγεται[1] ὡς καθαρτικόν τε καὶ ἀναλωτικὸν τῆς ὕλης τε καὶ τῆς μοχθηρᾶς ἕξεως, ὡς καὶ τὸ πῦρ τῆς μὴ συγγενοῦς ὕλης τῷ χρυσίῳ.

59,225,28. *(Μεταξὺ ἄλλων ἐκ τοῦ Διονυσ. 'Αρεοπαγ.)*. 'Ονομάζεται δὲ ὁ Πατὴρ νοῦς ἀνόητος, τὸ μὲν διὰ τὸ ὑπεργονίμως γόνιμον καὶ ὑπεραΰλως ἄυλον αὐτοῦ, τὸ δὲ ὡς μήτε νοῶν, ὡς νοοῦσιν οἱ νοεῖν δυνάμενοι, μήτε τινὶ τῶν πάντων νοούμενος. (Λόγος ὁ Υἱὸς) ὡς ἐκ τοῦ νοῦ τοῦ μεγάλου προελθὼν ἀδιαστάτως τε καὶ ἀχρόνως καὶ ἀπαθῶς.

59,225,33-34. Λόγον δὲ τίνα παρὰ τὸν ἡσυχάζοντα ἐν ἡμῖν ἢ χεόμενον; Λόγον δὲ ἡσυχάζοντα τὸν ἐνδιάθετον καλεῖ. Ἔστι γὰρ ἐνδιάθετος λόγος κίνημα τῆς ψυχῆς, ἐν τῷ διαλογιστικῷ συνιστάμενον ἄνευ τινὸς ἐκφωνήσεως. Ὅθεν πολλάκις καὶ σιωπῶντες λόγον ὅλον παρ' ἑαυτοῖς διεξερχόμεθα καὶ ἐν τοῖς ὀνείροις διαλεγόμεθα. Κατὰ τοῦτο δὲ μάλιστα λογικοὶ πάντες ἐσμέν. Καὶ γὰρ οἱ ἐκ γεννήσεως κωφοὶ καὶ οἱ διά τι νόσημα ἢ πάθος τὴν φωνὴν ἀποκοπέντες οὐδὲν ἧττον λογικοί εἰσιν. Ἡσυχάζοντα οὖν λόγον τὸν ἐνδιάθετον καλεῖ, χεόμενον δὲ τὸν προφορικόν. Ὁ δὲ προφορικὸς λόγος ἐν τῇ φωνῇ καὶ ἐν ταῖς διαλέκτοις τὴν ἐνέργειαν ἔχει, ἤγουν ὁ διὰ γλώσσης καὶ στόματος χεόμενός τε καὶ προφερόμενος λόγος. Ἔστι δὲ ἄγγελος νοήματος.

59,225,40-226,2. Ἢ δεῖ τούτων ἀποστάντας ἡμᾶς αὐτὸ καθ' ἑαυτὸ τὸ Θεῖον ἐκ τούτων ἰδεῖν, ὡς οἷόν τε, μερικήν τινα φαντασίαν ἐκ τῶν εἰκασμάτων συλλεγομένους; Ἀδύνατον γὰρ εὑρεθῆναι ἐν τῇ κτίσει εἰκόνα ἀπαραλλάκτως πρώτην φύσιν παραδεικνύουσαν.

59,226,2-3. Τίς οὖν μηχανὴ ἐκ τούτων τε καὶ μὴ ταῦτα; Τίς ... μηχανὴ ἐκ τούτου μέν, ὡς ἐξ εἰκασμάτων, ἀμυδρῶς τὸ Θεῖον γινώσκε**[778]**σθαι, μὴ ταῦτα δὲ εἶναι διὰ τὸ ἀεί τι παρεμπίπτειν τοῖς περὶ τούτων νοήμασι;

59,226,4-5. Κάμνει ἐκβῆναι τὰ σωματικὰ ὁ ἡμέτερος νοῦς καὶ γυμνοῖς ὁμιλῆσαι τοῖς ἀσωμάτοις. Κάμνει ἤτοι ἀσθενεῖ, ἀδυνατεῖ, ἀμηχανεῖ ὁ ἡμέτερος νοῦς ὑπεκδῦναι τὰ σωματικὰ ταῦτα... καὶ ἀσωμάτως ὁμιλῆσαι τοῖς ἀσωμάτοις καὶ τοῖς ἀΰλοις συγγενέσθαι ἀΰλως, μηδέν τι τῶν αἰσθητῶν ἐφελκόμενος. Χωρὶς τῶν σωματικῶν τῇ πρώτῃ αἰτίᾳ προσβάλλειν.

59,226,6-14. Ἐφίεται μὲν πᾶσα λογικὴ φύσις Θεοῦ καὶ τῆς πρώτης αἰτίας καταλαβεῖν. Εἰ δὲ ἀδυνατεῖ δι' ἃς εἶπον αἰτίας, κάμνουσα δὲ τῷ πόθῳ καὶ οἷον σφαδάζουσα καὶ τὴν ζη-

1. Πρβλ. Δευτ. 4,24. 9,3.

μίαν οὐ φέρουσα δεύτερον ποιεῖται πλοῦν, ἢ πρὸς τὰ ὁρώμενα βλέψαι καὶ τούτων τι ποιῆσαι Θεόν... ... ἢ διὰ τοῦ κάλλους τῶν ὁρωμένων καὶ τῆς εὐταξίας Θεὸν γνωρίσαι καὶ ὁδηγῷ τῇ ὄψει τῶν ὑπὲρ ὄψιν χρήσασθαι. 'Εφίεται μὲν... καταλαβεῖν, τί τὴν φύσιν ἐστὶ καὶ οὐσίαν. — Οὐ γὰρ τὸ ὅτι ἔστι Θεὸς καταλαβεῖν ἀδυνατεῖ. — 'Αδυνατεῖ δὲ διὰ τὸν ἐπιπροσθοῦντα τῷ νοΐ ζόφον καὶ τὸ προκάλυμμα. (Σφαδάζουσα): Τουτέστι, χαλεπῶς φέρουσα. (Δεύτερον ποιεῖται πλοῦν): Τουτέστι δευτέραν τινὰ ὁδὸν ἔρχεται, τῆς πρώτης ἀποτυχοῦσα. Ἔστι δὲ παροιμία τοῦτο ἐπὶ τῶν τῆς πρώτης βουλῆς ἢ πράξεως ἀποτυγχανόντων καὶ πρὸς δευτέραν τινὰ ὁρμώντων ταττομένη. Καὶ οἱ ναυτιλλόμενοι γάρ, εὐφόρου ἀνέμου ἀποτυχόντες, ὁ δὴ πρῶτος παρ' ἐκείνοις πλοῦς καὶ λέγεται καὶ ἔστι, ταῖς κώπαις ἀποχρῶνται ἐπὶ τὸν δεύτερον πλοῦν ἐρχόμενοι. *('Οδηγῷ δηλ.)* διδασκάλῳ τῇ ὄψει χρησάμενοι τῶν ὑπὲρ τὴν ὄψιν καὶ πρὸς τὸν τούτων πάντων ἀναδραμόντες αἴτιον.

59,226,9. Τούτοις... ὁ δεύτερος οὗτος πλοῦς... ἀσεβείας γέγονε πρόξενος. Εἰδικὸν αἴτιον ἡ διατυπουμένη ἐν τῷ νῷ τοῦ τεχνίτου καὶ διασκευαζομένη κατὰ διάνοιαν καὶ εἰδοποιουμένη διαμόρφωσις. Εἰδικὸν δὲ αἴτιον τὴν ἐν αὐτῷ *(τὸν Θεὸν ἐννοεῖ)* τῶν δημιουργημάτων γνῶσίν φαμεν, ἣν ἐξ ἀϊδίου καὶ προαιώνιον ἔσχεν, οὐχ ὕστερον **[779]** αὐτῷ ἐπιγενομένην, ἀλλὰ συναιωνίζουσαν καὶ συμπαρεκτεινομένην ἀεί.

59,226,16-18. 'Αστέρων πλῆθος οἷς καὶ τὸ πᾶν ἄγειν δεδώκασιν, κατὰ τὸ ποιὸν ἢ ποσὸν τῆς κινήσεως. Οἱ ... Ἕλληνες διὰ τῆς τῶν ἄστρων τούτων τῶν κινουμένων, πρὸς τῆς ἐν τῷ ζωδιακῷ κύκλῳ ἐπιπλοκῆς ἐγγύτητός τε καὶ ἀποστάσεως κατὰ τοιόνδε ἢ τοιόνδε σχῆμα συνερχομένων ἀλλήλοις, τὰς γενέσεις τε καὶ τὰ συμβαίνοντα ἡμῖν πλάττουσιν. Ἡμεῖς δὲ σημεῖα μὲν ἐκ τούτων γίνεσθαι ὁμολογοῦμεν... τῶν δὲ ἡμετέρων... πράξεων οὐδαμῶς ταῦτα αἴτια εἶναι ἀποφαινόμεθα. Ποσὸν μὲν οὖν ἐνταῦθα λέγει ὁ ἅγιος τὸν ἀριθμόν, ἐν ᾧ τῶν ἀστρῴων διαστημάτων τε καὶ κινήσεων ἐξαριθμοῦσι τὸ μέτριον οἱ περὶ ταῦτα δεινοί. Ποιὸν δὲ τὸ διάφορον τῶν σχημάτων, οἷς ἀλλήλοις οἱ κινούμενοι τῶν ἀστέρων πρὸς τοὺς ἐν τῷ ζωδιακῷ κύκλῳ ἐπιπλεκόμενοι, διαφόρους κατὰ τούτους καὶ τὰς γενέσεις ἀποτελοῦσι καὶ τὰ συμβαίνοντα. Ἢ διὰ μὲν τοῦ ποσοῦ τὰς συνελεύσεις τῶν ἀστέρων τῶν εἰς ταὐτὸ συντρεχόντων, δύο ἢ καὶ τριῶν τυχόν, καὶ τάδε ἢ τάδε ἀποτελούντων, ἐσήμανε, διὰ δὲ τοῦ ποιοῦ τὰ σχήματα, τριγωνισμοὺς τυχὸν ἢ καὶ ἄλλο τι τοιοῦτον, οἷς Ἕλληνες, περὶ γενεθλιαλογίας καὶ τερατολογίας ἀπασχολούμενοι καὶ πρόνοιαν ἐξελόντες, ἀπρονοήτως τε καὶ ὡς ἔτυχε τὰ καθ' ἡμᾶς ἄγεσθαι ληρωδοῦσι.

59,227,5. Τὸ ... τάχα, προστεθὲν πιθανὸν ὁμοῦ καὶ ἐπιεικῆ τὸν λόγον εἰργάσατο.

59,227,14ἑξ. Ἡμᾶς... ὁ λόγος πρὸς τὸν παραγωγέα τούτων *(δηλ. τῶν ὁρωμένων)* ταῖς κατὰ μικρὸν προόδοις ἐχειραγώγει... ἐκ τούτων τὸν οὐσιώσαντά τε καὶ τάξαντα συλλογιζόμενος.

59,227,19-24. Τοῦ δὲ ταῦθ' οὕτως ἔχειν, μάρτυρα παράγει τῶν θύραθέν τινα ποιητήν. Ὀππιανὸς οὗτός ἐστιν, εἰ καὶ μὴ ὀνομαστὶ αὐτοῦ μνημονεύει. Θνητῷ γάρ, φησίν, ἀμήχανον ἐξονομῆναι, οἵη σὺν φιλότητι διακρίνας ἐκέδασεν αἰθέρα καὶ ἠέρα καὶ χυτὸν ὕδωρ. Καὶ πάλιν· πάντα δ' ἐν **[780]** ἀλλήλοις ἔασιν ὁμοφροσύνης ὑπὸ δεσμά.

59,227,25-26. Θεόν, πρὸς τὸ οἰκεῖον εἶδος ἕκαστον τῶν κτισμάτων κινήσαντά τε καὶ οὐσιώσαντα.

59,227,30ἑξ. Λαβὼν... τὸ σὺν λόγῳ τὸ πᾶν ἄγεσθαι καὶ κυβερνᾶσθαι. Τὸ πᾶν... τοὺς ἐξ ἀρχῆς ἐκτεθέντας αὐτῷ λόγους διασώζει. Τὸ ... ἐξ ἀρχῆς τοῦτο (τὸ πᾶν) συστησάμενον καὶ μέχρι τοῦ νῦν κυβερνῶν. Ὁρίζονται δ' Ἕλληνες τὴν μὲν τύχην σύμπτωσιν καὶ συνδρομὴν δύο τινῶν αἰτίων ἀπὸ προαιρέσεως μὲν τὴν ἀρχὴν ἐχόντων, ἄλλο δέ τι περὶ τὸ προαιρούμενον ἀποτελούντων.

59,227,36 ἑξ. Ὁ καθαρὸς νοῦς, ἐν μὲν τῇ τῶν ὁρατῶν φυσικῇ θεωρίᾳ γενόμενος, ἢ τοὺς φυσικοὺς λόγους αὐτῶν ἐρευνᾷ ἢ αὐτὴν τὴν αἰτίαν ζητεῖ, ἐν δὲ τῇ τῶν ἀοράτων διατρίβων, τούς τε φυσικοὺς αὐτῶν λόγους ζητεῖ καὶ τὴν αἰτίαν τῆς γενέσεως αὐτῶν — —. Ἐν δὲ τῷ Θεῷ γενόμενος, τοὺς περὶ τῆς οὐσίας αὐτοῦ πρῶτον λόγους ζητεῖ μὲν ὑπὸ τοῦ πόθου φλεγόμενος, οὐκ ἐκ τῶν κατ' αὐτὸν δὲ τὴν παραμυθίαν εὑρίσκει· ἀμήχανον γὰρ τοῦτο καὶ ἀνένδεκτον πάσῃ γεννητῇ φύσει ἐξ ἴσου· ἐκ δὲ τῶν περὶ αὐτὸν παραμυθεῖται. (Θεὸν) τὸν ποιητὴν πάντων καὶ συνοχέα καὶ προνοητήν. Ἔδειξε ... Θεὸν αἴτιον τῶν πάντων καὶ τὴν ἐξ αὐτοῦ πρόνοιαν ταῦτα συνέχουσαν.

59,227,36, 229,14-17. Ἀκραιφνῆ τὴν οὐσίαν (Θεοῦ) οὐδεὶς ἐκείνων *(τῶν προφητῶν)* εἶδε.

59,227,39-41. Ἐ π ε ι δ ὰ ν τ ὸ θ ε ο ε ι δ ὲ ς τ ο ῦ τ ο κ α ὶ θ ε ῖ ο ν, λ έ γ ω δ ὲ τ ὸ ν ἡ μ έ τ ε ρ ο ν ν ο ῦ ν τ ε κ α ὶ λ ό γ ο ν, τ ῷ ο ἰ κ ε ί ῳ π ρ ο σ μ ί ξ ῃ κ α ὶ ἡ ε ἰ κ ὼ ν ἀ ν έ λ θ ῃ π ρ ὸ ς τ ὸ π ρ ω τ ό τ υ π ο ν, ο ὗ ν ῦ ν ἔ χ ε ι τ ὴ ν ἔ φ ε σ ι ν. Τῶν ... τῆς ἰδίας φύσεως ἀγαθῶν ἐνετυπώσατο ὁ Θεὸς αὐτῇ *(τῇ ψυχῇ)* τὰ μιμήματα, ἀλλ' ἡ κακία τῷ θεοειδεῖ τούτῳ χαρακτῆρι περιχυθεῖσα, τὸ κάλλος αὐτοῦ ἠμαύρωσε τοῖς αἰσχροῖς συγχέασα χρώμασι. Ἐπειδὰν ... ὁ νοῦς πρὸς τὸν νοῦν ἤτοι πρὸς τὸν Θεὸν διὰ τῆς κατ' ἀρετὴν ὑψώσεώς τε καὶ θεώσεως ἀναδράμῃ... τηνικαῦτα... τῆς ἐφέσεως στήσεται.

[781] 59,228,2-3. Τ ὸ δ ὲ ν ῦ ν ε ἶ ν α ι β ρ α χ ε ῖ ά τ ι ς ἀ π ο ρ ρ ο ὴ π ᾶ ν τ ὸ ε ἰ ς ἡ μ ᾶ ς φ θ ά ν ο ν. Ὁ μὲν (Θεὸς)... πέλαγός ἐστιν ἀόριστον γνώσεως, ἡμεῖς δὲ πεπερατωμένην ἔχομεν

τὴν γνῶσιν. Τῆς τελεωτέρας γνώσεως ἀξιωθησόμεθα τῷ μέλλοντι αἰῶνι, ἡνίκα δὴ τελείως ἐλευθερωθῶμεν τῶν κατὰ σύνθεσιν ἑτεροτήτων ἡμῶν, κάτω τὴν αἴσθησιν μετὰ τῆς φαντασίας ἀπολιπόντες, αἵτινες νῦν τὸν νοῦν παρεμποδίζουσαι οὐ συγχωροῦσι τὰς ἐνδιδομένας ὅλας ἀκτῖνας εἰσδέχεσθαι. (Τὸ δὲ νῦν εἶναι) περιττὸν δὲ τὸ εἶναι ἐνταῦθα καὶ Ἀττικὸν ἰδίωμα, ὡς τό· οὐκ ἂν ἑκὼν εἶναι τοῦτο ποιήσαιμι.

59,228,12. Ἐξ ὧν *(δηλ. ἐκ τῶν ἐπιζησάντων μετὰ τὸν κατακλυσμὸν)* πᾶν γένος ἀνθρώπων καὶ λοιπῶν ζῴων εἰς τὸ νῦν ὁρώμενον πλῆθος ἐξήπλωτο.

59,228,16. Ἐδήλου δὲ ἡ μὲν κλίμαξ[1] τὴν τοῦ Κυρίου κάθοδον ἐσομένην ἐξ οὐρανῶν καὶ τὴν δι' ἀρετῆς τῶν ἀνθρώπων εἰς οὐρανοὺς ἄνοδον. Πληθὺς ἀγγέλων ἄνω καὶ κάτω διάγουσα τοὺς ἀνακειμένους τῷ Θεῷ διασῴζει.

59,229,3. *(Τοὺς Ἡσαΐαν καὶ Ἐζεκιὴλ ὀνομάζει ὁ Γρηγόριος)* τοὺς τῶν μεγάλων ἐπόπτας θεαμάτων. Ὁ Θεολόγος καλεῖ... τὸν Κύριον Σαβαώθ, στρατιῶν δηλαδή, τουτέστι ἐπουρανίων τάξεών τε καὶ δυνάμεων. Αὐτοῖς Σεραφίμ, μὴ δυναμένοις ἐνατενίζειν αὐτῷ *(δηλ. τῷ Θεῷ)*. Πανταχοῦ δὲ τὸ ὁμοίωμα[2] τίθησιν ὁ προφήτης, διδάσκων ἡμᾶς σκιαγραφίαν τινὰ τῶν θείων τεθεᾶσθαι καὶ οὐκ αὐτὴν τὴν ὁρατῶν φύσιν. Τὸ δὲ «φέγγος τὸ κύκλῳ αὐτοῦ»[3] οἱονεὶ οἶκον αὐτοῦ *(δηλ. τοῦ Θεοῦ)* παρεδείκνυε *(Ἰεζεκιήλ)* κατὰ τό· «φῶς οἰκῶν ἀπρόσιτον»[4].

59,229,10. Ὑδάτων πλήθει ῥαγδαίως καταφερομένων.

59,229,12. Τοῦ ἡγεμονικοῦ τύπωσις συγγινομένη τοῖς μέλλουσιν ὡς παροῦσιν. Ἐν τῷ τυποῦσθαι καὶ γράφεσθαι ἐν αὐτῷ τοὺς τύπους καὶ τὰς εἰκόνας τῶν μελλόντων πραγμάτων, δι' ὧν **[782]** δὴ τύπων συγγίνεται τοῖς μέλλουσιν ὡς παροῦσιν. Ὁ μακάριος οὗτος πατὴρ... τὸν νοῦν δι' ὅλου ποιωθεὶς τῷ Ἁγίῳ Πνεύματι. *(Ἐκ τοῦ ἁγίου Μαξίμου)*. Οὐ ... λέγειν θέμις ἐπὶ τῶν θείων, τὸ φανταστὸν πάντως δεῖν παρεῖναι πρὸς διατύπωσιν τῆς φαντασίας, ἀλλὰ παραδόξως τε καὶ ὑπερφυῶς, καὶ μὴ παρόντος προσώπου καὶ φωνῶν αἰσθητῶν, μὴ κτυπουμένων δι' ἀέρος, τὴν φαντασίαν ἐνεργεῖν, ὥστε ἀληθῶς ἀκούειν καὶ ὁρᾶν τὸν τὰ θεῖα μυσταγωγούμενον. — Τὴν δὲ τοῦ ἡγεμονικοῦ τύπωσιν οἶμαι κατ' ἔμφασιν αὐτὸν λέγειν τοὺς μονοτρόπως, ὡς ἐν εἰκόνι, κατὰ τὴν ἁπλῆν καὶ ἀδιάστατον τοῦ νοεροῦ προσβολὴν τοῖς ἁγίοις προφαινομένους τῶν μελλόντων τύπους.

Κατὰ μὲν τὸ ῥητόν, καὶ κατὰ δὲ τὴν ἀναγωγήν.

59,229,19. *(Ἐκ τοῦ ἁγίου Μαξίμου)*. Ἀνάβασιν (ὑπονοῶ

---

1 Πρβλ Γεν. 28,12. 2. Πρβλ. Ἰεζ. 1,5,16,22,26. 3. Ἰεζ. 1,4.
4. Α' Τιμ 6,16

λέγειν τὸν Θεολόγον) τήν τε τῶν αἰσθητῶν πάντων ἀπόλειψιν, οὐκ ἔτι ἐνεργούντων ἢ ἐνεργουμένων παρ' αὐτῶν κατὰ τὴν αἴσθησιν, καὶ τῆς περὶ αὐτὰ κατὰ φύσιν ἐν πνεύματι γνωστικῆς θεωρίας ὑπέρβασιν, ἀ ν ά λ η ψ ι ν δὲ τὴν ἐν τῷ Θεῷ γενομένην αὐτῶν μετὰ ταῦτα μονήν τε καὶ ἵδρυσιν.

59,229,18. (Οὐρανὸς) ὅρος πάντων τῶν ὑπὸ αἴσθησιν.

59,229,27. Ἐν μ ι κ ρ ο ῖ ς ... τ ῆ ς ἀ λ η θ ε ί α ς ἰ ν δ ά λ μ α σ ι ν καὶ ὁμοιώμασι *(Ὁ Ἠλίας χάριν ἐξηγήσεως προσθέτει)*: Τὸ ἔσοπτρον ἐκτυπώτερον δείκνυσι τοῦ ἐμφαινομένου τὴν μίμησιν.

59,229,29. Διευκρινεῖν (Λόγον) τὸν μέλλοντα τοῖς μαθηταῖς μυστικώτερον ἐπιχορηγεῖσθαι.

59,229,35-230,1. Ο ἷ ο ν ὀ ρ γ ά ν ῳ μ ι κ ρ ῷ μ ε γ ά λ α δ η μ ι ο υ ρ γ ο ῦ μ ε ν, τ ῇ ἀ ν θ ρ ω π ί ν ῃ σ ο φ ί ᾳ τ ὴ ν τ ῶ ν ὄ ν τ ω ν γ ν ῶ σ ι ν θ η ρ ε ύ ο ν τ ε ς κ α ὶ τ ο ῖ ς ν ο η τ ο ῖ ς π ρ ο σ β ά λ λ ο ν τ ε ς μ ε τ ὰ τ ῶ ν α ἰ σ θ ή σ ε ω ν ἢ ο ὐ κ ἄ ν ε υ α ἰ σ θ ή σ ε ω ν, ὑ φ' ὧ ν π ε ρ ι φ ε ρ ό μ ε θ α κ α ὶ π λ α ν ώ μ ε θ α, κ α ὶ ο ὐ κ ἔ χ ο μ ε ν γ υ μ ν ῷ τ ῷ ν ῷ γ υ μ ν ο ῖ ς τ ο ῖ ς π ρ ά γ μ α σ ι ν ἐ ν τ υ γ χ ά ν ο ν τ ε ς, μ ᾶ λ λ ό ν τ ι π ρ ο σ ι έ ν α ι **[783]** τ ῇ ἀ λ η θ ε ί ᾳ κ α ὶ τ ὸ ν ν ο ῦ ν τ υ π ο ῦ σ θ α ι τ α ῖ ς κ α τ α λ ή ψ ε σ ι ν. Ἢ οὐκ ἄνευ αἰσθήσεων ὡς ἐνουσῶν μέν, μὴ μέντοι ἐνεργουσῶν, ἀλλ' ὡσανεὶ μυουσῶν. Ὅταν ἡσυχαζουσῶν ὁ νοῦς ἡμῶν ὅτι μάλιστα χωρίσας ἑαυτὸν τῶν ὁρωμένων καὶ καθ' ἑαυτὸν γενόμενος προσβάλλειν ἐπιχειρῇ — —. Κάμνοντι γὰρ ἐκβῆναι τὰ σωματικὰ καὶ γυμνοῖς προσομιλῆσαι τοῖς ἀσωμάτοις ἀεί τι παρεμπεσεῖται τῶν αἰσθητῶν καὶ σωματικῶν, ὑπὸ τούτων γάρ, τῶν αἰσθήσεων λέγω καὶ τῶν παρεμπιπτόντων ἐντεῦθεν εἰδώλων, περιφερόμεθά τε καὶ πλανώμεθα. καὶ οὐ δυνάμεθα γυμνῷ ποτε τῷ νῷ γυμνοῖς τοῖς πράγμασιν ἐντυγχάνοντες, μᾶλλόν τι πλησιάσαι τῇ ἀληθείᾳ καὶ τὸν νοῦν, ὥσπέρ τινα κηρόν, ταῖς τῶν νοητῶν τυποῦσθαι καταλήψεσιν. Ἀεὶ γὰρ οἱ ἐκ τῶν αἰσθητῶν χαρακτῆρες παρεμπίπτοντες καθαρῶς τυπωθῆναι τοῖς τῶν νοητῶν χαρακτῆρσι τὸν νοῦν οὐκ ἐῶσι, καὶ τῇ τῶν πραγμάτων ἀληθείᾳ προσιέναι.

59,230,26. Κινοῦσα δὲ ἡ ψυχὴ τὸ σῶμα, συμπεριφέρεται καὶ αὕτη τῷ σώματι, ὥσπερ καὶ ὁ κυβερνητης κινῶν τὸ πλοῖον διὰ τοῦ πηδαλίου καὶ συμπεριφερόμενος αὖθις τῷ πλοίῳ.

59,230,27-28. Οὐ γὰρ (ὁ νοῦς) ὥσπερ τὰ σώματα περιγράφεται.. οὐδὲ τριχῇ ἐστι διαστατὸς... διὰ τὸ μὴ δύνασθαι κατὰ ταὐτὸν καὶ ἐν σώματι εἶναι καὶ χωρὶς τοῦ σώματος.

59,230,28-29. (Ὁ ν ο ῦ ς) π ά ν τ α ἐ φ ο δ ε ύ ω ν τ α χ ε ι φ ο ρ ᾶ ς κ α ὶ ῥ ε ύ σ ε ω ς. Ἀοράτῳ φοιτήσει καὶ οἷον ῥεούσῃ καὶ ταχίστῃ φορᾷ.

59,230,30. (Ὁ νοῦς) διὰ τοῦ ἀέρος χωρεῖ, ὥσπερ ὀχούμενος τῷ ῥηθέντι λόγῳ. Παραπέμπειν, Ὁ γὰρ λόγος οὐ νοῦ γέννημα μόνον,

ἀλλὰ καὶ ὄχημα καὶ πορθμεῖον, τὸν νοῦν μετὰ τῶν πραγμάτων [784] διὰ τοῦ ἀέρος πορθμεύων. Τί τὸ πλάτος ἐκείνου τοῦ ἔνδοθεν χωρήματος, εἰς ὃ πάντα συρρεῖ τὰ διὰ τῆς ἀκοῆς εἰσχεόμενα; Διὰ γὰρ τῶν αἰσθήσεων, ὡς διά τινων θυρίδων, ὁ νοῦς τῶν ἔξωθεν ἐπιδράττεται. Συστέλλεσθαι δὲ (ὁ νοῦς λέγεται) αὖθις ἀπὸ τῶν αἰσθήσεων, ὅταν καθ' ἑαυτὸν θεωρῇ τὰ πράγματα, ἐκείνων ἠρεμουσῶν. Ἕκαστον δὲ τῶν εἰσιόντων φυλοκρινῶν τε καὶ ἐξετάζων οὗτος (ὁ νοῦς), τοῖς καταλλήλοις τῆς γνώσεως τόποις ἐναποτίθησιν.

59,230,32-33. Τίς ἡ πρώτη πλάσις ἡμῶν καὶ σύστασις ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ; Φύσεως δὲ ἐργαστήριον τὴν μήτραν τῆς μητρὸς (λέγει).

59,230,33-34. Μεθ' ἣν (δηλ. μετὰ τὴν τελευταίαν τοῦ εἴδους τελείωσιν) οὐκ ἔτι προσδεομένη ἡ φύσις τοῦ ἐργαστηρίου, προφέρει τὸ βρέφος, μηδὲν ἐλλιπὲς ἔχον.

59,230,38. Εἴδη ... καλεῖ τὰ ὑπὸ τὸ αὐτὸ γένος, οἷον γένους ὄντος τοῦ ζῴου.

59,231,1-3. Πῶς τὸ αὐτὸ ζῷον θνητὸν καὶ ἀθάνατον, τὸ μὲν τῇ μεταστάσει, τὸ δὲ τῇ γεννήσει; Τὸ μὲν γὰρ ὑπεξῆλθεν, τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος. (Τὸ δὲ τῇ γεννήσει) ἀθάνατον... τῇ διαδοχῇ, ἐπισκευαστῆς ὥσπερ οὔσης τῆς ἀϊδιότητος, ὡς ἀεὶ τοῦ μὲν ὑπεξισταμένου, τοῦ δὲ ὑπεισερχομένου, ὥσπερ ἐν ῥεύματι ποταμοῦ, μὴ ἑστῶτος μὲν τῷ ἀεὶ φέρεσθαι, μένοντος δὲ τῷ μὴ ἐλλείπειν. Καὶ ζῴου τὸ μὲν θανάτῳ ῥεῦσαν ὑπεξῆλθεν, τὸ δὲ ἀντεισῆλθεν, ὁλκοῦ δίκην τῇ γενέσει σῷζον ἀεὶ τὸ φθειρόμενον.

59,231,3-5. Πολλὰ δ' ἂν ἔτι φιλοσοφήσαις περὶ μελῶν καὶ μερῶν καὶ τῆς πρὸς ἄλληλα τούτων εὐαρμοστίας ἤτοι ἐκ παραλλήλου τὰ αὐτὰ μέλη καὶ μέρη λέγει, ἢ μέλη μὲν τὰ μόρια τῶν μερῶν, μέρη δὲ τὰ περιεκτικώτερα καὶ ἀνομοιομερῆ, οἷον κεφαλήν, χεῖρα, πόδα καὶ τὰ λοιπά.

[785] 59,231,8-10. Αἱ μὲν ... ὑποδέχονται διὰ τῆς ἐν μέσῳ πληγῆς καὶ τυπώσεως. Νοερόν τι χρῆμα καὶ θεῖον ὁ νοῦς τυγχάνων, ἀκοινώνητον ἂν εἶχε τὴν χάριν πάντως καὶ ἄμικτον, μὴ διά τινος ἐπινοίας φανερουμένης αὐτοῦ τῆς κινήσεως καὶ διὰ τοῦτο τῆς ὀργανικῆς ἐδεήθη κατασκευῆς, ἵνα πλήκτρου δίκην ὀργανικοῦ τῶν φωνητικῶν μορίων ἁπτόμενος, διὰ τῆς ποιᾶς τῶν φθόγγων τυπώσεως ἑρμηνεύσῃ τὴν ἔνδοθεν κίνησιν. (Τὸ πνεῦμα) μιμεῖταί πως τὴν διὰ τοῦ αὐλοῦ γενομένην φωνήν, ταῖς ὑμενώδεσιν ἐξοχαῖς ἐν κύκλῳ περιδονούμενον. Γεγωνοτέραν αὐτὴν *(τὴν φωνὴν)* ἀπεργάζεται. Ταῦτα πάντα τὴν ἐν ταῖς νευραῖς τοῦ πλήκτρου κίνησιν ὑποκρίνεται. Τῇ ... πληγῇ τοῦ ἐντεῦθεν φερομένου πνεύματος τυπούμενος ὁ ἀήρ,... διαπορθμεύει (τὰς φωνὰς) μέχρι τῆς ἀκοῆς.

59,231,10. Αἰσθαντικὴ δὲ ὄψις, κατὰ μὲν πρῶτον λόγον, τοῦ χρώματος.

59,231,11-12. Ἡ ... στρυφνότης ἐπίτασις καὶ πλεονασμός ἐστι τῆς αὐστηρότητος.

59,231,12-13. Τὸ πυκνὸν καὶ τὸ μανὸν ἤγουν ἀραιόν.

59,231,15. Ὕπνος τὸ σύντονον τῆς ἐγρηγόρσεως ὑπεχάλασεν. (Δοκεῖ μοι ἐν τῷ θρεπτικῷ τῆς ψυχῆς μέρει) τῶν καθ' ὕπαρ γινομένων εἴδωλά τινα καὶ ἀπηχήματα, τῶν τε κατ' αἴσθησιν καὶ τῶν κατὰ διάνοιαν ἐνεργουμένων, ἅπερ αὐτῷ διὰ τοῦ μνημονευτικοῦ τῆς ψυχῆς εἴδους ἐνετυπώθη, ταῦτα καθὼς ἐτύγχανε ζωγραφεῖσθαι, ἀπηχήματός τινος μνημονευτικοῦ τῷ τοιούτῳ εἴδει τῆς ψυχῆς παραμείναντος Δανιὴλ καὶ Ἰωσὴφ... θείᾳ δυνάμει, οὐδεμιᾶς αὐτοὺς ἐπιθολούσης αἰσθήσεως, τὴν τῶν μελλόντων γνῶσιν προεπαιδεύοντο. Φύσεως ἀκολουθίᾳ. Ἡ γὰρ παραμένει... τῷ μνημονευτικῷ τῆς ψυχῆς τῶν μεθημερινῶν ἐπιτηδευμάτων τὰ ἀπηχήματα ἢ πολλάκις καὶ πρὸς τὰς ποιὰς τοῦ σώματος διαθέσεις ἡ τῶν ἐνυπνίων κατάστασις ἀνατυποῦται. Οὕτω γάρ... ὁ νέος, σφριγώσης αὐτῷ τῆς ἡλικίας, καταλλήλῳ τῷ πάθει φαντασιοῦται. Ἔτι δὲ καὶ πρὸς τὰς **[786]** τῶν ἠθῶν καταστάσεις τυποῦται πολλοῖς τὰ ἐνύπνια.

59,231,16. Τὴν δὲ μνήμην φασὶ φαντασίαν εἶναι ἐγκαταλελειμμένην ἀπό τινος αἰσθήσεως τῆς κατ' ἐνέργειαν φαινομένης, ἢ σωτηρίαν αἰσθήσεώς τε καὶ νοήσεως. (Ψυχὴ) ὅταν... τοὺς τύπους ὧν τε ἐδόξασεν, ὧν τε ἐνόησε διασῴζῃ, μνημονεύειν λέγεται.

59,231,16. Ἔστι γὰρ ἀνάμνησις μνήμης ἐξιτήλου γενομένης ὑπὸ λήθης ἀνανέωσις. Λήθη δέ ἐστι μνήμης ἀποβολή.

59,231,17. Θυμὸς δέ ἐστι ζέσις τοῦ περικαρδίου αἵματος, ἐξ ἀναθυμιάσεως τῆς χολῆς ἢ ἀναθολώσεως γινομένη. Ἔστι δὲ ὅτε ὁ θυμὸς καὶ ὄρεξίς ἐστιν ἀντὶ λυπήσεως. Ἀδικούμενοι γὰρ ἢ νομίζοντες ἀδικεῖσθαι, θυμούμεθα. Καὶ γίνεται τότε μικτὸν τὸ πάθος ἐξ ἐπιθυμίας καὶ θυμοῦ. Ἔστι δὲ ὁ θυμὸς ἐπὶ τῶν κατὰ φύσιν ἐχόντων τὸ δορυφορικὸν τοῦ λογισμοῦ, ἔκδικος τῆς ἐπιθυμίας, ἣν διὰ τῆς ἐφέσεως ἐνταῦθα ἐδήλωσεν ὁ ἅγιος. Ὅταν γὰρ ἐπιθυμήσωμέν τινος πράγματος καὶ κωλυθῶμεν ὑπό τινος, θυμούμεθα κατ' αὐτοῦ ὡς ἀδικηθέντες, τοῦ λογισμοῦ δηλονότι κρίναντος ἄξιον ἀγανακτήσεως τὸ γενόμενον, ἐπὶ τῶν φυλασσόντων κατὰ φύσιν τὴν οἰκείαν τάξιν.

59,231,17-18. Ὅσοις ὁ μικρὸς οὗτος διοικεῖται κόσμος. Μικρὸς κόσμος ὁ ἄνθρωπος, ὡς ὅλοις τοῖς ἐγκοσμίοις κοινωνῶν καὶ πάντων μετέχων, μικρὸς μὲν οὖν διὰ τὴν βραχύτητα τοῦ σώματος, μέγας δὲ διὰ τὸ ἀξίωμα τῆς λόγῳ τετιμημένης ψυχῆς, καθὸ κοινωνεῖ καὶ τῇ νοερᾷ τῶν ἀγγέλων φύσει.

59,231,20 ἑξ. Ἡ μὲν... τῶν φύσεων φύσις οὖσα μόνιμος, τουτέστιν ἐπὶ γῆς ἐρριζωμένη, καθά φησι καὶ Ἀριστοτέλης, οὐ πολυειδής, ἐστι τοῖς μορίοις. Τὸ τούτου *(τοῦ ἀνθρώπου)* ἄνω πρὸς τὸ τοῦ ὅλου

ἔχει ἄνω. Μόνον γὰρ ὄρθιόν ἐστι τῶν ζῴων ὁ ἄνθρωπος καὶ πρὸς οὐρανὸν ἀνατείνεται καὶ ἄνω βλέπει. ᾿Αρχικὰ δὲ ταῦτα καὶ τὴν βασιλικὴν ἀξίαν ὑποσημαίνουσι. Τὸ γὰρ μόνον ἐν τοῖς οὖσι τοιοῦτον εἶναι τὸν ἄνθρωπον, τοῖς δὲ ἄλλοις πᾶσι πρὸς τὸ κάτω νενευ[787]κέναι τὰ σώματα σαφῶς δείκνυσι τὴν τῆς ἀξίας διαφοράν.

59,231,19 ἑξ. ᾿Εξ ἡγεμόνων... καὶ βασιλέων λεγομένων μελισσῶν αὐτούς τε τοὺς ἡγεμόνας γεννᾶσθαι καὶ τὰς μελίσσας, ἕτερόν τι εἶδος παρ᾿ ἐκείνους, ἐκ δὲ μελισσῶν τοὺς κηφῆνας. ᾿Εκ γῆς δὲ διάφορα ζῷα καὶ σκώληκες γεννῶνται παντοῖοι, ἐκ κοπρίων κάνθαροι καὶ μηλολόνθαι, ἐκ δὲ κάμπης ἕτερά τινα καὶ αἱ πυρολαμπίδες.

59,231,22. Τὰ μὲν ... αὐτῶν *(τῶν ζῴων)* εἰσὶ φιλέρημά τε καὶ ὄρεια, τὰ δὲ συνανθρωπιστικά τε καὶ τὰς αὐτὰς ἡμῖν οἰκήσεις καταδεχόμενα.

59,231,3-32. Πολλὰ (ζῷα) ... τῆς τοῦ Θεοῦ σοφίας φυσικῶς τε καὶ αὐτοδιδάκτως ἴχνη φέρουσι καὶ περὶ τὴν τοῦ οἰκείου συμφέροντος ὀξύτατα τυγχάνουσι πρόνοιαν. ῾Οποῖον δή τι καὶ τὸ τῶν μυρμήκων τυγχάνει γένος, οἵτινες καὶ τὴν χειμερινὴν τροφὴν προνοητικώτατα τέμνουσι. ῾Ερπιστικὰ καλεῖ τὰ ἐπὶ γῆς ἕρποντα καὶ ταύτῃ ἐπισυρόμενα, οἷον τῶν ὄφεων γένος καὶ ἑτέρων οὐκ ὀλίγων.

59,231,37-38. Τὴν νηκτὴν φύσιν τῶν ὑδάτων διολισθαίνουσαν καὶ οἷον ἱπταμένην κατὰ τῆς ὑγρᾶς φύσεως. Συγγένειά τις τούτοις πρὸς ἄλληλα. ῞Ωσπερ γὰρ ἔστιν ἰδεῖν τὰ πτηνὰ οἷον διανηχόμενα τὸν ἀέρα τοῖς πτεροῖς, οὕτω καὶ τὴν νηκτὴν φύσιν οἷον ὀλισθηρὰν καὶ ὡσπερεὶ χεομένην καὶ ἐπιπετομένην τοῖς ὕδασι καὶ τὸ ὕδωρ τέμνουσαν, ὥσπερ ἐκεῖνα ταῖς πτέρυξι, οὕτω καὶ ταύτην τῇ μὲν κινήσει τῶν πτερύγων εἰς τὸ πρόσω χωροῦσαν, τῇ δὲ τοῦ οὐραίου μεταβολῇ τὰς περιστροφὰς καὶ τὰς εὐθείας ὁρμὰς ἑαυτῇ οἰακίζουσαν.

59,232,1 ἑξ. ῎Εστι γὰρ τούτων τὰ μὲν λεπιδωτά, τὰ δὲ ἀλεπίδωτα. ᾿Αντίκειται δὲ ἡ ἰδιότης τῶν λεπιδωτῶν τῇ ἰδιότητι τῶν ἀλεπιδώτων, οὐ μόνον ἐν εἴδει ἤτοι μορφῇ, ἀλλὰ καὶ ἐν ὀνόμασι. Τοιαῦτα δὲ καὶ τὰ σκληρόδερμα καὶ τὰ μαλακόδερμα καὶ ἄλλα πολλά.

59,232,5. Τερετίσματα. Τὰ τῶν τεττίγων ᾄσματα. ᾿Εκαλοῦντο δὲ παρὰ τῶν παλαιῶν μουσικῶν τερετίσματα τὰ ἔκλυτα ᾄσματα.

59,232,7-8. Τίς ὁ κύκνῳ συνυφαίνων ᾠδήν. Μεταφορικὴ μὲν καὶ τροπικὴ ἡ τοῦ συνυφαίνειν λέξις, ἀπὸ τῶν ὑφαινόντων ληφθεῖσα, σημαί[788]νει δὲ τὸ κατασκευάζειν. Οὐκ εἶπε δὲ ὑφαίνων, ἀλλὰ συνυφαίνων, δεικνὺς ὅτι ὡς ὀργάνῳ τούτῳ χρώμενος ὁ πάντων τεχνίτης καὶ δημιουργὸς τὴν ᾠδὴν συνυφαίνει.

59,232,13-15. ῾Ο ταὼς ... τὸν αὐχένα διάρας καὶ τὸ πτερὸν κυκλωτερῶς περιστήσας τὸ χρυσαυγὲς καὶ κατάστερον, θεατρίζει τὸ κάλλος

τοῖς ἐρασταῖς μετὰ σοβαροῦ τοῦ βαδίσματος. Ὅρα δέ μοι καὶ τὸν λόγον τοῦ ταῦτα γράφοντος, ἐπὶ τὸ ἁβρότερον ἐνταῦθα μᾶλλον συσκευαζόμενον. Ἐναπομιμεῖται γὰρ τὸ κάλλος τοῦ ταῶνος καὶ ὁ περὶ τούτου λόγος καὶ διὰ τῆς εὐφραδοῦς φράσεως συνδιατίθεταί τε καὶ συνεξωραΐζεται, εἰ καὶ τῇ ἐπεμβολῇ περικέκοπται. Λάμπει γὰρ καὶ ταῖς ἐννοίαις καὶ τῷ τοῦ λόγου ὅλῳ σώματι.

59,232,34-36. Τίνος Παλαμήδους τὰ τακτικὰ κινήματά τε καὶ σχήματα γεράνων, ὥς φασι, καὶ ταῦτα παιδεύματα κινουμένων ἐν τάξει καὶ μετὰ ποικίλης τῆς πτήσεως; Πῶς μὲν αἱ γέρανοι αὗται καὶ — (ἐν τῇ νυκτὶ) ἐν νυκτί. — (Ἐτράπετο) τρέπεται. Τῇ (μεθ' ἑαυτὴν) ἑτέρᾳ. — Εὑρέματα ἢ παιδεύματα.

59,233,5-7 (Σκόπει) τὴν ἐν τοῖς φύλλοις φιλοτεχνίαν, πρός τε ἡδονὴν τῆς ὄψεως καὶ τὸ τῶν καρπῶν χρησιμώτατον. Εὐφυῶς γὰρ καὶ χρησίμως ταῦτα σῴζει τε καὶ θάλπει, τῷ τε διεσχισμένῳ καὶ ὑμενώδει σκέποντό τε ὁμοῦ καὶ πε[789]παίνοντα τῇ πραείᾳ παραπομπῇ τῶν ἡλιακῶν ἀκτίνων. Ἴδοις γὰρ ἄν, ὅτι ὧν μὲν (καὶ τὰ ἑξῆς)[α] ... (Προσβλαβής), πρὸς-βλάβης. (Πῶς κατέσχισται οὕτω. — (τὸ φύλλον) τὸ ϙ κατέσχισται. — οὐδὲν ἀναίτιον, οὐδὲν οὖν ἐν τούτοις ἀναίτιον

59,233,6-7 Τὸ χρήσιμον καὶ τὸ ἧδον *(ἐξ ἐναντίου τιθέμενα)*.

59,233,7. Αὐτῶν δὲ τῶν καρπῶν τις ἂν ἐπέλθοι τὴν ποικιλίαν; τίς ἂν ἐπέλθοι, φησί, τὴν ποικιλίαν; Χροιὰς (ἀντὶ) χρόας.

59,233,15. Ποσειδώνιος μὲν οὖν καὶ Ἐρατοσθένης καὶ πλάτος αὐτῆς *(τῆς γῆς)* καὶ μῆκος ἀποδεδώκασιν.

59,233,16. Κόλπους θαλαττίους ἀλλήλοις τε καὶ τῇ γῇ συνεζευγμένους τοὺς σχήματι ἰδίῳ ὑπὸ τῆς περικειμένης γῆς ἐναπολειφθέντας καὶ πρός τε ἀλλήλους καὶ πρὸς τὴν γῆν συνδεδεμένους.

59,233,21. Ὅπῃ παρείκοι. Ἔνθα μάλιστα ὑπείκοι τε καὶ ἐνδιδοίη.

59,233,25. Ἄτεχνον δὲ νῦν τὸ ἀχειροποίητον εἶπε καὶ θεοΰφαντον.

59,233,26. Ἀνάγκη οὖν, κἂν τὴν γῆν αὐτὴν καθ' ἑαυτὴν εἶναι δῶμεν, κἂν ἐπὶ ὕδατός τινος αὐτὴν ἀποσαλεύειν εἴπωμεν, κἂν ἐφ' ἑτέρου τινὸς ὀχεῖσθαι, μηδαμοῦ τῆς εὐσεβοῦς διανοίας ἀποχωρεῖν, ἀλλὰ [790] πάντα ὁμοῦ συνδιακρατεῖσθαι ὁμολογεῖν τῇ δυνάμει τοῦ κτίσαντος. Κἄν τινες τῶν δι' ἐναντίας διερωτῶσιν ἡμᾶς· ἐπὶ τίνος... βάρος; Οὐκ ἄλλο ἢ τὸ προφητικὸν ἐκεῖνο λεκτέον πρὸς αὐτούς, ὅτι... τῆς γῆς. Τοῦτο γὰρ ἡμῖν τε πρὸς νόησιν ἀσφαλέστατον καὶ ... ἀκούουσιν.

α. Μ Βασιλείου, εἰς Ἑξαήμερον ΒΕΠ. 51,230,14 ἑξ.

59,233,29-30. Μεταφορικὰ δὲ τό τε εἰς κορυφὰς ὀρέων ἀνῆχθαι καὶ τὸ εἰς πεδία καθῆσθαι, τὸ μὲν ἀπὸ τῶν ἐν τοῖς σώμασι κορυφῶν, τὸ δὲ ἀπὸ τῶν συνιζησάντων τὼ πόδε μεταληφθέν.

59,233,36 ἑξ. Οὐδὲ ἡ αἰτία αὕτη τοῦ μὴ αὔξειν τὴν θάλατταν ἀπόβλητος.

59,234,2-3. Οἱ φυσικοὶ καὶ σοφοὶ τὰ μάταια καὶ κυάθῳ μετροῦντες τὴν θάλατταν. Τὰ δ' ἑξῆς καταδρομὴν ἔχει καὶ καταφορὰν τῶν φυσικεύεσθαι κομψευομένων αἰτιολογεῖν τε πειρωμένων καὶ ἄλλο τι εἶναι οἰομένων τὸ χαλινοῦν τὴν θάλασσαν, ἀλλ' οὐ τὸ δεσποτικὸν πρόσταγμα. (Κυάθῳ μετρ.) Τοῦτο δὴ τὸ παροιμιῶδες, ὃ δὴ τάττειν εἰώθαμεν ἐπὶ τῶν μικροῖς τισι μέτροις καὶ σταθμοῖς μικροῖς ἐπιχειρούντων τὰ μέγιστα. Κύαθος γὰρ εἶδος μέτρου βραχυτάτου.

59,234,9-11. Ἵνα γῆ καὶ θάλασσα δεθῶσι ταῖς χρείαις καὶ ταῖς ἐπιμιξίαις καὶ εἰς ἓν ἔλθῃ τῷ ἀνθρώπῳ τὰ τοσοῦτον ἀλλήλων διεστηκότα τὴν φύσιν. Ὁ πλάσας ἡμᾶς Θεὸς κοινωνικοὺς ἡμᾶς εἶναι βουλόμενος καὶ πρὸς τὸ καλὸν τῆς ὁμονοίας συνάγων, οὐδὲ τοῖς μακροῖς διειργομένους πελάγεσιν ἀφῆκεν ἀλλήλων διίστασθαι, ἀλλ' ἐμπνεῖ σοφίαν ἀνθρώποις πλοῖα τεκταίνεσθαι καὶ ἀλλήλοις ἐπιμίγνυσθαι, ἵν' οὕτω καὶ ἡ ὑγρὰ φύσις ξηρᾷ, τὰ πλεῖστον ἀλλήλων διεστηκότα καὶ ἀλλήλοις **[791]** ἐναντιούμενα στοιχεῖα, συνδεθῶσι τῷ δεσποτικῷ καὶ θείῳ προστάγματι καὶ εἰς ἕν τι τὸ τῶν ἀνθρώπων χρήσιμον συνδράμωσι καὶ ὑπηρετῶσι ταῖς χρείαις καὶ ἐπιμιξίαις αὐτῶν. Χερσαῖον δὲ ναύτιλον τὸν ἐμπορικὸν ἄνδρα, ἀντιδιαστέλλων αὐτὸν πρὸς τὸν παρὰ ποιηταῖς θαλάσσιον ναύτιλον, ὡς ἐν θαλάσσῃ τὴν δίαιταν ἔχοντα. Λέγει γάρ που Ὀππιανὸς ὁ ποιητής, εἶναί τινα ὀστρακώδη τὴν φύσιν ἰχθύν, βαθυτάτῳ μέν τινι κεκαλυμμένον ὀστράκῳ, προσεοικότα δὲ πολυπόδεσιν, ὃν καλοῦσί τινες ναύτιλον, ναυτίλλεσθαι φάσκοντες αὐτὸν (καὶ ἕτερος), ὃν δὴ θαυμάζων ὁ ποιητής φησιν, ὅτι ὁ πρῶτος διαπεράσαι κῦμα θαλάσσης ἐνθυμηθείς, ἐκεῖνον, οἶμαι, ἰδὼν τὸν πλόον τοῦ ἰχθύος, ὅμοιον ἔργον δουροπαγὲς κατεσκεύασε, τὰ μὲν πνοιῇσι πετάσας ἐκ προτόνων, τὰ δ' ὄπισθεν χαλινωτήρια νηός.

59,234,12-13. Καὶ τίς ὁ ποταμοῖς σχίσας πεδιάδας καὶ ὄρη; Πεδιάδας δὲ ποταμῶν τὰς καλουμένας κοίτας αὐτῶν, ὧν δὴ τὸν τορευτὴν καὶ τεχνίτην προτρέπεται ἐπιζητεῖν. *(Περὶ τῶν ὁποίων κατωτέρω)*: ἐοίκασι... εἰς κάλλος ἀποτετορεῦσθαι θαυμάσιον.

59,234,15. Τίς δὲ ἡ τῶν ὑδάτων τροφὴ καὶ τί τὸ ταύτης διάφορον; Ἑνὸς... ὕδατος διὰ τῆς ῥίζης ἑλκομένου, ἄλλως μὲν ἡ τροφὴ τῇ ῥίζῃ προστίθεται, ἄλλως δὲ τῷ φλοιῷ τοῦ στελέχους καὶ ἑτέρως αὐτῷ τῷ στελέχει καὶ τῇ ἐντεριώνῃ ἑτέρως καὶ ἀπὸ τῆς αὐτῆς νοτίδος ἐν ἀμπέλῳ μὲν οἶνος, ἐν δὲ τῇ ἐλαίᾳ τὸ

ἔλαιον καὶ ἄλλο τι ἐν ἄλλῳ, ἃ οὐκ ἔστι λόγῳ διαθεῖν, ὅπως διαφόρως πρὸς ἕκαστον καὶ οἰκείως πρὸς ὃ πέφυκε μεταβάλλεται.

59,234,16-17. Ἵνα τι αὐτὸς κατατρυφήσω τοῦ λόγου, Θεοῦ τροφὴν ἐξηγούμενος. Ποικίλως δὲ τὸν λόγον καθωραΐσας ταῖς τε ἀναφοραῖς καὶ τοῖς ἰσοκαταλήκτοις καὶ τοῖς τῶν σχημάτων παρίσοις, ὡς καὶ τῶν ἐννοιῶν τῶν περὶ τὰ πράγματα οὐσῶν τοιούτων, ὁμολογεῖ τοῦ λόγου κατατρυφᾶν, θεοῦ τροφὴν ἐξηγούμενος.

[792] 59,234,18-19. Τὸ ἀγέρωχον καταστείλας τοῦ φύσιν Θεοῦ κατειληφέναι κομπάζοντος ἑτεροδόξου.

59,234,20. Χειραγωγῶν πρὸς ταῦτα *(πρὸς τὰ οὐράνια)* ταῖς κατὰ μικρὸν προβάσεσι καὶ τὸν ἑτερόδοξον.

59,234,21 Ἐλαττονεῖσθαι *(τοῦ λόγου)*, ἠλαττονεῖτο.

59,234,26. Λέγει δὲ τοῦτον *(τὸν ἀέρα)* ὄχημα μὲν πετεινῶν, ἐπειδὴ ἐν τούτῳ ὀχοῦνται καὶ διὰ τούτου φέρονται καὶ ὅπερ ἐστὶ τοῖς νηκτοῖς τὸ θαλάσσιον ὕδωρ, τοῦτο τοῖς πτηνοῖς ἡ ἀερία φύσις γνωρίζεται.

59,234,29-31. Ὁ Ἀριστοτέλης ... καί τινες τῶν φυσικῶν ἀτμούς τινας ὑγρούς τε καὶ ξηρούς, ἀπό τε θαλάσσης καὶ λιμνῶν καὶ ποταμῶν ἤδη καὶ τῶν ἐκ γῆς ὑγρῶν ἀναφερομένους, τῶν ἐν ἀέρι πάντων αἰτιῶνται.

59,234,36 Ὁμοτίμως: Ἰσοτίμως ἢ καὶ ἰσομοίρως[1].

59,235,6-9. Τίνας ἀτμοὺς ἀπὸ γῆς αἰτιάσῃ νέφους δημιουργούς, ἢ ἀέρος πύκνωσίν τινα ἢ νεφῶν τῶν μανωτάτων θλῖψιν ἢ ῥῆξιν, ἵν' ἡ μὲν θλῖψίς σοι τὴν ἀστραπήν, ἡ δὲ ῥῆξις τὴν βροντὴν ἀπεργάσηται; Φυσιολογίαις.., τὸ πᾶν τῶν γινομένων ἔν τε τῷ αἰθέρι τε καὶ τῷ ἀέρι ταῖς διπλαῖς ἀναρτώσαις ἀναθυμιάσεσι. Ἀριστοτέλης... ἐν τοῖς μετεωρολογικοῖς ὑπ' αὐτοῦ λεγομένοις μεμῖχθαι μέν φησι τὴν γῆθεν ἀναφερομένην ἀναθυμίασιν ἔκ τε τῆς θερμῆς καὶ ξηρᾶς. *(Καὶ κατωτέρω)*: Εἶτα διακρινομένου τοῦ ἐν αὐτῇ (*δηλ.* ἀναθυμιάσει) θερμοῦ καὶ εἰς τὸ ἄνω διασπειρωμένου, συνίστασθαι αὐτὴν εἰς νέφη. Καὶ ἦσαν ἂν αἰτιάσεως ἀνώτεροι *(φυσικοὶ)* εἰ ἐπὶ τὴν οὕτω τάξασαν αὐτὰ σοφίαν ἀνῆγον τὸ θαῦμα. Οὐδὲ γὰρ ἐλαττοῦται, καθά φησι καὶ ὁ Μέγας Βασίλειος, ἡ ἐπὶ τοῖς μεγίστοις ἔκπληξις, ἐπειδὰν ὁ τρόπος, καθ' ὃν γίνεταί τι τῶν παραδόξων, εὑρεθῇ.

59,235,12. Ψαῦσον ... καὶ οὐρανοῦ καὶ τῶν οὐρανίων. Ταῖς ἐξεταστικαῖς τοῦ νοῦ πολυπραγμοσύναις, ἅψαι ἀκροθιγῶς πως καὶ οὐρανοῦ καὶ τῶν οὐρανίων· τοιοῦτον γὰρ τὸ ψαύειν· μὴ λόγους, μὴ **[793]** αἰτίας τούτων πολυπραγμονῶν, ὁδηγῷ δὲ μᾶλλον τῇ ἀπολυπραγμονήτῳ πίστει χρώμενος παρὰ τῷ λόγῳ τῷ αἰτιολογικῷ.

1. Πρβλ. Ματθ. 5,45.

59,235,15. Ἀγνοῶν καὶ αὐτὸ τοῦτο τὴν ἄγνοιαν. Ἀγνοῶν... ὅτι ἀμαθαίνεις καὶ ἀνοηταίνεις, μηδὲ αὐτὸ τοῦτο νοῶν, ὅτι ἀγνοεῖς, ὅπερ Πλάτων πρῶτος διπλῆν ὠνόμασεν ἄγνοιαν.

59,235,29-31. Ἥλιος ... τοὺς ἄλλους ἀστέρας ἀποκρύπτων φαιδρότητι. Ὁ ἥλιος τούτους ἅμα καὶ τὴν σελήνην τῇ σφοδροτάτῃ αἴγλῃ ἐναποκρύπτων οὐκ ἐᾷ φαίνεσθαι.

59,235,34-35. Ἀποσεμνύνειν. Ἐπαινεῖν τε καὶ ἐγκωμιάζειν. Τοῦτο γὰρ τὸ ἀποσεμνύνειν.

59,235,35 ἑξ. Τοσοῦτος, φησίν, τὴν δύναμιν, ὥστε ἐξαρκεῖν τὴν ἀπ' αὐτοῦ τῇ ἀερείᾳ χύσει ἀναχεομένην αὐγὴν ἀπ' ἄκρων ἄλλων ἄλλα τῇ θερμότητι περιλαμβάνειν, θερμαίνοντος, ἀλλ' οὐ φλέγοντος, ἐν τῷ μὴ ἀθρόον τὰς τροπὰς ποιεῖσθαι, ἀλλὰ κατὰ μικρὸν καὶ τεταγμένως, ὡς μήτε δι' ὑπερβολὴν θερμότητος καταφλέξαι τὴν γῆν, μήτε δι' ἔλλειψιν κατεψυγμένην καὶ ἄγονον ὑπολιπεῖν.

59,236,1-2. Τοῦτο ἐν αἰσθητοῖς ἥλιος, ὅπερ ἐν νοητοῖς Θεός, ἔφη τις τῶν ἀλλοτρίων. Τὸ δέ τοῦτο... Θεός, Πλάτωνός ἐστι, ὃν δὴ καὶ ἀλλότριον εἶπεν, ὡς Ἕλληνα καὶ τῆς ἡμετέρας αὐλῆς ἀλλότριον.

59,236,9. Φαίνεταί πως ἐπαμφοτερίζων τοῖς δόγμασιν Ὅτι δὲ τοῖς προφητικοῖς μάλιστα τίθεται, ἐνέφηνεν εἰπών· ἡλίῳ προσβλέψαντα.

59,236,12-15. (Ὡρῶν) εὐτάκτως ἐπιγινομένων τε καὶ ἀπογινομένων καὶ ὥσπερ ἐν χορῷ συμπλεκομένων ἀλλήλαις καὶ διισταμένων... καὶ κατὰ μικρὸν κιρναμένων καὶ ταῖς ἐγγύτησι κλεπτομένων. (Καιροὶ) καθάπερ... χορείαν ἑλίττοντες, εὐκόσμως τε καὶ εὐτάκτως προσέρχονται ἀλλήλοις τε καὶ συμπλέκονται, καὶ κατὰ μικρὸν αὖθις [794] διίστανταί τε ἀλλήλων καὶ ὑπαπέρχονται. Μεσολαβοῦσιν ἔαρι μὲν καὶ μετοπώρῳ θέρος... θέρει δὲ καὶ χειμῶνι μετόπωρον. Σφαλερὰς... τὰς αἰφνιδίους μεταβολὰς (τῶν ὡρῶν) οἶδεν ὁ λόγος. Ἕκαστος καιρὸς δυσὶν ἄκροις μεσιτεύει, ἄκροις δέ, ὅτι ὁ μὲν πρὸ αὐτοῦ, ὁ δὲ μετ' αὐτόν. Μεσιτεύων δὲ τὸ αὐστηρὸν ἑκατέρου κλέπτεσθαι ποιεῖ, τουτέστι λανθάνειν καὶ δι' ἑαυτοῦ μέσου, τρόπον φίλου, καταλλάττει τὰ ἐναντίως ἀλλήλοις ἔχοντα. Ὑποχαλωμένης τῆς αὐστηρίας διὰ τῆς μεσότητος καὶ θραυομένης κατὰ μικρὸν καὶ οἷον ὑποκλεπτομένης ταῖς λανθανούσαις ὑπαλλαγαῖς, ἀλύπως ἡ κράσις γίνεται.

59,236,16 ἑξ. Τοῖς φωστῆρσι τούτοις ὁ δημιουργὸς τὸ πρωτόκτιστον φῶς ἐναπέθετο, οὐχ ὡς ἀπορῶν ἄλλου φωτός, ἀλλ' ἵνα μὴ ἀργὸν ἐκεῖνο μείνῃ τὸ φῶς. Φωστὴρ γάρ ἐστιν οὐκ αὐτὸ τὸ φῶς, ἀλλὰ φωτὸς δοχεῖον.

59,236,16 ἑξ. Πρὸς τὸν ἀστρολόγον δὲ νῦν ὁ λόγος, ὃς διὰ τῆς

τῶν ἄστρων κινήσεως πλέκει τε καὶ συνιστᾷ τὰ ἡμέτερα, τοιῶσδε μὲν τῶν τοιῶνδε ἀστέρων κινουμένων, τοιόνδε τὸ σῶμα καὶ τὴν ψυχὴν ἀποτελεῖσθαι τὸν τηνικαῦτα τικτόμενον ἄνθρωπον λέγων, τοιῶσδε δὲ τοιόνδε καὶ τῇ τῶν ἄστρων κινήσει συμπεριφέρεσθαι τὰ καθ' ἡμᾶς ἅπαντα καὶ πρὸς τὸ ἐπικρατοῦν ποιοῦσθαι καὶ ἕπεσθαι.

59,236,34-35. Οὔτε... πνεῦμα νοῆσαι δυνάμεθα δίχα φθορᾶς καὶ χύσεως, οὔτε πῦρ ἔξω τῆς ὕλης καὶ τῆς ἄνω φορᾶς.

59,236,36-37. Ὁρᾷς, πῶς ἰλιγγιῶμεν περὶ τὸν λόγον καὶ οὐκ ἔχομεν οἷ προέλθωμεν; Οὐκ ἔχων ὅπη ἑδράσαι τῆς τοῦ νοῦ πολυπραγμοσύνης, πρὸς τὸν πρόχειρον αὖθις εἰς θεολογίαν ὅμιλον τρέπεται... ἰλίγγου τε πληρωθῆναι ὁμολογεῖ καὶ παραφερομένοις ἐοικέναι.

59,236,39-237,1. Ἀναβάσεις, νοερὰς δυνάμεις ἢ νόας, καθαρὰς φύσεις καὶ ἀκιβδήλους, ἀκινήτους πρὸς τὸ χεῖρον ἢ δυσκινήτους, περὶ τὸ πρῶτον αἴτιον ἀεὶ χορευούσας. **[795]** *(Ἐκ τοῦ Διονυσ. Ἀρεοπ. τοῦτο διαφέρει ὁ Παῦλος ἢ ὁ Ἱερόθεος)* πρώτην (*δηλ.* διακόσμησιν *(ἐν τρισὶ)* τριαδικαῖς διακοσμήσεσιν οὐρανίαις) μὲν εἶναι λέγουσι τὴν περὶ Θεὸν οὖσαν ἀεὶ καὶ προσεχῶς καὶ ἀμέσως ἐκεῖθεν ἐλλαμπομένην *Εἶτα ὁ Ἠλίας συνεχίζει*: Ἔστι δὲ πάντων μὲν αἴτιον ὁ Θεός. Ὥσπερ δὲ λέγεται πρώτη φύσις καὶ πρώτη οὐσία καὶ πρῶτον φῶς καὶ τὰ τοιαῦτα παρὰ τῷ Ἀρεοπαγίτῃ, οὕτω καὶ πρῶτον αἴτιον. *(Καὶ κατωτέρω)*· Καὶ τὸ χορεύειν δὲ αὐτὰς ἐκ τοῦ θείου Διονυσίου εἴληπται. Οὗτος γὰρ λέγει τὴν πρώτην τῶν οὐρανίων ἢ ὑπερουρανίων οὐσιῶν διακόσμησιν κύκλῳ Θεοῦ περιίστασθαι καὶ ἀκατάληκτον περιχορεύειν καὶ τὴν καθαρωτάτην ἐλλάμπεσθαι ἔλλαμψιν.

59,237,2-3. Ἢ ἄλλως ἄλλην κατὰ τὴν ἀναλογίαν τῆς φύσεως καὶ τῆς τάξεως. Ἡ ἐγγυτέρω μὲν γὰρ ἐκ Θεοῦ ἀμέσως ἐλλάμπεται, ἡ δὲ μετ' αὐτὴν διὰ μέσης τῆς πρὸ αὐτῆς, καὶ οὕτως αἱ ἐφεξῆς.

59,237,4. Τῷ πρώτῳ καλῷ τυποῦνταί τε καὶ ποιοῦνται. Μόρφωσιν γὰρ ἐνταῦθα τὴν τύπωσιν εἶπεν ἢ καὶ ποίωσιν. Ἡμεῖς... πρὸς τὴν ἐκεῖθεν ἀγαθοείδειαν κατὰ τὸ δυνατὸν μορφούμεθα.

59,237,7-10. Πάντα ἐπιπορευομένας, πᾶσι πανταχοῦ παρούσας ἑτοίμως, προθυμίᾳ τε λειτουργίας καὶ κουφότητι φύσεως, ἄλλας ἄλλο τι τῆς οἰκουμένης μέρος διειληφυίας ἢ ἄλλῳ τινὶ τοῦ παντὸς ἐπιτεταγμένας. Ἄγγελος ... ἡμῶν ἑκάστῳ συμπαρομαρτεῖ, τὰ καθ' ἡμᾶς οἰκονομοῦντες καὶ βοηθοῦντες ἡμῖν, οὐκ αὐτεξουσίως, ἀλλὰ προστάγματι δεσποτικῷ. Ἔργον γὰρ αὐτοῖς μὲν προηγούμενον **[796]** ἐνατενίζειν τῇ δόξῃ τοῦ Θεοῦ καὶ ἀκαταλήκτως δοξάζειν αὐτόν, περιστατικὴ δέ τις ἡ πρὸς ἡμᾶς τοὺς ἀνθρώπους ἐπιστροφὴ τούτων καὶ ἐπιμέλεια.

59,237,19. Μόνης εἶπεν, ὡς ἐξαιρέτου καὶ ἀσυγκαταλέκτου.

59,237,19. Ἰστέον δέ, ὅτι φόβου εἶδος καὶ ὁ ὄκνος. Ἔστι γὰρ ὄκνος φόβος μελλούσης ἐνεργείας.

ΛΟΓΟΣ Κ΄.

59,142,20. «Σταθμὸν ἔσχατον»[1]. Ἐπιζητεῖ δὲ τοῦτον μετὰ τοῦ προφήτου ὁ ἅγιος, ἵνα πόρρω τῶν ἀνθρώπων ἀποστὰς καὶ ἐν τούτῳ γενόμενος, ἑαυτῷ τε μόνῳ συγγίνηται καὶ Θεῷ μόνῳ ἀπερισπάστως προσλαλῇ. Τοῖς γὰρ ἀθυμοῦσιν ἡ ἐν πολλοῖς συνδιαγωγὴ οὐ παραψυχὴν μᾶλλον ἢ ἄχθος καὶ ἀθυμίαν πέφυκεν ἐμποιεῖν.

59,142,21-30. Οὐδὲν γάρ μοι δοκεῖ τοιοῦτον ἢ μύσαντα τὰς αἰσθήσεις, ἔξω σαρκὸς καὶ κόσμου γενόμενον, μηδενὸς τῶν ἀνθρωπίνων προσ[εφ]απτόμενον, ὅτι μὴ πᾶσα ἀνάγκη, ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ, ζῆν ὑπὲρ τὰ ὁρώμενα καὶ ἀεὶ τὰς θείας ἐμφάσεις καθαρὰς ἐν ἑαυτῷ φέρειν, ἀμιγεῖς τῶν κάτω χαρακτήρων καὶ πλανωμένων, οἷον «ἔσοπτρον ἀκηλίδωτον»[2] Θεοῦ καὶ τῶν θείων καὶ ὂν καὶ ἀεὶ γινόμενον, φωτὶ προσλαμβάνοντι φῶς καὶ ἀμαυροτέρῳ τρανότερον, μέχρις ἂν πρὸς τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων καὶ τύχωμεν τοῦ μακαρίου τέλους, λυθέντων ἡμῖν τῶν ἐσόπτρων τῇ ἀληθείᾳ. (Τῶν κάτω χαρακτήρων) φαντασιῶν καὶ τύπων. Τὰς γὰρ φαντασίας τῶν γεηρῶν χαρακτῆρας τούτων ἐκάλεσεν, [797] οὓς δὴ καὶ πλανωμένους εἶπεν, ὡς πλανωμένων καὶ ἀστάτων καὶ ἀτάκτων ὄντας εἰκόνας. Ἄλλως γὰρ οὐκ ἔστι τὰς ἐκεῖθεν ἐμφάσεις κατὰ τὸ ἐγχωροῦν καθαρὰς ὑποδέξασθαι, μὴ ἀπαλείψαντα τοὺς προεντυπωθέντας τῷ νοῒ χαρακτῆρας τῶν κάτω καὶ χαμαὶ συρομένων πραγμάτων. Συγχυθήσονται γὰρ ὑπὸ τῶν προεντετυπωμένων, ἀναφυρομένων ταύταις καὶ μὴ συγχωρούντων καθαρὰς ταύτας εἰσδέχεσθαι. Κάτοπτρον: ἐλλαμπτήριον. Καὶ ὂν καὶ γινόμ(ενον). Δεῖ γὰρ ἀναβάσεις ἀεὶ ἐν τῇ καρδίᾳ τίθεσθαι[3] καθαρότητος. Ὅσῳ γὰρ ἂν καθαιρώμεθα, τοσούτῳ καὶ τὰς θείας ἐμφάσεις καθαρωτέρας καὶ τρανοτέρας τῷ ἡγεμονικῷ ἡμῶν ἐντυπούμεθα καὶ τῆς θείας ἐνεργείας τὴν ἔμφασιν τρανὴν καὶ ἀσύγχυτον καὶ οὐδὲν ἐπιθολουμένην ἐκ τῶν παθῶν τῆς σαρκὸς ἐπιδείκνυμεν. Λυθέντων... τῇ ἀληθείᾳ: σκιὰ γὰρ τῆς ἀληθείας ἡ ἐνταῦθα ἔλλαμψις, ἣν ἴνδαλμα ἐν ἄλλοις προσηγόρευσεν. Ἄλλης γάρ, φησίν,

---

1 Ἱερ 9,1. 2 Σ Σολ. 7,26. 3. Πρβλ. Ψαλ. 83,6.

ἐξ ἄλλου φαντασίας συλλεγομένης εἰς ἕν τι τῆς ἀληθείας ἴνδαλμα. Ἀπὸ τοῦ Σολομῶντος δὲ τὸ ἔσοπτρον ἀκηλίδωτον εἴληπται. Μύσαντα τὰς αἰσθήσεις: Τῆς τῶν αἰσθήσεων ἐπιμύσεως ἤτοι συγκλείσεως. Ὅτι μὴ πᾶσα ἀνάγκη: εἰ μὴ ἀναγκαῖον εἴη, τουτέστι μόνων ἐκείνων (*ἐννοεῖ προσεφάπτεσθαι*), ὧν ἄνευ ἀδύνατον ζῆν, τῶν συστατικῶν δηλαδὴ τοῦ σώματος, οὐ τῶν πρὸς τρυφήν, ἀλλὰ τῶν πρὸς τροφήν. Καλεῖ δὲ κόσμον.. οὐ τὴν περιγραφὴν τοῦ κόσμου. Ταύτης γὰρ ἔξω γενέσθαι ἀδύνατον σῶμα βεβλημένους ἡμᾶς. Μόνος γὰρ ὁ Θεὸς ἀπερίγραπτος, ὅτι καὶ κυρίως ἀσώματος, περιγραπτοὶ δὲ καὶ ἄγγελοι, ὅτι μὴ κυρίως ἀσώματοι, κἂν πρὸς ἡμᾶς ἀσώματοι λέγωνται. Σαρκός: τὰ ἐκ τῆς σαρκὸς πάθη καὶ τοὺς ἐντεῦθεν περισπασμούς: οἱ σαρκικοὶ καὶ κοσμικοὶ περισπασμοί. Ἑαυτῷ προσλαλοῦντα καὶ τῷ Θεῷ: ἑαυτῷ δὲ λαλείτω καὶ τῷ Θεῷ.

59,142,33-34. (Ἄν τις) μελέτην ὅτι μάλιστα ποιούμενος ἄνω βλέπειν, τῆς κατασπώσης ὕλης ἐπικρατήσειε. (Τὸ σῶμα) ὑλικὸν ὂν καὶ πολὺ τὸ γεῶδες ἔχον κάτω βρίθει καὶ συγκατασπᾷ **[798]** τὴν ψυχήν. Ζόφον (*ὁ Γρηγόριος ἄλλως τὸ σῶμα ἀποκαλεῖ*) διά τε τὸ πάχος καὶ διὰ τὴν ἐκ τῶν παθῶν ἀχλύν, τάχα δὲ καὶ διὰ τὰς ἐκ τῆς διπλῆς τροφῆς ἀναθυμιάσεις, ἐπιθολούσας τὸ ἐν ἡμῖν νοερόν, ἤδη δέ ποτε καὶ παραφροσύνας πολλάκις ἐκ τῆς πλησμονῆς ἐμποιούσας. Ὧν δὴ παθῶν.. ἐλευθεροῦν ἀναγκη τοὺς ἄνω ἐπειγομένους. Οὐ γὰρ ἔστιν ἀθρόον τῇ σχέσει τοῦ σώματος τὸν νοῦν προσειλημμένον καὶ τοῖς ἐντεῦθεν πάθεσιν ἰλυσπωμενον, ἐκπετήσιμον πρὸς Θεὸν ἀπεργάσασθαι.

59,142,35-37. Οὔτε ἀὴρ μήπω πρότερον φωτισθεὶς φωτίζειν ἕτερα δύναται, οὔτε ὕδωρ μὴ θερμανθὲν ἕτερα θερμαίνειν σώματα, οὔτε ψυχὴ ἐσκοτισμένη τῇ ἐκ τῶν παθῶν ὁμίχλῃ καὶ μὴ φωτοειδὴς χρηματίσασα... τῇ τῆς θεολογίας θεωρίᾳ προσβάλλειν. Μὴ καθαρῷ γὰρ θεολογίας ἅπτεσθαι οὐ θεμιτόν.

59,143,9-10. (*Ὁ Θεὸς*) διανοίαις χθαμαλωτάταις ἐπιφοιτᾶν λέγεται καὶ ἐναυλίζεσθαι παρὰ τοῖς γεῶδές τε καὶ χαμαιρριφὲς τὸ φρόνημα ἔχουσιν. (Θεοῦ γνῶσιν) ἐκ μέρους ἁλώσιμον τοῖς τὰ ὑψηλὰ πέτεσθαι μεμελετηκόσιν.

59,143,14-17. Οἱ ὁρῶντες καὶ μὴ ἐμβριθέστερον ἐπιτιμῶντες καὶ ἀνείργοντες. Μετ' ἐμβριθείας πληροῦν τὴν ἐπιτίμησιν.

59,143,24. Παρακεκινημένως τε καὶ παραβόλως εἰς τὰ ἅγια τῶν ἁγίων φοιτᾶν.

59,143,26-30. Τοῦ κατὰ ψυχὴν καὶ σῶμα καθαρεύοντος μέχρι καὶ τῶν σμικροτάτων.

59,143, c. 5 ἑξ. Ἁμαρτίας ... καὶ πλημμελείας τινὲς ... δεδώκασιν εἶναι διαφοράν, ἁμαρτίαν μὲν τὸ ἑκούσιον πταῖσμα, πλημμελείαν δὲ νοήσαντες τὸ ἀκούσιον.

59,143,29. Ἱλαστήριον γενόμενον Χριστὸν οἰκονομικῶς.

59,143,29. Ζῶσαν[1]. Ζῶμεν γὰρ ὄντως τότε ζωὴν τὴν κατὰ Χριστόν, ναοὶ αὐτοῦ γεγονότες καὶ αὐτὸν ἔνοικον ἔχοντες[2].

59,144,1. Τῷ κοσμοκράτορι τῶν κάτω συρομένων. Τῶν ἐπὶ τῷ στήθει δηλαδὴ καὶ τῇ κοιλίᾳ πορευομένων, δι' ὧν ἥ τε γαστριμαργία καὶ τὰ ὑπογάστρια δηλοῦται πάθη. [799] *(Κατωτέρω)*: Λέγεται κόσμος πρὸς τοῖς ἄλλοις καὶ ἡ κοσμικὴ ἀπάτη καὶ ἡ κακία.

59,144,4 'Η συκομορέα ἄκαρπόν τι δενδρίδιον.

59,144,5. Μαράνας «τὸ σῶμα τῆς ταπεινώσεως»[3]. Τοῦτο (δηλ. τὸ σαρκικὸν φρόνημα) μαράνας καὶ ὑπεράνω τούτου γενόμενος, νεκρώσας τὰς σαρκικὰς ἡδονάς. Τὰ γήϊνα ζητεῖν καὶ περὶ ταῦτα σύρεσθαι.

59,144,7. Οὐ μόνον ἅπερ κέκτηται σῴζων, ἀλλὰ καὶ πρὸς τὰ μείζω παρατεινόμενός τε καὶ ὑψηλότερα.

59,144,9. Ἐπεὶ δὲ ἀνεκαθήραμεν τῷ λόγῳ τὸν θεολόγον. Ἐν τῷ περὶ θεολογίας λόγῳ ἀκριβῶς ἀπέξεσε τὸν θεολόγον. *(Καὶ κατωτέρω)*: Ἀνακαθᾶραι δέ φησι ἐν τῷ περιελεῖν πᾶσαν ἀκαθαρσίαν καὶ φανερὸν ποιῆσαι, ὁποῖον εἶναι χρὴ τοῦτον.

59,144,10. Ἐν βραχεῖ. Ὅσα ἂν ἐρεῖ τις περὶ Θεοῦ, βραχέα πάντα ἔσται, μὴ ἐξικνούμενα τῆς μεγαλειότητος αὐτοῦ. Δεικνὺς δὲ ὅτι τὸ βραχέα περὶ Θεοῦ εἰπεῖν οὐ τῆς ἀνθρωπίνης ἐστὶ σοφίας, ἀλλὰ τῆς ἄνωθεν ἐπιπνοίας, τῷ ἐν Τριάδι γνωριζομένῳ Θεῷ καὶ τοῦτο δὴ ἀνατίθησι.

59,144,11-13. Εὔχομαι ... μηδὲν ἴδιον περὶ Θεοῦ ἢ ἐννοῆσαι ἢ φθέγξασθαι, ἀλλ' ὄργανον γενέσθαι ... ὑπὸ τοῦ Ἁγίου Πνεύματος ἀνακρουόμενον, κἀκεῖνα μόνα ὑπηχεῖν, ὅσα ἂν τὸ Πνεῦμα τὸ Ἅγιον ἐμπνεῖ.

59,144,26-28. *(Ὁ Ἄρειος καὶ ὁ Σαββέλιος)* κακῶς τὸ τριαδικὸν τῆς θεότητος ἐταλάντευον.

59,144,27-28. Τρία ἔκφυλα καὶ ἀλλότρια. (Τρεῖς φύσεις) ἐκφύλους τε καὶ ἀλλήλων ἀλλοτριουμένας. Φόβῳ τοῦ μὴ εἰς Ἑλληνισμὸν ἐκκυλισθῆναι ἐκ τῆς εἰς ἀνίσους βαθμοὺς τῆς μιᾶς φύσεως Ἀρείου κατατομῆς.

59,144, c. 29. Μὴ πλέον τοῦτο παρὰ ἐκεῖνο.

[800] 59,145,5. Δέον. Ἁρμοδίου ὄντος. Ἀττικῶς γὰρ πέφρασται.

59,145,10-11. Εἰ δὲ τοῦτο, μικρῶν ἂν εἴη ὁ Πατὴρ καὶ προβολεὺς καὶ ἀναξίων ἀρχή.

59,145,17-21. Ἡ τῶν λογισμῶν ἀκολουθία τε καὶ ἀνάγκη.

59,145,23-24. Ἐπὶ τοῦ ἡλίου καὶ τοῦ ἀπαυγάσματος οὐ χρόνος μεταξὺ ἐπινοεῖται.

---

1 Ρωμ 12,1 2 Πρβλ. Α' Κορ. 3,16 Πρβλ Β' Κορ. 6,16. 3. Φιλιπ. 3,21

59,145,16 ἑξ. Ἰστέον, ὅτι οἱ μὲν ἔξω φιλόσοφοι οὐσίαν μὲν ἐκάλεσαν τὴν ἁπλῶς ὕπαρξιν, φύσιν δὲ οὐσίαν εἰδοποιηθεῖσαν ὑπὸ τῶν οὐσιωδῶν διαφορῶν, ἤγουν τὰ εἰδικώτατα εἴδη, τὰ περιεκτικὰ τῶν ὑποστάσεων, τὰ δὲ περιεχόμενα ὑπὸ τῶν εἰδικωτάτων εἰδῶν ὑποστάσεις. Οἱ δὲ ἅγιοι παρεάσαντες τὰς πολλὰς ἐρεσχελίας, τὸ μὲν κοινὸν καὶ κατὰ πολλῶν λεγόμενον, ἤγουν τὸ εἰδικώτατον εἶδος, οὐσίαν καὶ φύσιν καὶ μορφὴν ἐκάλεσαν, οἷον ἄγγελον, ἄνθρωπον, καὶ ἁπλῶς πάντα τὰ εἰδικώτατα. Τὸ δὲ μερικὸν ἐκάλεσαν ἄτομον καὶ πρόσωπον καὶ ὑπόστασιν, οἷον Πέτρον, Παῦλον. Ἔστι δὲ ὑπόστασις οὐσία μετὰ τῶν ἰδιοτήτων. Εὑρίσκεται δὲ πολλάκις καὶ ὑπόστασις καὶ τὴν ἁπλῶς σημαίνουσα ὕπαρξιν.

59,145,15-19. Ἡ εἰς ἓν αἴτιον ἀναφορά. Παρ' ἡμῖν τὸ ἓν πρεσβεύεται καὶ παρὰ τοῖς ἑτεροδόξοις.

59,145,21-24. Δείκνυται οὖν ἐντεῦθεν, ὡς ἰδιότης τῷ Πατρὶ πρὸς τῷ ἀγεννήτῳ καὶ τὸ ἄναρχον, τῷ δὲ Υἱῷ πρὸς τῷ γεννητῷ καὶ ἡ ἀρχή.

59,145,37 ἑξ. Τὸ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραγόμενον. Οὐ γὰρ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη ὁ Υἱός, ἀλλ' ἀεὶ συνῆν τῷ Πατρὶ ἀχρόνως καὶ ἀρεύστως. (Ὁ Υἱὸς) ἐκ τοῦ Πατρὸς γεννηθεὶς ἀχωρίστως καὶ ἀδιαστάτως. Τὰ κτιστὰ πάντα, ῥοῆς καὶ χρόνου ἔκγονα ὄντα. Τὰ αὐτὰ πείσεται τοῖς κτιστοῖς καὶ ῥευστοῖς.

[801] 59,145,28 ἑξ. Εἰ δὲ ἄκτιστα, πάντως κατὰ τὸν τῆς ἀκολουθίας λόγον καὶ ἄτρεπτα. Πάντων... ποιητής, καὶ αὐτῶν τῶν χρόνων, οὐχ ὑπὸ χρόνον. Οὐκ ἐπινοουμένου χρόνου τινὸς μεταξὺ Πατρὸς καὶ Υἱοῦ.

59,145,35-36 Εἰ δέ, ὅτι τὰ σώματα ὑπὸ χρόνον, διὰ τοῦτο ἀξιώσεις κεῖσθαι καὶ τὸν Υἱὸν ὑπὸ χρόνον. Κεῖσθαι: πίπτειν.

59,145, c. 36-39. Περιφανῶς ἀνοηταίνεις.

59,146,10-11. Προεπινοήσας καὶ ἐν τῷ νῷ ἀνατυπώσας τὸ γενησόμενον.

59,146,14-15. Μὴ ἀποβάντος, ὡς βούλεται, τοῦ ἐπιτηδεύματος.

59,146,28-29. (Θεὸς) ἀρεύστως γεννᾷ καὶ ἐκτὸς συνδυασμοῦ. Ὁ δὲ ἄνθρωπος δῆλον, ὡς ἐναντίως γεννᾷ, ὑπὸ γένεσιν τελῶν καὶ φθορὰν καὶ ῥεῦσιν καὶ πληθυσμὸν καὶ σῶμα περικείμενος.

59,147,6-14. Ἵλεως εἴη ὁ πάντων ἐπέκεινα καὶ πᾶσαν νόησιν καὶ κατάληψιν ὑπερβαίνων.

59,147,19-20. Κινεῖ μὲν ... τὸ σῶμα ἡ ψυχή, κινεῖται δὲ καὶ αὕτη αὐτῷ, ὥσπερ καὶ ὁ κυβερνήτης τῷ πλοίῳ.

59,147,21-22. Μεμερισμένως ... τῆς ψυχῆς ἐστι τὸ νοεῖν καὶ διανοεῖσθαι, καὶ ὅσον συνθεωρητικόν.

59,146, c. 21. Χριστομιμήτως.

59,146,21-23. Τὸ κτιζόμενον καταλιπεῖν ἀτελεσιούργητον.

59,146,14. Ἃ... ὁ νοῦς ἀνατυπωσάμενος ἔγραψεν.

59,146,17-18. Ὅταν δὲ φωνὴν ἐπὶ Θεοῦ καὶ ῥῆμα καὶ πρόσταγμα λέγωμεν, οὐ διὰ φωνητικῶν ὀργάνων ἐκπεμπόμενον ψόφον, οὐδὲ ἀέρα διὰ γλώττης τυπούμενον τὸν θεῖον λόγον νοοῦμεν.

59,146,17. (Θεὸς) ἀχρόνως καὶ ἀνάρχως καὶ ἀπαθῶς καὶ ἀρεύστως γεννᾷ.

59,146,29. Σ ὺ ... ὑπὸ γένεσιν τελῶν καὶ φθορὰν καὶ χρόνον.

69,146,32-33. Μηδεὶς ἐπηρεαστικῶς ἐπιφυέσθω τῷ λόγῳ.

59,147,2. Ἐ π ι ν ο ί ᾳ μ ό ν ῃ. Διττὴ δὲ τῆς ἐπινοίας ἡ χρῆσις, ποτὲ μὲν ἐπὶ τοῦ ὄντος, ὡς ὅταν τόνδε τὸν ἄνθρωπον ἐπινοίᾳ διέλωμεν εἰς ψυχὴν καὶ σῶμα, ἢ τὸ σῶμα τούτου, μήπω τετελευτηκότος, εἰς [802] μέλη καὶ μέρη, μέλη μὲν ὡς σώματος, μέρη δὲ ὡς ὅλου· ὅδε γὰρ ὁ ἄνθρωπος ἢ τὸ τούτου σῶμα, ἓν μέν ἐστι τῷ ὑποκειμένῳ, ποικίλον δὲ λόγον ἐπιδέχεται ταῖς κατὰ λεπτὸν ἐξεταστικαῖς τοῦ νοῦ θεωρίαις· ποτὲ δὲ ἐπὶ τοῦ μὴ ὄντος, ὡς ὅταν τὸ ἀνυπόστατον πλάττηται κατὰ μόνην ἐναζωγράφησιν τοῦ νοῦ καὶ φαντασίαν ἀνατυπούμενον.

59,145,13-14. Τῆς Ἁγίας καὶ ὑπερουσίου καὶ πάντων ἐπέκεινα καὶ ἀλήπτου Τριάδος.

59,145,16 ἑξ. Τὸ ἓν ἔξαλμα τῆς κινήσεως

59,145,16. Ε ἰ ς ἓ ν α ἴ τ ι ο ν Υ ἱ ο ῦ κ α ὶ Π ν ε ύ μ α τ ο ς ἀ ν α φ ε ρ ο μ έ ν ω ν.

59,147,18-19. Εἰκὼν εἶ Θεοῦ κατὰ τὸ θεοειδὲς τῆς ψυχῆς.

59,147,20. Οἱ μέν... αὐτὴν τὴν ὀπτικὴν δύναμιν διὰ τοῦ μεταξὺ ἀέρος φασὶν ἀχρόνως προσβάλλουσαν τοῖς ὁρατοῖς καὶ τὰς χρόας τούτων ἀΰλως λαμβάνουσαν, πρὸς τὸ πρῶτον αἰσθητήριον ἀνακομίζειν, οἱ δὲ αὐτὰ τὰ εἴδη τῶν χρωμάτων ἀΰλως διὰ τοῦ μεταξὺ ἀέρος διαβαίνειν πρὸς τὴν ὅρασιν.

59,147,21. Π ῶ ς ὁ ν ο ῦ ς ἐ ν σ ο ὶ μ έ ν ε ι κ α ὶ γ ε ν ν ᾷ λ ό γ ο ν ἐ ν ἄ λ λ ῳ ν ο ΐ; Ἐπεὶ... ὁ λόγος οὐ μόνον νοῦ γέννημα, ἀλλὰ καὶ ὄχημα καὶ πορθμεῖον, ἐντεῦθεν τὸ τοῦ νοῦ νόημα διὰ τοῦ γεννηθέντος ἐξ αὐτοῦ λόγου πρὸς ἕτερον διαδίδοται.

59,147,35-38. Τοῦτον πρὸς θεωρίαν ἀνιέναι προτρέπεται. Τῇ θεωρίᾳ προσβάλλομεν... περιποιοῦντες τῇ ψυχῇ τὸ καθάρσιον καὶ τὴν ἐκ τῶν παθῶν ἀχλὺν περιαιροῦντες καὶ τὸ ὀπτικὸν αὐτῆς δεικνύντες ὀξυωπέστερον πρὸς τὴν τοῦ ὄντος γνῶσιν καὶ θεωρίαν. Κουφισθῆναι τῶν γηΐνων.

59,148,2-3. Τ ὸ ... ε ἶ ν α ι τ ο ῦ Θ ε ο ῦ καὶ τὸ ὑπάρχειν καὶ χρόνου παντὸς ἐπέκεινα καὶ φύσει ἀσύγκριτον. Μὴ ἔχων δὲ ὁ λόγος καταλλήλοις ἐπὶ Θεοῦ χρήσασθαι ὑποδείγμασι, τοῖς καθ' ἡμᾶς κέχρηται εἰς ἀμυδράν τινα εἰκασίαν τῶν λεγομένων.

59,147,35 ἑξ. Ἡ κομψεία τῶν λέξεων.

59,148,8. (Θεὸς) πέλαγός ἐστιν ἀόριστον γνώσεως.

59,148,4,8-11. Τῆς τελεωτέρας γνώσεως ἀξιωθησόμεθα ... κάτω τὴν αἴσθησιν μετὰ τῆς φαντα[803]σίας καταλιπόντες, αἵτινες νῦν πα-

ρεμπίπτουσαι καὶ παρεμποδίζουσαι τὸν νοῦν, οὐ συγχωροῦσι τὰς ἐνδιδομένας ὅλας ἀκτῖνας εἰσδέχεσθαι. Τελεία δὲ (γνῶσις), οὐ πρὸς τὴν τοῦ Θεοῦ γνῶσιν, οὐδὲ πρὸς τὴν ἐκεῖθεν ἐκπηδῶσαν λαμπρότητα... ἀλλὰ πρὸς τὸ μέτρον τῆς ἑκάστου καθάρσεως, καὶ ὅτι τρανοτέρα.. τῆς ἐνταῦθα ἔσται... οὐκ ἔτι, ὡς νῦν, ἐπιπροσθοῦντος τοῦ σώματος. Πλατωνικὸν τὸ σχῆμα κατὰ πεῦσιν προϊόν, ᾧ δὴ ὡς ἐπὶ καινῷ τινι οἱ ἑτερόδοξοι ἐνεκαλλωπίζοντο.

59,148,8. Τ ε λ ε ώ τ α τ ο ν δ ὲ τ ῶ ν ὄ ν τ ω ν γ ν ῶ σ ι ς Θ ε ο ῦ. Ἐνταῦθα γὰρ πᾶσα κίνησίς τε καὶ ἔφεσις ἵσταται.

59,148,5 ἑξ. (Λέγουσι) τ ὴ ν ... βασιλείαν τῶν οὐρανῶν τῆς τῶν ὄντων ἀκραιφνοῦς γνώσεως εἶναι κατάληψιν.

ΛΟΓΟΣ ΚΘ΄.

59,239,4-5. Ἡ ἀμφὶ τὰ ῥητὰ πλάνη καὶ κακουργία.

59,239,6-8. *(Οἱ Εὐνομιανοὶ)* εἰ ... καὶ πατέρα τὸν Πατέρα συνωμολόγουν, ἀλλ' οὐ διὰ τὴν πρὸς τὸν Υἱὸν σχέσιν, ἀλλὰ καταχρηστικῶς διὰ τὴν δημιουργικὴν ἐπιστήμην, ὡς ἐπὶ τῶν κτισμάτων λέγομεν πατέρας ἔργων καὶ λόγων καὶ τεχνῶν καὶ παιδεύσεων, καθά φησι καὶ Πλάτων ὁ πατὴρ τοῦδε τοῦ παντός.

59,239,6. (Τὸ θεολογεῖν) τῶν ἐξητασμένων... καὶ διαβεβηκότων ἐν θεωρίᾳ καὶ ἡνίκα ἂν σχολὴν ἀπὸ τῆς ἔξωθεν περιπλανήσεως ἄγωμεν καὶ οἷς τὸ πρᾶγμα διὰ σπουδῆς καὶ ὅσα ἡμῖν ἐφικτὰ καὶ ἐφ' ὅσον ἡ τοῦ ἀκούοντος ἐξικνεῖται ἕξις, ἵνα μὴ ὁ νοῦς, καθάπερ ὀφθαλμὸς ὅλον τὸν ἥλιον θέλων βλέπειν, ἀπολέσῃ καὶ ὃ ἔχει φῶς.

59,239,11-12. Ὥ σ π ε ρ τ ι ν ὰ τ ό κ ο ν ε ὐ γ ε ν ῆ τ ε κ α ὶ ὥ ρ ι μ ο ν ε ἰ ς φ ῶ ς π ρ ο ε ν έ γ κ ω μ ε ν. Καὶ ἡ μὲν ἀπόδοσις ἐνταῦθα, Δημοσθένειον δὲ τὸ ἐνθύμημα, μικρόν τι παρῳδηθέν.

59,239,9. Τὴν ἐκ τούτου *(τοῦ Ἁγίου Πνεύματος)* προσκαλούμενος χάριν.

59,239,12-15. Οἰκονομεῖν ἐν κρίσει τοὺς λόγους καὶ καιρὸν εἰδέναι καὶ μέτρα λόγου καὶ σιωπῆς.

[804] 59,239,20-21. Π ρ ὸ ς ἐ ξ α π ά τ η ν τ ῶ ν ἁ π λ ο υ σ τ έ ρ ω ν ἢ ε ὐ η θ ε σ τ έ ρ ω ν. Ἐπεὶ ... τὸ ... εὔηθον ἐπὶ τοῦ ἀνοήτου ἀεὶ (τάττεται), εἰκότως τοῖς ἁπλουστέροις τοὺς εὐηθεστέρους ἀντέθηκεν.

59,239,30. Λέγεται ἄτομα... καὶ τὰ ἐξ ἡλιακῆς ἀκτῖνος ἐν ἀέρι διαλυόμενα καὶ οἷον ἐκ τοῦ ἐδάφους ἀνιμώμενα ξεσμάτιά τινα κονιορτώδη καὶ αὐτοῦ τοῦ χοὸς λεπτότερα, ἐξ ὧν Ἐπίκουρος συνίστασθαι πάντα ἔλεγεν.

59,239,24 ἑξ. Ἔστι γὰρ καὶ τόνδε τυχὸν τὸν ἄνθρωπον, ἓν πρόσωπον ὄντα καὶ μίαν ὑπόστασιν, πολλὰ καθ' ἑκάστην γινόμενον, στασιάζειν πρὸς ἑαυτόν, νῦν μὲν νοσοῦντα, νῦν δὲ ὑγιαίνοντα καὶ ἀεὶ

μεταβαλλόμενον ταῖς τε διαφόροις ἡλικίαις, ἤδη δὲ καὶ βουλήσεσι καὶ ταῖς δυνάμεσι καὶ κατὰ ταῦτα ἐναντιούμενον. Πρεσβεύεται μὲν καὶ τιμᾶται παρ' ἡμῖν ἡ μοναρχία. Διὰ τῆς ἐπαναλήψεως διαρθροῖ τὴν περὶ τῆς μοναρχίας δόξαν αὐτοῦ.

59,239,31-33. Ποῦ γὰρ τὸ ὁμογνωμονεῖν καὶ ὁμονοεῖν παρ' αὐτῇ (*δηλ.* παρὰ τῇ γεννητῇ φύσει); (Σ ύ ν ν ε υ σ ι ς): Σύννευσίς τε καὶ ἐπιστροφή. Ἐκ τοῦ Ἰώβ: πνοὴ δὲ παντοκράτορος ἡ συνέχουσά με[1].

59,239,30ἑξ. *(Μεταξὺ ἄλλων ἐκ τοῦ ἁγίου Μαξίμου)*: Ὁ κατ' ἐπιστήμην ἑκάστης τέχνης συνεκτικὸς λόγος ... καθ' ἕκαστον εἶδος τῶν ὑπὸ τὴν τέχνην μορφούμενος.

59,239,31,32. (Τὸ Θεῖον) ὡς ἐντυποῦν τῷ ἐν ἡμῖν ἡγεμονικῷ τὴν ἑαυτοῦ γνῶσιν, ὡς ἤδη προαποδεδώκαμεν καὶ κινοῦν ἡμᾶς πρὸς γνῶσιν αὐτοῦ, κινεῖσθαι λέγεται.

59,239,34. Μήπως σαφῶς διαρθρώσας τὰ περὶ αὐτῆς (*δηλ.* τὰ περὶ τῆς μοναρχίας).

59,239,29-240,3. Μία θεότης ... ἐν τρισὶ τελείαις ὑποστάσεσι ... ἀσυγχύτως ἡνωμέναις καὶ ἀδιαστάτως διῃρημέναις. Φύσει. . ὢν ἀπαθὴς καὶ ἄρρευστος ὁ Πατὴρ .. οὐ πέφυκεν ὑπομένειν πάθος ἢ ῥεῦσιν, ἀλλ' ἀχρόνως καὶ ἀνάρχως καὶ ἀπαθῶς καὶ ἀρρεύστως γεννᾷ,... ἀρρεύστως ... διὰ [805] τὸ ἀπαθὲς καὶ ἀσώματον. Τὸ . . ἄναρχον ἀτελεύτητον, τὸ δὲ χάριτι ἀτελεύτητον οὐ πάντως ἄναρχον, ὥσπερ οἱ ἄγγελοι. Ὁ ... Υἱὸς τοῦ Θεοῦ ὁ μονογενὴς ἐκ Πατρὸς γεννηθείς, ἀχωρίστως καὶ ἀδιαστάτως ἐν αὐτῷ μένων ἀεί, ἔχει ἰδίαν ὑπόστασιν παρὰ τὴν τοῦ Πατρός. Μονογενὴς δέ ἐστιν, ὅτι μόνος ἐκ μόνου τοῦ Πατρὸς μόνως ἐγεννήθη. Ὁ Μέγας Βασίλειος ἐν τοῖς ἀντιρρητικοῖς τὴν τοῦ γεννήματος φωνὴν ἐπὶ τοῦ Υἱοῦ τέως ἀποδοκιμάζει, χρησαμένου κατατρέχων Εὐνομίου. Ἐθεράπευσε τὸν λόγον ἐπαγαγὼν τό· ἢ ο ὐ κ ο ἶ δ' ὅ π ω ς . . . κ α λ έ σ ε ι ε ν, *(τὰ ὁποῖα ὁ Ἠλίας ὀνομάζει)* ἐπιδοιαστικὰ *(καὶ)* ἐπιδοίασιν.

59,240,3-8. Ο ὐ γ ὰ ρ δ ὴ ὑ π έ ρ χ υ σ ι ν ἀ γ α θ ό τ η τ ο ς ε ἰ π ε ῖ ν θ α ρ ρ ή σ ο μ ε ν, ἣ τ ῶ ν π α ρ' Ἕ λ λ η σ ι φ ι λ ο σ ο φ η σ ά ν τ ω ν ε ἰ π ε ῖ ν τ ι ς ἐ τ ό λ μ η σ ε ν· ο ἷ ο ν κ ρ α τ ὴ ρ τ ι ς ὑ π ε ρ ρ ύ η, σ α φ ῶ ς ο ὑ τ ω σ ὶ λ έ γ ω ν ἐ ν ο ἷ ς π ε ρ ὶ π ρ ώ τ ο υ α ἰ τ ί ο υ κ α ὶ δ ε υ τ έ ρ ο υ φ ι λ ο σ ο φ ε ῖ, μ ή π ο τ ε ἀ κ ο ύ σ ι ο ν τ ὴ ν γ έ ν ν η σ ι ν ε ἰ σ α γ ά γ ω μ ε ν, κ α ὶ ο ἷ ο ν π ε ρ ί τ τ ω μ ά τ ι φ υ σ ι κ ὸ ν κ α ὶ δ υ σ κ ά θ ε κ τ ο ν, ἥ κ ι σ τ α τ α ῖ ς π ε ρ ὶ Θ ε ό τ η τ ο ς ὑ π ο ν ο ί α ι ς π ρ έ π ο ν. Πλατωνικὸν ἐνταῦθα διασύρει δόγμα. Τρία γὰρ ταῦτα διαιρῶν ἐκεῖνος, ἔνδειαν, αὐτάρκειαν καὶ ὑπέρχυσιν, μίαν αὐτῶν, τὴν ὑπέρχυσιν, τῇ θείᾳ φύσει προσήρμοζεν, οἷον κρατὴρ τις ὑπερρύη λέγων. Τό τε γὰρ ἐνδεὲς ἔλαττον τοῦ αὐτάρκους, ὁ Θεὸς

1 Πρβλ. Ἰὼβ 33,4.

δὲ ἀνενδεής, τό τε αὔταρκες ἑαυτῷ ἀρκοῦν, ἑτέροις οὐ μεταδίδωσι, μεταδοτικὸν δὲ τὸ Θεῖον. Ἀλλ' ὁ ἡμέτερος διδάσκαλος ὁ μέγας οὗτος καὶ τὴν ὑπέρχυσιν ὑποπτεύει. Ἀφῄρηται γὰρ καὶ αὕτη τὴν ἑκούσιον μετάδοσιν, ὥσπερ καὶ ὁ ὑπερβλύζων κρατὴρ ἀκουσίως ὑπερχεόμενος. Ὑποπτεύει δὲ ταύτην λέγων· μήποτε ἀκούσιον τὴν γέννησιν εἰσαγάγωμεν, καὶ οἷά τινα τὰ φυσικὰ περιττώματα, δυσχερῆ ὄντα πρὸς τὸ κατέχεσθαι, ἃ στέγειν ἡ φύσις μὴ δυναμένη, διά τινων πόρων ἐκκρίνει τε καὶ τὸ βάρος ἀποσκευάζεται. Ἥκιστα γὰρ πρέπον ταῖς περὶ θεότητος ὑπονοίαις τὸ ἠναγκασμένην τε καὶ ἀκούσιον τὴν γέννησιν εἰσάγειν, ὃ τοῖς τοῦ Πλάτωνος ἀκολουθεῖ δόγμασιν ἐκ τῆς τοῦ ὑπερβλύζοντος κρατῆρος ὑποθέσεως. Ἀλλ' ὅπερ ἡμᾶς μικροῦ παρέδραμε **[806]** μεταξὺ τῶν εἰρημένων κείμενον· ἔστι δὲ τοῦτο τὸ περὶ πρώτου καὶ δευτέρου αἰτίου· πρῶτον μὲν οὖν αἴτιον ὁ Πλάτων ἔλεγε τὸ ἕν, δεύτερον δὲ τὸ ὄν. Ἀλλὰ τὴν μὲν αἰτίαν τούτων ἐπιζητεῖν οὐ τῆς παρούσης ἐστὶν ὑποθέσεως, ἐπισκεπτέον δὲ μή ποτε ἐναντιούμενος αὐτὸς ἑαυτῷ φαίνηται, ἐνταῦθα μὲν ἀποποιούμενος τὴν ὑπέρχυσιν τῆς ἀγαθότητος, ἐν δὲ τῷ δευτέρῳ λόγῳ τοῦ πάσχα δογματίζων αὐτὴν ἐν τῷ λέγειν· ἔδει χυθῆναι τὸ ἀγαθὸν καὶ ὁδεῦσαι. Καί φαμεν, ὡς οὐδαμῶς, ἀλλὰ πνευματικοῖς συγκρίνων τὰ πνευματικά[1], εἰκότως ἐνταῦθα μὲν ἀποποιεῖται αὐτήν, ὡς τὸ ἀκούσιον εἰσάγουσαν· καὶ δηλοῖ τὸ τοῦ κρατῆρος ὑπόδειγμα· ἐκεῖσε δὲ οὐδὲν τοιοῦτον ἐμφαίνουσαν καὶ τίθησι καὶ ἐπιτείνει. Εἰπὼν γάρ· χυθῆναι, προσέθηκε· καὶ ὁδεῦσαι δι' εὐεργεσίαν

59,240,3-5. Ὁ Πλάτων διὰ τοῦ κατὰ τὸν κρατῆρα ὑποδείγματος ὑπέρχυσιν θεότητος ἐδογμάτιζε.

59,240,11 ἑξ. *(Οἱ Εὐνομιανοὶ)* περὶ τὴν προαιώνιον αὐτοῦ *(τοῦ Υἱοῦ)* γέννησιν ἐπονηρεύοντο. Πᾶν... κτιστὸν ὑπὸ χρόνον. Νεανικώτερον· Τολμηρότερον. Οὕτως ἡ τῶν κακοτρόπως ἐρωτώντων ἐπίνοια διαπέπτωκεν.

59,240,20. Ἰστέον δέ, ὅτι αἰὼν λέγεται καταχρηστικῶς μὲν ἡ χιλιονταετηρὶς καὶ ἡ καθ' ἡμᾶς ζωή. Λέγεται δὲ παρὰ ταῦτα αἰὼν καὶ ὁ συμπαρεκτεινόμενος τοῖς οὖσιν.

59,240,23-28. Οἱ περὶ Εὐνόμιον κακοήθως ἐσοφίζοντο περὶ τὸ τοιοῦτον δόγμα. (Ἄναρχα) ὑπ' ἀρχὴν δηλονότι, ὡς εἰς αἴτιον, ἀναφερόμενα τὸν Πατέρα. (Ὁ Υἱὸς) ποιητὴς χρόνων οὐχ ὑπὸ χρόνον. Ὁ Μονογενὴς καὶ τὸ πανάγιον Πνεῦμα ὡς εἰς αἴτιον τὸν Πατέρα ἀνάγονται.

59,240,27-28. Κἂν σὺ μορμολύττῃ τοὺς ἁπλουστέρους. Οὐ γὰρ ὑπὸ χρόνον τὰ ἐξ ὧν ὁ χρόνος. Μορμολύττειν δέ ἐστι τὸ ἐκφοβεῖν. Μορμολύκειον γάρ φασί τινες προσωπεῖον εἶναι, εἰς φόβον παιδίων ἀνοήτων εἰσαγόμενον, ἤτοι τύπον

1. Πρβλ. Α' Κορ. 2,13.

τινὰ ἀλλόκοτον ὄψεως, τὴν ἀρχὴν δὲ λαβεῖν τοῦτο τὸ ὄνομα ἀπό τινος γυναικὸς ἀλλοκότου τε τὴν ὄψιν καὶ θηριομόρφου, Μορμοῦς ὠνομασμένης, ὡς ἱστορεῖ Θεό[807]κριτος. Ἐπεὶ οὖν τοιαῦτα τὰ παρὰ τῶν αἱρετικῶν προτεινόμενα, παιδαριώδη τε καὶ οὐκ ἄνδρας νοῦν ἔχοντας καταπλήττειν δυνάμενα, ἀποστρέφει τὸν λόγον πρὸς τὸν αἱρετικὸν καί φησι· κἂν σύ ...

59,240,29-30. Ἐπὶ τὴν ἀπαθῆ αἰτίαν τοῖς λογισμοῖς ἀνατρέχομεν.

59,240,30-33. Ὡς ἕνα τῶν ἀνθρώπων τῶν σῶμα περικειμένων καὶ τὸν Θεὸν κτίζειν ὑπολαμβάνητε ἐᾶν. Τὸ κτιζόμενον καταλιπεῖν ἀτελεσιούργητον.

59,240,29-30. Ἄνθρωπος... ὑπὸ γένεσιν τελῶν καὶ φθορὰν καὶ ῥεῦσιν καὶ πληθυσμὸν καὶ σῶμα περικείμενος.

59,241,3 ἑξ. (Ὁ λόγος) ποικίλλεται ... ταῖς ἀπαντήσεσι καὶ ταῖς λύσεσι.

59,241,13-14. Πεπαύση τῶν μακρῶν ἐρεσχελιῶν.

[808] 59,241,14 ἑξ. Ἀτόποις περιβάλλειν τινά.

59,240, c. 33. Τῆς ἐλπίδος διαπέπτωκας.

59,241,23 ἑξ. 243,17-18. Παιδαριώδη τινὰ ἀθύρματα τὰ ἐκείνου δείξας προβλήματα.

59,242,11. Βούλει τι προσπαίξω καὶ τὸν Πατέρα; Βούλει πρὸς τῷ Υἱῷ παίξομεν καὶ τὸν Πατέρα, Παίξομεν γὰρ ὄντως, ἐν οἷς γελοῖα περὶ αὐτοῦ λέγομεν, εἰρωνικὸς δὲ καὶ βαρὺς ὁ λόγος, ἐκ ζήλου οὕτω σχηματισθείς.

59,242,22. Οὐχ οὕτως ἄνθρωπος κτίζει ἢ γεννᾷ, ὡς σύνδρομον ἔχειν τῇ βουλήσει ἢ τῷ λόγῳ τὸ ἔργον

59,242,27. Ψυχῆς πρὸς σῶμα δεσμόν, πῶς συνδέεται αὕτη... τῷ σώματι, ὡς μὴ ἀφίπτασθαι πρὸ τοῦ καιροῦ. Ὥσπερ... ἐν σώματι ὀφθαλμός, οὕτως ἐν ψυχῇ νοῦς, νοῦ δὲ κίνησις ἡ διάνοια. (Ἡ ἔννοια) ἥτις ἐπιμείνασα καὶ τυπώσασα τὴν ψυχὴν πρὸς τὸ νοούμενον ἐνθύμησις προσαγορεύεται... Ἡ ... φρόνησις πλατυνθεῖσα ποιεῖ τὸν διαλογισμόν, ἐνδιάθετον ὀνομαζόμενον. Τὸ ... φανταστικόν, διὰ τῶν αἰσθητηρίων ἀντιλαμβανόμενον τῶν ὑλικῶν, παραδίδωσι τοὺς τύπους τούτων τῷ διανοητικῷ ἢ διαλογιστικῷ.

59,242,31-32. Τούτων αἱ αἰτίαι τῇ γεννήσει συγκαταβέβληνται.

59,242,37. Διαγράφειν. Ἤγουν ἀθετεῖν καὶ ἀπορρίπτειν. *(Καὶ κατωτέρω)*: Τὸ δὲ διαγράφειν εἴληπται ἀπὸ τοῦ διαγράφεσθαι καὶ καταχαράττεσθαι τὰ ἠθετημένα τῶν συνταγμάτων, ἔτι δὲ καὶ τῶν συμβολαίων τὰ ἀπορριπτούμενά τε καὶ ἐκβαλλόμενα, ὡς ψευδῆ καὶ νόθα καὶ οὐχὶ γνήσια.

59,242,38-39. Ὅτι ποτε. Τὸ ...ο (εἰς τὸ ὅ,τι) πλεονασμός ἐστι κατὰ Ἀττικὴν συνήθειαν.

59,242, c. 2 ἑξ. Πολλάκις τοῦτο *(δηλ. ὅ τι οἱ ἐναντίοι λέγουσι)* ἐπεισκυκλεῖ καὶ λύειν ἐπιχειρεῖ.

59,243,8-9. Ἐ ξ ὄ ν τ ω ν, καὶ ἐ ξ ο ὐ κ ὄ ν τ ω ν· ἀντὶ τοῦ ὄντες καὶ μὴ ὄντες κατὰ Ἀττικὴν συνήθειαν.

59,243,10. Τὸ δὲ κ ἄ ν τ ι ν ε ς ἀ γ έ ν ν η τ ο ν ἀ ν α π λ ά τ τ ω σ ι, διὰ τοὺς περὶ Πλάτωνα εἴρηκεν. Πλάτωνος γὰρ ἡ πλάσις αὕτη, συνάναρχον τῷ Θεῷ εἰρηκότος ταύτην ἢ καὶ προτεθεικότος, εἴπερ τὸ παραλαβεῖν ὡς προυποκειμένου τινὸς λαβεῖν ἐστιν. Οὕτω γάρ φησιν ἐν τῷ Τιμαίῳ· πᾶν ὅσον ἦν ὁρατὸν παραλαβών, ὁ ποιητὴς δηλονότι καὶ Θεός, **[809]** οὐχ ἡσυχίαν ἄγον, ἀλλὰ κινούμενον πλημμελῶς καὶ ἀτάκτως, εἰς τάξιν αὐτὸ ἤγαγεν ἐξ ἀταξίας.

59,243,6 ἐξ. Ἐλέγχει αὐτούς, ὡς σεσοφισμένως ἢ ἀμαθῶς ἐρωτῶντας.

59,243,19. Ἡ ἀ π ά ν τ η σ ι ς ἤγουν ἡ ἀπόκρισις.

59,243,29. Κ α ὶ ο ὕ τ ω ς σ ο ι τ ὸ σ ο φ ὸ ν ἠ λ ί θ ι ο ν ἀ ν α φ α ν ή σ ε τ α ι. Ἀλεξάνδρου τοῦ Ἀφροδισιέως τὸ παρὸν πρόβλημα. Σοφὸν δὲ τὸ πρόβλημα τούτων εἰρωνευόμενος καλεῖ, ὡς ἄσοφον καὶ μωρόν.

59,243,36. Δ ι ε υ θ ύ ν ε σ θ α ι. Ἐξετάζεσθαι καὶ πολυπραγμονεῖσθαι.

59,243,38 ἐξ. Καθώς φησιν ὁ Μέγας Βασίλειος, γνωστικαί τινές εἰσιν ἰδιότητες ἐπιθεωρούμεναι τῇ μιᾷ οὐσίᾳ καὶ πρὸς τρανήν τινα καὶ ἀσύγχυτον ἔννοιαν Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος τοὺς προσέχοντας χειραγωγοῦσαι. Αἱ γὰρ ἰδιότητες (χαρακτῆρές τινες καὶ μορφαὶ) μορφαί τινες. — Χαρακτῆρσι: χαρακτηρίσμασι. — Διακόπτουσιν: διακόπτουσι. — Κοινὸν μὲν οὖν: οἷον κοινόν. — τινα. — πατρότης: ἥ τε π⟨ατρότης⟩. — υἱότης: υἱότης καὶ τὸ ἀγέννητον καὶ τὸ γεννητὸν καὶ τὸ ἐκπορευτόν. — Ἑκατέρου: ἑκατέρων. — Ὥστε ἀγέννητον μὲν φῶς (*δηλ.*) ἀγέννητον μὲν γὰρ φῶς ἀκούσαντες, τὸν Πατέρα νοοῦμεν, γεννητὸν δὲ φῶς, τὸν Υἱόν, ἐκπορευτὸν δὲ φῶς, τὸ Πνεῦμα τὸ Ἅγιον. Καὶ καθὸ μὲν φῶς καὶ φῶς καὶ φῶς, οὐδεμία παρ' αὐτοῖς ἐναντιότης. Καθὸ δὲ ἀγέννητον καὶ γεννητὸν καὶ ἐκπορευτόν, ἡ τῶν ἰδιωμάτων ἀντίθεσις. Αὕτη γὰρ φύσις ἰδιωμάτων *(δηλ.)* ἑτερότητα. Δεικνύειν ἀντὶ δεικνύναι.

59,244,3,23-24. Τὸ ἀγέννητον ἴδιον Θεοῦ ... καὶ ἀντιστρέφον καὶ πρὸς αὐτόν. Ὥσπερ ὁ Πατήρ, ἀγέννητος ὢν Θεός, οὕτω καὶ ὁ μονογενὴς Λόγος, γεννητὸς ὤν, ὁμοίως τε καὶ ἀπαραλλάκτως Θεός. Ὅτι δὲ οὐ τῶν ὑπαρχόντων τῷ Θεῷ σημαντικόν ἐστι τὸ ἀγέννητον, δῆλον. Ὅταν μὲν γὰρ εἰς τοὺς κατόπιν αἰῶνας ἀποβλέψωμεν, ὑπερεκπίπτουσαν πάσης ἀρχῆς εὑρίσκοντες τὴν ζωὴν τοῦ Θεοῦ, ἀγέννητον αὐτὸν λέγομεν. Ὅταν δὲ τοῖς ἐπερχομένοις αἰῶσι τὸν νοῦν ἐπεκτείνωμεν, τὸ ἀόρι**[810]**στον καὶ ἄπειρον καὶ οὐδενὶ τέλει περιγραπτὸν ἄφθαρτον προσαγορεύομεν.

59,244,30. Λ υ θ έ ν τ ο ς ἡ μ ῖ ν τ ο ῦ ζ ό φ ο υ κ α ὶ τ ῆ ς

π α χ ύ τ η τ ο ς[1]. Τὴν ἀκριβῆ διὰ τοῦ προσώπου γνῶσιν ἐμφαίνων ἀπὸ τῶν κατὰ πρόσωπον ὁρωμένων, μηδενὸς ἑτέρου ἐπιπροσθοῦντος. Ζόφον δὲ καὶ παχύτητα τὸ σῶμα εἶπε διὰ τὸ ἐπιπροσθεῖν τῷ ὀφθαλμῷ τῆς ψυχῆς.

59,244,36-37. Τ ο ῖ ς μ ὴ π ά ν τ η χ α μ ε ρ π έ σ ι κ α ὶ ὑ λ ι κ ο ῖ ς τ ὴ ν δ ι ά ν ο ι α ν. Τοῖς γε μὴ πρὸς χαμαιπετεῖς ἐννοίας κατενηνεγμένοις καὶ ὑλικοῖς τὴν διάνοιαν, ὁποῖοι δή τινες οἱ περὶ Εὐνόμιον.

59,245,4. Μέγα φρονοῦντας τοὺς περὶ Εὐνόμιον ἐπὶ τῇ τῶν συλλογισμῶν πλοκῇ, δι' αὐτῶν τούτων κατάγχει αὐτούς.

59,245,9. Κ α ὶ π ά λ ι ν. Ἡ ἐπιχείρησις ἀπὸ τῶν ἀντικειμένων κατασκευάζουσα, μὴ οὐσίας εἶναι παραστατικὰ τό τε γεννητὸν καὶ τὸ ἀγέννητον, ἀλλὰ τοῦ τρόπου τῆς ὑπάρξεως δηλωτικά. Κατὰ ... τὸν Ἀριστοτέλην οὔτε τὸ μᾶλλον καὶ ἧττον οὐσίας ἐπιδέχεται, οὔτε οὐσίαι εἶναι ἀλλήλαις ἀντικείμεναι συγχωροῦνται παρ' αὐτῷ. *Ὁ Μ. Βασίλειος* εἰς τὸ *κατὰ Εὐνομίου* ἀναφέρει: Πολλά, ὦ Εὐνόμιε, *(μέχρις ἐκεῖνα)*: δύναται τὸ ἀγέννητον· Ο ἷ ο ν .. ὁ ἀ ό ρ α τ ο ς οἷον τὸ ἄφθαρτον καὶ τὸ ἀθάνατον καὶ τὸ ἀόρατον. — ἀγέννητος. ἀγέννητον. — ὁ Λόγος: ὁ λόγος οὗτος. — αὐτῷ: αὐτοῦ. — οὖν μηδέν: οὐδέν. — εἰ δέ: εἰ δ'. — δίδως: διδούς.

59,245,16. Τ ί ς ἔ τ ι *(δηλ.)* τὸ δὲ ὡς εἰ μὲν... ἡ ὑποφορά, κατὰ διλήμματον σχηματισθεῖσα καὶ ἐκ προσώπου τῶν ... Εὐνομιανῶν εἰσαγομένη. Τοῦτο γὰρ τὸ διλήμματον κακοήθως... προὐβάλλοντο.

Προσέθηκε δὲ τὸ τ ά χ α ἐν τῇ προτάσει πάνυ τεχνικῶς. Τὰ γὰρ ἰσχυρότερα τῶν ἀντιλεγόντων ὡς εὐκαταφρόνητα διστακτικῶς προάγειν διδασκόμεθα ἐν τῷ Περὶ Μεθόδου δεινότητος τοῦ Ἑρμογένους βιβλίῳ. (Ἕπεται) τῷ σώματι τὸ διαστατὸν καὶ τῷ ἀσωμάτῳ τὸ ἀδιάστατον. Τῆς μὲν οὖν φθαρτῆς γεννήσεως τέλος ἡ λύσις τῶν τῆς μήτρας δεσμῶν, ἡ δ' ὑπὲρ φύσιν αὐτοτελής τις οὖσα πρὸς οὐδὲν τέλος ἐπείγεται. Καὶ τοῦ Ἀριστοτέλους δὲ τὴν οὐρανίαν κίνησιν τελείαν ὁριζομέ**[811]**νου π ο ῦ γ ά ρ, φησί, π ο τ ὲ σ τ α ί η κ α τ α π α ῦ σ α ν τ ὴ ν κ ί ν η σ ι ν[a]; τί φήσουσιν οἱ τὴν ὑπερφυῆ λέγοντες ἀτελῆ;

59,245,27 ἑξ. Τὰ εἴδη συνωνύμως κατηγορεῖται τῶν ὑπ' αὐτὰ ἀτόμων.

59,246,18. Ἐ π ὶ ... τῆς ἁγίας καὶ ὑπερουσίου καὶ πάντων ἐπέκεινα καὶ ἀλήπτου Τριάδος.

59,246,27 ἑξ. Εἰς ἓν αἴτιον Υἱοῦ καὶ Πνεύματος ἀναφερομένων.

59,246,17. Μ ε τ α β α ί ν ε ι ς κ α κ ο ύ ρ γ ω ς. Κακουργεῖς μεταβαίνων.

---

1. Α' Κορ 13,12

α. Ἀριστοτέλους, Περὶ Οὐρανοῦ Β, 1.

59,246, c. 17. Διαπορθμευθῆναι: διαβιβασθῆναι.

59,246,29-30. Οἱ τῶν ἐκείνου *(δηλ. τοῦ Εὐνομίου)* σοφισμάτων ἐξηρτημένοι.

59,247,9-10. Σχέσεως καὶ τῶν πρός τι τὸ τοῦ πατρὸς τιθεὶς ὄνομα αὐτὸ γὰρ τοῦτο, ὃ λέγεται, ἑτέρου εἶναι λέγεται. Οἷον ὁ πατὴρ υἱοῦ λέγεται πατήρ, καὶ ὁ υἱὸς πατρὸς λέγεται υἱός.

59,247,9-10. *(Εἰς τὸν Μ. Βασίλειον, κατὰ τὸν Ἠλίαν, ἀναφέρεται τὸ δηλούμενον)*: Τὸ πατὴρ οὐδὲν ἕτερον σημαίνει, ἢ ὅτι αἴτιον καὶ ἀρχὴ τοῦ γεννηθέντος ἐξ αὐτοῦ.

59,247, c. 19-20. Καὶ οὕτω τὸ τοῦ Εὐνομίου σπούδασμα ἑκατέρωθεν διαπέπτωκε.

59,247, c. 10-12. Συμπεριφορικῶς καὶ κατὰ συγχώρησιν. Συμπεριενεχθῆναι τοῖς λογολέσχαις.

59,247 12 Τὴν ... ἄφραστον καὶ ἀπερινόητον ὕπαρξιν τοῦ Μονογενοῦς

59,247,17-19. Ὁρᾷς, ὅπως ὑμῶν κακομαχεῖν ἐθελόντων τὰς στροφὰς διαφεύγομεν; Τοὺς συνδέσμους αὐτῶν καὶ τὰς ἐκ τῶν λόγων στροφὰς καὶ τοὺς ἀδιεξιτήτους εἶναι δοκοῦντας τῶν σοφισμάτων λαβυρίνθους ταῖς ἐπιστημονικαῖς τε καὶ διαλεκτικαῖς μεθόδοις διέλυσεν ἱκανῶς. Κακομαχεῖν ἐθελ[όντων]: Κακοτροπούντων καὶ ἐθελοκακούντων. Στροφὰς (τὰ ἐπιχειρήματα καλεῖ) διὰ τὴν πλοκὴν τῶν διλημμάτων καὶ τῶν παραλογισμῶν, καὶ διὰ τὸ συνεστραμμένον καὶ σκολιὸν αὐτῶν. Σαθρὰ καὶ εὐδιάλυτα.

59,247, c. 18-19. Κατὰ ἀμυδρὰν εἰπεῖν εἰκόνα.

59,247, c. 19-21. Ποῦ ... χώραν ἕξει ταῦτα ἐπὶ τῶν συναϊδίων.

[812] 59,247,24-25. Οὐ δυνατὸν τὸ ἦν διαβάντες τῷ λογισμῷ εἰς τὸ ὅτε οὐκ ἦν ... ὑπερκύψαι. Συμπαρεκτείνεται δὲ καὶ τὸ ἦν τῷ ἀνυπερθέτῳ τῆς ἀρχῆς ταύτης (*δηλ.* τοῦ *Θεοῦ*). Ἐφ' ὅσον ἂν δυνηθῇ ταῖς τοῦ νοῦ πολυπραγμοσύναις ἀναδραμεῖν, ὑπερβῆναι τὸ ἦν.

59,247,27. Τὴν περὶ ἡμᾶς τοῦ μονογενοῦς Υἱοῦ αὐτοῦ οἰκονομικὴν συγκατάβασιν. (Μονογενὴς) οὐχ ὅτι μόνος ἐκ μόνου καὶ μόνον, ἀλλ' ὅτι καὶ μονοτρόπως (59,263,21-23).

59,247,28. Κάτω κύπτειν καὶ κάτω βλέπειν.

59,247,28. Ὑγιῶς καὶ ἐσφαλμένως φρονεῖν.

59,247,28-30. Ἀλήθεια δὲ *(ὁ Χριστός)*, ὡς ἕν, οὐ πολλὰ τῇ φύσει· τὸ μὲν γὰρ ἀληθὲς ἕν, τὸ δὲ ψεῦδος πολυσχεδές (59.263,35 ἑξ.) καὶ ἔτι, ὡς ἀληθὴς τοῦ Θεοῦ σφραγὶς καὶ χαρακτὴρ ἀκριβέστατος, καὶ ὅσα ἄλλα ἐν τῷ μεγάλῳ ἀπολογητικῷ προεγράφη. Ζωὴ δέ, ὡς πάσης λογικῆς φύσεως σύστασις καὶ οὐσίωσις. Φῶς δὲ ἑαυτὸν τοῦ κόσμου[1]

1. Πρβλ. Ἰω. 8,12.

λέγει, ὡς τῇ λαμπρότητι τῆς γνώσεως τοὺς κεκαθαρμένους τὰ ὄμματα τῆς ψυχῆς καταυγάζων, καὶ ὡς τοὺς ἐν σκότει τῆς ἀγνοίας κατεχομένους φωτίζων. Ἵνα μή τις εἰς υἱῶν δυάδα διατέμῃ Χριστόν. Σοφία δέ, κατὰ τὸν μέγαν εἰπεῖν Διονύσιον, ὡς πάσης σοφίας ὑποστατικός. *(Ὁ Χριστὸς)* παντὸς λόγου καὶ νοῦ καὶ σοφίας ὑπερίδρυται. Καὶ τοῦτο ὑπερφυῶς ἐννοήσας ὁ μέγας Ἀπόστολος, τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων φησί[1].

59,247,22 ἑξ. Ταῦτα τὰ ὀνόματα προσμαρτυροῦσι... τὴν αὐτοῦ *(δηλ. τοῦ Υἱοῦ)* πρὸς τὸν αὐτὸν *(δηλ. τὸν Πατέρα)*, ὡς εἰς αἴτιον, κατὰ φύσιν ἀναφοράν τε καὶ σύννευσιν. (Τοῦτον ... ἐσφράγισεν ὁ Θεὸς) νοεῖν δὲ δεῖ εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου *(τὸν Χριστόν)*, οὐ τὴν κατὰ τὰς τεχνητὰς ταύτας ὕστερον ἀπεργασθεῖσαν πρὸς τὸ ἀρχέτυπον, ἀλλ' ὥς φησιν ὁ Μέγας Βασίλειος, τὴν συνυπάρχουσαν καὶ παρεστηκυῖαν τῷ ὑποστήσαντι καὶ τῷ εἶναι τὸ ἀρχέτυπον οὖσαν, οὐκ ἐκτυπωθεῖσαν διὰ μιμήσεως, ὥσπερ ἐν σφραγῖδι τινὶ τῆς ὅλης φύσεως τοῦ Πατρὸς ἐναποσημανθείσης τῷ Υἱῷ. Εἰκὼν[2]... εἴρηται. . ὁ Υἱὸς... ἐν αὐτῇ τῇ οὐσίᾳ τὸ ἀπαρ**[813]**άλλακτον σῴζουσα. Εἰκόνα οἶδεν ὁ Ἀπόστολος τὸ κατὰ πάντα ἴσον καὶ ἀπαράλλακτον *(δηλ. ἐν τῇ φύσει τοῦ Χριστοῦ)*. Σφραγὶς γάρ ἐστιν ἰσότυπος ὁ Μονογενής, ὅλον ἐν ἑαυτῷ δεικνὺς τὸν Πατέρα (Πρβλ. ΒΕΠ. 59,264,2).

59,247,38. Οὐδὲν ἐπίκτητον οὐδὲ ὕστερον τῷ Υἱῷ ἐπιγινόμενον (οὐδὲ ... ἐπιγιν⟨όμενον⟩) τοῦτο... τοῦ ἐπικτήτου σαφηνισμός.

59,248,5. Οὗτος... σποράδην κείμενα ταῦτα ἀναλεγόμενος, κατὰ τοῦ εὐεργέτου προέφερεν. Εἰ καὶ μείζων ὁ Πατὴρ[3] λέγεται, οὐ παρὰ τοῦτο ἑτερούσιος ἔσται ὁ Υἱός.

59,248,5 ἑξ. Τὰ ἑξῆς ὁμοίως ἀποδώσεις.

59,248,16-17. Ἐκ τῆς οὐσίας ἐκλάμψας τοῦ Πατρὸς ὁ μονογενὴς Υἱὸς ἀδιαστάτως, ἀχρόνως.

59,248,13-14. Ἃ δὴ πρόξενα τοῖς ἀνθρώποις σωτηρίας.

59,248,12. (Ὁ Κύριος) τὴν πεῖναν προσήκατο, τῆς στερεᾶς τροφῆς διαπνευσθείσης αὐτῷ.

59,248,15 ἑξ. (Πρβλ. ΒΕΠ. 59,170,6). Ἱκανῶς ... διακωμῳδήσας καὶ διασύρας τοὺς ἑτεροδόξους ὁ ἅγιος.

59,248,20. Κακουργεῖς. Αὐτὸς τὰς λέξεις διαστρέφων καὶ ἐφ' ἃ μὴ πέφυκε λέγεσθαι, ἑκάστην αὐτῶν βιαζόμενος.

59,248,23. Τῷ διὰ σὲ κενωθέντι. Ἃ... ἦν καὶ εἶχε κρύψας διὰ τὴν οἰκονομίαν, ἃ οὐκ ἦν οὐδ' εἶχε προσέλαβε. Κένωσιν οὖν τὴν οἰκονομικὴν ὑποστολὴν τῆς θεϊκῆς δόξης καὶ τὴν ἀμεταβόλως τοῦ ὕψους ταπείνωσιν νοητέον. Τὴν ἐπὶ κοινῇ... σωτηρίᾳ οἰκονομηθεῖσαν κένωσίν τε καὶ σάρκωσιν.

---

1. Πρβλ. Α' Κορ 1,25. 2. Πρβλ. Ἑβρ. 1,3. 3. Πρβλ. Ἰω. 10,23.

59,248,31. Ὃ δὲ οὐκ ἦν προσέλαβεν. Πρόσλημμα, πρόσληψις καὶ προσλαμβάνειν *(συχνὰ χρησιμοποιεῖται)* ἐν τῇ ἐνσαρκώσει *(τοῦ Χριστοῦ)*.

59,249,2. Ἰστέον δὲ ὅτι ὅπερ ἐστὶν ἐν σώματι ὀφθαλμός, τοῦτο νοῦς ἐν ψυχῇ, μέρος αὐτῆς τυγχάνων τὸ καθαρώτατον, οὗ διὰ μέσου προσωμίλησε Θεὸς σαρκί. Νοῦς μὲν γὰρ ἐν ψυχῇ, ψυχὴ δὲ ἀπορρήτως ἐν σώματι.

59,249,14-17. (Ὁ Χριστὸς) οὔτε φαντασίαν τινὰ καὶ κόμπον περιεβέβλητο *(καὶ δὴ ἐνταῦθα)* ὁ Δαυὶδ δὲ πόρρωθεν κατανοήσας... τὰ θαύματα καὶ τὴν **[814]** ἀστράπτουσαν δύναμιν τῆς θεότητος αὐτοῦ, καὶ τῷ ἐντεῦθεν κάλλει τρωθεὶς τὴν καρδίαν, «ὡραῖος κάλλει», φησίν, «παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων»[1] Εἰς ὄρος μὲν ἄνεισι (Χριστός), δεικνύς, ὅτι χθαμαλὸς νοῦς οὐκ ἂν γένοιτο πρὸς θεωρίαν ἐπιτήδειος, ἀλλ' ὁ κατ' ἰδίαν γεγονὼς ἔξω φροντίδων βιωτικῶν ἐν ἡσυχίᾳ. *(Περὶ τῆς ἐν τῷ ὄρει μεταμορφώσεως τοῦ Χριστοῦ)*: Ἐπὶ τὸ ἐνδοξότερον οἱ χαρακτῆρες διὰ φωτοειδοῦς χρώματος διεχρώννυντο. Ταῦτα δὲ τύπος τις καὶ οἷον προμήνυμα τῆς δευτέρας αὐτοῦ φρικτῆς παρουσίας ἐτύγχανε. — Τὸ οὖν μέλλον φῶς τὸ ἀΐδιόν τε καὶ ἀσύγκριτον καὶ ἀπρόσιτον διὰ τοῦ νῦν ὁρωμένου ἐμυσταγώγει. *(Χριστὸς)* ἡ αὐτοκάθαρσις.

59,249,22-23. *(Ὁ Χριστὸς)* συγκρατεῖ τὴν ζωὴν ἡμῶν... νευρῶν τὴν ψυχὴν ἡμῶν καὶ συντονωτέραν πρὸς τὸ πνευματικὸν ἀποτελῶν. Ὕδωρ ζῶν, τουτέστι πνευματικὴν διδασκαλίαν ἄρδουσαν τὰς ψυχάς.

59,249,33. Δακρύει, ἵνα πᾶν στήσῃ δάκρυον, ὅπερ ὁ ἐκ τῆς ἁμαρτίας καπνὸς ἡμῖν προὐξένησεν.

59,249,33. *(Ἐν τῇ τῶν δακρύων διαρροῇ)* τοῦ ὑγροῦ τὸ βάρος ἀποσκευάζεσθαι *(λέγεται)*.

59,250,7-8. Τὸ ἀμετάθετον καὶ τὸ εὐεπίστροφον *(ἀντιτιθέμενα, περὶ τῶν ἀνθρώπων)*.

59,250,4-5. (Μεμαλάκισται) πάντα ὅσα πρὸ τοῦ σταυροῦ ὑπομεμενηκώς, τὰ ῥαπίσματα. (Μαλακίαν) νόσος μέν ἐστι ἡ χρονία παρατροπὴ τῆς τοῦ σώματος ἕξεως, μαλακία δὲ ἀρχὴ χαυνώσεως σώματος, προάγγελος νόσου. — Ἐπὶ δὲ ψυχῆς νόσος μὲν ἁμαρτίας ἐνέργεια, μαλακία δὲ χαύνωσις λογισμοῦ πρὸς συγκατάθεσιν ἐνεργείας.

59,250,11. *(Χριστὸς)* ἡ αὐτοζωή.

59,250,10. Τῆς τοῦ Θεοῦ θεωρίας ἡ κατατρύφησις.

59,250,7. Ζωῆς... θανάτῳ μὴ διακοπτομένης.

59,250,15. Τὸ ἀμετάπτωτον καὶ ἀμετάθετον τῆς ὑποσχέσεως.

[815] 59,250,12. Τοῖς αὐτοῖς ἐμφιλοχωρῆσαι, *(δηλ. ἐνορῶν καὶ ἑρμηνεύων)*.

59,250,14-15. Ἔστι δὲ ἡ ἀνάστασις οὐκ ἄλλο τι, ἀλλ' ἢ πάντως

---

1. Ψαλ. 44,2.

ἡ εἰς τὸ ἀρχαῖον ἀποκατάστασις. Τὸν δὲ ᾅδην φησὶν ὁ Μέγας Βασίλειος κοινόν τινα τόπον εἶναι ἐν ψυχαῖς. Ἐ σ ω τ ά τ ῳ: μεσαιτάτῳ.— Δι' οὗ τὴν κάθοδον εἶναι, δι' οὗ ἡ κάθοδος. Ἔξωθεν. (Ἐπιτεταγμένη): ἀποτεταγμένη. *(Μετὰ τὸ ἔξωθεν ὁ Ἠλίας προσθέτει)*: κἂν ὁ Ἠσαΐας πλατύνειν λέγει τὸ στόμα αὐτοῦ τὸν ᾅδην, τροπικώτερον τοῦτο λέγει, ἵνα παραστήσῃ τὸ ἀθρόον τῶν ἀπολλυμένων.

59,250,19. Α ἰ ν ι γ μ α τ ι σ τ ὰ ς καλεῖ τοὺς περὶ Εὐνόμιον διὰ τὸ γρίφον καὶ σκολιὸν καὶ σκοτεινὸν τῶν αἰνιγμάτων.

59,250,24. Τ ὸ τ ο ῦ λ ό γ ο υ δ υ ν α τ ὸ ν τὴν ἐν λόγῳ δύναμιν καὶ κομψείαν.

59,250,23. Ὅ τ α ν ... τότε δὴ τότε—.

59,250,30. Ἡ ἀπερίεργος πίστις καὶ ἀσυζήτητος.

59,250,29. Τ ὸ τ ο ῦ λ ό γ ο υ κ ο μ ψ ό ν. Τὸ κομψὸν καὶ περίεργον τοῦ λόγου.

59,250,30,33. Ἀπεριέργως τε καὶ ἀτεχνολογήτως

59,250,32. Σ τ ρ α γ γ α λ ι ὰ ς δ ὲ β ι α ί ω ν δ ο γ μ ά τ ω ν, ἃ καὶ βίαια εἶναι δοκεῖ, ὡς τῇ ἀνάγκῃ τῶν συλλογισμῶν τε καὶ διλημμάτων πρὸς συγκατάθεσιν τοὺς ἀφελεστέρους ἕλκοντα.

ΛΟΓΟΣ Α'.

59,253,6-8. Οὐκ ἔφθασε κατὰ μέρος καὶ τὰ ἀπὸ τῆς Θείας Γραφῆς ἐπ' ἐλαττώσει τοῦ Μονογενοῦς ὑπ' αὐτῶν προτεινόμενα ἑρμηνεῦσαί τε καὶ συμβιβάσαι.

59,253,4. Ἐν τῷ προ[σ]λαβόντι λόγῳ. Τὰ δ' αὐτὰ (*δηλ.* ἐπιχειρήματα τῶν *Εὐνομιανῶν*) καὶ σ τ ρ ο φ ὰ ς (λέγει) διὰ τὴν πλοκὴν τῶν διλημμάτων καὶ τῶν παραλογισμῶν καὶ διὰ τὸ συνεστραμμένον καὶ σκολιὸν αὐτῶν.

59,254,5-6. Δύο γεννήσεις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ οἶδεν ὁ λόγος, τὴν μὲν ἄνω ἐκ τοῦ Πατρὸς ἀμητόρως, τὴν δὲ κάτω ἐκ τῆς Παρθένου ἀπατόρως *(Χριστὸς)* ἄνθρωπος κτίζεται δι' ἡμᾶς, βουλήσει τοῦ Πατρὸς τὴν ἡμῶν σάρκα περιβαλλόμενος.

59,254,15-16. Καθεὶς εἰς κένωσιν ἑαυτὸν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ... ἐδούλευσε καὶ τοῖς **[816]** ἡμετέροις πάθεσι. Ἡ οἰκονομικὴ συγκατάβασις *(τοῦ Χριστοῦ)*: Ἐν τῇ οὐσίᾳ τὸ ἀπαράλλακτον διασῴζειν, *(τοῦ Χριστοῦ)* ἐπεσκέφθημεν γὰρ ὄντως τῇ τοῦ νοητοῦ ἡλίου «ἀνατολῇ ἐξ ὕψους»[1] τῆς αὐτοῦ θεότητος.

59,254,15-16. Κ ε ν ω θ έ ν τ ι δ ι' ἡ μ ᾶ ς. Κένωσιν μὲν οὖν ὠνόμασεν... τὴν εἰς φύσιν ἀνθρωπείαν ταπείνωσιν, μορφὴν δὲ τὴν φύσιν, τὴν οὐσίαν. Ὡς γὰρ τὸ «ἐν μορφῇ Θεοῦ ὑπάρχειν»[2] ἴσον δύναται

---

1. Λουκ. 1,78. 2. Φιλιπ. 2,6.

τό[1] ἐν οὐσίᾳ Θεοῦ ὑπάρχειν, οὕτω καὶ τὸ μορφὴν ἀνειληφέναι δούλου ἐν τῇ οὐσίᾳ τῆς ἀνθρωπότητος τὸν Κύριον ἡμῶν γεγεννῆσθαι σημαίνει.

59,254,6. Τὴν ἀρχῆθεν γέννησιν τοῦ Μονογενοῦς.

59,254,20. Τὸ πρῶτον κεφάλαιον καὶ πάντα τὰ ὑπὸ τοῦτο ἀναφερόμενα καλῶς μεταχειρισάμενος.

59,254,20 ἑξ. Ἡμεῖς δὲ πλατυκώτερον περὶ τούτου λέξομεν.

59,254,23-30. Ὅτε μᾶλλον τελεώτερόν τε τούτοις *(δηλ. τοῖς ἁγίοις)* συνέσται (ὁ Κύριος) καὶ καθαρώτερον, τῶν ἐσόπτρων λυθέντων.

59,254,26-28. Ἡ ἐπαγγελία τοῦ παρόντος οὐκ ἀπαρνεῖται ... τὸ μέλλον, ἀλλὰ παρεκτείνεται τούτῳ.

59,254,34-36. Ἐν τῷ μέλλοντι αἰῶνι... ἕκαστος *(δηλ. δικαίων)*... κατὰ τὸ ἑαυτοῦ μέτρον ἐξ ἑνὸς νοητοῦ ἡλίου διαυγάζεται καὶ κατ' ἀξίαν ἕλκει τὴν χαρὰν καὶ τὴν εὐφροσύνην, ἀναλόγως ἐκεῖθεν ἐπιμετρουμένην.

59,254, c. 25 ἑξ. Ἀνοηταίνεις προφανῶς.

59,254,37. 255,4 ἑξ. (Ὁ Υἱὸς) καθυποδὺς τὴν διὰ τῆς ἐνανθρωπήσεως ὑποταγήν.

59,255,15-21. Καὶ τοῦτο ... ἐβλασφήμησαν *(δηλ. οἱ αἱρετικοί)*, ἐγκαταλελεῖφθαι *(δηλ. τὸν Χριστὸν ἐν τῷ σταυρῷ)* ὑπὸ τοῦ Πατρὸς καὶ τῆς ἑαυτοῦ θεότητος, ὡς φοβουμένης τὸ πάθος, ἐρεσχελήσαντες. Οὗτοι *(δηλ. οἱ αἱρετικοί)* ... τῇ σαρκὶ ἀντὶ ψυχῆς λογικῆς τὴν θεότητα χρηματίσαι ἐρεσχελήσαντες, τὰ τῆς ψυχῆς πάθη, τὸ δειλίας λέγω καὶ τὸ συστέλλεσθαι καὶ φόβῳ πολλάκις ἀφίπτασθαι τῆς σαρκός, τῇ θεότητι προσῆπτον. Ταύτης τῆς αἱρέσεως καὶ Ὠριγένης ἐστίν.

59,255,33. Δραματουργίαν δὲ ὁ ἅγιος τὰ ὑπὸ τοῦ Σωτῆρος ἐκ προσώπου τῆς ἀνθρωπίνης φύσεως κέκληκεν, οὐ τὴν ψευδῆ πλάσιν οὕτω λέγων· τοιαῦτα γὰρ τὰ δράματα· ἀλλὰ τὴν προσ**[817]**ωπικὴν τῆς ἀνθρωπίνης φύσεως διάθεσιν, ἣν ὡς ἄνθρωπος ἀληθῶς χρηματίσας ὁ ὑπερούσιος ὑπεδύετο.

59,255,38,39-256,1. Ἵνα... κἀγὼ μεταλάβω τῶν ἐκείνου, τῆς καθαρότητός φημι, τῆς ἀπαθείας τε καὶ θεώσεως, διὰ τὴν πρὸς τὴν ἀνθρωπίνην φύσιν ... σύγκρασιν.

59,256,9. Σκοτίαν[2] *(ὁ Ἠλίας ἑρμηνεύει)* τὸν βίον, διὰ τὸν ἀπὸ τῶν παθῶν ζόφον καὶ τὴν πλάνην. Σκότος... καλεῖ τὸν ἄνθρωπον διὰ τὴν παχύτητα καὶ τὴν ἐπιπρόσθησιν τῆς σαρκός. Διὰ τὸ πρόβλημα τῆς σαρκός, ἤγουν διὰ τὸ ὁρώμενον. Ἐκεῖνος *(δηλ. ὁ Χριστὸς)*... καὶ Θεὸς ἦν ἀπρόσιτός τε καὶ ἀκατάληπτος, ἡμεῖς δὲ χοῦς βαρὺς καὶ ὥσπερ τισὶ πέδαις ταῖς τῆς συγγενοῦς ὕλης προσπαθείαις κατεχόμενοι.

59,256,15-16. Προθυμότερον τούτοις ὀρέξει χεῖρα βοηθείας.

---

1. Πρβλ. Φιλιπ. 2,7. 2. Ἰω. 1,5.

59,256,20-21. Μὴ δὲ γὰρ Σαβέλλιοι τῷ ῥητῷ τούτῳ παραφθειρέσθωσαν. Ἐπὶ φθορᾷ παρεισπεσέτωσαν τῶν ἀκροωμένων.

59,256,23. Ὅλοι θεοειδεῖς ὅλου Θεοῦ χωρητικοὶ καὶ μόνου. Οὐδεμίαν περὶ Θεοῦ θεωρίαν ἐν ἑαυτοῖς φέρομεν διὰ τὸ ἐπιπροσθοῦν κάλυμμα τῷ νοΐ, ἢ μικράν τινα φαντασίαν. Τότε δὲ ὅλοι θεοειδεῖς ἤτοι θεῖοι ἐσόμεθα καὶ ὅλης τῆς θεότητος χωρητικοί, ὅλης δὲ τῆς χωρητῆς πρὸς τὴν ἑκάστου κάθαρσιν. Ἡ μὲν γὰρ πανταχοῦ πάρεστι καὶ τὰ πάντα πληροῖ, ἕκαστος δὲ ὅλην οἴεται ἔχειν, ὅλος θεοειδὴς γενόμενος καὶ μηδένα τόπον ἔχων ἀφώτιστον. Καὶ ὡς ἐν ἀμυδρᾷ εἰκόνι εἰπεῖν, ὥσπερ ὅλου τοῦ ἡλιακοῦ φωτὸς ἕκαστοι μετέχειν λεγόμεθα, τοῦ ἐφικτοῦ μετέχοντες.

59,256,31-32,39. (Οἱ αἱρετικοὶ) τοῖς ... λοιποῖς κακούργως ἐπιφυόμενοι ῥήμασι.

59,256,32 ἑξ. 257,14. Τὸ ... Ἓν ἐπὶ τῶν ἀσωμάτων, καθὼς φησιν ὁ Μέγας Βασίλειος, ἢ δυνάμει ἢ ἐνεργείᾳ ἢ βουλήσει ἢ οὐσίᾳ λέγεται.

49,257,7,8. Οὐ κυρίως· Ἐνηλλαγμένως διὰ τὴν ἕνωσιν, ἤγουν οὐ κυρίως.

59,257,25-28. Ἔνια ... ἐκ γενετῆς οὔτε ὄψιν, οὔτε ὀδόντας ἔχει, ἀλλ' οὐ λέγεται νωδά, οὔτε τυφλά, ἀλλ' ὅτε πεφυκότα ἔχειν, οὐδαμῶς ἔχει.

59,257,21-22. Τὸ ... «οὐ δύναται ἀφ' **[818]** ἑαυτοῦ ποιεῖν»[1], *(κατὰ τὸν Γρηγόριον)* συμφωνίας μαρτυρία καὶ ἀκριβοῦς ἐγγύτητος καὶ ἀπαραλλαξίας σημεῖον.

59,258,17-19. *(Ὁ Ἠλίας ἀποκαλεῖ τὸν Χριστὸν)* ὡς εἰς αἴτιον καὶ ἀρχὴν τὸν Πατέρα ἀναφέρεσθαι. Ζῆν δὲ διὰ τὸν Πατέρα[2] λέγεται *(δηλ. ὁ Χριστὸς)* ὡς εἰς αἴτιον αὐτὸν ἀναφερόμενος. Ὁ δέ γε Μέγας Βασίλειος· εἰ διὰ τὸν Πατέρα, φησίν, ὁ Υἱὸς ζῇ, δι' ἕτερον καὶ οὐ δι' ἑαυτὸν ζῇ. Ὁ δὲ δι' ἑτέρου ζῶν, αὐτοζωὴ εἶναι οὐ δύναται. Οὐδὲ γὰρ ὁ κατὰ χάριν ἅγιος αὐτοάγιος.

59,258,23-24. Οὐκ ἄτοπον τὸ τὴν τοῦ Θεοῦ σοφίαν καὶ δύναμιν.. τῆς κατὰ μέρος ἐπιστασίας προσδεῖσθαι;

59,258,23-24. Ἤ που καὶ παιδαγωγεῖον καθ' ὑμᾶς αὐτοῦ *(δηλ. Θεοῦ καὶ Υἱοῦ)* ὑπανοίξομεν;

59,258,28. Ἀλόγιστά τινα συνείρειν καὶ ἀδιανόητα.

59,258,28-31. Ὁρᾶτε, πῶς εἴσω δικτύων ἁλίσκεσθε;

59,258,31-32. Ἢ δῆλον, ὅτι τῶν αὐτῶν πραγμάτων τοὺς τύπους ἐνσημαίνεται... ὁ Πατήρ...; (Ἐνσημαίνεται) Ἀντὶ τοῦ ἐννοεῖ. Θεοπρεπῶς γὰρ νοῶμεν τὸ ἐννόημα, θελήματος διάδοσιν, οἷόν τινος μορφῆς ἔμφασιν ἐν κατόπτρῳ, εἰς Υἱὸν ἀχρόνως δικνούμενον.

1 Πρβλ. Ἰω 6,19 2 Πρβλ.. Ἰω. 6,58.

59,258,34-36. Ἡ ἐκ μὴ ὄντων τῶν ὄντων παραγωγή. Τὴν ἐκ μὴ ὄντων εἰς τὸ εἶναι τῶν ὄντων παραγωγήν.

59,258,38-39. Οἰκονομίαν τε καὶ συντήρησιν. Τὸ οἰκονομεῖσθαι καὶ συντηρεῖσθαι.

59,259,7. Τυποῦσθαι. Σχηματίζεσθαι.

59,259,15. Ἐπεὶ .. ἐγγὺς τοῦ Θεοῦ ἦμέν ποτε, οὐ τόπῳ, ἀλλὰ προαιρέσει, διὰ δὲ τὴν ἁμαρτίαν ἐκπεπτώκαμεν, προσφυῶς ἀποκατάστασις καὶ ἐπάνοδος λέγεται ἡ ἡμετέρα πάλιν πρὸς Θεὸν οἰκείωσίς τε καὶ ἕνωσις.

59,259,34. Πρὸς τὸν νοῦν μόνον τῶν ῥημάτων ἀποβλέψας, τῆς τάξεως οὐκ ἐφρόντισεν, ὃ δὴ τῆς γοργότητός ἐστιν ἴδιον.

59,260,1-2. Ποῦ γὰρ ἐκείνῳ τὸ διασχεῖν τὸ καταπέτασμα τῆς σαρκὸς καὶ διιδεῖν ἰσχῦσαι τὸ τῆς θεότητος ἄδυτον; Εἶδεν ὁ καρδίαις ἐμβατεύων, πρὸς ὅτι[1] βλέπων οὗτος ἱκέτευε, καὶ ὅτι οὐ πρὸς τὸ θεῖον εἶχε τὴν ψυχὴν ἀτενίζουσαν.

[819] 59,260,28-31. Δι' ὧν ἐπιχειρημάτων ἢ μᾶλλον εἰπεῖν ἐρεσχελημάτων κατὰ τοῦ Υἱοῦ ἐσπουδάσαμεν.... διὰ .. τούτων μᾶλλον νενικήμεθα τὸν Πατέρα.

59,260,32-261,1. (Ὁ Χριστὸς) δεικνὺς ἀπαρχήν, ὥς φησιν ὁ Μέγας Βασίλειος, καὶ τὸ ταύτης ἄμωμον ἐπιδεικνὺς τῷ Πατρί. (Ὁ Χριστός) αἰτεῖ... κατὰ τὸ ἀνθρώπινον, ὡς δὲ Θεὸς χορηγεῖ. Οὐ γὰρ ἀπέθετο τὴν προσληφθεῖσαν σάρκα ὡς οἱ τὰ τῶν Μανιχαίων φρονοῦντες ἐρεσχελοῦσι λέγοντες, ὡς ἀναληφθεὶς ὁ Χριστὸς ἀπέθετο ταύτην καὶ γυμνῇ τῇ θεότητι ἀνῆλθε πρὸς οὐρανούς.

59,261.2. Τὸ... σκοπιμώτατον τέλος αὐτῆς (δηλ. τῆς ἐνανθρωπήσεως) τὸ θεωθῆναι τὸν ἄνθρωπον ἦν.

59,261,14. Ὁ συντελεστὴς καὶ μεταποιητής. Αὐτὸς γὰρ καὶ ἐποίησε πάντα καὶ συντελέσει καὶ μεταποιήσει.

59,261,14-15. (Ὁ Εὐαγγελιστὴς) τῷ Υἱῷ τὴν τοιαύτην γνῶσιν *(δηλ. τοῦ Θεοῦ)* ἀνέθηκε[2].

59,261,17. Τὰ οἷον ἐν χρῷ τοῦ τέλους. (Ἐν χρῷ): ἤγουν ἐγγὺς τοῦ τέλους.

59,261,4-6. (Ὁ Χριστὸς) διὰ ... τὴν τῆς ὑποταγῆς ταυτότητα καὶ τὴν ἀδιάσπαστον ἕνωσιν *(δηλ. μετὰ τοῦ Πατρὸς)* ... ζωοποιὸς ἐχρημάτισεν. *(Ἐν τούτῳ τῷ ἐπιχειρήματι)* ἡ καθ' ὑπόστασιν ἕνωσις, ἡ ἄρρητός τε καὶ ἀδιάρρηκτος.

59,261, c. 6-7. Ἰσχναῖς ἐπινοίαις ἤτοι λεπταῖς τοῦ νοῦ φαντασίαις χωρίζειν τὸ πρόσλημμα *(δηλ. ἐν Χριστῷ)* τοῦ προσλαβόντος.

59,261,11 ἑξ. Τῶν ... ἀνθρώπων οὐσιωδῶς ἡ τῶν μελλόντων κατηγορεῖται ἄγνοια, ὡς ὁ ἅγιος Ἰωάννης ὁ πολὺς τὰ θεῖα, τὸ τῆς Δαμασκοῦ θρέμμα, φησίν.

---

1. Πρβλ. Λουκ. 18,19. 2. Πρβλ. Μάρκ. 13,32.

59,261,11 ἑξ. Ταύταις ταῖς ἐξηγήσεσι καὶ ἑτέραν ἐπιφέρει γλαφυρωτέραν ἐξήγησιν, ἧς ἐξηγητὴς ὁ Μέγας Βασίλειος.

59,261,12,36. Μόνη τῇ πρώτῃ φύσει τὴν γνῶσιν πάντων ἀναθείς.

59,261,38-39, 262,3-5. (Τὸ πρόσλημμα *(εἴτε)* τὸ πάσχον *(ἐν Χριστῷ)* ἀπαφθαρτισθὲν ...) τελείαν ἀπάθειαν ἔλαβε.

59,262,1-2. Δέησις μέν ἐστιν ἱκεσία ὑπὲρ ἀπαλλαγῆς λυπηρῶν προσφερομένη, προσευχὴ δὲ αἴτησις ἀγαθῶν.

59,262,6-7. Ἐργασίαι *καὶ* ἐνθυμήματα.

59,262,8-11. Ὅσαι *(δηλ. προσηγορίαι τοῦ Χριστοῦ)* ταπεινότεραι καὶ τῷ ἀνθρωπίνῳ τούτῳ προσεφαρμόζουσαι.

[820] 59,262,7. Ἄξιον δὲ ἴσως. *(Ἴσως)*. Ἵνα δὲ μὴ περιττός τις δόξῃ καὶ ἔξωρος ὁ περὶ τούτων λόγος, χρῆται τῇ καλουμένῃ θεραπείᾳ. Τὸ δὲ ἴσως μετριοφρονῶν ἢ καὶ ἐπιεικευόμενος τέθεικεν, ἄξιον ἴσως εἰρηκώς. Ἐπιεικείας γὰρ καὶ τὸ περὶ τῶν ὁμολογουμένων ὡς ἀμφιβαλλομένων διστακτικῶς λέγειν.

59,262,12. Τὸ θεῖον ἀκατονόμαστον. Ὄνομα παραστατικὸν τῆς φύσεως αὐτοῦ μὴ ἔχον.

59,262,18. Τὴν ἄλυτον φύσιν. Ἤτοι τὴν θείαν. Ἄλυτος δὲ αὐτή, ὡς ἁπλῆ καὶ ἀσύνθετος. Συνθέτων γὰρ τὸ λύεσθαι καὶ εἰς τὰ ἐξ ὧν συνετέθησαν ἀναλύεσθαι. Ἐπεὶ δὲ καὶ οἱ ἄγγελοι καὶ αἱ ψυχαὶ ἄλυτοί εἰσι, προσέθηκε τὸ καὶ ἰδιάζουσαν. Ἄλυτος γὰρ ὑπὲρ πᾶσαν ἄλυτον φύσιν.

59,262,19. Τὸ ... τῆς ἀερίας χύσεως ὑπόδειγμα.

59,262,19-22. *(Ὁ ἅγιος Διονύσιος ὀνομάζει)* τὸ θεῖον ἀνεννόητον πάντῃ κατὰ τὴν οὐσίαν καὶ ἀκατάληπτον, ἀλλ᾽ ἐκ τῶν αἰτιατῶν ὑμνητέον. Ὁ μὲν ἐκεῖνος εἶπε κατ᾽ οὐσίαν, οὗτος εἴρηκε κατ᾽ αὐτόν, ἃ δὲ ἐκεῖνος αἰτιατά, οὗτος περὶ αὐτόν. — Περὶ δὲ αὐτὸν εἶεν ἂν αὐτά τε τὰ δημιουργήματα καὶ οἱ προνοητικοὶ τούτων λόγοι.

59,262,20-23. Ἔκ τε οὖν τῶν περὶ αὐτὸν σκιαγραφοῦμεν τὰ κατ᾽ αὐτόν, καὶ ἐκ τῶν ὁρωμένων λαμβάνομεν ἐμφάσεις τινὰς περὶ Θεοῦ. Ὅπερ γὰρ ἐν αἰσθητοῖς ἥλιος, τοῦτο ἐν νοητοῖς Θεός, καὶ πάλιν, ὥσπερ ἅμα ἡλίου δίσκος καὶ ἀκτὶς καὶ φῶς, οὕτω Πατήρ, Υἱὸς καὶ Ἅγιον Πνεῦμα. Καὶ αἴτιον μὲν τοῖν δυοῖν ὁ Πατήρ, οὐ πρεσβύτερος δέ, καθάπερ οὐδ᾽ ἐκείνων ἥλιος. Καὶ ὥσπερ τὸ πῦρ καυστικὸν καὶ φωτιστικόν, οὕτω καὶ ὁ Θεός, καὶ ὥσπερ ὁ γνόφος ἀμαυρὸν καὶ ἄσχετον, οὕτω καὶ ὁ Θεὸς εἰς γνῶσιν. Ἄλλην οὖν ἀπ᾽ ἄλλου φαντασίαν συλλέγομεν. Δεσμὸν δὲ τὸ σῶμα ἐκάλεσεν, ᾧ καθάπερ τινὶ δεσμῷ νοῦς καὶ ψυχὴ συνδέδεται. Ὅπερ καὶ πολλοὶ τῶν ἔξωθεν δεσμωτήριον καὶ τάφον ὠνόμασαν. Τὴν ἰσχνότητα δὲ τῆς φαντασίας διδάσκει τὸ ἴνδαλμα, καὶ ἴνδαλμα μὲν διὰ τοῦτο, τῆς ἀληθείας δὲ διὰ τὸ εἶναι τὸν Θεόν. Εἰ καὶ μὴ ταῦτα, ἃ περὶ αὐτοῦ φανταζόμεθα. Διπλοῦν δὲ τὸ ἴν-

δαλμα, ποτὲ μὲν ἐπὶ τοῦ παντάπασιν ἀνυποστάτου, ὡς ἐπὶ σκιᾶς καὶ κατόπτρου, ποτὲ δὲ ἐπὶ τοῦ μετέχοντος ἀληθείας τινός, ὡς ἐπὶ τοῦ παρόντος. Ἡ παράθεσις δὲ τῶν ὀνομάτων διαποροῦντός ἐστιν, ὡς μηδενὸς οἰκείως τὴν θείαν εὑρισκομένου παραστῆσαι οὐσίαν.

[821] 59,262,26-35. (Ἡ Θεὸς φωνὴ) ἣν μετὰ τὴν ὁ ὢν τίθησιν, ἀπὸ τοῦ αἴθειν ἐτυμολογῶν, ὃ σημαίνει τὸ καίειν, ὡς Πλάτων, ἢ θέειν, ὃ σημαίνει τὸ τρέχειν, διὰ τὸ ἀεικίνητον καὶ δαπανητικὸν τῶν μοχθηρῶν ἕξεων, ὡς τοῖς περὶ ταῦτα κομψοῖς· Τοῖς περὶ ταῦτα τεχνικοῖς δοκεῖ, εἰ καὶ ἐγγύς ἐστι τῆς ὁ ὢν φωνῆς καί πως καὶ οὐσίαν παραδηλοῖ, διὰ τό· «ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον ἐστίν»[1], ἀλλ᾿ οὖν τῶν πρός τί ἐστι.

59,263,2-3. Διττῆς ... ταύτης οὔσης (τῆς οἰκονομίας), τῆς μὲν ὑπὲρ τὸ σῶμα, ὑφ᾿ ἧς ᾠκονόμηται καὶ διεκυβερνᾶτο τὰ καθ᾿ ἡμᾶς πρὸ τοῦ σαρκωθῆναι τὸν ἐνυπόστατον τοῦ Θεοῦ Λόγον, τῆς δὲ μετὰ τὸ σαρκωθῆναι καὶ μεθ᾿ ἡμῶν ἀναστραφῆναι

59,263,13-15,2. Ἵνα ὡς τὸν Θεὸν ἐν ἑαυτῷ φέρων ὁ τούτων τι κατορθῶν, μᾶλλον ἐπείγηται πρὸς τὸ τέλειον καὶ τὴν ἐξ ἀρετῶν οἰκείωσιν. Υἱοὶ Θεοῦ χρηματίσαντες καὶ ἔνοικον σχόντες Θεόν. Τῶν ἄλλων σπουδαίων ἀνδρῶν, ὧν Θεὸς ὁ Θεὸς διὰ τὴν ἐξ ἀρετῆς οἰκείωσιν. (Ἀσκητικοὶ πόνοι) δι᾿ ὧν πρὸς τὸ ὕψος τῶν ἀρετῶν ἀνατρέχομεν, ἐξ ὧν πλουτεῖ τις τὸ ἔνοικον ἔχειν Θεόν, ἐξ ἀρετῶν Θεῷ οἰκειούμενος. Δεῖ δὲ καὶ ἐλπίζειν τὰ σωτηριώδη διὰ τὸ πάγιον τῆς τῶν ἀρετῶν ἕξεως. Παρέλκον δὲ τὸ δὲ ἐν τῷ. Ταῦτα δὲ τῆς οἰκονομίας, ἐκ περισσοῦ κείμενον κατὰ Ἀττικούς.

59,263,13-15. Κατὰ ἀμυδρὰν εἰκόνα εἰπεῖν.

59,263,15-18. Τὰ τρία πρόσωπα, ἀδιαστάτως ἀλλήλων ἄχρις ἡμῶν συγκαταβαίνοντα.

59,263,26-27. Νενοηκὼς καὶ νενόηκε[3]. Ὅρασιν τὴν γνῶσιν καλῶν, ἐπεὶ καὶ ὁ ὀφθαλμὸς ψυχῆς ὁ νοῦς, οὗπερ ἡ γνῶσις.

59,263,23-24,29. Εἰ δέ τις διὰ τοὺς λόγους τοῦ τεχνίτου καὶ αὐτὸν τὸν τεχνίτην φήσειε τοῖς οἰκοδομήμασιν ἐνυπάρχειν, οὐ πόρρω τοῦ λόγου πεσεῖται. Ὡς Λόγος δὲ ὁ Υἱὸς[2] ὑμνεῖται παρὰ τῷ Εὐαγγελιστῇ.

59,263,31-32. Σοφία δέ, ὡς ἐπιστήμη θείων τε καὶ ἀνθρωπίνων πραγμάτων. Λέγεται δὲ σοφία *(ὁ Χριστός)*, ὡς τοὺς λόγους πάντων ἐν ἑαυτῷ προέχων, τῶν τε θείων καὶ ὑπὲρ ἡμᾶς καὶ τῶν ἀνθρωπίνων καὶ καθ᾿ ἡμᾶς, καὶ κατὰ τὸν μέγαν εἰπεῖν Διονύσιον, ὡς πάσης σοφίας ὑποστάτης. Οὐ γὰρ μόνον οὗτος πάσης σοφίας ὑπερπλήρης ἐστὶ καὶ τῆς **[822]** συνέσεως αὐτοῦ

1. Πρβλ. Δευτ. 4,24. 2. Πρβλ. Ἰω. 14,7,9. 3. Πρβλ. Ἰω. 1,1.

οὐκ ἔστιν ἀριθμός, ἀλλὰ καὶ παντὸς λόγου καὶ νοῦ καὶ σοφίας ὑπερίδρυται[1].

59,263,31-34. (Ὁ Μονογενὴς) πάντα κατὰ δύναμιν ἄπειρον καὶ ἀπεριόριστον παράγων, καὶ οὐ παράγων μόνον, ἀλλὰ καὶ συντηρῶν καὶ συνέχων τὰ γεγονότα καὶ δύναμιν αὐτοῖς εἰς τὸ εἶναί τε καὶ συνέχεσθαι χορηγῶν. Ἐπέρρωσε τὸ σῶμα ἡμῶν δύναμιν,... τὴν κατὰ παθῶν ἐνθεὶς αὐτῷ.

59,263,35-264,1. Ἀλήθεια δέ, ὡς ἕν, οὐ πολλὰ τῇ φύσει. Τὸ μὲν γὰρ ἀληθὲς ἕν, τὸ δὲ ψεῦδος πολυσχιδές. Λέγεται δὲ ἀλήθεια, ὡς ἕν, οὐ πολλὰ τῇ φύσει. Ἁπλοῦς γὰρ καὶ εἷς ὁ λόγος ἐστὶ τῆς ἀληθείας, ποικίλον δὲ τὸ ψεῦδος καὶ πολυσχιδές.

59,264,1-2. Τοῦ Πατρὸς σφραγὶς καὶ χαρακτὴρ ἀψευδέστατος. «Τοῦτον γὰρ ἐσφράγισεν ὁ Θεός»[2].

59,264,9. Οἱ μὲν ἄλλοι πάντες *(δηλ. ἐκκλ. Πατέρες)* φῶς φασὶν αὐτὸν *(δηλ. τὸν Χριστὸν)* λέγεσθαι... ὡς ἀπρόσιτον τῇ ἐν θεότητι δόξῃ... καὶ ὡς τῇ λαμπρότητι τῆς γνώσεως τοὺς κεκαθαρμένους τὸ ὄμμα τὸ ψυχικὸν καταυγάζοντα. Οὗ δὲ ἐντολῶν τήρησις, σαρκὸς κάθαρσις, τοῦ ἐπιπροσθοῦντος τῇ ψυχῇ νέφους καὶ οὐκ ἐῶντος καθαρῶς ἰδεῖν τὴν θείαν ἀκτῖνα. Οὗ δὲ κάθαρσις, ἔλλαμψις. Οὗ γενομένου, φωτοειδεῖς οἱ ἄνθρωποι καὶ θεοείκελοι χρηματίζουσι.

59,264,17. Τοῖς ὑπὸ νόμον καὶ τοῖς ὑπὸ χάριν. Τοῖς τε Ἰουδαίοις τοῖς ὑπὸ νόμον τε οὖσι τὸν διὰ Μωσέως δοθέντα, καὶ τοῖς ὑπὸ τὸ εὐαγγέλιον.

59,264,23-24. Ἡ κατὰ Χριστὸν παλιντοκία.

59,264,2-7. Τὸ κατ' εἰκόνα[3] *(δηλ. Θεοῦ)* τηρεῖν ἀδιαλώβητον.

59,264,21-22. *(Ὁ Χριστὸς)* ἐλευθερῶν ... κατεχομένους ὑπὸ τῆς ἁμαρτίας[4] καὶ τοῦ ταύτης προστάτου δαίμονος.

59,264,24 ἑξ. Καλῶς οὐκ ἀνάγων, ἀλλ' ἐπανάγων εἴρηκεν, ὡς ἂν δείξῃ, ὅτι ἐπὶ τοιαύτῃ ζωῇ γεγονότες καὶ ταύτης ἀπολισθήσαντες ἐκ ῥᾳθυμίας, ἐδεήθημεν πάλιν τοῦ ἐπανάξοντος. Ἄνεισι μὲν γάρ τις, ἔνθα μηδέπω ἀναβέβηκεν, ἐπάνεισι δὲ ἐκεῖσε, ἀφ' οὗπερ ἐκπέπτωκεν, ἀνίστησι δὲ ἐκεῖσε, ἀφ' οὗπερ ἐκπέπτωκεν. Ἀνίστησι μὲν οὖν ἡμᾶς... πρὸς τὴν μακαρίαν ζωὴν καὶ ἀκήρατον ἐπανάγων. Ἡ γὰρ πα- **[823]**
ροῦσα ζωὴ θανάτου γεννήτρια. Ἄνθρωπος μέν, οὐχ ἵνα γνωρισθῇ ἡμῖν, διὰ τὸ μὴ δύνασθαι ἄλλως ἀνθρώποις οὖσι καὶ σῶμα περικειμένοις διὰ τὸ φύσει ἀπρόσιτον προσομιλῆσαι, ἀλλ' ἵνα... ἡ θεότης τοῦ θεανθρώπου Λόγου, ἑνωθεῖσα... τῇ ἡμετέρᾳ φύσει, ... ἅπασαν αὐτὴν... διαναστήσῃ καὶ θεώσῃ.

---

1. Πρβλ. Α' Κορ. 1,25. 2. Ἰω. 6,27. 3. Πρβλ. Γεν. 1,26. Β' Κορ 3,18. 4. Πρβλ. Ρωμ. 6,18. 8,2

59,265,2. *(Ὁ Χριστός)*: Ὁ δ ὸ ς ἀπαρεξόδευτος. *(Καὶ ὁ αὐτὸς)* τοὺς πολυφαεῖς τῆς σοφίας δεικνὺς θησαυρούς.

59,265,4. Τὰ εὐσεβῆ δόγματα, τρέφοντα ψυχὴν καὶ πιαίνοντα.

59,265,4-5. Καθαίρειν τὸν ῥύπον καὶ ἀποφορτίζειν τὸ ἐπίπονον βάρος τῆς ἁμαρτίας.

59,265,15. Κατὰ πνεῦμα καὶ σάρκα τὴν πρὸς Θεὸν πορείαν ποιούμενος. Θεικῶς κατὰ τὴν μυστικὴν θεωρίαν ἐπαιρόμενος τῶν ἀνθρωπίνων. Διὰ τῶν σωματικῶν καὶ πρακτικῶν ἀρετῶν πρὸς τὴν ἄνω λῆξιν ἐπειγόμενος.

59,265,16-17. Ἵ ν α γ έ ν ῃ Θ ε ό ς, κ ά τ ω θ ε ν ἀ ν ε λ θ ὼ ν δ ι ὰ τ ὸ ν κ α τ ε λ θ ό ν τ α δ ι' ἡ μ ᾶ ς ἄ ν ω θ ε ν. Ἵνα ὑπὲρ τὴν ὕλην διὰ τῆς πράξεως κάτωθεν ἀνελθὼν τῇ ἕξει τῆς ἀρετῆς καὶ τῆς θεωρίας καὶ γνώσεως, ἄυλος χάριτι Θεὸς καὶ ἀνείδεος γένοιο.

59,265,17-18. Ἐ κ ε ῖ ν ο[1] τ ή ρ ε ι, τὴν ἐκείνου ῥῆσιν, τὰς δύο φύσεις Χριστοῦ δηλοῦσαν, τηρεῖν προτρέπεται, καὶ ... τὰ μὲν ταπεινότερα αὐτῆς τῷ προσλήμματι, τὰ δ' ὑψηλότερα τῇ θεότητι προσνέμειν.

59,265,19. (Ὁ Μονογενὴς) ὡς ἐξ ἀιδίου καὶ ἀτρέπτου πεφηνὼς τοῦ Θεοῦ καὶ Πατρός, ἔχει καὶ αὐτὸς ἐν ἰδίᾳ φύσει τὸ ἀΐδιόν τε καὶ ἄτρεπτον, νεώτατον δὲ κομιδῇ καὶ τοῖς τῆς ἐνανθρωπήσεως συνδεδραμηκὸς καιροῖς.

ΛΟΓΟΣ ΛΑ'.

59,267,7 ἑξ. Ἀπελαύνονται τοῦ ὕψους τῆς θεολογίας, ὅσοι ... κατὰ τὰ κτήνη βοσκηματώδεις καὶ ἀλόγως τῇ ἐπιθυμίᾳ δουλεύοντες. Οἱ Εὐνομιανοὶ καὶ Μακεδονιανοί, τὴν ἐπὶ κακῷ συμφωνίαν ὁμοῦ συμφωνήσαντές τε καὶ συμφρονήσαντες κατὰ τοῦ Ἁγίου Πνεύματος· κτίσμα γὰρ καὶ οὗτοι κἀκεῖνοι αὐτὸ ἐδογμάτιζον. Πάντῃ τῆς τοῦ προβολέως οὐσίας ἀλλοτριοῦντες· περὶ τὸν Υἱὸν αὖθις ἐσχίζοντο, ἐναντίοι γνώμῃ γινόμενοι. **[824]** *(Οἱ Μακεδονιανοὶ)* κτίσμα τοῦτο *(δηλ. τὸ Ἅγιον Πνεῦμα)* καὶ ποίημα δογματίζοντες καὶ τῆς τοῦ προβολέως οὐσίας ἀλλοτριοῦντες, μετριοφρονοῦντες ἦσαν περὶ τὸν Υἱόν. *(Οἱ Εὐνομιανοὶ ἢ Ἀνόμιοι)* πάντῃ ἀλλοτριοῦντες τῆς τοῦ Πατρὸς οὐσίας καὶ προβολέως τὸν μονογενῆ Λόγον καὶ τὸ Πνεῦμα τὸ Ἅγιον.

59,267,17. Ἢ ο ὐ δ ὲ β ι ω τ ὸ ς α ὐ τ ο ῖ ς ἐ σ τ ι ν ὁ β ί ο ς ἢ οὐδὲ βιώσιμος αὐτοῖς ὁ βίος, ἤτοι ἡ ζωή, ἀλλ' ἀβίωτος καὶ οἷον ζωή τις ἄζωος. *(Καὶ κατωτέρω)*: Τὸ δὲ ἢ ο ὐ δ ὲ β ι ω τ ὸ ς α ὐ τ ο ῖ ς ὁ βίος ἐκ τῶν Αἰσχίνου μετείληπται.

59,267,21-22. Ὁ Πατὴρ τοῦ μονογενοῦς Λόγου καὶ προβολεὺς τοῦ Ἁγίου Πνεύματος δοξασθήσεται.

59,267,22 ἑξ. Καταχρηστικῶς δὲ *(δηλ. ἅγια ἐν Ἁγίᾳ Γραφῇ καλοῦνται)* καὶ οἱ ἄγγελοι καὶ οἱ δίκαιοι, καὶ ὅσα κατὰ μετοχὴν τοῦ Ἁγίου Πνεύματος ἁγιάζονται. Οὐ γὰρ φύσει ἅγιαι αἱ τῶν οὐρανῶν

1. Πρβλ. Ἑβρ. 13,8.

δυνάμεις, ὥς φησιν ὁ Μέγας Βασίλειος[a]. Ὁ καυτὴρ μετὰ τοῦ πυρὸς νοεῖται. Ἡ μὲν οὐσία αὐτῶν (*δηλ.* τῶν οὐρανίων δυνάμεων) ἀέριον πνεῦμα, εἰ τύχοι, ἢ πῦρ ἄυλον κατὰ τὸ γεγραμμένον· «Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα»[1]. Διὸ καὶ ἐν τόπῳ εἰσὶ καὶ ὁρατοὶ γίνονται, τοῖς ἀξίοις ἐμφανιζόμενοι.

59,267,29-31. Πληκτικώτερον αὐτοῖς *(τοῖς ἐναντίοις)* ἐπιφύεται λέγων· οἱ μὲν οὖν δυσχεραίνοντες καθ' ἡμῶν, ὡς ξένον τινὰ Θεὸν τὸ Πνεῦμα εἰσαγόντων καὶ ὑφ' ἡμῶν παρεγγεγραμμένον ἔξωθεν. Παράγραπτον.

59,267,31. Ἵστωσαν ἐκεῖ φοβούμενοι φόβον, οὗ μὴ ἔστι φόβος. Τουτέστι γινωσκέτωσαν, ἀδεῆ φόβον φοβούμενοι. Φοβούμενοι... Θεὸν ἀνακηρῦξαι τὸ Ἅγιον Πνεῦμα, διὰ τὸ μὴ φανερῶς παρὰ τῇ Γραφῇ φέρεσθαι.

59,267,32. Ἔνδυμα. Ἔνδυμα δὲ λέγει τὸ κάλυμμα, τὴν ἐπίκρυψιν. Προφάσει γὰρ τῆς τοῦ γράμματος φιλίας τὴν περὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἀσέβειαν συγκαλύπτουσι.

59,268,2 ἑξ. Φῶς ἦν ἀεὶ ὁ Πατὴρ ἀπρόσιτόν[2] τε καὶ ἀδιάδοχον. Τῆς κατὰ **[825]** φύσιν ἑνότητος παραγραφομένης τὴν πληθυντικὴν φαντασίαν. Θεραπευθείσης ἑκατέρωθεν καταλλήλως τῆς ἀσεβοῦς ὑπονοίας. Ἔστι γὰρ ὥσπερ θεραπεία τῶν μὲν περὶ τὸ ἓν πλανωμένων ὁ ἀριθμὸς τῆς τριάδος, τῶν δὲ εἰς πλῆθος ἐσκεδασμένων ὁ τῆς ἑνότητος λόγος. *(Φῶς τῆς Ἁγίας Τριάδος)* τό γε εἰς αὐτὸ ἧκον[3], πάντας φωτίζει.

59,268,6. Ὁ ἄλλος παράκλητος. Τὸ ... ἄλλος ἰσότητος ἕνεκεν, ἀλλ' οὐχ ἐλαττώσεως εἴρηται. Ἐπὶ μὲν γὰρ τῶν ὁμοφυῶν ἄλλος καὶ ἄλλος λέγομεν, οἷον ἄλλος Πέτρος καὶ ἄλλος Παῦλος, ἐπὶ δὲ τῶν ἑτεροφυῶν ἄλλο καὶ ἄλλο, οἷον ἄλλο βοῦς καὶ ἄλλο ἵππος.

59,268,8. Ἐφαντάσθη. Ἐφαντάσθη μὲν οὖν τοῦτο διὰ τὸ ἀμυδρὸν τῆς ἐλλάμψεως. Ἔστι γὰρ φαντασία μὲν ἡ ἀμυδρὰ περὶ Θεοῦ κατάληψις, γνῶσις δὲ ἡ τρανοτέρα. Ὁ Μέγας Βασίλειος[b]· ἐγώ, φησί, καὶ τὸν Γαβριὴλ τὰ μέλλοντα προλέγειν οὐδαμῶς ἄλλως φημὶ ἤ, τῇ προγνώσει τοῦ Πνεύματος.

51,268,30. Οἱ ... ἄγγελοι εἰ καὶ ἤρξαντο, ἀλλὰ τὸ ἄφθαρτοι εἶναι κατὰ χάριν εἰλήφασι καὶ τοῦ εἶναι οὐ παύσονται.

59,268,16 ἑξ. Ἐξομολογουμένως τε καὶ αὐτοπίστως καταβάλλων τοὺς Πνευματομάχους.

59,268,19 ἑξ. Ἔσται λοιπὸν ἡ θεότης ἐλλιπὴς καὶ τὸ ἅγιον ἔχουσα. Ἔχοι δ' ἂν πῶς, μὴ τὸ Πνεῦμα ἔχουσα;

59,268,23-24. Ὥσπερ ἄμεινον τῷ Θεῷ, εἶναί ποτε ἀτελεῖ. Ὥσπερ κρεῖττον ὂν τῷ Θεῷ, τὸ εἶναί ποτε ἀτελεῖ. Ἀττικὸν δὲ τοῦτο.

---

1. Ψαλ. 103,4. 2. Πρβλ. Α' Τιμ. 6,16. 3. Πρβλ. Ἰω. 14,16.

α. Μ. Βασιλ. Περὶ Ἁγίου Πνεύματος ΒΕΠ. 59,263,26. β. Ἔνθ' ἀν.

58,268,24. Εἰ οὖν μὴ ἀπαρχῆς ἦν (δηλ. τὸ Πνεῦμα), ἦν ὅτε οὐκ ἦν, καὶ μεθ' ἡμῶν λοιπὸν καὶ ὑπὸ χρόνον ἔσται *(Καὶ κατωτέρω)*: Ὁ μὲν γὰρ (δηλ. ὁ Θεὸς) αὐτῶν τῶν χρόνων καὶ τῶν αἰώ**[826]**νων ποιητής, ἡμεῖς δὲ ὕστερον καὶ ὑπὸ χρόνον.

59,268,26. Εἰ τέτακται μετ' ἐμοῦ, πῶς ἐμὲ ποιεῖ θεόν; Μὴ ὂν αὐτὸ φύσει Θεός, κατὰ τὸν λῆρον ὑμῶν. Ἢ πῶς συνάπτει Θεότητι, ἀπερρηγμένον αὐτὸ τοῦ Θεοῦ; Φύσει γὰρ Ἅγιον ὂν καὶ φύσει Θεὸς τὸ Πνεῦμα τὸ Ἅγιον, ἁγιάζει τε καὶ θεοὺς ποιεῖ τοὺς ἀνθρώπους θέσει καὶ χάριτι. Εἰ δὲ καθ' ὑμᾶς μεθ' ἡμῶν τάττεται, πῶς ἐμὲ ποιήσει θεόν; Τὸ γὰρ ἄλλοις τὴν θέωσιν χαριζόμενον φύσει Θεός ἐστι

59,268,32 Θεολόγοι μὲν οὖν παρ' Ἕλλησι Πλάτων τε καὶ Ἀριστοτέλης, καὶ πρὸ τούτων Ἑρμῆς, ὁ ἐπικληθεὶς παρ' ἐκείνοις Τρισμέγιστος, καὶ πρὸς τούτοις ἢ μετὰ τούτους ἕτεροί τινες. Θεολογικώτεροι δὲ πάντων Πλάτων τε καὶ Ἀριστοτέλης. Πλὴν Πλάτων τε καὶ Ἑρμῆς οὐδαμοῦ τῶν παρ' αὐτοῖς συγγραμμάτων νοῦν εἰπόντες τὸ πνεῦμα εὑρίσκονται, καίτοι περὶ Θεοῦ πολλαχοῦ φιλοσοφήσαντες. Ἀριστοτέλης δὲ καὶ Ἀναξαγόρας καὶ Ἑρμότιμος ὁ Κλαζομένιος μνημονεύσαντες τούτου φαίνονται. Ἀριστοτέλης γάρ, νοῦν εἰπὼν τὸν θύραθεν ἐπεισιέναι καὶ μόνον εἶναι τοῦτον θεῖον, συγγίνεσθαί τε καὶ ἑνοῦσθαι ταῖς ἤδη τελειωθείσαις ψυχαῖς, σαφῶς τοῦτο ἐσήμανεν. Ἤδη δὲ καί τινες τῶν καθ' ἡμᾶς, τοῦ Ἀποστόλου εἰπόντος· «ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν»[1], νοῦν Χριστοῦ τὸ Πνεῦμα τὸ Ἅγιον ἐνόησαν. Καὶ Ἀναξαγόρας δέ, νοῦν εἶναι τοῖς οὖσιν εἰπὼν τὸν αἴτιον τῆς τάξεως καὶ ἁρμονίας, οὐ μακρὰν τῶν καθ' ἡμᾶς ἤλασε. Τί γὰρ ἄλλο ὁ προφήτης Δαυίδ, εἰρηκώς· «τῷ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν»[2], ἢ τοῦτο ἐδήλωσε;

59,268,33. Ἐφαντάσθησαν μέν: Τουτέστιν ἀμυδράν τινα καὶ ἰσχνὴν περὶ τοῦ Πνεύματος ἔσχον ἔννοιαν.

[827] 59,268,33-269,2. Καὶ πῶς γὰρ οὐκ ἄθλιοι, τὸ δι' οὗ ἁγιαζόμεθα καὶ τελειούμεθα ἀγνοήσαντες (δηλ. τὸ Πνεῦμα); Τολμῶσιν: Τὸ ἀπηνές τε καὶ θηριῶδες τῶν τότε κρατούντων Πνευματομάχων.

59,268,39 ἑξ. Τοῦτο γὰρ τὸ κυρίως ἄπειρον καὶ ἐνέργεια καὶ δύναμις θεοπρεπής, τὸ εἶναι πανταχῇ, καὶ πληροῦν μὲν ἀρρήτως τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ χωρεῖν ἐν πᾶσι, χωρεῖσθαι δὲ ὑπ' οὐδενός. *(Τοῦ Ἀρείου ἡ γνώμη ἦτο)*: ὅτι μόνος ὁ Υἱὸς ὑπὸ μόνου τοῦ Θεοῦ γέγονεν ἐξ οὐκ ὄντων, τὰ δὲ λοιπὰ κτίσματα, μὴ δυνάμενα τῆς ἀκράτου χειρὸς τοῦ ἀγεννήτου τὴν ἐργασίαν βαστάσαι, ὡς δι' ὑπουργοῦ ἢ συνεργοῦ τε καὶ βοηθοῦ τοῦ Υἱοῦ ἐγένετο. Ἀλλ' οὗτοι μὲν *(δηλ. ὁ Ἄρειος καὶ*

1. Α' Κορ. 2,16. 2. Ψαλ. 32,6.

ὁ Εὐνόμιος) ταῦτα ἐρεσχελοῦντες ἐτύγχανον. Δημιουργὸν μὲν τὸν Πατέρα ὁμολογοῦμεν διὰ τοῦ Υἱοῦ, οὐχ ὡς δι' ὀργάνου ὑπουργικοῦ, ἀλλὰ φυσικῆς καὶ ἐνυποστάτου δυνάμεως, καὶ ὥσπερ λέγομεν τὸ πῦρ φωτίζειν καὶ πάλιν φαμὲν τὸ φῶς τοῦ πυρὸς φωτίζειν. Ὅλος ἐστὶν ἐν αὐτῷ *(δηλ. ὁ Πατὴρ ἐν Υἱῷ)* διὰ τὸ ἀπαράλλακτον τῆς οὐσίας. Ἐργαζομένου δὲ ὁμοίως τοῦ Υἱοῦ, καὶ ὁ Πατὴρ ἐργάζεται, ὡς πηγὴ τοῦ δημιουργοῦντος λόγου. Οὐδεὶς λόγος τούτων, τοῖς γε νοῦν ἔχουσιν, οὕτω περιφανῶς ἀνοηταινόντων.

59,269,22-23. Κτιστοάκτιστον τέρας.

59,269,24-25,26-27. Τελειούμεθα· Τὸ Πνεῦμα τὸ Ἅγιον... τελειοῖ μὲν πάντα, καὶ αὐτοὺς τοὺς ἀγγέλους, διὰ τοῦ ἁγιασμοῦ. Εἰ δὲ Θεός, ἀλλ' οὐ κτίσμα, οὐδὲ ποίημα, οὐδὲ σύνδουλον. Εἰ δὲ Θεός, οὐ κτίσμα, οὐδὲ ποίημα, οὐδὲ σύνδουλον, εἴπερ οὐδὲ κτίσμα. Πᾶν γὰρ κτιστὸν δοῦλον κατὰ τό. «τὰ σύμπαντα δοῦλα σά»[1]. Ἔστι δὲ ἡ δεῖξις αὐτῶν διαιρετικὴ μέν, ἀλλὰ ψευδής τε καὶ σοφιστική, ἢ κακουργούντων ἢ ἀγνοούντων.

[828] 59,269, c. 26-28. Ἀριδήλως κατασημαίνειν.

59,269,38-270,2. *('Απόδοσις)*: Οὐκ ἤδη παρὰ τοῦτο ... ἀνάγκη μεταφέρειν.

59,270,7-8. *(Οἱ Μαρκιωνῖται)* ἐλήρουν... ὅτι τῶν παρὰ τοῖς Σιμωνιανοῖς αἰώνων ὁ ... Λόγος καὶ ἡ Ζωὴ προεβάλοντο πάλιν αἰῶνας δέκα.

59,270,12-13. Ὥσπερ τινὸς δεσμοῦ πολυπλόκου. Ταύτης γὰρ λυθείσης, συνδιαλυθήσονται πᾶσαι αἱ πλοκαὶ ἀκολούθως.

59,270,21. Τὰς τῶν συλλογισμῶν ἄρκυς διαφυγόν. Ἄρκυς δὲ οἱ παλαιοὶ τὰ δίκτυα ἐκάλουν, οἷς τὰ θηρία ἠγρεύετο. Ἐνταῦθα δὲ τοὺς συλλογισμοὺς καὶ τὰ σοφίσματα, ὧν ὑπεράνω τὸ Πνεῦμα τὸ Ἅγιον ἀναπέφηνε.

59,270,22 ἑξ. 271,5. Ἀντερωτήσει μεθοδεύειν τὸ ἄπορον. *(Καὶ κατωτέρω)*: Ἀντερωτήσει τὸν ἐρωτήσαντα ἐπιστομίζειν.

59,270,24-27. Παραπληκτήσομεν εἰς Θεοῦ μυστήρια παρακύπτοντες· καὶ ταῦτα τίνες; Οἱ μηδὲ τὰ ἐν ποσὶν εἰδέναι δυνάμενοι, μηδὲ ψάμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος ἐξαριθμεῖσθαι. Παραπληκτήσομεν... ἤτοι φλυαρήσομέν τε καὶ ἀδολεσχήσομεν... οἱ μὴ δὲ τὰ ὑπ' ὄψιν κείμενα εἰδέναι δυνάμενοι. Μὴ δὲ τὰ αἰσθητὰ ταῦτα ἐξαριθμεῖσθαι. *(Καὶ κατωτέρω)*: Ἔστι δὲ τῆς σοφίας Ἰησοῦ Σιρὰχ τό· «ἄμμον θαλασσῶν καὶ σταγόνας ὑετοῦ καὶ ἡμέρας αἰῶνος τίς ἐξιχνιάσει;»[2] καὶ εἴρηται περὶ τούτων ἐν τῷ μεγάλῳ ἀπολογητικῷ.

59,270,27-28. Θεοῦ βάθεσιν ἐμβατεύειν. Γνῶναι τὰ μὴ μόνον νοητά, ἀλλὰ καὶ ὑπὲρ νοῦν καὶ διάνοιαν.

1. Ψαλ. 118,91. 2. Σ. Σειρ. 1,2.

59,270,28-29. Λόγον ὑπέχειν τῆς ... φύσεως. Ἑρμηνείαν ἀποδιδόναι τῆς ... φύσεως.

59,270,37. Πόθεν. Τὸ δὲ πόθεν [829] ἀντὶ τοῦ οὐδαμῶς. Πολὺ δὲ τοῦτο παρὰ τῇ τραγῳδίᾳ καὶ τοῖς κωμικοῖς καὶ τῷ Πλάτωνι ἀντὶ ἀποφάσεως λαμβανόμενον.

59,270,32 ἑξ. Ἄφραστος... καὶ ἀνερμήνευτος καὶ παντὸς λόγου ἐπέκεινα ὁ τρόπος τῆς τούτων (τῶν τριῶν προσώπων) ἐκφάνσεως.

59,271,23-24. Φιλοτιμίᾳ φύσεως ἐμπίδες ἐξ ἀσκαρίδων εἰς ἐμπίδας μεθιστάμεναι καὶ μεταποιούμεναι μεγαλουργίᾳ καὶ ὑπερβολῇ σοφίας καὶ δυνάμεως.

59,271,26 Τῶν ἡμετέρων. Τῶν τῆς ἡμετέρας γραφῆς. *(Ἀνωτέρω πρὸ τῆς φράσεως)*: Τὰ ἔξωθεν καὶ ἑλληνικά.

59,271, c. 28 ἑξ. Τῇ ἀνάγκῃ τῆς ἀληθείας πιέζεσθαι.

59,271,34-35 Ἐπὶ δὲ τούτων θεωρῶν, ὡς ἐπὶ σκηνῆς, τὰ νοούμενα, ἀλλ' ἐπὶ τῶν τοιούτων, ὡς ἐπὶ εἰκόνος τινὸς καὶ εἰκασίας, θεωρῶν τὰ νοητὰ καὶ θεῖα. Νοούμενα γὰρ ταῦτα καλεῖ, σκηνὴν δὲ τὰς εικόνας, τὰς εἰκασίας. Τὰ σκηνικὰ γὰρ ἤτοι τραγικὰ εἰκόνες ἦσαν καὶ εἰκασίαι τῶν πάλαι γενομένων.

59,271,35-36. Τῶν εἰκαζομένων. Τῶν εἰς εἰκασίαν παραλαμβανομένων.

59,271,37-38. Τί οὖν; Οὓς *(δηλ. τοὺς αἱρετικοὺς)* ὁ μέγας, τὰ διαλογικὰ μιμούμενος Πλάτωνος πρὸς τὰς ἐρωτήσεις καὶ ἀποκρίσεις, ἐκ τοῦ πρὸ ὀφθαλμῶν καὶ πάλιν ἐλέγχων ὑποδείγματος, δείκνυσι τὴν Εὔαν.

59,272,3-4 Καλῶς ἔχειν. Τῶν ἀποδείξεων δηλαδή, ἤγουν ἀρκούντως τε καὶ ἱκανῶς. Πεπιστευκότα ἤδη ταῖς ἀποδείξεσι.

59,272,9 ἑξ. *(Περὶ Πνεύματος Ἁγίου)*: Ἐν αὐτῷ ... καὶ δι' αὐτοῦ ἡ προσευχὴ ἡμῶν εὐοδοῦταί τε καὶ κατευθύνεται.

59,272, c. 7. Εἰς ὠφέλειαν ψυχῶν δοθῆναι, *(τὰ χαρίσματα)* ὁμοίως χορηγεῖσθαι.

59,272, c. 13. Πάντα διωρθώσατο τὰ ὑφορμοῦντα κακά.

59,272,21-23. (Τὸ Πνεῦμα τὸ Ἅγιον) ἐξῄρηται ... πάντων τῶν γεγονότων, ὡς μὴ γεγονός.

[830] 59,272,18-20,273,16. Τῆς ὅλης θεότητος τῆς ἐν Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι θεωρουμένης.

59,272,39. Ἐρήμην ἁλῶναι. Τουτέστιν ἀναπολογήτως κρατηθῆναί τε καὶ ἡττηθῆναι. Παροιμία δὲ τοῦτο, λεγομένη ἐπὶ τῶν ἀναπολογήτως καταδικαζομένων.

59,273,16. Μιᾶς εἶναι φύσεως καὶ ὑφ' ἕνα λόγον τὸν τῆς οὐσίας ἀνάγεσθαι.

59,273,16. Τὴν ἐν Τριάδι θεωρουμένην θεότητα.

59,273,11-13. Οἷς γὰρ ἂν ὑμεῖς τὴν διθεΐαν ἀποσκευάσησθε λόγοις, τούτοις καὶ ἡμεῖς τὴν τριθεΐαν ἀποκρουσόμεθα.

59,273,16-17. Πρὸς ἓν τὰ ἐξ αὐτοῦ τὴν ἀναφορὰν ἔχει. Πρὸς ἕνα τὸν Πατέρα καὶ προβολέα, ὡς πρὸς αἴτιον, τὰ ἐξ αὐτοῦ, ἤτοι ὁ Υἱὸς καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν ἀναφορὰν ἔχει.

59,273,19-20. Οὐδέ τι τῶν ὅσα τοῖς μεριστοῖς ὑπάρχει, κἀνταῦθα λαβεῖν ἔστιν. Ἠνίξατο τάς τε γενέσεις καὶ φθοράς, τὰς τροπάς τε καὶ τὰς ἀλλοιώσεις, δι' ἃς οὐδὲ ὁ τοῦ ἀνθρώπου λόγος ἀεὶ ἐν τοῖς αὐτοῖς ἀτόμοις ἤγουν προσώποις θεωρεῖται, τῶν μὲν οἰχομένων, ἄλλων δὲ εἰσαγομένων, δι' ἣν αἰτίαν ἀναγκαζόμεθα καὶ πολλοὺς λέγειν ἀνθρώπους καὶ ὀλίγους, ἅπερ οὐκ ἔστιν οὐδὲ νοῆσαι ὅλως ἐνταῦθα.

59,273,20. Ἀμέριστος ἐν μεμερισμένοις. Ἀμέριστος γὰρ ἡ θεότης ἐν τρισὶ προσώποις.

59,273,21 ἑξ. Ἀδύνατον εὑρεθῆναι ἐν τῇ κτίσει εἰκόνα ἀπαραλλάκτως ἐν αὐτῇ τὸν τρόπον τῆς Ἁγίας Τριάδος παραδεικνύουσαν. Τὸ γὰρ κτιστὸν καὶ σύνθετον καὶ ῥευστὸν καὶ τρεπτὸν καὶ περιγραπτὸν καὶ σχῆμα ἔχον καὶ φθαρτὸν πῶς σαφῶς δηλώσει τὴν πάντων τούτων ἀπηλλαγμένην ὑπερούσιον θείαν οὐσίαν;

59,273,23-24. Τὸ ... φανταζόμενον. Τὴν μερικήν, ἀλλ' οὐ τὴν τελείαν γνῶσιν αἰνίττεται.

59,273,26 ἑξ. Τῶν Ἑλλήνων ὁ ... πολὺς καὶ συρφετώδης ὄχλος τὴν κτίσιν αὐτὴν καὶ τὰ ἐν τῇ κτίσει ἐθεοποίησεν. — Οἱ δέ γε τελεώτεροι τούτων, Πλάτων τε καὶ Ἀριστοτέλης καὶ ἄλλοι τῶν τε πρὸ αὐτῶν καὶ τῶν μετ' αὐτούς, ἐπί τινας ἑτέρας ἀρχὰς ἀνήχθησαν.

59,273,28 ἑξ. Τοιαύτη μὲν ἡ τῶν ἑτεροδόξων ὑποφορά, πολυθεΐαν εἰσάγειν σπουδαζόντων καὶ βαθμούς τινας τῆς μιᾶς θεότητος.

[831] 59,273,29-30. Ἐπινοίᾳ θεωρητόν. Ἕτερόν ἐστι τῷ πράγματι θεωρεῖσθαι καὶ ἄλλο τῷ λόγῳ καὶ τῇ ἐπινοίᾳ. Ἐπὶ μὲν οὖν πάντων τῶν κτισμάτων ἡ μὲν τῶν ὑποστάσεων διαίρεσις πράγματι θεωρεῖται, — ἡ δὲ κοινότης καὶ ἡ συνάφεια καὶ τὸ ἓν λόγῳ καὶ ἐπινοίᾳ.

59,273,35. Ἡ Ἁγία καὶ ὑπερούσιος καὶ πάντων ἐπέκεινα καὶ ἄληπτος Τριάς.

59,273, c. 16 ἑξ Ἡ ἀπερίγραπτος θεότης.

59,273,23-25. *(Τριὰς)* τὸ ἓν πράγματι, τὸ διῃρημένον διανοίᾳ *(ἀντὶ)* θεωρεῖσθαι *(λέγει)*.

59,273,35. Κεκολασμένως καὶ διστακτικῶς τὸν περὶ τούτων *(τῶν ἀγγέλων)* λόγον ποιεῖται, ἀλλ' οὐκ ἀποφαντικῶς. *(Καὶ κατωτέρω)*: Ποιεῖ δὲ τοῦτο λίαν ἐστοχασμένως.

59,273,35 Πᾶσα φύσις ἡ ἄνω. *(Κατὰ Διονύσιον τὸν Ἀρεοπαγίτην)* οὐράνια τάγματα, εἰς τρεῖς τριαδικὰς διακοσμήσεις *(διαιρούμενα)*. Πρώτην μὲν (διακόσμησιν) εἶναί φησι τὴν περὶ Θεὸν οὖσαν ἀεὶ καὶ προσεχῶς καὶ ἀμέσως ἐλλαμπομένην.

59,273,36-37. (Ἄγγελοι) πρὸς τὸ καλὸν παγιώ-

τεροι τῇ πρὸς τὸ ἄκρον καλὸν ἐγγύτητι. Ἡ πρὸς τὸ ἄκρον καλόν, τουτέστι πρὸς τὸν Θεόν, ἐγγύτης. Οὗτος γὰρ καὶ ὡς ἀγαθὸν ὑμνεῖται πρὸς τῶν ἱερῶν θεολόγων, καθὼς φησιν ὁ μέγας Διονύσιος, καὶ ὡς καλὸν καὶ ὡς κάλλος. Τὸ δὲ ὑπερούσιον καλὸν κάλλος μὲν λέγεται διὰ τὴν ἀπ' αὐτοῦ πᾶσι τοῖς οὖσι μεταδιδομένην οἰκείως ἑκάστῳ καλλονήν. Καὶ γὰρ ὥσπερ ὁ καθ' ἡμᾶς ἥλιος αὐτῷ τῷ εἶναι φωτίζει πάντα τὰ μετέχειν αὐτοῦ δυνάμενα, οὕτω καὶ τοῦτο τὸ κάλλος, ὑπὲρ τὸ ἀποδοθὲν ὑπόδειγμα *(δηλ. τὸν ἥλιον)* τὸ ἐξῃρημένως ἀρχέτυπον, αὐτῇ τῇ ὑπάρξει πᾶσι τοῖς οὖσιν ἀναλόγως ἐφίησι τὰς τῆς καλλοποιοῦ δυνάμεως εὐαρμοστίας. Κάλλος μὲν οὖν διὰ τοῦτο, καλὸν δὲ καὶ οὐχ ἁπλῶς καλόν, ἀλλ' ἄκρον καλῶς, ὡς πάγκαλον καὶ ἀεὶ ὂν καὶ ὡσαύτως καλὸν καὶ πᾶσι **[832]** καλόν, καὶ ὡς παντὸς καλοῦ πηγαίαν καὶ καλλονὴν ὑπεροχικῶς ἐν ἑαυτῷ περιέχον.

59,273,38 ἑξ. Καὶ ὅσα τοιαῦτα ἀλλόκοτά τε καὶ πιστεύεσθαι μὴ δυνάμενα. Τηθύν[α]: τὴν γῆν, ὡς Ὠκεανόν: τὸ ὕδωρ. *(Φάνης καὶ Ἐρικαρπεύς)* ἀλλόκοτοί τινες θεοὶ καὶ κατάπτυστοι. *(Περὶ τοῦ Κρόνου)*: τοὺς οἰκείους . καταπίνοντα παῖδας καὶ αὖθις ἐξεμοῦντα καὶ ἀναδιδόντα. Οἵτινες *(θεοί)* μετὰ τὴν τοιαύτην διανομὴν[β] αὖθις ἐστασίαζον ζυγομαχοῦντες. Ἐκεῖ μὲν γὰρ στασιάζοντες ἦσαν καὶ ζυγομαχοῦντες.

59,273,16-17. Μίαν ἐν Θεῷ Πατρὶ καὶ Υἱῷ μονογενεῖ καὶ τῷ παναγίῳ Πνεύματι τὴν μορφὴν θεωρεῖσθαι, τῷ ἀπαραλλάκτῳ τῆς θεότητος ἐνιζομένην.

59,274,13 ἑξ. *(Ὁ Γρηγόριος)* ἐπισφραγίζει τὸν οἰκεῖον λόγον.

59,274,17. Ἡμᾶς ... συγκλείσας ἐκ τῆς τῶν σῶν λόγων ἀνάγκης εἰς τὸ τρεῖς λέγειν θεούς.

59,274,17-18. Ἡ ... ἑνὸς τούτων *(δηλ. τοῦ ἑνὸς προσώπου τῆς Ἁγίας Τριάδος)* ἀθέτησις καὶ τοῦ Πατρὸς καὶ προβολέως ἐστὶν ἀθέτησις.

59,274,35. Εὐόδως[1]: Σταθηρῶς καὶ θαρραλέως. Τὸν ... ἀλεκτρυόνα ... προφήτου ἐπέχειν πρόσωπον, τὸν ἥλιον τῆς δικαιοσύνης προκαταγγέλλοντος. Τὸ δὲ κατὰ τὸν τράγον αἴνιγμα[2] ὅτι σαφῶς εἰς Χριστὸν ἀναφέρεται, τί χρὴ καὶ λέγειν;

59,274,39. Ὑπ' οὐδὲ μίαν... ταῦτα τεχνολογίαν ἀνάγεται.

59,275,13. Ἐν ταῖς καθολικαῖς. Εἰώθασι πολλάκις Ἀττικοὶ τὴν ἐπιστολὴν ἐπιστολὰς ὀνομάζειν διὰ τὰς ἐγκειμένας ὑποθέσεις. Ἢ καὶ οὕτω· ἐν ταῖς καθολικαῖς τῶν Ἀποστόλων ἐπιστολαῖς.

59,275,34. Τινὲς τῶν Ἑλλήνων, οἷς καὶ Πρόκλος ὁ Πλατωνικός, Πορφύριός τε καὶ Ἰάμ**[833]**βλιχος ἠκολούθησαν, ἀπὸ τοῦ πρώ-

---

1. Παρμ. 30,29. 2. Ἔνθ' ἀν.

α. Ἰλιάδος Ξ 201. β. Ἰλιάδος Ξ 189.

του αἰτίου πάντα βαθμηδὸν κατιέναι καθ' ὑποβάσεις τε καὶ ὑφέσεις, αὐτῶν τε τῶν οὐσιῶν καὶ ἀξιωμάτων μέχρις αὐτῶν τῶν ἐσχάτων ἀποπερατώσεις, κατ' αὐτοὺς ἐκείνους εἰπεῖν, ἐδογμάτισαν. Ἐντεῦθεν οὖν οἱ ἐξ Εὐνομίου καὶ Μακεδονίου τὰς προαριθμήσεις τε καὶ ὑπαριθμήσεις ἐπὶ τὴν ἄχραντον τῶν Χριστιανῶν θεολογίαν ἑλκύσαντες, τὸ ἀνόμοιον ἐπὶ τῶν ἀϊδίως συνόντων προσώπων καὶ τὸ πρῶτόν τινα καὶ δεύτερον Θεὸν καὶ τρίτον ἐν τούτοις καλεῖσθαι συνήγαγον. Οὓς ἱκανῶς μὲν καὶ ὁ μέγας Βασίλειος διήλεγξέ τε καὶ ἐπεστόμισε, μηδέν τι τῶν πάντων ἐξεστηκέναι τῆς οἰκείας φύσεως συναριθμούμενόν τε καὶ προαριθμούμενον ἀποδείξας, ἀλλὰ τὰ μὲν ἀριθμούμενα διαμένειν οἷά πέρ ἐστιν ἐξ ἀρχῆς, τὸν δὲ ἀριθμὸν σημεῖον γνωστικὸν τοῦ πλήθους τῶν ὑποκειμένων παρ' ἡμῶν ἐφαρμόζεσθαι. Ἐλέγχων δὲ τούτους καὶ ὁ μέγας οὗτος ἐνταῦθα πρὸς ἕνα τούτων κατὰ ἀποστροφὴν ποιεῖται τὸν λόγον καί φησι· γελῶ σου τὰς προαριθμήσεις καὶ τὰς ὑπαριθμήσεις, προφέροντος χρῆσιν εὐαγγελικήν· «βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος»[1], καὶ δογματίζοντος ἐντεῦθεν, ὅτι ὑπαριθμεῖται, τουτέστιν ὑποτάττεται τῷ Πατρὶ μὲν ὁ Υἱός, τῷ Υἱῷ δὲ τὸ Ἅγιον Πνεῦμα. Γελῶ οὖν σου ταύτας, αἷς σὺ μέγα φρονεῖς. Καταγέλαστοι γὰρ ὄντως εἰσίν, ἐν τῇ τάξει τῶν ὀνομάτων τὴν τῶν πραγμάτων ὁριζόμενοι φύσιν, ὧν σημαντικὰ τὰ ὀνόματα.

59,275,34 ἑξ. Βαθεῖά τις καὶ συνεσκιασμένη βουλὴ *(τῶν αἱρετικῶν)* μικρολογία *(ἀποδίδεται)*. Ἔστι γάρ τι αὐτοῖς *(δηλ. τοῖς Εὐνομιανοῖς καὶ Μακεδονιανοῖς)* παλαιὸν σόφισμα, ὑπὸ Ἀετίου, προστάτου τῆς αἱρέσεως ταύτης, ἐξευρεθέν, ὃ ἔγραψέ που τῶν ἑαυτοῦ ἐπιστολῶν, λέγων τὰ ἀνόμοια κατὰ τὴν φύσιν ἀνομοίως προφέρεσθαι, καὶ ἀνάπαλιν, τὰ ἀνομοίως προφερόμενα ἀνόμοια εἶναι κατὰ τὴν φύσιν. Οἷς ἀκολούθως ἀποστολικά τινα ἀποσπάσαντες ῥήματα, πονήρως αὐτὰ περιξέουσιν. Τὸ αὐτὸ κακούργημα κἂν ταῖς προθέσεσιν αὐταῖς κεκακουρ[834]γήκασι. Τοῦ γὰρ Πλάτωνος ἓξ τὰ τῶν ὄντων αἴτια ἀποφηναμένου, ποιητικόν, παραδειγματικόν, ὀργανικόν, ὑλικόν, εἰδικόν, τελικόν, καὶ τῷ μὲν ποιητικῷ τὸ ἐξ οὗ ἀφορίσαντος, τῷ δὲ παραδειγματικῷ τὸ καθ' οὗ, τῷ δὲ ὀργανικῷ τὸ δι' οὗ, τῷ δὲ ὑλικῷ τὸ ἐν ᾧ, τῷ δὲ εἰδικῷ τὸ ὑφ' οὗ, τῷ δὲ τελικῷ τὸ εἰς ὅ, καὶ τοῦ Ἀριστοτέλους αὖθις, ὡς τὸ παραδειγματικὸν καὶ τὸ ὀργανικὸν ἀθετήσαντος, τῷ μὲν ποιητικῷ τὸ ὑφ' οὗ προσνείμαντος, τῷ δὲ εἰδικῷ τὸ ἐν ᾧ, ἐναντίως Πλάτωνι τῷ ὑλικῷ τὸ ἐξ οὗ, τῷ δὲ τελικῷ τὸ εἰς ὅ· ἐντεῦθεν τὴν μὲν ἐξ οὗ τῷ Πατρὶ ἐδίδοσαν, ἢ ὡς αἰτίῳ τε καὶ τεχνίτῃ τῶν ὄντων, τὴν δὲ δι' οὗ τῷ Υἱῷ, ὡς ὀργάνῳ δημιουργικῷ καὶ ἐργαλείῳ τεχνικῷ, τὴν δὲ ἐν ᾧ τῷ Ἁγίῳ Πνεύματι, ὡς τόπῳ ἢ χρόνῳ, καίτοιγε οὐ παγίως ἀεὶ τῆς παρατηρήσεως ταύτης

1. Ματθ. 28,19.

παρὰ τῇ θείᾳ Γραφῇ φυλαττομένης. Ἀλλὰ ... τὰ παρὰ Πλάτωνι εἰρημένα ὑποδείγματι καθυπογράψομεν. Προκείσθω δὲ πρὸς διάγνωσιν ἀνδριαντοποιὸς χαλκεύων ἀνδρείκελα σώματα. Ὁ μὲν οὖν ἀνδριαντοποιὸς λέγοιτο ἂν κατὰ Πλάτωνα ποιητικὸν αἴτιον, ὁ δὲ Σωκράτης παραδειγματικόν, τὸ δὲ ἐργαλεῖον ὀργανικόν, ὁ δὲ χαλκὸς ὑλικόν, τὸ δὲ τοῦ ἀνδριάντος εἶδος εἰδικόν, ἡ δὲ πρὸς τὸ πρωτότυπον ἀναφορὰ καὶ ἐξομοίωσις τελικόν. Ταῦτα μὲν οὖν οἱ ἑτερόδοξοι.

59,275,40-41. Αἷς σὺ κατατεχνολογεῖς ἡμῖν τὸ Θεῖον. Αἷς σὺ ὑπὸ τέχνην ἄγειν τολμᾷς τὸ Θεῖον καὶ τεχνικοῖς κανόσιν ὑποβάλλειν 59,276,6. Φορά: ὁρμή.

59,276,10. Ἀνακυκλεῖν: Συχνάκις ἐπεισκυκλεῖν. Τὸ τοῦ ἑτεροδόξου περίεργον, ἄνω καὶ κάτω ἐπεισκυκλοῦντος τὸ μὴ Θεὸν γεγράφθαι σαφῶς τὸ Πνεῦμα τὸ Ἅγιον.

59,276,14. Διασχόντες τὸ γράμμα. Τὴν παχύτητα τοῦ γράμματος διασχὼν καὶ τὸ παραπέτασμα διελών.

59,276,25-26 Ἀντιπεπονθότως, *(τὰ μέν, τὰ δὲ)* ἀντιστρόφως.

59,276,28 Ὁ ὕπνος ἀργία ἐστὶν **[835]** αἰσθήσεως. Καθάπερ γὰρ ἀπὸ τῆς διαβρόχου γῆς, ὅταν ἐπιθάλψῃ θερμότερον ἀκτῖσιν ὁ ἥλιος, ἀτμοί τινες ὁμιχλώδεις ἀπὸ τοῦ βάθους ἐξέλκονται, οὕτω δὴ καὶ ἐπὶ τῆς καθ' ἡμᾶς γῆς, τῆς τροφῆς ἔσωθεν ὑπὸ τῆς φυσικῆς θερμότητος ἀναζεούσης. Ἀνωφερεῖς δὲ ὄντες οἱ ἀτμοὶ κατὰ φύσιν καὶ ἀερώδεις, ἐν τοῖς κατὰ τὴν κεφαλὴν γίνονται χωρίοις, εἶτα ἐντεῦθεν ἐπὶ τοὺς τῶν αἰσθητηρίων πόρους ἐξατμιζόμενοι διαφοροῦνται, δι' ὧν ἀργεῖ κατ' ἀνάγκην ἡ αἴσθησις, τῇ παρόδῳ τῶν ἀτμῶν ἐκείνων ὑπεξιοῦσα. Αἱ μὲν γὰρ ὄψεις τοῖς βλεφάροις ἐπιλαμβάνονται, οἷόν τινος μηχανῆς μολιβδίνης, τοῦ τοιούτου λέγω βάρους, τοῖς ὀφθαλμοῖς ἐπιχαλώσης τὸ βλέφαρον. Παχυνθεῖσα δὲ τοῖς αὐτοῖς τούτοις ἀτμοῖς καὶ ἡ ἀκοή, καθάπερ θύρας τοῖς ἀκουστικοῖς μορίοις ἐπιτεθείσης, ἡσυχίαν ἄγει ἀπὸ τῆς κατὰ φύσιν ἐνεργείας. Καὶ τὸ τοιοῦτον πάθος ὕπνος ἐστίν, ἠρεμούσης ἐν τῷ σώματι τῆς αἰσθήσεως, ἡ δ' ἐγρήγορσις ἐνέργεια αἰσθήσεως. Καὶ ὁ μὲν τὸ σύντονον τῆς ἐγρηγόρσεως ἐχάλασεν, ἡ δὲ τὸ ἀνειμένον ἐτόνωσε. Θυμὸς μὲν γάρ ἐστι ζέσις τοῦ περικαρδίου αἵματος δι' ὄρεξιν ἀντιλυπήσεως, ὀργὴ δὲ θυμὸς ἔμμονος. *(Ὁ Ἠλίας)* τό: «ἵνα τί ὑπνοῖς, Κύριε»[1]· καὶ τὸ τοῦ *(Ἱερεμίου)*[2] γρηγορεῖν: *(Τῷ Θεῷ ἀναφέρει)*.

59,277,17. Μόνος ... ὁ Βρύσων ἐπιχειρήσας ποτὲ διὰ τῶν μηνίσκων τετραγωνίσαι αὐτὴν *(δηλ. τὴν σφαῖραν)* καταγέλαστος ἐφάνη.

59,277,28. Πῶς ληρεῖν νομισθείην ἢ παραπταίειν;

59,277,30 ἑξ. Ἐπὶ θεοπρεπεῖς τινας ἐννοίας ἀνηγόμην μὴ τῷ γράμματι προσκαθήμενος, *(δηλ. ἐν οἷς ἡ Ἁγία Γραφὴ)* σωματικῶς *(λέγει περὶ τοῦ Θεοῦ)*.

---

1. Ψαλ. 48,25. 2. Πρβλ. Ἱερ. 31,28. 44,27.

59,277.40 ἑξ. Μὴ δύνασθε ἡμᾶς ἄλλως, εἰ μὴ ταῖς κατὰ μικρὸν προόδοις καὶ ἀναβάσεσι πρὸς τὴν τελείαν τῆς Ἁγίας Τριάδος θεογνωσίαν ἐλθεῖν. Μὴ ἄλλως εἶναι δυνατὸν πρὸς τὴν τελεωτέραν [836] ἡμᾶς ἀναδραμεῖν θεογνωσίαν, εἰ μὴ κατὰ μικρὸν καὶ τεταγμένως.

59,277,38. Εἰρωνικῶς δὲ σοφοὺς εἶπεν αὐτούς· τῆς γὰρ ὄντως σοφίας ἀπεπλανήθησαν· εἰ μή τις σοφοὺς κατὰ τὴν ψευδομένην σοφίαν, τὴν ἐν κομψείᾳ λέγων καὶ κόμπῳ ῥημάτων, λέγειν αὐτοὺς ὑπολήψοιτο.

59,278,30. Τὴν ἰουδαϊκὴν πίστιν καὶ πολιτείαν τοῦ Θεοῦ ἕνα τὸν Πατέρα εἰδέναι.

59,278,6-13. Κατὰ μικρὸν ἦλθον ἐπὶ τὸ ἀκριβές τε καὶ τέλειον, σοφῶς ἡμᾶς τοῦ νομοθέτου ὑπαλλάσσοντος ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι.

59,278,8-10. Τὸ μὲν γὰρ ἀκούσιον οὐδὲ μόνιμον, ὥσπερ ἃ βίᾳ κατέχεται τῶν ῥευμάτων ἢ τῶν φυτῶν, τὸ δὲ ἑκούσιον μονιμώτερόν τε καὶ ἀσφαλέστερον. Τὰ μὲν γὰρ ῥεύματα βιαζόμενα, τῇ ῥύμῃ πολλάκις τὰ ἕρκη ῥήξαντα, ῥαγδαιοτέραν τὴν φορὰν ἀπεργάζεται. Τῶν δὲ φυτῶν ἔνια ἢ θραύεται, τῇ βίᾳ νικώμενα τοῦ ἕλκοντος, ἢ τὸ βιαζόμενον ἐκνικήσαντα πρὸς τὴν ἐξ ἀρχῆς ἀναστρέφει στρεβλότητα.

59,278,10. Ἀπολισθῆσαι τοῦ καλοῦ. *(Περὶ τοῦ πρώτου ἁμαρτήματος)*.

59,278,12 ἑξ. Οἵ τε... παιδαγωγοῦντες οὐκ ἀθρόον πάντα τὰ τῶν παίδων ἐκκόπτειν προάγονται ἁμαρτήματα, ἀλλὰ ταῖς κατὰ μικρὸν ὑφαιρέσεσι ποδηγοῦσι πρὸς τὰ βελτίονα, οἵ τε ἰατρεύοντες οὐκ ἀμιγῆ τὰ δριμύττοντα τῶν φαρμάκων τοῖς κάμνουσιν ἐπορέγουσιν, ἀλλὰ μέλιτι πολλάκις ἢ καὶ ἄλλῳ τινὶ τῶν ἀποπλανώντων τὴν αἴσθησιν περιχρίοντες, τὸν οἰκεῖον σκοπὸν ἐκπεραίνουσι. Δρῶσι γὰρ τοῦτο, ἵν' εὐπαράδεκτοι τοῖς τῇ νόσῳ παλαίουσι γένωνται καὶ ἡ διὰ τῶν φαρμάκων προσαγομένη τούτοις φαρμακεία τε καὶ ἰατρεία παραδεχθῇ, τεχνικῶς φαρματτομένη, ἤτοι ἰατρεύουσα, ἢ ὑποκλέπτουσα, ὅσα δριμύττει τὴν αἴσθησιν, τοῖς ἡδυτέροις τε καὶ αὐτὴν κολακεύουσι, καὶ πρὸς ἠπιότητα μεταφέρουσα ἢ καὶ ὑποκλεπτομένη τοῖς αὐτοῖς τούτοις, λέγω δὴ τοῖς ἡδύνουσιν ἅπαν ὅσον ἀηδές, καὶ [837] διὰ τοῦτο εὐπαράδεκτος γενομένη καὶ ἀπατῶσα τῷ λείῳ τῆς ἡδονῆς καὶ ὠφελοῦσα λεληθότως τοὺς κάμνοντας.

59,278,22. *(Ἡ περιτομὴ ἐν τῇ Νέᾳ Συμφωνίᾳ)* συνεσκιασμένως ... καὶ ὑποκεκρυμμένως ἠθέτηται. Ταῖς κατὰ μέρος μεταβάσεσι μεταβάντες λεληθότως ἐπὶ τὸ Εὐαγγέλιον. Τοῦτο γὰρ παρίσταται νοεῖν διὰ τοῦ κλαπέντες, ἐπειδὴ καὶ ἡ κλοπὴ λεληθότως εἴωθε γίνεσθαι καὶ κεκρυμμένως. Εἰκάζειν. *(Ὁ Ἠλίας ἑρμηνεύει)* ἐξομοιοῦν.

59,278,36-37. Ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσ-

βαλόντες τὴν ὄψιν προσαπολλύουσι γάρ... τὴν ὀπτικὴν καὶ τῶν αἰσθητῶν ἀντιληπτικὴν (δύναμιν). (Τοῖς λαμπροτέροις, *(δηλ.)* τὴν διάνοιαν) τοῖς τοιούτοις. . ἐπιχορηγεῖται τὸ Πνεῦμα τὸ Ἅγιον. Ὁ γὰρ σάρκινος ἄνθρωπος, ἀγύμναστον ἔχων πρὸς θεωρίαν τὸν νοῦν, μᾶλλον δὲ ὅλον ὥσπερ ἐν βορβόρῳ τῷ φρονήματι τῆς σαρκὸς κατορωρυγμένον φέρων, ἀδυνάτως ἔχει πρὸς τὸ πνευματικὸν φῶς τῆς ἀληθείας ἀναβλέψαι. Διὸ ὁ κόσμος, τουτέστιν ἡ τοῖς πάθεσι τῆς σαρκὸς δεδουλωμένη ζωή, οἷον ὀφθαλμὸς ἀσθενὴς φῶς ἡλιακῆς ἀκτῖνος, τὴν τοῦ Πνεύματος χάριν οὐχ ὑποδέχεται. Ἐπεὶ δὲ ἡ τοῦ ἐπιφορτίζεσθαι λέξις, παχυτέρα τις οὖσα καὶ σωματικωτέρα, οὐκ οἰκείως ἐπὶ τοῦ Ἁγίου Πνεύματος τέθεινται, ἐθεράπευσε ταύτην τῇ ὁμολογίᾳ τοῦ τολμήματος. Ἐπιδημεῖ· ἐπιφαίνεται.

59,279,5 ἑξ. Πρὸς τὴν πρώτην αἰτίαν ὥσπερ τὰ τοῦ Μονογενοῦς ἅπαντα, οὕτω καὶ τὰ τοῦ Πνεύματος ἀναφέρεται. Χορηγεῖσθαι μὲν οὖν ὑπὸ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ Ἅγιον καὶ μεταδίδοσθαι καὶ πέμπεσθαι γέγραπται πολλαχοῦ, ἐκπορεύεσθαι δέ, ὥσπερ καὶ παρὰ τοῦ Πατρός, οὐδαμῶς. Ἀλλὰ Λατῖνοι, τὸ ἐκπορεύεσθαι ἴσον εἶναι νομίζοντες τῷ ἐπιχορηγεῖσθαι καὶ μεταδίδοσθαι, οὐδὲν οἴονται προσκόπτειν, εἰ καὶ εκπορεύεσθαι τοῦτο ἐκ τοῦ Υἱοῦ λέγοιεν. Ἔστι δὲ οὐχ οὕτω ταῦτ᾽ ἔχοντα. Πόθεν ἅ γε ὅλῳ καὶ παντί, φασί, διαφέρειν. Τὸ μὲν γὰρ ἐκπορεύεσθαι τοῦ πῶς ἐστι τὸ Πνεῦμα δηλωτικόν. Τὸ δὲ πέμπεσθαι καὶ χορηγεῖσθαι καὶ μεταδίδοσθαι οὐ τοῦ πῶς ἐστι τὸ Πνεῦμα δηλωτικόν, ἀλλὰ πλουτισμός τις ἐν τούτῳ δηλοῦται καὶ οἷον χύσις τῆς ἀγαθότητος.

59,279,13-14 Τάξει τινὶ ἐπὶ τὸ τέλειον τῆς θεολογίας ἀνήχθημεν. Μήτε ἀθρόως [838] ἐκφαίνοντας, μήτε εἰς τέλος κρύπτοντας, ἐὰν μήτε τὸ πᾶν τῆς θεολογίας ἐκφαίνωμεν, μήτε παντελῶς τῇ συστολῇ ἀποκρύπτωμεν. Τέχνης ἐστὶ τὸ ἐκ τῶν στοιχειωδεστέρων τοῖς κατὰ μικρὸν προσθήκαις προσβιάζειν ἐπὶ τὰ τελεώτερα.

59,279,19-20. Ἃ... παρεκαλύπτετο. Ἃ τοῖς μαθηταῖς τῷ τότε τέως συνεκαλύπτετο. Ἃ τέως οἰκονομικῶς τῷ τότε τοῖς ἀποστόλοις συνεκαλύπτετο. Δι᾽ ἃς εἶπον ἴσως αἰτίας φεύγων δὲ τὸ περιαυτολογεῖν καὶ τὸ φορτικὸν εἶναι, διὰ τοῦτο, δοκεῖν, διὰ θεραπείας ταῦτα λέγει. (Ὑπὸ τοῦ Πνεύματος ἐνδημήσαντος) διὰ τῆς αὐτοῦ τοῦ Πνεύματος ἐπιφανείας.

59,279,23-24. Χωρητῆς ἤδη τυγχανούσης τῆς γνώσεως. Ἡ ἀπηκριβωμένη περὶ τῆς ἐν τρισὶ προσώποις θεωρουμένης γνῶσις θεότητος.

59,279,29 ἑξ. Ἔχω μὲν οὕτω περὶ τούτων: Ἐπισφραγίζει πάλιν διὰ τῆς ἐπαναλήψεως τὰ ἀποδεδειγμένα. *(Καὶ εὐθὺς μετά)*: (καὶ ἔχοιμι) εὐχῇ μεταξὺ τοῦτο *(δηλ.* τὸ λεχθὲν) ἐπισφραγίζει.

59,279,33. (Ἑωσφόρον). Ἔστι δὲ ἑωσφόρος ὁ τοῦ Θεοῦ Λόγος, ὁ τὰς ἡμετέρας καταυγάζων ψυχάς. Ὁ μὴ πιστεύσας οὖν εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, μηδὲ ὁμολογήσας εἶναι τοῦτο Θεόν, οὐ μὴ ἴδοι ἑωσφόρον ἀνατέλλοντα, οὐδὲ τὴν ἐκεῖθεν δόξαν ἐνοπτρισθήσεται. «Ἐν τῷ φωτί σου» γάρ, φησὶν ὁ προφήτης, «ὀψόμεθα φῶς»[1], τουτέστιν ἐν τῷ φωτισμῷ τοῦ Πνεύματος τὸν Μονογενῆ κατανοήσομεν, ὅς ἐστι φῶς ἀληθινόν.

59,279,34. Δόξαν τῆς ἐκεῖ λαμπρότητος, ἥτις καὶ ἀγγέλοις κατὰ τὸ δυνατόν, ἀλλ' οὐχ ὅλη ὅση ἐστίν, ἐστὶ χωρητή.

59,279,36-37. Πῶς ἐμὲ θεοῖ διὰ τοῦ βαπτίσματος; Θεοῦ γὰρ τὸ θεοῦν, ὡς καὶ τοῦ πυρὸς τὸ καίειν τε καὶ φωτίζειν. Καὶ ὁ βαπτιζόμενος δὲ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ Ἁγίου Πνεύματος υἱοθετεῖται Θεῷ καὶ θεοῦται διὰ τῆς τοιαύτης υἱοθεσίας. Θεούμεθα μὲν οὖν παρὰ τοῦ Πνεύματος διὰ τῆς ἀναγεννήσεως, υἱοθετούμενοι δι' αὐτοῦ, καὶ θέσει καὶ χάριτι θεοὶ χρηματίζοντες.

59,279,39. Ἄριστα δὲ πρόσκειται *(εἰς τὸ Ἰω 3,5, ὅπου περὶ τῆς ἀναγεννήσεως)*, ὅτι ὁ μὴ βαπτισθεὶς οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ[2]. Φῶς γάρ ἐστι νοητὸν τὸ Πνεῦμα τὸ Ἅγιον, πάσῃ φύσει λογικῇ πρὸς τὴν τῆς ἀληθείας εὕρεσιν **[839]** οἷόν τινα καταφάνειαν δι' ἑαυτοῦ παρεχόμενον.

59,287,1-2. *(Ἐν τῇ διὰ τοῦ Ἁγίου Πνεύματος ἀναγεννήσει).* Ἄνωθεν λοιπὸν ὑφαίνεται τῆς ἡμετέρας φύσεως ἡ κατασκευή.

59,280,1. Παρὰ δὲ τῆς ἀναγεννήσεως ἡ ἀνάπλασις, οὐ ... τὸν ῥυσσὸν καὶ πεπολιωμένον εἰς ἁπαλὸν καὶ νέον μετασκευάζουσα, ἀλλὰ τὸν κατεστιγμένον ταῖς ἁμαρτίαις ἢ κακοῖς ἐπιτηδεύμασιν ἐμπαλαιωθέντα χάριτι βασιλικῇ ἐπανάγουσα εἰς τὸ τοῦ βρέφους ἀνεύθυνον.

59,280,1. Βασιλικῇ δωρεᾷ *(δηλ. τῆς ἀναγεννήσεως διὰ τοῦ Ἁγίου Πνεύματος)* τῶν εὐθυνῶν ἀφεθείς.

59,280,4. Ὁ τῶν μαρτυριῶν ἑσμός. Τὸ τῶν μαρτυριῶν πλῆθος.

59,280,6-8. (Χριστὸς) δυνάμεις ἐπιτελεῖ, (τὸ Πνεῦμα) συμπαρομαρτεῖ. Ἐν τῷ τῆς Πεντηκοστῆς λόγῳ φησί· ᾧ παρῆν, οὐχ ὡς ἐνεργοῦν, ἀλλ' ὡς συμπαρομαρτοῦν[α], οὐχ ὥσπερ ἐπὶ τῶν ἄλλων ἀνθρώπων τῶν ἐνεργουμένων τῷ θείῳ Πνεύματι, ἀλλὰ συμπαρομαρτοῦν, ἤτοι συνοδεῦον, συνὸν διὰ τὸ ἀχώριστον τῆς Τριάδος. Λέγει δὲ ὁ Μέγας Βασίλειος, ὅτι ὅπου μὲν οἰκεία καὶ συμφυὴς καὶ ἀχώριστος ἡ κοινωνία, κυριωτέρα καὶ σημαντικωτέρα φωνὴ τὸ συνυπάρχειν[β]. Ὑποβάλλει γὰρ ἔννοιαν τῆς ἀχωρίστου κοινωνίας. Ὅπου δὲ ἐνδέχεται τὰ ἑνωθέντα χωρισθῆναι, προσφυὴς φωνὴ τὸ ἐνυπάρχειν. Τὴν γοῦν θερμότητα τῷ πυρὶ μὲν συνυπάρχειν φαμέν, τῷ δὲ σώματι

1. Ψαλ. 35,10. 2. Πρβλ. Ἰω 3,5.

α. ΒΕΠ. 60,117,1-2 β. ΒΕΠ 52,285.

ἐνυπάρχειν. Ἀκολούθως οὖν καὶ τὸ Ἅγιον Πνεῦμα τῷ μονογενεῖ μὲν Υἱῷ συνυπάρχειν λέγεται, τοῖς δὲ ἄλλοις ἁγίοις ἐνυπάρχειν.

59,280,18 ἑξ. Λέγεται δὲ ταῦτα τὸ Πνεῦμα, ὡς αἴτιον τούτων καὶ ὡς χορηγοῦν αὐτά.

59,280, c. 8. Ταῖς τῶν πιστευόντων διανοίαις ἐμφιλοχωρεῖν, *(ἐν Πνεύματι Ἁγίῳ)*.

59,280,12-13. Εἰς τὸ πλῆθος τούτων (*δηλ.* τῶν παρὰ τῇ θείᾳ Γραφῇ κειμένων κλήσεων ἐπὶ τοῦ Ἁγίου Πνεύματος) ἀπιδὼν καὶ οἷον ἰλιγγιάσας· ἐ γ ὼ μ έ ν, φησί, φ ρ ί τ τ ω, τ ὸ ν π λ ο ῦ τ ο ν ἐ ν ν ο ῶ ν τ ῶ ν κ λ ή σ ε ω ν.

59,280,12-13. Εἰπὼν... ἐ γ ὼ μ ὲ ν ο ὖ ν φ ρ ί τ τ ω, οὐδαμοῦ λύσας εὑρίσκεται τὸν μερισμὸν ὁ πάνσοφος. Καὶ ἔστι μὲν ἐνδιαθέτου σχῆμα λόγου τοῦτο, ὁ ἀπόλυτος λέγω μερισμός, ἐχρῶντο δὲ τούτῳ οἱ παλαιοὶ ἐπὶ τῶν φύσει ὁμολογουμένων ἢ καὶ ἀποδεδειγμένων Τοιοῦτον δ' ἂν εἴη καὶ τὸ *κατὰ Τιμοκράτους* Δημοσθένους προοίμιον, τό· τοῦ μὲν παρόντος **[840]** ἀγῶνος, καὶ τὰ ἑξῆς. Οὐδαμοῦ γὰρ ὁ σύνδεσμος οὗτος ἐλύθη τῷ ῥήτορι, καὶ παρέσχε μυρία πράγματα τοῖς ἀγνοήσασι τοῦτο τῶν ῥητόρων.

59,280,15. Α ὐ τ ο κ ύ ρ ι ο ς. *(Ὁ Ἠλίας ἀναφέρει τοῦ Ἀποστόλου λέγοντος)*· «Κ ύ ρ ι ο ς τ ὸ Π ν ε ῦ μ α»[1], *(εἶτα προσθέτει)*: ὁ δὲ Θεολόγος αὔξων τὴν εὐφημίαν, αὐτοκύριος, οὐ Κύριος εἴρηκεν. Ἐντεῦθεν γὰρ τοῖς ἄλλοις ἡ κυριότης.

59,280,18-20. Π ά ν τ α τ ῇ ο ὐ σ ί ᾳ π λ η ρ ο ῦ ν, π ά ν τ α σ υ ν έ χ ο ν, π λ η ρ ω τ ι κ ὸ ν κ ό σ μ ο υ κ α τ ὰ τ ὴ ν ο ὐ σ ί α ν, ἀ χ ώ ρ η τ ο ν κ ό σ μ ῳ κ α τ ὰ τ ὴ ν δ ύ ν α μ ι ν ... *(Ἐνταῦθα ὁ Ἠλίας ἀναφέρει ἐκ τοῦ περὶ Ἁγίου Πνεύματος τοῦ Μ. Βασιλείου κεφ. 9 ἀπὸ τὸ ἀπρόσιτον ἕως τό· οὐκ ὅσον ἐκεῖνα δύναται. Καὶ ἀπὸ οὐχ ἑνὶ ἕως δυνάμεσιν.* Π ά ν τ α: Καὶ πάντα. Ἀξίοις: ἁγίοις. — Τὴν χάριν ὁλόκληρον: Καὶ ὁλόκληρον τὴν χάριν. Ὁ ... θεῖος Ἀθανάσιος ἐκτὸς μὲν εἶναι τοῦτο (*δηλ.* τὸ Πνεῦμα τὸ Ἅγιον) τοῦ παντός φησι κατ' οὐσίαν, ἐν πᾶσι δὲ ταῖς ἑαυτοῦ δυνάμεσιν. Ὁ δὲ Μέγας Βασίλειος ἀπρόσιτον τῇ φύσει τοῦτο εἶπεν, ὡς ἄληπτον κατὰ τὴν φύσιν καὶ ἀνεννόητον. Ἀχώρητον ... κόσμῳ κατὰ τὴν δύναμιν, ὡς ἄπειρον· καθ' ὃ καὶ κατ' οὐσίαν ἐστὶν ἀχώρητον· καὶ πάλιν χωρητὸν λέγεται κατὰ τὴν οὐσίαν, ὡς πληρωτικὸν κατὰ τὴν προρρηθεῖσαν αἰτίαν. Ὁ ... Μέγας Βασίλειος περὶ τούτου (*δηλ.* περὶ τοῦ Ἁγίου Πνεύματος) φησίν, ὅτι πάντα μὲν πληροῖ τῇ δυνάμει, μόνοις δέ ἐστι μεθεκτὸν τοῖς ἀξίοις, πάντων πλήρωσιν λέγων τὴν πανταχοῦ παρουσίαν τῆς δυνάμεως αὐτοῦ. *(Κατωτέρω)*: Καὶ κατὰ τὴν οὐσίαν καὶ κατὰ τὴν δύναμιν πληρωτικόν ἐστι κόσμου καὶ χωρητόν, ὡς κατ' ἀμφοτέρους πανταχοῦ ὂν καὶ τὰ πάντα πληροῦν,

1. Πρβλ Β' Κορ 3,17.

καὶ αὖθις καὶ κατ' οὐσίαν καὶ κατὰ δύναμιν ἀχώρητον κόσμῳ, ὡς κατ' ἀμφοτέρους ἄπειρον καὶ ἀόριστον καὶ κεχωρισμένον πάντων τῶν ὄντων. Ἔστι δὲ τό· πάντα τῇ οὐσίᾳ πληροῦν, Σολομώντειον. «Πνεῦμα γάρ, φησί, Κυρίου πεπλήρωκε τὴν οἰκουμένην»[1]· Τὸ δέ· πάντα συνέχον, ἑρμηνευτικὸν τοῦ Σολομωντείου τούτου ἐστὶ [841] ῥητοῦ. (Τὸ Πνεῦμα τὸ Ἅγιον) μηδὲν ὂν τοῦ παντὸς τῷ κεχωρίσθαι τοῦ παντὸς κατ' οὐσίαν καὶ ὑπὲρ τὸ πᾶν εἶναι, κἂν ταῖς ἐνεργείαις καὶ ταῖς δυνάμεσι καὶ ταῖς προνοητικαῖς καὶ φρουρητικαῖς ἐπιλάμψεσιν ἐν πᾶσίν ἐστιν, ὥστε εἶναί πως ἐν πᾶσι καὶ μὴ εἶναι τὸ αὐτό.

59,280,20. Ἀγαθόν. Ἐν ἄλλοις δὲ αὔξων τὴν εὐφημίαν, καὶ δεικνὺς ὅτι οὐ κατὰ μετουσίαν ἐστὶν ἀγαθόν, ἀλλ' οὐσιῶδες ἔχει αὐτό, αὐτοάγαθον ἐκάλεσε καὶ πηγὴν ἀγαθότητος, ἀφ' οὗ καὶ τοῖς ἄλλοις τὸ ἀγαθύνεσθαι καὶ ἡ ἀγαθότης πηγάζεται.

59,280,20. Εὐθές. Εὐθὲς[2] (λέγεται)... ὅτι ἀπεναντίας ἔχει πρὸς τὴν τοῦ ὄφεως σκολιότητα· κατὰ γὰρ τὴν Γραφὴν Πνεῦμα Ἅγιον ἐκφεύξεται δόλον[3]· καὶ ὡς αὐτοδικαιοσύνη καὶ αὐτοαλήθεια, παρεκτροπὰς ἐπὶ θάτερα καὶ ἐκκλίσεις οὐκ ἔχον διὰ τὸ ἄτρεπτον τῆς οὐσίας καὶ ἀναλλοίωτον.

59,280,20. Ἡγεμονικόν. Ὡς τὸν ἡγεμόνα νοῦν κατευθύνον τῶν ὁδηγὸν παντὸς τοῦ βίου προστησαμένων αὐτό.

59,280,20-21. Φύσει, οὐ θέσει ἁγιάζον. Θέσει καὶ χάριτι.

59,280,21. Μετροῦν, οὐ μετρούμενον. Μετροῦν τὸν ἁγιασμὸν καὶ τὴν χάριν πρὸς τὴν ἐπιτηδειότητα τῶν ὑποδεχομένων. Ἀπολαύει γὰρ τὰ μετέχοντα αὐτοῦ, ὅσον αὐτὰ πέφυκεν, οὐχ ὅσον αὐτὸ δύναται, καθώς φησιν ὁ Μέγας Βασίλειος. Μετρεῖ μὲν οὖν αὐτὸ τὴν χάριν, ὡς εἴπομεν, οὐδενὶ δὲ μέτρῳ αὐτὸ περιγράφεται, ἀσώματον ὂν καὶ ἄποσον καὶ ἄποιον· σωμάτων μὲν γὰρ ταῦτα· τὸ δὲ θεῖον Πνεῦμα ἀσώματον, μετεχόμενον ὑπὸ τῶν ἁγίων πρὸς τὴν ἐκείνων ἐπιτηδειότητα, καθὼς ὁ Μέγας Βασίλειος λέγων· μόνοις δὲ μεθεκτὸν τοῖς ἁγίοις, καὶ ὁ Ἀπόστολος· «μετόχους γενηθέντας Πνεύματος Ἁγίου»[4]. Ἔστι δὲ ἴσον τοῦτο τῷ ἐν ἄλλοις ὑπὸ τοῦ μεγάλου τούτου λεχθέντι, ἐν οἷς φησι· μεταληπτόν, οὐ μεταληπτικόν. Μεταλαμβάνεται μὲν γὰρ ὑπὸ πάσης τῆς κτίσεως, δεομένης αὐτοῦ πρὸς σύστασιν καὶ μετέχεται κατὰ τὴν ἑκτικὴν ἑκάστου ἐπιτηδειότητα, αὐτὸ δὲ μεταλαμβάνει ἢ ἐν μεθέξει γίνεται οὐδενός. Ἀνενδεὲς γὰρ καὶ ἐπαρκοῦν ἑαυτῷ.

[842] 59,280,22. Πληροῦν, οὐ πληρούμενον, συνέχον, οὐ συνεχόμενον. Πληροῖ τὰ πάντα κατὰ τὸ προρρηθὲν Σολομώντειον, αὐτὸ δὲ οὐ πληροῦται. Ἔστι γὰρ πλῆρες καὶ

---

1. Σ Σολ. 1,7 Πρβλ. Ἰερ. 23,24 2. Πρβλ. Ψαλ. 50,12 3. Πρβλ. Σ Σολ. 1,5 4. Ἑβρ. 6,4

ὑπέρπληρες, καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ ἡμεῖς πάντες λαμβάνομεν καὶ πληρούμεθα, αὐτὸ δέ ἐστιν ἀνενδεὲς καὶ ἀμείωτον, καθάπερ καὶ ὁ ἥλιος ἐπιλάμπων τοῖς σώμασι καὶ ποικίλως μετεχόμενος, οὐκ ἐλαττοῦται παρὰ τῶν μετεχόντων. Τὸ δὲ συνέχον, οὐ συνεχόμενον τοῦ δηλωθέντος ἐστὶ Σολομωντείου.

59,280, c. 22 ἑξ. Διέξοδος *(καὶ)* διεξιέναι ...

59,280, c. 25. Ἡ εἰς τὸ εἶναι παραγωγή. Ὁ Θεοῦ λόγος ἀέρος τύπωσις σημαντική, διὰ φωνητικῶν ὀργάνων ἐκφερόμενος. Οὐ γὰρ προφορᾷ δημιουργεῖ ῥημάτων ὁ Θεός.

59,280, c. 26. Διὰ τί..., ὦ Π ν ε υ μ α τ ο μ ά χ ε, τὰς τρεῖς ὑποστάσεις κατακερματίζεις εἰς διαφορὰς φύσεις;

59,280,27. Ὁ δ η γ ο ῦ ν. Καὶ μή μοι τὴν ὁδηγίαν εἰς πᾶσαν τὴν διακονίαν ἐκλάβοις.

59,281,2. Λέγεται δὲ φῶς (τὸ Πνεῦμα) διὰ τὸ πᾶσαν ἄγνοιαν καὶ πλάνην ἐλαύνειν ἐκ πασῶν ψυχῶν. Αἷς ἂν ἐγγένηται, καὶ διὰ τὸ ἐπιστρέφειν πρὸς ἑαυτὸ πάντα τὰ ὅλως ὑπὸ τῶν αὐτοῦ μαρμαρυγῶν συνεχόμενα.

59,281,2. Ὥσπερ ἀχώριστον τῷ πυρὶ τὸ θερμαίνειν καὶ τῷ φωτὶ τὸ λάμπειν, οὕτω καὶ τῷ Πνεύματι τὸ ἁγιάζειν, τὸ ζωοποιεῖν, ἡ ἀγαθότης, ἡ εὐθύτης, καὶ οὐδὲν τούτων ἐπίκτητον αὐτῷ, οὐδὲ ὕστερον ἐπιγινόμενον πρόσεστιν.

59,281 3. Οἷς... ἂν ἐγγένηται τὸ Πνεῦμα τὸ Ἅγιον, πάσης κηλῖδος ἀποκαθαίρει αὐτούς.

59,281,3. Θ ε ο π ο ι ο ῦ ν. Θεοποιεῖ δὲ διὰ τοῦ βαπτίσματος, υἱοὺς Θεοῦ ἀπεργαζόμενον καὶ θέσει καὶ χάριτι θεούς, φύσει Θεὸς τυγχάνον αὐτό. Τὸ γὰρ ἄλλοις τὴν θέωσιν δωρούμενον, πῶς οὐ φύσει Θεός; *(Καὶ κατωτέρω)*: Φύσει... Θεός, ἀλλ' οὐ θέσει καὶ χάριτι, τὸ θεοῦν ἑτέρους δυνάμενον.

59,281,3. Τ ε λ ε ι ο ῦ ν. Ἢ τοὺς βαπτιζομένους τελείους ποιοῦν αὐτούς.

59,281,3 ἑξ. (Τὸ Πνεῦμα) συντηρητικὸν τῆς ἐπι**[843]**βραβευθείσης ἡμῖν δι' αὐτοῦ *(δηλ.* τοῦ βαπτίσματος) καθάρσεως. *(Καὶ εὐθέως μετὰ τὸ περὶ Βαπτίσματος χωρίον)*: βραβεύειν ἐξάλειψιν.

59,280,5. Οἱ Ἀπόστολοι πολλήν τινα τὴν οἰκειότητα ἔφερον πρὸς τὸν τοῦ Εὐαγγελίου λόγον, ὡς ὄργανα ὑπὸ τοῦ παναγίου Πνεύματος κρουόμενα καὶ ἐξηχοῦντα τοῦτον.

59,281, c. 5-6. Ἡ πρὸς τὸν τοῦ κηρύγματος λόγον οἰκείωσις. Καὶ ἡ πρὸς τὸν Λόγον Χριστὸν οἰκείωσις τοῦ παναγίου Πνεύματος.

59,280,14-15. Τοσοῦτον... ᾠκείωται αὐτῷ *(δηλ. τῷ Χριστῷ)* τὸ Πνεῦμα, ὅτι καὶ Χριστοῦ Πνεῦμα λέγεται[1].

59,281,5. Ἐ ν π υ ρ ί ν α ι ς δ ὲ *(δηλ.* γλώσσαις)[2]. Τάχα μέν,

---

1. Πρβλ. Ρωμ. 8,9. 2. Πρβλ. Πράξ. 2,3

ὅτι καθαρτικὸν τὸ Πνεῦμα τὸ Ἅγιον καὶ ἀναλωτικὸν τῆς ὕλης τε καὶ τῆς πονηρᾶς ἕξεως, ὡς καὶ τὸ πῦρ τῆς μὴ συγγενοῦς ὕλης τῷ χρυσίῳ, ἢ καὶ ὡς ὁμοούσιον τῷ Θεῷ καὶ Πατρὶ καὶ τῷ ἐνυποστάτῳ λόγῳ αὐτοῦ. Γέγραπται γὰρ ἐν τῷ Δευτερονομίῳ· «Κύριος ὁ Θεός σου πῦρ καταναλίσκον ἐστίν»[1]. Εἰ οὖν πῦρ ὁ Θεὸς ὑψηλοτέρας διανοίας λόγοις, ἐν εἴδει δὲ πυρὸς καὶ τὸ Πνεῦμα ὀπτάνεται τοῖς μαθηταῖς, ὁμοούσιον ἄρα τὸ Πνεῦμα τῷ Θεῷ.

59,281, c. 11. Ὁ ... θρόνος βασιλείας καὶ ἀναπαύσεως σύμβολον.

59,281,5-6. Ποιοῦν Ἀποστόλους, Προφήτας, Εὐαγγελιστάς. *(Ὁ Ἠλίας ἐπικαλεῖται τά· Ἐφ. 4,11 καὶ Α' Κορ. 12,28)*.

59,281,11. Ἔχων... ὁ ἄγγελος φυσικῶς τὸ αὐτεξούσιον, ἀπαρεμποδίστως τούτῳ κέχρηται, μὴ ταῖς ἐκ τοῦ σώματος ἀνθολκαῖς, ὥσπερ ὁ ἄνθρωπος, κωλυόμενος. *(Καὶ κατωτέρω)*: Εἰ .. αὐτεξούσιός ἐστιν ὁ ἄνθρωπος καὶ φυσικῶς ἔχει τὸ αὐτεξούσιον, ἀλλά γε διὰ τὰς ἐκ διαβόλου προσβολὰς καὶ διὰ τὸ βάρος τοῦ σώματος, ἐφυστερίζει ἡ προχείρισις τῆς ἕξεως.

59,281,10. Παντεπίσκοπον. Ἔστι δὲ καὶ «πανεπίσκοπον»[2], ὡς πάντα ἐφορῶν[3] καὶ πάντα ἐπισκοποῦν, καὶ ὡς οὐδενὸς τὴν ἐποπτικὴν αὐτοῦ δύναμιν διαδρᾶναι δυναμένου. Μέχρι γὰρ διαλογισμῶν καὶ ἐννοιῶν καὶ ἐνθυμήσεων διικνεῖται.

59,281,10-14. Διὰ πάντων χωροῦν τῶν πνευμάτων, νοερῶν... ἄλλων δὲ ἀλλαχοῦ νενεμημένων, ᾧ δηλοῦται τὸ ἀπερίγραφον. *(Ἐνταῦθα ὁ Ἠλίας ἀναφέρει τὸ Σ. Σολ. 7,5 καὶ παρατηρεῖ)*: Παρέστησε δὲ τὸ ἀχρόνως διὰ πάντων χωρεῖν τὸ Πνεῦμα τὸ Ἅγιον **[844]** καὶ ὁ μέγας οὗτος ἐν τῷ εἰπεῖν· κατὰ ταὐτό. Τῶν γὰρ Προφητῶν καὶ Ἀποστόλων ἄλλων ἀλλαχοῦ διεσπαρμένων καὶ οὐκ ἐν τοῖς αὐτοῖς τόποις διατριβόντων, πᾶσι κατὰ ταὐτὸν συμπαρῆν τὸ Πνεῦμα τὸ Ἅγιον, τοῖς μὲν τὸ τῆς προφητείας χάρισμα ἐνεργοῦν, τοῖς δὲ τὰς ἀπείρους θεοσημείας. Ἐν ᾧ δηλοῦται τὸ τοῦ Πνεύματος ἀπερίγραπτον.

59,281, c. 10. Ἡμεῖς ἀλλήλοις ἐντυγχάνομεν, φωνῆς διὰ τοῦ ἀέρος διαπορθμευούσης ἀπὸ τῶν λεγόντων εἰς τοὺς ἀκούοντας δεόμενοι τὰ ἐν τῇ ψυχῇ κινήματα καὶ διακονήματα.

59,281,15-16. «Ἄλλον Παράκλητον»[4]. Πέμψει οὖν Παράκλητον ἄλλον, οἷον ἐμέ, ἴσον ἐμοί. Ἀληθεῖς οἱ διὰ τῶν φωνῶν τούτων Θεὸν τοῦτο (δηλ. τὸ Πνεῦμα) ἀποδεικνύοντες. Τὸ δὲ στηλιτεύειν ἐκ μεταφορᾶς τῆς στήλης εἴρηται. Στήλη δέ ἐστι λίθος ἢ χαλκὸς ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾧ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις.

---

1. Δευτ. 9,3. 2. Σ. Σολ. 7,23. 3. Πρβλ. Β' Μακκ. 9,5. 4. Ἰω. 14,16

59,281,22. Ἔμψυχοι. Ἐνεργοὶ διὰ τὴν ἐνέργειαν καὶ οἷον ζῶσαι καὶ ἰσχυραί, ὡς οὐ μόνον ἐν γράμμασι κεῖσθαι ταύτας καὶ φαίνεσθαι οἷον εἰκόνας τινὰς καὶ σύμβολα τὰ πράγματα, ἀλλὰ καὶ ὡς αὐτὰ τὰ ἔμψυχα ἰσχύειν καὶ αὐτὰς ἐκείνας τῶν εἰρηκότων τὰς ψυχὰς ἐμβοᾶν καὶ πνεύματα. Λέγεται δὲ καὶ ἰδίᾳ ἔμψυχος λόγων κατὰ ῥήτορας.

59,281,24-25. Ἡ δουλικὴ τάξις καὶ ὑπόπτωσις.

59,281,26. Εἴτε τι ἄλλο. Καὶ εἴ τι δὲ ἄλλο τοιοῦτον, ἐπὶ τὸν Πατέρα, φησί, ἀνενεκτέον, οἰκονομικῶς λεγόμενον, ἵνα τὸ ἐξ οὗ δειχθῇ, ὥσπερ καὶ ὁ Υἱός. Ὡς γὰρ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ Ἅγιον ἐκεῖθεν, οὕτω καὶ ταῦτα ἐπὶ τὸν Πατέρα καὶ προβολέα ἀνακτέον.

59,281, c. 24 ἑξ. *(Ἔνθα περὶ ἀποφθεγμάτων τῆς Ἁγίας Γραφῆς, ἐν οἷς τὸ Ἅγιον Πνεῦμα ὑπὸ τοῦ Θεοῦ ἐκ τῶν οὐρανῶν λέγεται ἀποστέλλεσθαι).* Οἰκονομικῶς ταῦτά μοι νόει. Ἔρχεται μὲν γὰρ δεσποτικῶς καὶ ὡς κύριον, λέγεται δὲ ἀποστέλλεσθαι οἰκονομικῶς, ὡς οὐκ ἀντίθεον

59,281,31-32. Πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ φιλοπραγμοσύνῃ τοῦ νοῦ. Πολλά, φησί, σκεψάμενος πρὸς ἐμαυτὸν καὶ πολυπραγμονήσας τῇ φιλοπραγμοσύνῃ τοῦ λόγου

59,281,32 Τὸν λόγον εὐθύνας. Ἤγουν ἐξετάσας.

59,282,1-2. Οὐκ ἔχων ᾧτινι χρὴ τῶν κάτω τὴν θείαν φύσιν παραβαλεῖν. Οὐχ εὗρον, πρὸς ὅπερ ἂν τὴν θείαν φύσιν ἐξομοιώσαιμι.

59,282,2 ἑξ. Ὥσπερ... ἄληπτα καὶ **[845]** ἀθεώρητα, καθὼς φησιν ὁ μέγας Διονύσιος, τοῖς αἰσθητοῖς ἐστι τὰ νοητὰ καὶ τοῖς ἐν πλάσει καὶ τύπῳ τὰ ἁπλᾶ καὶ ἀτύπωτα, τοῖς τε κατὰ σωμάτων σχήματα μεμορφωμένοις ἡ τῶν ἀσωμάτων ἀναφὴς καὶ ἀσχημάτιστος ἀμορφία, κατὰ τὸν αὐτὸν τῆς ἀληθείας λόγον καὶ τῶν σωματικῶν ἁπάντων ὑποδειγμάτων ὑπέρκειται. Διὸ κἂν μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ πλεῖον, καταλιπὸν ἡμᾶς κάτω μετὰ τοῦ συντρόφου ἡμῖν ὑποδείγματος. Ὁποῖόν τι καὶ τοῦτό ἐστι τὸ ὑπόδειγμα, ὃ ταῖς τοῦ νοῦ φιλοπραγμοσύναις ἐντετύπωκα.

59,282,3-4. Ὀφθαλμόν. *(Ὁ Ἠλίας ἑρμηνεύει τὴν πρώτην ἀνάβλυσιν τῆς πηγῆς)*: Τῆς πηγῆς καὶ λέγει τὴν ἀρχήν, τὴν πρώτην βλύσιν... ἐξ ἧς, ὥσπερ ἀπ' ὀφθαλμοῦ τινος φῶς, τὸ ὕδωρ βλυστάνει ἀναδιδόμενον.

59,282,12,3-4. Ἥλιον... καὶ ἀκτῖνα καὶ φῶς. Εἶδος μὲν... ἡλίου τὸ φῶς, ὡς ἐν τῷ εἰς τὴν Νέαν Κυριακὴν εἴρηκε λόγῳ, ὅπερ ἀσώματον ἐκάλεσε καὶ ἀνήλιον, ὕλη δὲ τοῦ φωτὸς τὸ ἡλιακὸν σῶμα, ὁ δίσκος. Τούτοις τοῖς ὑποδείγμασι φαίνεται χρησάμενος καὶ ὁ κορυφαιότατος Πέτρος ἐν τοῖς Κλημεντείοις, ὃν αἰνίττεσθαί μοι δοκεῖ καὶ οὗτος ὁ ἅγιος ἐν τῷ, μετὰ τὸ εἰπεῖν· ὀφθαλμόν τινα καὶ

πηγὴν καὶ ποταμὸν ἐνενόησα, ἐπαγαγεῖν τό· καὶ γὰρ καὶ ἄλλοι.

59,282,22-23. Σχεθεῖσα τῷ ἀντιτύπῳ. Χεθεῖσα ἐν οἴκῳ καὶ τοίχῳ ἀντιτύπῳ, ἤτοι τῇ [846] ἀντιτυπίᾳ τοῦ τείχους καὶ πυκνότητι προσπελασθεῖσά τε καὶ καταχεθεῖσα.

59,282, c. 23. Χρησάμενος οὖν καὶ τούτῳ τῷ ὑποδείγματι καὶ ἀθρῶς οὕτω φράσας καὶ ἐναργῶς, ἀποδοκιμάζεται πάλιν.

59,282,33. Παντὸς... ὑποδείγματος ἀεὶ τὸ Θεῖον ὑπερίδρυται.

59,282,35-36. Χαίρειν ἐᾶσαι. Τὸ μὲν χαίρειν ἐνταῦθα ἀντὶ τοῦ οἰμώζειν καὶ στένειν τάττεται, ἐκ δημώδους τινὸς παροιμίας ληφθέν. Ἔθος γὰρ τοὺς παλαιοὺς ἀποτροπιαζομένους τοὺς πρὸς οὓς ἀπεχθῶς διέκειντο, τὸ χαίρειν προσφωνοῦντας παριέναι αὐτούς.

59,282,36. Σκιαὶ ... ὄντως πάντα ταῦτα (*δηλ.* τὰ ἐν τῷ κόσμῳ πάντα ἀγαθὰ δοκοῦντα) καὶ εἰκόνες ἀμαυραί, πρός τε τὰ ἐκεῖθεν ἀγαθὰ καὶ αὐτὴν τὴν ἀλήθειαν συγκρινόμενα, εἰ καὶ δοκοῦσί τινες τὰ ὡς ὄντως κατέχειν ἀγαθά, τῶν σκιῶν ἐκείνων ἐπιδραττόμενοι κατὰ τὴν αἰγυπτίαν ἐκείνην, τὴν μὴ τοῦ Ἰωσήφ, ἀλλὰ τῶν ἱματίων ἐκείνου ἐπιδραττομένην καὶ νομίζουσαν αὐτὸν κατέχειν τὸν Ἰωσήφ

59,282,40. Τὸν αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα. Τουτέστι τὸν παρόντα κόσμον, τέμνοντα τὴν πρὸς τὴν σάρκα σχέσιν διὰ τῶν ἀρετῶν καὶ τῶν ὑλικῶν ἑαυτοῦ περιαιρούμενον τὴν ἀπάτην.

[847] 59,282,43. Ἐλευσόμενός ποτε μετὰ τὴν τῶν αἰώνων περαίωσιν εἰς τὴν τελείαν λῆξιν.

ΛΟΓΟΣ ΛΒʹ.

60,11,10. Ἐμπόρευμα. Πανηγύρεως... μνημονεύσας, ἐπέμεινε τῇ τροπῇ, καταλλήλως αὐτῇ ἀποδοὺς τὸ ἐμπόρευμα. Λέγεται γὰρ ἐμπόρευμα ἡ ἐργασία ἤτοι ἡ πραγματεία, ἐξ ἧς κέρδος περιγίνεσθαι εἴωθε, σωματικὸν μὲν τοῖς τὰ σωματικὰ ἐμπορευομένοις, πνευματικὸν δὲ τοῖς πραγματευομένοις τὰ πνευματικά.

60,11,15. Εἰμὶ μέν. Τοῦτό τινες σκωπτικῶς κατ' ἐκείνου ἀπέρριπτον.

60,11,19-20. (*Ὁ Ἠλίας θεωρεῖ*) λήρους τῶν λεγόντων διὰ χιλιονταετηρίδος τέλος λαμβάνειν τὴν κόλασιν.

60,11, c. 16 ἑξ. (*Ἐκ τοῦ Μαξίμου τοῦ Ὁμολ.. αἱ ὑπὸ τοῦ Ἠλία ἀναφερόμεναι φράσεις*). Ἀδιαφόρως ἁμαρτάνειν καὶ ἀδιαφόρως ἀγαθοεργεῖν.

60,11,21. Ταῖς γηΐναις ἀσχολίαις τε καὶ φροντίσι καταχωννὺς (*δηλ.* τὸ χάρισμα).

60,11,23. Ὀκνηρία.

60,11,29. Ἡ εἰρήνη, ἣν ὁ Κύριος τοῖς μαθηταῖς ὡς ἐξαίρετόν τινα κλῆρον ἐβράβευσεν[1]. (Εἰρήνη Θεοῦ) εὐστάθειαν ἐμποιοῦσα τῷ ἡγεμονικῷ.

60,12,2. Σώματα ἀταξίᾳ καὶ στάσει στοιχείων νοσήσαντα... διαφθαρήσονται.

60,12,11. Εἴτε ... εἴτε ... Ἡ ἐνδοίασις ἐπιεικῆ τὸν λόγον ποιοῦσα καὶ ἠθικόν.

60,12,16. Θερμὰς φύσεις καὶ μεγάλας λέγων τοὺς ἀνδρώδεις τε καὶ θυμοειδεῖς. Οὗτοι γὰρ πρὸς ὅπερ ἂν ῥέψωσιν, εἴτε πρὸς τὸ χεῖρον εἴτε πρὸς τὸ ἀγαθόν, μεγάλα κατορθοῦν πεφύκασι. Λόγῳ μὲν γὰρ παιδαγωγούμενος ὁ θυμός· πέφυκε γὰρ κατακούειν οὗτος τοῦ λόγου, ἀλλ᾽ οὐ πάντῃ ἐστὶν ἀνήκοος, ὡς τὸ θρεπτικὸν καὶ αὐξητικὸν τῆς ψυχῆς· ἀνδρείαν ποιεῖ καὶ ὑπομονὴν καὶ ἐγκράτειαν· νεῦρον γάρ ἐστι τῆς ψυχῆς, καθώς φησιν ὁ Μέγας Βασίλειος, τόνον αὐτῇ πρὸς τὴν τῶν καλῶν ἔνστασιν ἐμποιοῦν· τοῦ λόγου δὲ προεκπηδῶν καὶ μὴ κατὰ τὸν ὀρθὸν λόγον ἐνεργῶν, μανία γίνεται. Ἐπειδὰν γὰρ ἢ λόγος ἢ **[848]** πρᾶξις ἤ τις ὑπόνοια τῶν ἀηδεστέρων τὸ τοιοῦτον πάθος ἀνακινήσῃ καὶ περιζέσῃ τῇ καρδίᾳ τὸ αἷμα καὶ διαναστῇ πρὸς ἄμυναν ἡ ψυχή, ἐξαίφνης ἔστιν ἰδεῖν σὺν ἢ κύνα ἢ πάρδαλιν ἢ ἄλλο τι τῶν τοιούτων θηρίων ἐκ τοῦ θυμοῦ τὸν ἄνδρα γενόμενον. Οὔκουν τὸ εἰς ὀργὴν ἁπλῶς ἐξάπτεσθαι φαῦλον, ἀλλὰ τὸ μὴ σὺν λόγῳ τοῦτο γίνεσθαι σφαλερόν. Διὸ καὶ ὁ Κύριος τῷ μὲν ὀργιζομένῳ εἰκῇ τὴν κρίσιν ἐπανατείνεται, τὸ δὲ ἐφ᾽ ἃ δεῖ κεχρῆσθαι τῇ ὀργῇ οὐ παραιτεῖται. Τὸ γὰρ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ τοῦ ὄφεως[2], διδάσκοντός ἐστι κεχρῆσθαι τῷ θυμῷ ὡς ὅπλῳ κατὰ τοῦ πονηροῦ καὶ τῆς ἁμαρτίας.

60,12,17-19 Μήπω... ἀμήχανον. Εὐσεβοῦσι... καὶ ὑπὲρ εὐσεβείας ἀποθανεῖν ἕτοιμοι, ὅσοι θερμότερον καὶ κατὰ τῆς ἡδονῆς ἵστανται, χαλούσης τὸν τῆς ψυχῆς τόνον, ὅσοι ταύτῃ διαθερμαίνονται.

60,12,20 ἑξ. Τὸ... θράσος οὐ τοῦ λόγου, ἀλλὰ τῆς ἀλογίας γέννημα, οὐδὲ τῆς μαθήσεως, ἀλλὰ τῆς ἀμαθίας, ὡς καὶ Θουκυδίδης φησίν, ὅτι ἀμαθία μὲν θρασεῖς ποιεῖ, τὸ λελογισμένον δὲ ὀκνηρούς. Γίνεται δὲ ἡ νάρκωσις, τῶν νεύρων συμπιλουμένων, καὶ τοῦ ψυχικοῦ πνεύματος προϊέναι ἐμποδιζομένου, δι᾽ οὗ τοῖς ζῴοις ἡ κίνησις.

60,12,23. Αἱ γενναῖαι δέ. Αἱ δέ γε γενναῖαι καὶ ὀξύρροποι πρὸς ἀμφότερα, λόγου μὲν αὐτὰς ῥυθμίζοντός τε καὶ διευθύνοντος καὶ δίκην παιδαγωγοῦ τὰ τοῦ θυμοῦ σκιρτήματα καταστέλλοντος καὶ παιδεύοντος αὐτὸν μηδαμῶς τῆς οἰκείας ἐκβαίνειν τάξεως, ἄγεσθαι δὲ μᾶλλον ἐφ᾽ ὅπερ ἂν οὗτος καθηγήσαιτο, μέγα τι χρῆμα εὑρίσκονται πρὸς ἀρετήν, τὰ τοῖς πολλοῖς δυσχερῆ εὐχερῶς ἐξανύουσαι. Τοῦ λόγου δὲ ἐπιλείποντος, καὶ τὸ ἴσον εἰς κακίαν αἱ

---

1. Πρβλ. Ἰω. 14,7. 2. Πρβλ. Γεν. 3,15

μεγάλαι αὗται φύσεις εὑρίσκονται. Ὡς γὰρ λόγῳ παιδαγωγούμεναι τὰ μέγιστα κατορθοῦν πεφύκασιν, οὕτως ἀπαιδαγώγητοι μείνασαι, περιφανεῖς ἐπὶ κακίᾳ γνωρίζονται καὶ μεγάλα τὰ πτώματα πάσχουσι. Φύσεις δὲ γενναίας πληθυντικῶς τοὺς θερμοὺς καὶ ἀνδρώδεις ἐκάλεσεν... ὅτι, τοῦ τῆς φύσεως ὀνόματος τῶν πολλαχῶς λεγομένων τυγχάνοντος, λέγεται **[849]** φύσις, καὶ τὸ τοιῶσδε κεκρᾶσθαι καὶ πεφυκέναι.

60,12,20 ἑξ. (Ἄνθρωποι) ὑπὸ μίαν... ἅπαντες φύσιν ἀνάγονται.

60,12,27. Εἴη δ' ἂν ὁ αὐτὸς μηδὲν ἀγαθοῦ. Ἀττικὸν ... τοῦτο, ἀντὶ τοῦ· οὐδὲν ἀγαθόν.

60,12,29. Τοῦτό ἐστι. Πρὸς... τὸ πρᾶγμα, οὐ πρὸς τὴν λέξιν ἀπέβλεψε. Διὸ καὶ οὐδετέρως τὸν λόγον ἀποδέδωκε.

60,12,31. (Ποιμένες Ἐκκλησίας) οἳ καὶ γονέων ἐπέχουσι τάξιν.

60,12,35,39. Ἡ μὲν αἰδώς ἐστι φόβος ἐπὶ προσδοκίᾳ ψόγου. Φοβούμενοι γὰρ μωμηθῆναι, ἀπεχόμεθα τοῦ κακοῦ καὶ πρὸς ἀρετὴν ὁδηγούμεθα. Κάλλιστον οὖν τοῦτο τὸ πάθος καὶ βοήθημα πρὸς ἀρετήν. Ἡ μέντοι αἰσχύνη φόβος ἐστὶν ἐπὶ αἰσχρῷ τινι πεπραγμένῳ. Τὸ οἷον παρεντεθέν, ὁμοιωματικὸν ὄν, θεραπεύει τὴν τολμηρίαν τοῦ λόγου.

60,12,42. Εἰρωνικὸν τὸ ἐχρῆν.

60,13,21. Δέον. Ἁρμοδίου ὄντος. Κατὰ γὰρ τὴν Ἀττικὴν συνήθειαν εἰς τὸ δέον τοῦτο μετέβαλλεν.

60,13,24. (Τὸ Πνεῦμα) κατὰ ... τὰ ἄλλα πάντα ἀπαραλλάκτως ἔχει πρός τε τὸν Πατέρα, πρός τε τὸν Υἱόν.

60,13,28. 14,1-2. Οἱ ... μὴ ὀργιζόμενοι ὅλως ἢ διαθερμαινόμενοι ἐφ' οἷς δεῖ, ἠλίθιοι δοκοῦσιν εἶναι. Δοκεῖ γὰρ ὁ ἠλίθιος ἀναίσθητός τις εἶναι καὶ εἰς ἅπαν ἀκίνητος. (Ὑπερπίπτουσα) μεταφορικὴ... ἡ λέξις, ἀπὸ τῶν βελῶν τῶν ὑπὲρ τὸν σκοπὸν φερομένων.

60,13,28 ἑξ. Ἡ θερμότης, ἔξω τοῦ καλοῦ καὶ τῆς ἀρετῆς πίπτουσα διὰ τὸ ὑπερβάλλειν καὶ μὴ ἐν τῇ μεσότητι τῆς ἀρετῆς ἵστασθαι, ἥτινι ἀρετῇ καὶ ἡ ὑπερβολὴ καὶ ἡ ἔλλειψις λυμαίνεσθαι εἴωθεν.

60,14,16-17. Ἐὰν εἰδῶμεν κόσμον. Ἐὰν... γινώσκωμεν τάξει τὸ πᾶν συνεστηκὸς καὶ τὸν κόσμον αὐτὸν καταμάθοιμεν, τάξει δηλονότι συστάντα καὶ δι' αὐτὸ τοῦτο κόσμον ὄντα τε καὶ λεγόμενον.

[850] 60,14,18 ἑξ. *(Ὁ Γρηγόριος χρῆσιν ποιεῖται τοῦ Ἡσ. 51,6).* Προτρέπεται δὲ ὁ πάμμεγας καὶ διὰ τῆς εἰς τὸν οὐρανὸν καὶ τὴν γῆν ἐμβλέψεώς τε καὶ ἀναβλέψεως εἰς εὐταξίαν ἡμᾶς. Τάξει γὰρ καὶ συνέστη τὸ πᾶν καὶ ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθη. Παραχθῆναι *(καὶ)* διαμορφωθῆναι. Ὁ παραγωγεὺς τῶν ὅλων *(Θεός).*

60,14,23-24. Οὐδὲ ὁμοῦ τὸ πᾶν ἀναδεῖξαι καὶ διακοσμῆσαι ἀσθενὴς ἦν. (Τὰ γινόμενα) λόγοις ἀρρήτοις τασσόμενα καὶ οὐκ ἀθρόον ἀναδιδόμενα τῷ πάντα δυνα[μα]τὰ Λόγῳ[1].

1. Πρβλ. Σ Σολ. 18,15.

60,14,28-29. Τάξις ἐν ἀγγέλοις. *(Ὁ Ἠλίας ἐπικαλεῖται τὸν Διονύσιον τὸν Ἀρεοπαγίτην, ὁ ὁποῖος μνημονεύει μεταξὺ ἄλλων)* ἀγγέλους φρουρητικοὺς *(καὶ)* ἐπιστρεπτικούς.

60,14,29. (Ἀστέρες) ὑφειμένην ἔχοντες τὴν λαμπρότητα καὶ κρυπτομένην τὴν ἐκείνων λαμπρότητα.

60,14,32. Τάξις ἐν ὥραις καὶ καιροῖς, ἐν κόσμῳ προσιοῦσί τε καὶ ὑπαπιοῦσι ...

60,14,33. Τιθασσεύουσιν. Ἤγουν ἡμεροῦσιν ἀγριαίνον καὶ πραΰνουσιν. Τιθασσεύει καὶ καθάπερ τισὶ χειρῶν ἐπιβολαῖς ταῖς ἰδίαις ποιότησιν οἰκειοῖ ἑκατέρῳ.

60,14,33-34. *(Νὺξ καὶ ἡμέρα)* εὐτάκτως ἀλλήλας διαδέχονται καὶ ἀντιπαραχωροῦσι διὰ τῆς προσλήψεώς τε καὶ ἀνθυφαιρέσεως.

60,14,34. Στοιχεῖα *(σωμάτων)* ὧν εὐτακτούντων μὲν ὑγιαίνει τὰ ζῷα, ἀτακτούντων δὲ νοσεῖ τε καὶ φθείρεται.

60,14,35. Ἥπλωσεν ἀέρα. Ὁ δ' ἀὴρ ἥπλωταί τε καὶ ὑποβέβηκε Ὁ πάνσοφος **[851]** *(δηλ. ὁ Γρηγόριος)* ἀποδέδωκε τῷ ... ἀέρι τὸ ἐφηπλῶσθαι καὶ οἱονεὶ περιχεῖσθαι τῇ γῇ·

60,15,1. Πεπηγότα... τῷ λόγῳ, Τῷ τῆς ἰδίας φύσεως δηλαδή, ἢ καὶ τῷ προστάγματι τῷ δημιουργικῷ.

60,15,1. Τῇ ῥεύσει... Οὕτω μεταφορικῶς ὀνομάσας τὴν κίνησιν, διὰ τῆς λέξεως ταύτης τὸ ῥοῆς ἔκγονα εἶναι καὶ ἀεὶ γίνεσθαί τε καὶ ἀπογίνεσθαι παραστῆσαι βουλόμενος. Ἡμεῖς μὲν οὖν τὴν λέξιν ἐξομαλίζοντες, τὴν ῥοὴν κατ' ἀμφοτέρων, τοῦ τε γίνεσθαι καὶ τοῦ ἀπογίνεσθαι, ἐδεξάμεθα. Εἰσὶ δέ, οἵτινες ἐπὶ τῆς φθορᾶς μόνης ταύτην ἐδέξαντο.

60,15,6. Τῶν μὲν ... νεφῶν ἀτακτούντων καὶ συρρηγνυμένων βιαίως, ἢ τοῦ αἰθερίου πυρὸς πλεονάζοντος ἐν ἀέρι, οἱ σκηπτοὶ συνίστανται, — — τοῖς ἀερώμασι δὲ καὶ σήραγξι τῆς γῆς ὑδάτων ἢ πνευμάτων εἰσχεομένων, εἶτα στενοχωρουμένων περὶ τὴν ἔξοδον καὶ βιαίως κραδαινόντων αὐτήν, οἱ σεισμοί. — — Αἱ δ' ἐπικλύσεις ἐν θαλάσσῃ γίνονται, πνευμάτων ἐναντίων ἀντιπνεόντων καὶ ἑκατέρου προωθοῦντος τὴν θάλασσαν. Συνάγεται μὲν γὰρ αὕτη ἐπὶ τὸ αὐτὸ καὶ εἰς ὕψος μετεωρίζεται, εἶτα τοῦ ἑνὸς ἡττηθέντος πνεύματος, καὶ ὑπὸ τοῦ ἐπικρατοῦντος ἀντωθουμένη, ἐκρήγνυται ἀθρόον καὶ πίπτουσα τὸν κατακλυσμὸν ἐργάζεται. Καὶ τοῦτο ἱστορεῖ Ἀριστοτέλης ἐν Ἀχαΐᾳ γενέσθαι, ἔξωθεν μὲν νότου πνέοντος, ἐκεῖθεν δὲ βορέου ἀντιπνέοντος.

60,15,5-6. Τὸ ... αὐτὸ πνεῦμα ἐκκρινόμενον κατὰ μικρὸν μὲν καὶ σποράδην χεόμενον καὶ λεπτότερον ὄν, βροντὰς ποιεῖ καὶ ἀστραπάς. Ἂν δ' ἀθρόον καὶ πυκνότερον ἐκκριθῇ, ἐκνεφίας ἄνεμος γίνεται. Διὸ καὶ βίαιός ἐστιν. Ὅταν δὲ κατασπώμενον ἐκπυρωθῇ, τοῦτο δ' ἐστὶν ἂν λεπτότατον τὸ πνεῦμα γένηται, καλεῖται πρηστήρ. Ἐμπίπρησι γὰρ

τὸν ἀέρα τῇ πυρώσει χρωματίζον. Ἐὰν δὲ ἐν αὐτῷ τῷ νέφει πολὺ καὶ λεπτὸν ἐκθλιβῇ πνεῦμα, κεραυνὸς τοῦτο γίνεται.

60,15,5-8. Ἀταξία... ἐν δὲ σώμασι τὰς ἀρρωστίας. Τινὸς τῶν ἐν ἡμῖν στοιχείων πλεονάσαντος ἢ καὶ ἄλλως πως ἀτακτήσαντος.

60,15,10. Τὸ δὲ ἢ προσδοκωμένην οὐ διαζευκτικῶς, ἀλλὰ συμπλεκτικῶς.

60,15,12-13. Ὅταν ... τῷ συνδήσαντι. Ὅταν τῷ δημιουργῷ δόξῃ τῷ ἐξ ἐναντίων τὸ πᾶν συστησαμένῳ, λῦσαι αὐτό.

60,15,12. Εἰ... ἀπαφθαρτίζεται... ἐν τῇ παγκοσμίῳ ταύτῃ λύσει ὁ ἄνθρωπος.

60,15,17. (Ἡλίου) ἀποκρύπτον[852]τος πάντας τοὺς ἀστέρας καὶ αὐτὴν τὴν σελήνην, ἡμέρας οὔσης.

60,15,22. (Ὁ ἄνθρωπος) εἰκότως ὕστερον πάντων ὁδῷ τινι καὶ τάξει δημιουργεῖται. Ἵνα... μέγιστον φανῇ τὸ περὶ τὸν σύνδεσμον θαῦμα, συνέδησε, φησί, κρυφίως ἡμῖν ἤγουν ἀκαταλήπτως καὶ διὰ τοῦτο ἀρρήτως τὰ ἐναντία. Τοῦ ... ἀνθρωπίνου συγκρίματος ὑλικώτατον... ὁ χοῦς. Οὗτος (*δηλ.* ὁ νοῦς)... τῆς ψυχῆς τὸ λεπτομερέστερον. Φανήσεται γὰρ οὕτω μᾶλλον ἡ τάξις ἀριδηλοτέρα. Δύναμιν ἐνθεὶς *(δηλ. ὁ Θεὸς)* αὐτῇ *(δηλ. τῇ ψυχῇ)* ἢ πρὸς Θεὸν ἀνατείνεσθαι καὶ ἐκθεοῦσθαι ἢ αὐτοπροαιρέτοις ὁρμαῖς πρὸς τὴν ὕλην ῥέπειν καὶ τὰ μυρία πάθη ἐντεῦθεν ἐφέλκεσθαι.

60,15,27 ἑξ. Τὸ αὐτὸ ... ῥεύματι. Τὸ αὐτὸ ζῷον καὶ διεσώσατο τῷ εἴδει, πεπηγότι καὶ οὐδέποτε λείποντι, καὶ διέλυσε τοῖς ἀτόμοις, ῥέουσι καὶ ὑπεξαγομένοις. Τὸ μὲν γὰρ τῶν ἀτόμων ἐπεισήγαγε τῇ γεννήσει, τὸ δὲ ὑπεξήγαγε τῷ θανάτῳ. Εἴρηκε δὲ καὶ ἐν τῷ Περὶ Θεολογίας λόγῳ· πῶς τὸ αὐτὸ ζῷον καὶ θνητὸν καὶ ἀθάνατον, τὸ μὲν τῇ μεταστάσει, τὸ δὲ τῇ γεννήσει; τὸ μὲν γὰρ ὑπεξῆλθε, τὸ δὲ ἀντεισῆλθεν, ὥσπερ ἐν ὁλκῷ ποταμοῦ μὴ ἑστῶτος καὶ μένοντος (ΒΕΠ. 59,231,1-3), μὴ ἑστῶτος μὲν τῷ ἀεικινήτῳ, μένοντος δὲ τῷ ἀνελλιπεῖ.

60,15,33-34. Προτιμητέος... ὁ δεσπότης τῶν ὁμοδούλων καὶ ὁ πατὴρ τῶν πνευμάτων τῶν σωματικῶν παίδων καὶ πατέρων.

60,15, c. 36-38. Ἡ δημιουργικὴ καὶ συνεκτικὴ τῶν ὅλων σοφία.

60,15,35. Μεστώσας τὸν λόγον, εἶτα τῷ τμητικῷ τύπῳ χρησάμενος· καὶ τί δεῖ καθ' ἕκαστον, φησί, λέγειν;

60,16, 4 ἑξ. Ἔτι τὸ κατὰ τὸ σῶμα καὶ τὰ μέλη αὐτοῦ ὑπόδειγμα ἐπεξεργάζεται.

60,16,8 ἑξ. Συνάπτεσθαι ἀρρήτοις τισὶν ἀφαῖς. *(Περὶ τῆς συναφείας τῶν μερῶν τοῦ ἀνθρωπίνου σώματος).*

60,16,14-15. Παρ' αὐτῷ (*δηλ.* τῷ νῷ) τοῖς αἰσθητηρίοις τὸ αἰσθάνεσθαι, ὡς παρὰ πηγῆς δεξαμεναῖς ῥεύματα, καὶ πρὸς αὐτὸν ἡ αἰ-

σθησις ἀνατρέχει, διὰ τῶν αἰσθητηρίων ἀποκομίζουσα τὰ αἰσθητά. Ὁ δὲ δεχόμενος καὶ φιλοκρινῶν καὶ ἐξετάζων, τοῖς καταλλήλοις τρόποις ἐναποτίθεται, καὶ οὕτω πολλῶν τε καὶ παντοδαπῶν εἰσαγομένων, σύγχυσις καὶ πλάνη οὐ πέφυκε γίνεσθαι.

60,16,18. Τὴν ... τῶν ἀρχόντων διαφορὰν κατασκευάσαι βουληθείς, πολὺς **[853]** ἐστι ταῖς ἐργασίαις, ἀπὸ τῶν Ἀποστολικῶν ἐπιστολῶν ταύτας λαμβάνων.

60,16,26. Οἱ μὲν Προφῆται σκιωδῶς περὶ τοῦ Χριστοῦ προκατήγγειλαν, οἱ δ' Ἀπόστολοι ἐκφαντορικῶς. Προτιμοτέρα δὲ σκιᾶς ἀλήθεια, καὶ τὸ οὗ ἕνεκα τοῦ ἕνεκά του. Ἕνεκα δὲ τῆς ἀληθείας αἱ σκιαὶ προέδραμον, τὸν νοῦν ἡμῶν εἰς ὑποδοχὴν τῆς ἀληθείας προπαρασκευάζουσαι.

60,16,29. Ἵνα δὲ μὴ οἱ τῶν ἐλαττόνων ἀξιούμενοι χαρισμάτων ἀδημονῶσι, παρεμυθήσατο αὐτούς.

60,16,30. Ὁ μὲν λόγος τῆς σοφίας λόγος ἐστὶν ἐνδιάθετος, τῇ σοφίᾳ πεποιωμένος, ἔχων καὶ τὸν προφορικὸν ἀναλογοῦντα, ὁ δὲ λόγος τῆς γνώσεως λόγος ἐστὶν ἐνδιάθετος, τῇ γνώσει πεποιωμένος.

60,16,32. Τὸ δὲ ὑψηλοτέρων ἀντὶ τοῦ ὑψηλῶν κατὰ Ἀττικὴν συνήθειαν, ἢ καὶ συγκριτικῶς.

60,16,33. Ἀντιλήψεις. Τὸ ... διευθύνειν τε καὶ οἷον οἰακίζειν ἑαυτόν τε καὶ ἑτέρους ἀντίληψίς τίς ἐστιν.

60,16,39-40. Λαμβάνει δὲ τὴν ἐργασίαν αὖθις ἀπὸ τοῦ σώματος.

60,16,40-17,1. Ὁ μὲν ἀρχέτω καὶ προβεβλήσθω. Ὡς πρόβολός τις καὶ πρόμαχος τῆς τε ὀρθοδοξίας καὶ τοῦ κοινοῦ τῆς Ἐκκλησίας προβεβλήσθω πληρώματος. — Ἢ τὸ προβεβλήσθω διὰ τοὺς ὑφ' ἑαυτῶν ἁρπάζοντας τὰ χαρίσματα καὶ μὴ τὴν τοῦ παναγίου Πνεύματος ἀναμένοντας προβολήν. Ἢ καὶ τὴν τοῦ κοινοῦ ἐκλογὴν τέθεικε, προβεβλήσθω ὑφ' ἑτέρων λέγων, ἀλλὰ μὴ δι' ἑαυτοῦ ἁρπαζέτω τὸ χάρισμα.

60,17,2. Τῷ διδασκαλικῷ ἐπιπηδᾶν ἀξιώματι.

60,17,8. Διὰ καθάρσεως εἰς θεωρίαν ἀναγόμεθα.

60,17,13. Φυσίωσιν, ὡς εἰς κενὸν οἴδημα καὶ ὄγκον ἐπαίρουσαν.

60,17,19. Εἰ ... γεγύμνασταί σοι τὰ αἰσθητήρια[1]. Ἕξιν δὲ λέγει ὁ Ἀπόστολος τὴν ἐπιστήμην καὶ ἀκρίβειαν, αἰσθήσεις δὲ τὰς διακριτικὰς δυνάμεις τοῦ νοῦ.

60,17,22. Ὅταν σχολάσῃς ἀπὸ τῆς ἔξωθεν περιπλανήσεως καὶ ταραχῆς.

[854] 60,17,23-24. Εἰ ... εἶ ... χαμερπὴς τὴν διάνοιαν. Εἰ ... πρὸς τὰ γήϊνα σύρεταί σου ἡ διάνοια.

60,17,24. (Τὰ ὑψηλότερα) ἃ μὴ πέφυκε νοῦς νηπιώδης πέττειν καλῶς ἤτοι καταλαμβάνειν καὶ εἰς προσθήκην μεταβάλλειν καὶ αὔξησιν

---

1. Πρβλ. Ἑβρ. 5,14.

τῆς κατὰ Χριστὸν πνευματικῆς ἡλικίας, μᾶλλον μὲν οὖν καὶ λυμαίνεσθαι καὶ καταβλάπτειν ἐν τοῖς καιρίοις, ὡς αἱ στερεαὶ τροφαὶ τὰ βρεφύλλια. Τέσσαρες δέ εἰσι τοῦ θρεπτικοῦ δυνάμεις, ἑλκτική, ἡ ἕλκουσα τὴν τροφήν, καθεκτική, ἡ ταύτην κατέχουσα καὶ μὴ ἐῶσα εὐθέως ἐκκρίνεσθαι, ἀλλοιωτική, ἡ ταύτην ἀλλοιοῦσα εἰς τοὺς χυμούς, ἐξ ὧν τὰ ζῷα τρέφεταί τε καὶ αὔξεται, ἀποκριτική, ἡ τὸ περίττωμα διὰ τοῦ ἀφεδρῶνος ἐκκρίνουσα.

60 17,31. Τὸν ἀγῶνα. Ἀγῶνα μὲν νῦν τὸν φόβον λέγει. Ἔστι γὰρ εἶδος φόβου καὶ ἡ ἀγωνία, καὶ ἔστιν ἡ ἀγωνία φόβος διαπτώσεως ἤγουν ἀποτυχίας. Φοβούμενοι γὰρ ἀποτυχεῖν τῆς πράξεως, ἀγωνιῶμεν.

60,17,34. Ταλαντεύεται. Ζυγοστατεῖται καὶ δοκιμάζεται.

60,17,36-38. Τὰ βραχύτατα ἡμῶν καὶ ἐπιτηρεῖται δριμέως καὶ πολυπραγμονεῖται. Πάντες γάρ, ὥσπερ οἱ κατὰ σκοποῦ τοξεύοντες, καθ' ἡμῶν τὰς γλώσσας ὁπλίζουσι.

60,18,3. Δείκνυσι λοιπὸν τὸ ἀκίνδυνον καὶ πανταχοῦ μέν, μάλιστα δὲ ἐν τοῖς περὶ Θεοῦ λόγοις τὴν σιωπὴν ἔχουσαν.

60,18,6. Κίνδυνος ἐξήρτηταί τινι

60,18,7. Ὁ λόγος ὁ ἐν προφορᾷ, ὁ προφορικὸς λόγος.

60,18,10. Φῶς δὲ ἀκρότατον Ἐνταῦθα, ὥσπερ ἐν ἄλλοις ἀπρόσιτον, καλεῖ τὸν ἐν Τριάδι Θεὸν ὑμνούμενόν τε καὶ δοξαζόμενον, ἐκεῖνο μὲν ὡς ἀνεκτὸν διὰ τὴν ὑπερβολὴν τῆς λαμπρότητος, τοῦτο δὲ ὡς ἀνώτατον.

60,18,11. (Φῶς) ὅσον... οὐρανὸς ἄνωθεν φρυκτωρεῖ.

60,18,11-12. Φωτοχυτεῖσθαι.

60,18,12. Γνόφον... Καλεῖ τὴν ἐπιπροσθοῦσαν τῷ νοΐ ἡμῶν σωματικὴν παχύτητα.

60,18,17. Καθαρῶς ἐντρανίζειν ταῖς ἀκτῖσι τοῦ ἀληθινοῦ φωτός.

[855] 60,18,18. Ἡμεῖς μὲν γάρ ἐσμεν ἡ ψυχή, καὶ ταύτης μάλιστα ὁ νοῦς, καθὼς φησιν ὁ Μέγας Βασίλειος, ἡμέτερον δὲ τὸ σῶμα, περὶ ἡμᾶς δὲ χρήματα, κτήματα, φίλοι.

60,18,15-17. Ἵνα μὴ ... τῆς κτήσεως. Φιλεῖ γὰρ ἄλλως τὸ μὲν πόνῳ κτηθὲν περικρατεῖσθαι, τὸ δὲ ῥᾳδίως κτηθὲν ἀποπτύεσθαι τάχιστα. Ἀπόθετον δὲ εἶπε τὸ περὶ Θεοῦ κάλλος καὶ τὴν περὶ αὐτὸν δόξαν, ὡς ὀλίγων ἀξίαν καὶ ὀλίγοις ἀποτεταμιευμένην.

60,18,19-20. Ὕστερον ἆθλον ἀρετῆς καὶ τῆς ἐντεῦθεν πρὸς αὐτὸν νεύσεως εἴτουν ἐξομοιώσεως. Μέσος... ἱστάμενος ὁ νοῦς ὁ ἡμέτερος ὕλης τε καὶ Θεοῦ, ταῖς μὲν πρὸς τὸ σῶμα καὶ τὰ πάθη ῥοπαῖς τὰ ἐντυπωθέντα τούτῳ ἐξ ἀρχῆς πρὸς Θεὸν μιμήματα ἀμαυροῖ, τοῖς αἰσχροῖς ἀποκρύπτων αὐτὰ προκαλύμμασι, ταῖς δὲ περὶ Θεὸν νεύσεσί τε καὶ ἀνατάσεσι τὸν ἐπιπλασθέντα ῥύπον δι' ἐπιμελείας βίου ἀπορρύψας, θεοει-

δῆς αὖθις χρηματίζει, καὶ ἡ εἰκὼν ἀνέρχεται πρὸς τὸ πρωτότυπον.

60,18,20-21. Ἡμῖν τοῖς δεσμίοις τοῦ σώματος.

60,18,17-20. Ὡς διὰ κλίμακός τινος τῆς πρακτικῆς (δηλ. ἀρετῆς) εἰς θεωρίαν ἀναβεβηκέναι.

60,18,18-20. Ἀνατυπώσασθαί τι τῷ νῷ.

60,18,20-21. *(Εἰς τὸ χωρίον Α' Κορ. 13,12, ὅπου περὶ γνώσεως Θεοῦ)* πρόσωπον κατὰ πρόσωπον. *(Ἄλλη)*, καθ' ἣν κατὰ φύσιν ἅπαντα γινώσκει. *(Ἄλλη)* καθ' ἣν σχετικῶς ἐπιγινώσκει τοὺς ἰδίους αὐτῷ, γνωρίζων ἐν αὐτοῖς σῳζομένους τοὺς χαρακτῆρας αὐτοῦ. *(Καὶ κατωτέρω)* κατὰ τὸ δεύτερον... τοῦτο σημαινόμενον, τὸ τῆς σχέσεώς τε καὶ οἰκειώσεως, ἡ γνῶσις ἐνταῦθα εἴληπται τῷ Ἀποστόλῳ *(Θεὸς)* ὅσον... τοὺς ἰδίους χαρακτῆρας ἀσυγχύτους ὁρᾷ ἐν αὐτῇ *(δηλ. ἐν ἀγαθῇ ψυχῇ)*, ὧν τὰ μιμήματα τῇ ἡμετέρᾳ κατασκευῇ... ἐνετύπωσε, τοσοῦτον καὶ οὕτως ἐπιμετρεῖ τὴν ἑαυτοῦ γνῶσιν, ἀναλόγως τῇ καθάρσει τὴν ἔλλαμψιν χορηγῶν. *(Ὕστερον)* τελείαν μὲν δηλοῖ τὴν ἡμετέραν ἔσεσθαί ποτε γνῶσιν, οὐ μὴν ἀπαραλλάκτως τοιαύτην, οἵα ἡ τοῦ Θεοῦ. Ἀνάγκη οὖν τοσοῦτον εἶναι τὸ μέσον τῆς γνώσεως, ὅσον τῆς θείας φύσεως καὶ τῆς ἡμετέρας.

60,18,23-24. **[856]** *(Ὁ Ἰωάννης ὁ Χρυσόστομος μνημονεύει)*: Νῦν μὲν ὁ Θεὸς αὐτὸς ἐπέδραμεν ἡμῖν. τότε δὲ ἡμεῖς αὐτῷ ἐπιδραμούμεθα

60,18,23. Τὸ ἀφιλόκομπον.

60,18,29 *(Θεὸν ἀποκαλεῖ)* τὴν ἀθέατον καὶ ἀπερινόητον φύσιν.

60,18,29. Ὀ π ί σ θ ι α δ ὲ Θ ε ο ῦ, τὰ μετ' αὐτὸν δημιουργήματα καὶ αἱ πρόνοιαι καὶ οἰκονομίαι. Ταῦτα γὰρ ὀπίσθια Θεοῦ, ἢ διὰ τὸν χρόνον, ὡς ὑστερογενῆ. ἢ διὰ τὴν φύσιν, ὡς πολὺ λειπόμενα. Τινὲς δὲ ὀπίσθια Θεοῦ τὴν τοῦ Θεοῦ Λόγου ἐνανθρώπησιν νενοήκασιν.

60,19,2. *(Τὴν φράσιν τοῦ Γρηγορίου)*: δονεῖσθαι καὶ ἄνω καὶ κάτω φέρεσθαι, *(ὁ Ἠλίας ἑρμηνεύει)*: ταράσσεσθαι καὶ ἄνω καὶ κάτω συγχεῖσθαι καὶ φέρεσθαι.

60,19, c. 4 ἑξ. Ὁ μὲν ... θεωρητικὸς πάντως καὶ πρακτικός, ὁ δὲ πρακτικὸς οὐ πάντως καὶ θεωρητικός.

60,19,26 ἑξ. Ὅσοι θηριώδεις τε καὶ κτηνώδεις ἡμῶν, ἀλόγως τῷ θυμῷ καὶ τῇ ἐπιθυμίᾳ δουλεύοντες.

60,19,22. Μ ι κ ρ ο ῦ δ ο ξ α ρ ί ο υ. Δοξάριον δὲ τὸν ἐκκλησιαστικὸν βαθμὸν ὠνόμασεν, ὡς δοξάζοντα τὸν ἐπιβεβηκότα. Κατεσμίκρυνε δὲ αὐτὸν διὰ τὸ μέγεθος τοῦ ἀρχιερατικοῦ ἀξιώματος. ἢ διὰ τὴν μέλλουσαν δόξαν, τὴν ἀληθῆ καὶ ἀσάλευτον. Δοξάριον δὲ καὶ ἡ ἐν λόγοις εὐδοκίμησις.

60,19,24. Ἀποστοματίζειν, *(ὅπου ὁ Γρηγόριος)* ἐ κ μ ε λ ε τ ᾶ ν. Π ε ρ ι κ ε κ ο μ μ έ ν ω ς, οὐ καθ' εἱρμὸν οὐδὲ μετὰ γνώσεως, ἀλλ' ἀδιαρθρώτως τε καὶ περικεκομμένως καὶ ἀνοήτως.

60,19,25. Τοῦτ' ἐκεῖνο ἡ α ὐ θ η μ ε ρ ί ν η σ ο φ ί α. Τοῦτ'

ἐκεῖνο τὸ ὑπὸ τῶν πολλῶν πάλαι θρυλούμενον, ἡ πλασματώδης καὶ αὐθημερινὴ σοφία ἐν μέσοις ἡμῶν ἀναστρέφεται, καὶ αὐθημερὸν σοφοί. ὡς οἱ σπαρτοὶ πάλαι ἀπὸ τῆς γῆς, ἀναφαινόμεθα γίγαντες.

60,19,28. Καλεῖ δὲ ἀπόνοιαν τὸ θράσος καὶ τὴν ἀναισχυντίαν. *(Καὶ κατωτέρω)*: Ὃν γὰρ αἰδεῖσθαι μᾶλλον ἦν ἀναγκαῖον, κατὰ τούτου ἐξ ἀπονοίας ἐπῄροντο.

60,19,34 ἐξ. Ταῦτα γὰρ αὐτὸς *(ὁ Ἰωάννης ἀφηγούμενος)* περὶ ἑαυτοῦ, εἰ καὶ ὡς περὶ ἑτέρου διὰ τὸ ἀφιλόκομπον διέξεισι. *(Περὶ τοῦ Χριστοῦ ἐν τῇ μεταμορφώσει)*: φωτὶ γὰρ ἀΰλῳ ταυτίζεται καθ' ὑπόστασιν.

[857] 60,19,36. 20,1. Παρεῖναι δὲ ἀγωνιῶντι, ἀπὸ κοινοῦ δεῆσαν.

60,20,5. Ἐν μέρει καὶ τεταγμένως εὑρίσκονται ἐρωτῶντες.

60,20,3-5. Οἱ μὲν ἄλλοι τῶν μαθητῶν ἀτενῶς ἔβλεπον πρὸς ἀλλήλους.

60,20,14,21. Θρασύτερον ταῖς περὶ Θεοῦ διαλέξεσιν ἐπιπηδᾶν. Μετρίως ἦγουν ὑφειμένως τε καὶ εὐλαβῶς.

60,20,32-33. Ὑπέκρουσε. Μεταφορικὴ δὲ ἡ λέξις ἐκ τῶν τῆς κιθάρας κρουμάτων.

60,20,37. Τῷ τμητικῷ τύπῳ χρησάμενος καὶ τοιαῦτα, φησίν, ἐρεῖ ὁ ἀντιλέγων.

60,20,38,39. Τὰ δὲ ἐντεῦθεν ἡ ἀπάντησις, ἡ καὶ ἀνθυποφορά, οὐκ ἄνευ προτάσεως ἢ ἀντιπροτάσεως, εἰπεῖν οἰκειότερον. Τὸ μὲν γὰρ πρὸς ὃν δεῖ πρᾴως καὶ μὴ χαλεπῶς ἀπαντῆσαι τοῖς λόγοις ἡ ἀντιπρότασίς ἐστιν. Οἷς γὰρ λόγοις προσδοκᾶταί τι ῥηθῆναι, τοῦτο πρότασίς ἐστιν ἢ ἀντιπρότασις. Ἡ δὲ ἀνθυποφορὰ ἤτοι λύσις τῆς ὑποφορᾶς οὐ σιωπᾶν διακελεύομαι, ὦ σοφώτατε. Εἰρωνικὸν δὲ τοῦτο.

60,21,11. Τυφλότητα ἐπαινεῖν. Ἐπαινεῖν τε καὶ εἰσηγεῖσθαι.

60,21,18-19. Τῇ μνήμῃ τῶν θείων ἀεὶ ἐγκεντρίζεσθαι πρὸς Θεόν. Καλὸν γὰρ τῇ μνήμῃ τῶν θείων ὥσπερ τινὶ κέντρῳ κινεῖσθαί τε πρὸς Θεὸν ἀεὶ καὶ διερεθίζεσθαι.

60,21,19-23. *(Οἱ Μακεδονιανοὶ καὶ οἱ Εὐνομιανοὶ)* ἐκφύλους φύσεις τὴν μίαν καὶ τὴν αὐτὴν φύσιν καταδιελόντες.

60,21,23. Τὰ ὑψηλότερα καὶ λεπτότερα δόγματα.

60,21,30-31. Σοφία καὶ τὸ γινώσκειν ἑαυτόν. Σοφοῦ γὰρ ἀπόφθεγμα τό· «γνῶθι σαυτόν», τοῦ Χίλωνος. Νοεῖται δὲ διὰ τούτου καὶ τὸ γινώσκειν τὴν ἑαυτοῦ φύσιν καὶ τάξιν. Καὶ τὸ Δελφικὸν δὲ ἐκεῖνο πρόγραμμα τό· «γνῶθι σαυτόν», οὐκ ἄλλο ἢ τοῦτο ἐβούλετο.

---

1 Πρβλ. Ἰω 15,25.

60,21,35. Εἶναι δειλότερος. Ἀττικὸν δὲ τὸ ἰδίωμα τὸ τοῖς ἀπερεμφάτοις χρᾶσθαι ἀντὶ προστακτικοῦ.

60,21,15 ἑξ. (Τὰ πρῶτα καὶ ὧν χωρὶς οὐκ ἔστι [858] ζῆν ..) κοινὰ πᾶσιν ἐφήπλωσε τοῖς μὴ τὰ αἰσθητήρια πεπηρωμένοις.

60,21,38. Προβλήματος ἢ ζητήματος· παρὰ τοῖς ῥήτορσι πρόβλημα μὲν κοινῶς καὶ τὸ συνεστὼς καὶ τὸ ἀσύστατον λέγεται, ζήτημα δὲ μόνον τὸ συνεστώς. Παρὰ δὲ θεολογοῦσι καὶ δογματίζουσι εἴη ἂν καὶ ἑτέρως πρόβλημα μὲν τὸ ἀνέφικτον καὶ ἄπορον, ζήτημα δὲ τὸ ἐφικτὸν καὶ ἄπορον.

60,22,11. *(Τάχα)* διστακτικὸν δὲ τὸ ἐφεξῆς καὶ διὰ τοῦτο ἠθικόν τε καὶ πιθανόν. Εἴρηκε δὲ καὶ Δημόκριτος· χάρις τῇ μακαρίᾳ φύσει, ὅτι τὰ μὲν εὐπόριστα ἐποίησεν ἀναγκαῖα, τὰ δὲ δυσπόριστα οὐκ ἀναγκαῖα.

60,22,4 ἑξ Τοῖς κατὰ μέρος ἐνδιατρίψας καὶ περιβαλὼν ἱκανῶς, διὰ τῆς ἐπαναλήψεως διευκρινεῖ τὸν λόγον.

60,22,16 Καὶ ἡ φλεγμαίνουσα καὶ ἐκμαίνουσα τράπεζα Τὴν φλεγμονὴν πρὸς τὰ πάθη καὶ μανίαν ἐμποιοῦσαν καὶ πρὸς ἀκολασίαν ἐξάπτουσαν (λέγει).

60,22,16-17. Τὰ περιττὰ τῆς κτήσεως, ὁ πόνος τῶν κεκτημένων, ὀλίγων ἐστὶ καλλωπίσματα. Πάνυ δὲ οἰκείως τὰ περιττὰ τῆς κτήσεως καὶ μὴ ἀναγκαῖα ὀλίγων εἶπεν ἐγκαλλωπίσματα καὶ πόνον τῶν κεκτημένων. Οἵ τε γὰρ τῶν τοιούτων εὐποροῦντες καὶ ἐπὶ τούτοις ἐγκαλλωπιζόμενοι ὀλίγοι, καὶ πόνος ὄντως αὐτοῖς καὶ φροντὶς ἀπόκειται αὐτοὺς κατεσθίουσα. Καὶ ἴσασιν οἱ πεπειραμένοι.

60,22,22. Οὐ πρὸς μέτρον· ὅσον γάρ τις βούλεται, ἀγαπᾷ τὸν Θεόν, καὶ ὅσον αὔξει ἡ τινὸς πρὸς τὸν Θεὸν ἀγάπη, τοσοῦτον καὶ ἡ ἐκ Θεοῦ πρὸς αὐτόν. καὶ οὐκ ἔστιν ὅρος ἀμφοῖν οὐδὲ κόρος.

60,22,23-24 Ἀνάβασις[1], ἔλλαμψις, ὀλίγη μὲν ἐνταῦθα, τρανοτέρα δὲ ἡ ἐλπιζομένη. Ἀνάβασις μὲν οὖν ἐστιν ἡ διὰ καθάρσεως εἴτουν πράξεως ὕψωσις, ἔλλαμψις δὲ ἡ διὰ θεωρίας.

60,22, c. 2 ἑξ. Κατὰ κῶλον καὶ κόμμα ἐξαπλοῦν.

60,22,27. Τὰ δ' ὑπὲρ ταῦτα, κἂν τῷ σπανίῳ τὸ τιμιώτερον περιέχῃ. Κἄν, ὡς σπάνιά τε καὶ δύσληπτα καὶ ὀλίγοις κατορθούμενα, ἔχῃ τὸ τιμιώτερον.

[859] 60,22,33. Καὶ οὐκ ἀνέχεται πένης ὤν. Καὶ οὐκ ἀνέχεται πένης εἶναι. Ἀττικὸν δὲ καὶ τοῦτο.

60,22,34-35. Ἐμβατεύει τοῖς βάθεσιν, ἀνίτω καὶ ὁδηγείσθω καὶ ὑπὸ τοῦ νοῦ φερέσθω. Ἐμβατεύει τοῖς βάθεσι τῶν νοημάτων. Ἐπὶ τούτων γὰρ ταὐτὸν βάθος καὶ

---

1. Πρβλ. Ψαλ. 83,6.

ὕψος. Ἀνωφερῆ γὰρ καὶ ὑπερκείμενα τὰ θεῖα νοήματα. Ὁ γοῦν τοιοῦτος ἀνερχέσθω, φησί, ἐπὶ τὸ ὕψος τῆς θεωρίας καὶ κουφιζέσθω καὶ ὑπὸ τοῦ νοῦ μετέωρος φερέσθω. Ὁ μέν τις τοῖς τῆς ὑψηλοτέρας ταύτης θεωρίας πτεροῖς κουφίζεται.

60,23,4-6. Τῶν Ἀριστοτέλους τεχνῶν τὴν κακοτεχνίαν, ἢ τῆς Πλάτωνος εὐγλωττίας τὰ γοητεύματα, οἳ κακῶς εἰς τὴν Ἐκκλησίαν ἡμῶν εἰσεφθάρησαν. *(Ὁ Ἠλίας)* κακοτεχνίαν *(ἑρμηνεύει)* ματαιοπονίαν. *(Ἄλλοι)* κακομηχανίαν.

60,23,5. Εὐγλωττίαν δὲ Πλάτωνος τὴν εὐρυθμίαν λέγει τοῦ λόγου ἢ τὴν εὐαρμοστίαν τῆς συνθήκης τῶν λέξεων· ἄριστος γάρ, ὥς φασιν, Δημοσθένης μὲν ἐκλέξασθαι τὰ νοήματα, Πλάτων δὲ συνθεῖναι καὶ ὁμαλὸν ποιῆσαι τὸν λόγον· γοητεύματα δὲ τὰ θέλγητρα, θελγομένης τούτοις τῆς ἀκοῆς καὶ ἁλισκομένης ἢ καὶ ἐκλυομένης. Εἰσεφθάρησαν· ἐπὶ φθορᾷ καὶ λύμῃ εἰσερρύησαν.

60,23,17. Σύ, φησίν, ὁ ὑπερβάθμια ἁλλόμενος καὶ τὰ ἐπέκεινα καταλήψεως πολυπραγμονῶν.

60,23,18. Ἡ ... δόξα ἐκείνη μόνοις τοῖς εἰς υἱῶν ταξιν διὰ τῶν θεοποιῶν ἀρετῶν ἀναδραμοῦσιν ἐπήγγελται.

60,23,18. Ἃ ... οὔτε ὀφθαλμὸς εἶδεν οὔτε οὖς ἤκουσεν[1] οὔτε ἀνθρώπινος νοῦς ἀνετυπώσατο.

60,23,19-20. Ταῦτα μὲν ἐπιεικευόμενος ὁ ἅγιος οὗτος εἴρηκεν. Οἱ εἰς υἱῶν τάξιν ἀναδραμόντες καὶ χάριτι θεοὶ χρηματίσαντες.

60,23,23. Ἀληθινὸς καὶ ἐνδιάθετος λόγος.

60,23,23-24. Τοὺς περιττοὺς ἐν λόγῳ καὶ ταῖς λογικαῖς ἀποδείξεσι. Τοὺς περιττοὺς τῇ τῶν λόγων κομψείᾳ καὶ ταῖς συλλογιστικαῖς ἀποδείξεσιν.

60,23,35 ἑξ. Κρείσσων πτωχὸς πορευόμενος ἐν ἀληθείᾳ πλουσίου πένητος[2]. Τὸν ἐν λόγῳ τῷ θύραθεν καὶ γνώσει τῇ ἔξωθεν πένητα. Στρεβλόχειλος... ὁ ψευδής, ὁ διαστρέφων τὴν ἀλήθειαν.

60,24,2. Πεζὸς ὤν· Χαμαὶ συρομένην ἔχων τὴν διάνοιαν.

[860] 60,24,1 ἑξ. Τὸ μικροπρεπὲς τοῦ νοὸς καὶ λόγου. *(Καὶ κατωτέρω):* Μικροπρεπὴς ὢν τὴν διάνοιαν.

60,24,5-7. Γνῶθι σαυτόν, πρῶτον τὰ ἐν χερσὶ κατανόησον, τίς εἶ καὶ πόθεν ἐπλάσθης καὶ πῶς συνετέθης, ἵν' εἰκὼν ᾖς Θεοῦ καὶ τῷ χείρονι συνδεθῇς. «Γνῶθι σαυτόν», Χίλων ὁ σοφὸς συμβουλεύει σοι· ἐκείνου γὰρ τουτὶ τὸ ἀπόφθεγμα· τὴν ἑαυτοῦ κατάμαθε δύναμιν, μᾶλλον δὲ τὴν οἰκείαν φύσιν καὶ τάξιν. Τί, τὰ ἐν χερσὶν ἤτοι τὰ ἐγγύς σου καὶ πρόχειρα καταλιπών, Θεοῦ φύσιν πολυπραγμονεῖς; Πῶς συνετέθης κατὰ συνθήκην ψυχῆς καὶ σώματος, ἵν' εἰκὼν ᾖς τοῦ Θεοῦ

---

1. Α' Κορ 2,9 2 Παρμ 19,1

κατὰ τὸ θεοειδὲς τῆς ψυχῆς καὶ τῷ χείρονι αὐτῆς σώματι συνδεθῇς.

60,24,7. Τί τὸ κινῆσάν σε. Τί τὸ κινῆσάν σε ἐξ οὐκ ὄντος εἰς τὸ εἶναι καὶ ἐκ τοῦ δυνάμει εἰς ἐνέργειαν.

60,24,9-11. Πῶς ὄψις ὀλίγη καὶ ἐπὶ πλεῖστον φθάνουσα, καὶ πότερον παραδοχή τίς ἐστι τοῦ ὀφθέντος ἢ πρὸς ἐκεῖνο διάβασις. Ὄψιν δὲ λέγει τὴν τοῦ ὀφθαλμοῦ ἐνέργειαν καὶ τὴν διὰ τοῦ αἰσθητηρίου αἴσθησιν καὶ ἀντίληψιν τοῦ αἰσθητοῦ. Χρώννυσθαι ὑπὸ τοῦ χρώματος τὸν μεταξὺ ἀέρα, καὶ οὕτω διὰ τούτου πρὸς τὴν ὄψιν διαπορθμεύεσθαι. Ὃ καὶ μᾶλλον οὗτός τε τίθεται καὶ οἱ ἀκριβέστερον περὶ τούτου φιλοσοφήσαντες.

60,24,11-12. Πῶς τὸ αὐτὸ καὶ κινεῖ καὶ κινεῖται, διὰ βουλήσεως κυβερνώμενον. Κινοῦσα δὲ ἡ ψυχὴ τὸ σῶμα, συμπεριφέρεται καὶ αὐτὴ τῷ σώματι, ὥσπερ καὶ ὁ κυβερνήτης ὁ διὰ τοῦ πηδαλίου κινῶν τὸ πλοῖον καὶ συμπεριφερόμενος αὖθις τῷ πλοίῳ.

60,24,14-16. Τίς ἡ τήρησις τοῦ ἀναληφθέντος ἡ μνήμη καὶ τίς ἡ τοῦ ἀπελθόντος ἀνάληψις ἡ ἀνάμνησις. Διὰ δὲ τῶν αἰσθήσεων, ὡς διά τινων θυρίδων, ὁ νοῦς προσομιλεῖ τοῖς ἔξω καὶ αὐτῶν ἐπιδράττεται καὶ πρὸς ἑαυτὸν ἕλκει τῶν φαινομένων τὰ εἴδωλα, τοὺς χαρακτῆρας τῶν ὁρατῶν ἐν ἑαυτῷ καταγράφων καὶ τῇ μνήμῃ σώζων αὐτούς. Μνήμη γὰρ λέγεται, ὅταν οὐ μεσολαβήσῃ λήθη. Ταύτης δὲ μεσολαβησάσης, ἀνάμνησις. Ἔστι γὰρ ἀνάμνησις μνήμης ἐξιτήλου γενομένης ὑπὸ λήθης ἀνάληψίς τις ἢ ἀνανέωσις. Λήθη δέ ἐστι μνήμης ἀποβολή.

60,24,16-17. Πῶς λόγος νοῦ γέννημα καὶ γεννᾷ λόγον ἐν ἄλλῳ νοΐ. Δεχόμενος... λόγον ὁ ἐρωτῶν πορθμέα τῶν πραγμάτων, περὶ ὧν ἡ ἐρώτησις, ἀνταποδίδωσι καὶ οὗτος λόγον ἕτερον, **[861]** συνεπινεύοντα τοῖς διαπορθμευθεῖσι πρὸς αὐτὸν ἢ ἀνανεύοντα πρὸς αὐτά. Ἔστι δὲ ὁ προφορικὸς λόγος οὐ μόνον νοῦ γέννημα, ὡς εἴπομεν, ἀλλὰ καὶ ὄχημα καὶ πορθμεῖον τῶν τοῦ νοῦ νοημάτων, διαπορθμεύων αὐτὰ πρὸς ἕτερον καὶ διὰ τῆς ἀκοῆς πρὸς τὸν ἐκείνου νοῦν διαπέμπων. Ὅ μοι δοκεῖ καὶ μάλιστα τῶν ἐν ἡμῖν ἄξιον εἶναι θαυμάζεσθαι, τί τὸ πλάτος ἐκείνου τοῦ ἔνδοθεν χωρήματος, εἰς ὃ πάντα χωρεῖ τὰ διὰ τῆς ἀκοῆς εἰσχεόμενα

60,24,17-18. Τὴν ... ζωτικὴν δύναμιν ... σώματι ἡ ψυχὴ φυσικῶς ... χορηγεῖ.

60,24,18-20. Πῶς πήγνυσι φόβος καὶ λύει θάρσος, καὶ συστέλλει λύπη καὶ διαχεῖ ἡδονὴ καὶ τήκει φθόνος. Λύπη μὲν συστέλλει, συμπτώσεως τῶν πόρων καὶ μύσεως ἐν ταῖς λαμπραῖς διαθέσεσι περὶ ἅπαν τὸ σῶμα φυσικῶς γινομένης. *(Ἐνταῦθα περὶ στεναγμοῦ καὶ φόβου)*. Διαχέονται ... καὶ διαλύονται ὑφ' ἡδονῆς οἱ τοῦ σώματος πόροι τῶν ἔκ τινος ἀκοῆς

ἡδίστης διαχυθέντων. Ἐπεὶ ... ὁ φθόνος λύπη τίς ἐστιν ἐπὶ τοῖς ἀλλοτρίοις εὐτυχήμασι τοῖς φθονεροῖς ἐπιγινομένη, εἰκότως τὰ τῶν λυπουμένων συμπτώματα καὶ ἐπὶ τῶν τοιούτων θεωρεῖται. Ἤδη δὲ χρονισάσης τῆς τοιαύτης λύπης, καὶ σύντηξις αὐτοῖς ἐπακολουθεῖ.

60,24,20-22. Ἐκμαίνει θυμὸς καὶ αἰδὼς ἐρυθαίνει δι᾽ αἵματος, ὁ μὲν ζέσαντος, ἡ δὲ ἀναχωρήσαντος. Θυμὸς μὲν ἐκμαίνει, τοῦ περικαρδίου αἵματος ἀναζέοντος μέν, οὐκ ἀνατρέχοντος δέ.

60,24,22-24. Τίς ἡ τοῦ λογισμοῦ προσεδρία, καὶ πῶς πᾶσι τούτοις ἐπιστατεῖ καὶ ἡμεροῖ τῶν παθῶν τὰ κινήματα. Λογισμὸν δὲ ἐνταῦθα τὸν ἐνδιάθετον λόγον ἢ τὸν νοῦν αὐτὸν καλεῖ. (*Κατωτέρω*: ὁ νοῦς) ἐὰν μὲν διὰ παντὸς γρηγορῇ, διπλῇ κατευνάζει τὰ πάθη τοῦ σώματος καὶ ἡμεροῖ τῶν παθῶν τὰ κινήματα, τῶν ἐκ θυμοῦ λέγω καὶ ἐπιθυμίας, ὥσπερ τινῶν ἵππων ἀταξίας ἢ θηρίων ὁρμάς, τῇ τε περὶ τῶν κρειττόνων καὶ προσφυῶν θεωρίας ἀπασχολεῖται καὶ τῇ ἀταραξίᾳ τοῦ σώματος.

60,24,24. Πῶς αἵματι συγκρατεῖται καὶ πνοῇ τὸ ἀσώματον· (ψυχὴ) συνδεθεῖσα ὑπὸ τοῦ δημιουργοῦ, οἷς οἶδεν ἐκεῖνος λόγοις, σώματι **[862]** ὀργανικῷ καὶ αἰσθητικῷ, καὶ δύναμιν ζωτικὴν καὶ αἰσθητῶν ἀντιληπτικὴν δι᾽ ἑαυτῆς ἐνιεῖσα. (Θεῷ) τῷ ταύτην ἐκείνῳ συνδήσαντι. Οὔτε αἷμα (ψυχὴ)... οὔτε κρασις καὶ ἁρμονία στοιχείων. Ἐπεὶ καὶ πρὸ τοῦ σώματος ἂν ἐσβέσθη, εἴ γε ἡ ἁρμονία καὶ τελευταία συνίσταται καὶ πρώτη ἀπόλλυται. Αἱ γοῦν τῆς λύρας χορδαὶ ἁρμοσθεῖσαι μὲν τὴν ἁρμονίαν ἐργάζονται, διαλυθεῖσαι δὲ χρόνον τινὰ διαμένουσι, τῆς ἁρμονίας προδιαλυθείσης.

60,24,26-27. Φύσιν μὲν οὐρανοῦ καὶ κίνησιν, οἷον ὅτι πέμπτον τι σῶμα, ὡς Ἀριστοτέλης εἴρηκε, καὶ ἕτερόν τι παρὰ τὰ τέσσαρα στοιχεῖα, τὴν κύκλῳ φορὰν φερόμενον, ἐκείνων, τῶν μὲν ἄνω, τῶν δὲ κάτω, ὡς κουφοτέρων τε καὶ βαρυτέρων, κινουμένων.

60,24,28. Δυνάμεων οὐρανίων ὑποβάσεις καὶ ὑπερθέσεις. Ὑποβάσεις δὲ οἶμαι καὶ ὑπερθέσεις δυνάμεων οὐρανίων λέγειν τὰς τριαδικὰς διακοσμήσεις, ὡς ὁ Ἀρεοπαγίτης γράφει Διονύσιος, πρώτην μὲν λέγων θρόνους, χερουβίμ, σεραφίμ, δευτέραν δὲ κυριότητας, δυνάμεις, ἐξουσίας, τρίτην ἀρχάς, ἀρχαγγέλους, ἀγγέλους, καὶ ἐν ἑκάστῳ πάλιν διακόσμῳ τρεῖς τάξεις παραδιδούς, ἃς δὴ ὑποβάσεις τε καὶ ὑπερθέσεις ὁ θεῖος οὗτος διδάσκαλος κέκληκεν. Αἱ μὲν γὰρ τούτων ὑπέρκεινται, αἱ δὲ ταύτης ὑποβεβήκασι.

60,24,26-27. Ἀκτινοβολία.

60,24,27. Τοὺς ἀστέρας πάντας οὐκ ἐν τῷ οὐρανῷ πεπηγέναι, ἀλλὰ τῷ ἀέρι ἐπιχεῖσθαί φασιν, ἀνεχομένους τῷ τοιούτῳ σώματι, καθάπερ τὰ ὄρνεα. Ὁ ... Μέγας Βασίλειος ἐν τῷ κατὰ τὴν ἑξαήμερον συντάγματι, περὶ δὲ τοῦ σχήματος, φησί, ἱκανὰ

ἡμῖν τὰ παρὰ τοῦ Ἡσαΐου εἰρημένα[α]. Καὶ ὁ χρυσοῦς δὲ τὴν γλῶσσαν Ἰωάννης τὰ τοιαῦτα τοῦ Ἡσαΐου ῥήματα διερμηνεύων εἴρηκε· ποῦ εἰσιν οἱ κινεῖσθαι λέγοντες τὸν οὐρανόν; ποῦ εἰσιν οἱ σφαιροειδῆ αὐτὸν εἶναι ἀποφαινόμενοι; ἀμφότερα γὰρ ταῦτα ἐνταῦθα ἀνῄρηται. Τὸν ... σφαιροειδῆ τοῦτον οὐρανόν, ἐμπεπηγμένως φέροντα τοὺς λεγομένους ἀστέρας, κυκλικῶς ἀεὶ φέρεσθαι.

60,24,27. *(Ὁ Γρηγόριος)* εἴωθε ... ἐνδιδόναι πολλάκις ἐπὶ τῶν ἀβλαβῶς ζυγομαχουμένων. Ὅτι δὲ τοῖς **[863]** προφητικοῖς μάλιστα τιθέναι, ἐνέφηνεν ἐν τῷ περὶ θεολογίας λόγῳ.

60,24,33-34. Τοὺς παῖδας πλάττομεν ἐν τοῖς πρώτοις ἤθεσιν. Τοὺς παῖδας, ἁπαλοὺς ἔτι καὶ ἀτυπώτους τυγχάνοντας, ἐν τοῖς πρώτοις ἤθεσι πλάττομεν ἤτοι τυποῦμεν καὶ ῥυθμίζομεν.

60,25,3 *(Ὁ Ἠλίας διδάσκει ὅτι τὸ)* εἴπερ *(χρησιμοποιεῖται παρὰ τῷ Γρηγορίῳ ὄχι)* διστακτικῶς *(ἀλλὰ)* βεβαιωτικῶς *(καὶ ἀντὶ τοῦ)* ἐπειδή. (Παράδειγμα ἐκ τοῦ λόγου εἰς τὴν Χριστοῦ Γέννησιν)· Εἴπερ εἰσὶ φιλάνθρωποι[β].

60,25,4 ἑξ. Διακρίνειν οὐ παντός ἐστιν, οὐδὲ τοῦ τυχόντος, ἀλλ' ἀνδρὸς ἐπιστήμονος. Ἀγχίθυροι γάρ πώς εἰσι ταῖς ἀρεταῖς αἱ κακίαι.

60,25,10. Σφοδρὸν μὲν οὖν καὶ τὸ εἰπεῖν· καὶ σῖτον σοῦ τιμιώτερον, εἰ καὶ τῇ προσθήκῃ τοῦ ἴσως τὸ πολὺ τῆς σφοδρότητος περιῄρηται.

60,25,12-13. Μὴ ὡς ἀπότομος ἰατρός, μὴ ὡς ἓν τοῦτο μόνον εἰδώς, τὴν καῦσιν καὶ τὴν τομήν. Μηδ' ὡς αὐτὸ τοῦτο, τὰς αὐστηροτέρας μόνον ἰατρείας εἰδώς. Τὰ ἑξῆς... ὡς ἐργασίαι ἀπὸ τῆς ἰατρικῆς ἐλήφθησαν.

60,25,11 ἑξ. Ἀπὸ τῶν πάνυ μικροτέρων ἡ ἐργασία, κατασκευάζουσα μὲν τὰ εἰρημένα, τὴν δὲ τῶν ἑτεροδόξων θρασύτητα ἀνακόπτουσα.

60,25,20. Γνῶθι ὅτι εἰκὼν εἶ Θεοῦ κατὰ τὸν θεοείκελον ἤτοι θεοειδῆ νοῦν καὶ κατὰ τὸ ἀρχικὸν τὸ ἐπὶ γῆς, ποιήσωμεν γάρ, φησίν, ἄνθρωπον... καὶ ἀρχέτωσαν[1].

60,25,21. Κρίνεις ἀλλότριον οἰκέτην καὶ ὃν ἄλλος οἰκονομεῖ. «Σὺ τίς εἶ ὁ κρίνων ἀλλότριον οἰκέτην;»[2].

69,25 23-24. Μὴ χρήσῃ ἀποτομίαν κατὰ τοῦ ἀδελφοῦ. Μὴ ... τέμῃς αὐτόν, μηδὲ ἀπορρήξῃς τὸ μέλος τῆς ἀρτιώσεως τοῦ σώματος τοῦ δεσποτικοῦ.

60,25,35-37. Τέχνην μυρεψικὴν νοήσεις τὴν σοφίαν τοῦ μυρίζοντος Ἁγίου Πνεύματος.

1. Πρβλ. Γεν. 1,26. 2. Ρωμ. 14,4.

α. Μ. Βασιλείου, ΒΕΠ. 51,192,1. β. Μ. Βασιλείου, ΒΕΠ. 60,72,7.

60,25,37-38. Οὐκ ἔστιν ἐχίδνης ἰὸς ἡ κακία τοῦ ἀδελφοῦ, ἵνα ὁμοῦ τῷ πληγῆναι περιωδυνίαις περιπαρῆς.

60,25,15. Ἐχρῆν δὲ καὶ νόμον κεῖσθαι. Ἡ μὲν ἐργασία αὕτη ἐξ ἀγράφου παραδόσεως, ἣν δὴ καὶ νόμον καλεῖ, ἐπεὶ καὶ τὸ παλαιὸν καὶ ἄγραφον ἔθος νόμος καλεῖται. *(Παράδειγμα ἐκ τῆς μεγάλης Ἀπολογίας).* Ὡς νόμος τις ὥρα ... ἐτύγχανεν.

[864] 60,26,8. Εἰ δέ τι μετ' ἐπικρύψεως ἐν ὑπονοίαις τισὶ καὶ αἰνίγμασιν εἰρημένον.

60,26,37. Μονάς[1]. Μονὴν *(Ὁ Ἠλίας ἑρμηνεύει)* τὴν ἐκεῖθεν ἀνάπαυσίν τε καὶ δόξαν, τὴν ἀποκειμένην τοῖς ἁγίοις.

60,26,23. Κατασκευαστικὰ καὶ ταῦτα τοῦ μὴ πᾶσιν εἶναι τὸ θεολογεῖν καὶ δογματίζειν κατάλληλον, ἀλλὰ τοῖς τὰ αἰσθητήρια τῆς διανοίας γεγυμνασμένοις καὶ τὴν ἕξιν τελεωτέροις. Πρόεισι δὲ ἡ ἐργασία ἀπὸ τῆς ἐν τοῖς σώμασιν ἡμῶν διαφορᾶς τῶν ἡλικιῶν.

60,27,7-8. Τὸ δὲ χαίρειν ἐάσατε παροιμιῶδές ἐστιν. Οἱ γὰρ παλαιοὶ τοὺς μισουμένους χαίρειν μόνον προσφωνοῦντες παρέτρεχον, εἴτε κατ' ἐπιείκειαν εἴτε κατ' εἰρωνείαν.

ΛΟΓΟΣ Ϛ'.

59,11,11. (Μικροῦ). Παρὰ βραχύ.

59,11,c.18. Ἡ ἐνδελέχησις τῶν λοιδοριῶν καὶ τῆς τῶν ἁμαρτιῶν συναισθήσεως.

59,11,27-28. Πάντα μοι ἦν ὑπεκκαύματα καὶ ὑπομνήματα ... τῆς διαζεύξεως. (Ὑπεκκαύματα) ὕλη τις ... καὶ ἀνάμματα τοῦ πάθους.

59,11,29-30. Στεναγμὸς ἐκ βάθους ἀναπεμπόμενος. Ὥσπερ ἡ ἡδονὴ διαχεῖ, οὕτως ἡ λύπη συστέλλει, συμπτώσεως τῶν πόρων καὶ μύσεως ἐν ταῖς λυπηραῖς διαθέσεσι περὶ ἅπαν τὸ σῶμα φυσικῶς γινομένης, καὶ τοῦ πνεύματος πρὸς τὰς ἐν τῷ βάθει κοιλότητας συνωθουμένου, ὅθεν καὶ τῶν σπλάγχνων στενοχωρουμένων τῷ περιέχοντι, βιαιοτέρα πολλάκις ἡ ὁλκὴ τοῦ πνεύματος ὑπὸ τῆς φύσεως γίνεται, πρὸς τὴν τῶν συμπεπτωκότων διαστολὴν τὸ στενωθὲν εὐρυνούσης. Καὶ τὸ τοιοῦτον ἄσθμα σύμπτωμα λύπης ποιούμεθα, στεναγμὸν αὐτὸ ὀνομάζοντες. Ἐκ ταύτης τῆς αἰτίας καὶ τὸ δάκρυον συνίσταται. Μύουσαι γὰρ ὑπὸ λύπης... αἱ λεπταί τε καὶ ἄδηλοι τῶν πόρων διαπνοαὶ καὶ διασφίγγουσαι τὴν ἔνδον τῶν σπλάγχνων διάθεσιν, ἐπὶ τὴν κεφαλὴν καὶ τὰς μήνιγγας τὸν νοτερὸν ἀτμὸν ἀναθλίβουσιν, ὃς πολὺς ἐναπολειφθεὶς ταῖς τοῦ ἐγκεφάλου κοιλότησι,

1. Ἰω. 14,2.

διὰ τῶν κατὰ τὴν μύσιν πόρων ἐπὶ τοὺς ὀφθαλμοὺς ἐξωθεῖται, τῆς τῶν ὀφρύων ἐμπτώσεως ἐφελκομένης διὰ σταγόνων τὴν ὑγρασίαν. Ἡ δὲ σταγὼν δάκρυον λέγεται.

59,11,30. Ν ο ῦ π ρ ὸ ς Θ ε ὸ ν ἐ κ δ η μ ί α. Τὴν διὰ προσευχῆς ἐκείνων ἀνάβασιν πρὸς Θεόν, ἕλκουσαν τὸν νοῦν αὐτῶν καὶ **[865]** ἁρπάζουσαν πρὸς τὸν τῶν ἁγίων ἅγιον.

59,12,1. Φ ά ρ μ α κ ο ν τ ο ῖ ς ἀ κ ο ύ ο υ σ ι κ α τ α ν ύ ξ ε ω ς. *(Ὁ Ἠλίας ἑρμηνεύει)*: ἰατρείαν πρὸς κατάνυξιν διεγείρουσαν.

59,12,5-6. Π ό δ ε ς γ υ μ ν ο ὶ κ α ὶ τ ο ῖ ς ἀ π ο σ τ ο λ ι κ ο ῖ ς ἑ π ό μ ε ν ο ι, μ η δ ὲ ν ν ε κ ρ ὸ ν φ έ ρ ο ν τ ε ς. *(Ταῦτα ὁ Ἠλίας ἧττον ὀρθῶς)* μυστικῶς *(ἑρμηνεύει)*. Γυμνοποδεῖν εἵλοντο *(δηλ. οἱ μοναχοὶ περὶ ὧν ὁ Γρηγόριος λέγει)* καὶ τὰ νεκρὰ τῷ κόσμῳ ἀπορρίψαι, ὃ δὴ καὶ τὸ τῆς κουρᾶς σύμμετρον καὶ ἡ τῶν τριχῶν συμμέτρως αἰνίττεται περιαίρεσις. Νεκρότητος γὰρ καὶ αὗται τυγχάνουσι γνώρισμα.

59,12,8 Β ά δ ι σ μ α ε ὐ σ τ α θ έ ς. Βάδισμα οὔτε τῷ ταχεῖ τὸ ἄτακτον, οὔτε τῷ πάνυ ἀργῷ τὸ κατεβλακευμένον δεικνύον, ἀλλ' εὐσταθῶς τε καὶ ὁμαλῶς καὶ εὐτάκτως γινόμενον.

59,12,9 Μ ε ι δ ί α μ α π ρ ο σ η ν έ ς. Μειδίαμα μὴ πάνυ διαχέον, ἀλλὰ συμμέτρως ἔχον καὶ προσηνῶς.

59,12,11. Ἔ π α ι ν ο ς ἅ λ α τ ι ἠ ρ τ υ μ έ ν ο ς. Ὁ παραμιγνύς τι καὶ τῶν στυφόντων καὶ μνήμην φέρων τῶν ἐκεῖθεν κολάσεων.

59,12,12. Π ρ ὸ ς ὁ δ η γ ί α ν τ ο ῦ κ ρ ε ί τ τ ο ν ο ς. Ὁδηγεῖν πρὸς τὰ κρείττονα.

59,12,19-20. Κοῦφον δέ τι καὶ ἀνωφερὲς πρᾶγμα ἡ ἀρετή.

59,12,20. Ὁ μὲν οὖν σωφροσύνης πτωχεύων τοῦ τιμίου κτήματος ἢ δικαιοσύνης ἢ ἄλλου τινὸς τῶν πολυτελῶν κειμηλίων, πένης τε καὶ ἀκτήμων καὶ πτωχὸς εὑρισκόμενος, ἄθλιος τῆς πενίας, ἐλεεινὸς τῆς τῶν τιμίων ἀκτημοσύνης. Ἐὰν δέ τις καὶ τὴν ὁπωσδηοῦν συμβᾶσαν πτωχείαν καταδεξάμενος, καθώς φησιν ὁ Μέγας Βασίλειος, κυβερνήσῃ πρὸς τὸ θέλημα τοῦ Θεοῦ, ὡς ὁ Λάζαρος, οὐδὲ οὗτος τοῦ μακαριστοῦ ἀλλότριος.

59,12,20 Ἡ ἐ ν π α ρ ο ι κ ί ᾳ κ α τ ά σ χ ε σ ι ς[1]. Οἱ διὰ βασιλείαν πτωχεύσαντες καὶ παροικεῖν ἑλόμενοι ὡς ξένοι τινὲς καὶ παρεπίδημοι **[866]** ἀρχομένων, *(ὡς ἧττον)* διὰ τὴν ἐκεῖθεν κατάσχεσιν. Κατάσχεσις δὲ ἡ κληρονομία.

59,12,21-22. Ἡ ἐ ν ἀ γ α μ ί ᾳ κ α λ λ ι τ ε κ ν ί α, ε ἴ π ε ρ κ ρ ε ί τ τ ο ν α τ ῶ ν ἀ π ὸ σ α ρ κ ὸ ς ἐ ρ χ ο μ έ ν ω ν τ ὰ κ α τ ὰ Θ ε ὸ ν γ ε ν ν ή μ α τ α. Οἱ μὲν γὰρ σαρκικοὶ πατέρες σωμάτων μόνον εἰσὶ γεννήτορες, οἱ δὲ πνευματικοὶ πνευματικῶν. Ὅσῳ δὲ κρείτ-

1. Πρβλ. Α' Πέτρ. 1,17. Ἑβρ. 11,13.

των ψυχὴ σώματος, τοσούτῳ τὰ πνευματικὰ γεννήματα τῶν σωματικῶν.

59,12,22-23. Οἱ τρυφῶντες τὸ μὴ τρυφᾶν. Οἷς καὶ τρυφὴ λογίζεται τὸ μὴ τρυφᾶν.

59,12,24. Οἱ σαρκὸς ἔξω καὶ ἐν σαρκί. Οὗτοι καὶ σαρκὶ συνδεδεμένοι σαρκὸς ἔξω εἰσί, κατὰ τὸ μὴ φροντίζειν αὐτῆς, μηδὲ φείδεσθαι, ἀλλ' ὅλην τὴν ἡμέραν θανατοῦσθαι ὑπὸ τοῦ Χριστοῦ.

59,12,27-28. Ταῦτά μοι συνεῖχε τὴν ψυχήν. Ταῦτα — μεστώσας τὸν λόγον, διὰ τῆς ἐπαναλήψεως διευκρινεῖ. Συνεῖχε τ. ψ., ἤγουν ἐπίεζον, ἔθλιβον, ἐταπείνουν. Διαχεῖ μὲν γάρ, ὡς εἴπομεν, ἡ ἡδονή, συνέχει δὲ ἡ λύπη καὶ συστέλλει, ἐξ ἧς ἡμῖν καὶ τὸ σκυθρωπάζειν ἐγγίνεται. Καρδίας μὲν γὰρ εὐφραινομένης, θάλλει πρόσωπον, ἐν λύπαις δὲ οὔσης σκυθρωπάζει[1].

59,12,32 καὶ 59,12,37. Ἵνα μὴ εἴπω νεανικώτερον. Ὡς καταθρασυνόμενον αὐτοῦ καὶ κατανεανιευόμενον — *(Ἐν τοῖς ἑπομένοις)*: Ὅτι διειλόμεθα. *(Τοῦτο ὁ Ἠλίας)* ἐπισυνείρει τοῖς ἤδη ῥηθεῖσι τὰ λοιπά.

59,13,12,14. Οἱ τῆς Τριάδος ὁμόψυχοι Ἥ τε γὰρ θεότης ἀμέριστος ἐν μεμερισμένοις καὶ ἡμεῖς κατὰ πολλοστὸν ἀπήχημα (ζέοντες). *(Περὶ τοῦ θρησκευτικοῦ ζήλου)* Ζήλῳ ἀλόγιστος θέρμη. Οἱ τῆς ἀληθείας ... λέγοντες ἁπλοῦν γάρ τι, ὡς ὁ τῆς ἀληθείας λόγος, ἡ ἀλήθεια, ὥσπερ καὶ τὸ ἀγαθόν, πολυσχιδὲς δὲ τὸ ψεῦδος, καὶ ἡ κακία ποικίλη, ἐφ' ὑπερβολὰς ἐκκλίνουσα καὶ ἐλλείψεις.

59,13,26. Τηνικαῦτα. Διακόψας οὖν τὴν τοῦ λόγου συνέχειαν... τῆς ἀκολουθίας ἔχεται πάλιν.

[867] 59,13,28-29. Δῶρον χρυσοῦ καθαρώτερον, λίθων τιμαλφέστερον. Ὁ ... χρυσὸς καὶ τῶν λίθων οἱ τίμιοι καὶ ἡ τῶν ὑφασμάτων πολυτέλεια, τῶν ὀργανικῶν ὄντα, αὐτὰ καθ' ἑαυτὰ οὔτε φαῦλά εἰσιν οὔτε ἀγαθά, εἰ μή πού τις ἄρα καλῶς χρήσαιτο τούτοις καὶ ὡς ὁ ὀρθὸς λόγος ὁρίζεται τῷ τοιούτῳ γὰρ πρὸς καλοῦ εὑρεθήσεται, οὐ παρὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ παρὰ τὴν χρῆσιν τοῦ σὺν λόγῳ αὐτοῖς χρησαμένου.

59,14,5-6. Ἡγεμόνα τῆς ἐπὶ τὰ ἄνω ὁδοῦ καὶ συναγωνιστὴν πρόθυμον. Συναγωνιστήν, ἤτοι συνεργὸν καὶ βοηθὸν πρόθυμον. Ὡς περὶ ἐμψύχου δὲ ταῦτα λέγει διὰ τὸ εἰσηγεῖσθαι καὶ ὑποτίθεσθαι πᾶν ὠφέλιμον.

59,14,9-10. (Θεὸς ... ἐν ἡμῖν αὔξεται) κατὰ τὴν ἑαυτοῦ γνῶσιν, ἀλλ' οὐ καθ' ἡλικίαν. (Τὴν σοφίαν ἐμὴν ἀδελφὴν εἶναι) κομιδῇ ὀλίγων τὸ διὰ τῆς τῶν ἐντολῶν ἐκπληρώσεως καὶ τῆς τῶν ἀρετῶν οἰκειώσεως τὴν αὐτοσοφίαν Χριστὸν ἀδελφὴν ἑαυτῶν ὀνομάζειν,

1. Πρβλ. Ψαλ. 44,23. Ρωμ. 8,36.

καὶ ταῖς πνευματικαῖς ἁφαῖς καὶ ἀρρήτοις αὐτοῦ περιδράττεσθαι καὶ περιλαμβάνειν αὐτήν.

59,14,15-17. Τούτῳ χαλινῶ θυμὸν ἐκφερόμενον, τούτῳ κοιμίζω τήκοντα φθόνον, τούτῳ προσαναπαύω λύπην, δεσμὸν καρδίας, τούτῳ σωφρονίζω διάχυσιν ἡδονῆς. (Θυμὸν ἐκφερ.) κατὰ τοὺς ἀγερώχους τῶν ἵππων ἐκπηδῶντα. (Κοιμίζω) κοιμίζω καὶ καταπαύω φθόνον, σφοδρῶς ἐκτήκοντά τε καὶ κατεσθίοντα τοὺς οἷς ἂν ἐγγένηται. Ἔστι δὲ φθόνος λύπη ἐπὶ τοῖς ἀλλοτρίοις εὐτυχήμασι. Χαλεπώτατον δὲ τουτὶ τὸ πάθος καὶ δυσίατον. Τὰ μὲν γὰρ ἄλλα τῶν παθῶν, καὶ φίλοις καὶ τοῖς ἄλλως κατὰ γένος προσήκουσιν ἐξαγγελλόμενα, θεραπεύεται, ὁ δὲ τούτῳ τῷ πάθει ἁλούς, αἰσχυνόμενος ἐξαγγεῖλαι αὐτό, κατεσθίον ἔχει τὴν ψυχὴν αὐτοῦ. Λόγος δὲ μόνος περικρατὴς καὶ τούτου, ὡς καὶ τῶν ἄλλων παθῶν, γνωρίζεται, τό τε τῆς ἀνθρωπίνης φύσεως ὠκύμωρον ὑπ' ὄψιν ἄγων καὶ τῶν ἐκεῖθεν κολάσεων ἀναμιμνήσκων. Δεσμὸν καρδίας τὴν δεσμοῦσαν τὴν καρδίαν. Δεσμεῖ γὰρ αὕτη, ὥσπερ διαχεῖ ἡ ἡδονή.

59,14,18-19. Οὗτος ... μέτριον. **[868]** Οὗτος ὁ λόγος καὶ εὐποροῦντά με οὐκ ἐπ' ἀλαζονείαν ἐᾷ ἐκτινάσσεσθαι.

59,14,18-20 Πίπτοντι χεῖρα ὀρέγειν: Χεῖρα διδόναι καὶ ἀνορθοῦν. Τὸ μὲν ἀγαθὸν ἀεὶ φιλεῖν δεῖ, τὸ δὲ κακὸν ἀεὶ μισεῖν, τὰ μέντοι πρόσωπα, ὑφ' ὧν τὸ κακὸν πράττεται, οὐ μόνον οὐ μισεῖν, ἀλλὰ καὶ οἰκτείρειν καὶ ἐλεεῖν καὶ ἀγαπᾶν.

59,14,21-23. Πατρὶς ... ἐμῶν: διδάσκει γάρ με οὗτος (δηλ. ὁ λόγος), ὡς πάροικον ἐπὶ γῆς καὶ παρεπίδημον ἀναστρέφεσθαι. *(Καὶ κατωτέρω)*: ἀλλοτρίων πάντων ὁμοῦ τῶν τόπων, ἀλλ' οὐκ ἰδίων ἐμοὶ λογιζομένων, ὡς παροίκῳ τε καὶ παρεπιδήμῳ.

59,14,23-26 Οὗτος ... συμφιλοσοφεῖ ὁ λόγος, παρ' ᾧ ἂν ἐγγένηται, καὶ δι' ἀτιμίας καὶ βασάνων καὶ ὕβρεων... καὶ διὰ δόξης καὶ τιμῆς .. ἄτρωτον τηρεῖ τὸν τούτῳ πεφυλαγμένον.

59,14,28. Τράπεζαν λογικήν: Διανοίας ... τροφὴ λόγος.

59,15,3. Οὐκ ἔτι φέρομεν ἀλλήλους καὶ ἄγομεν. Μετὰ ... τὸ ἀποσχίσαι ἑαυτοὺς τῆς Ἐκκλησίας ὁ μὲν τῷδε, ὁ δὲ τῷδε φέρων ἑαυτὸν καθυπέταξεν, ὑφ' ὧν διήγοντό τε ... καὶ ἐφέροντο. Τὸ μὲν γὰρ ἄγειν ἐπὶ ἐμψύχων οἱ παλαιοὶ τάττειν εἰώθασι, τὸ δὲ φέρειν ἐπὶ ἀψύχων.

59,15,22-23. Τῷ ἐναντίῳ τὸ ἐναντίον οἰκονομήσας. Παράδοξον δὲ ὡς ἀληθῶς διὰ τῶν ἐναντίων τὰ ἐναντία τούτοις πραγματεύσασθαι.

59,15,21. Ὢ τοῦ ... Μεταξὺ δὲ τό, ὢ τοῦ παραδόξου τῆς ἰατρείας φωνήσας, ἐνδιάθετον λόγον εἰργάσατο.

59,15,35. Ὁ λαὸς ὁ πτωχὸς τὸ ἀποσχίσαν σύστημα τῶν μοναχῶν, ὡς ἀποπεπτωκὸς τοῦ καλοῦ πλούτου τῆς ὁμονοίας τε καὶ

εἰρήνης, ὧν χορηγὸν τὸ Πνεῦμα τὸ Ἅγιον. *(Ἐπανάληψις):* ὅτι. Ἔτι τοῖς τῆς εὐχαριστίας αἰτίοις ἐμφιλοχωρεῖ.

59,16,3. Τῶν ταλάντων. Διὰ ... τῶν ταλάντων πᾶσαν ἡγοῦμαι δηλοῦσθαι δωρεὰν τοῦ Θεοῦ, ὧν ἓν καὶ τὸ τῆς διδασκαλίας ἐστὶ χάρισμα, ὅπερ ἀνάγκη τὸν ἐκ Θεοῦ λαβόντα τοῖς τραπεζίταις καταβαλεῖν. Εἰ δέ τις ῥαθυμίᾳ τοῦτο μὴ καταβάλῃ, ἐγκαλεῖται παρὰ Θεοῦ, ὡς μὴ ἐπεξεργασάμενος αὐτό.

[869] 59,15,7,12-13. Καθαίρειν τὸν ῥύπον καὶ ἀποφορτίζειν τὸ ἐπίπονον βάρος τῆς ἁμαρτίας.

59,16,8. Νάπας καὶ ὄρη καὶ νάματα· τινὲς δὲ διὰ τῶν ναπῶν πνευματικὰ ἐνόησαν ἐνδιαιτήματα, καὶ διὰ τῶν ὀρῶν ὕψη θεολογίας, καὶ διὰ τῶν ναμάτων τοὺς ἠθικοὺς λόγους τῆς διδασκαλίας, οἷς ἐνεφιλοχώρει καὶ οἷς ἐσχόλαζε μεριμνῶν.

59,16,20-28. Ἐν ... τῷ εἰπεῖν· καὶ οὐ πάντη ἐφύγομεν τοῦ πονηροῦ τὸν φθόνον, δείκνυσιν, ὅτι φθονηθέντες ὑπὸ τοῦ πονηροῦ καὶ ἐπιβουλευθέντες ταῦτα πεπόνθασι, μὴ φέροντος τὴν ὁμόνοιαν αὐτῶν, δι' ἀπόστασιν ἐκπεπτωκότος. Φθόνος γάρ ἐστι λύπη ἐπ' ἀλλοτρίοις ἀγαθοῖς.

59,17,15. Τὸ περικόψαι τι τῶν τριῶν ἢ ἀποξενῶσαι ἴσον ἡμῖν καὶ τὸ πᾶν ἀνελεῖν καὶ κατὰ πάσης χωρεῖν, γυμνῇ τῇ κεφαλῇ τῆς θεότητος. *(Περὶ Σαβελλίου, τὸν Πατέρα ἀπὸ τοῦ Υἱοῦ χωρίζοντος ὑπούλως).* Μὴ φανερῶς τοῦτο ἐποίει, ἀλλὰ κακούργως τε καὶ κεκρυμμένως. *(Περὶ τοῦ αὐτοῦ)* Πατέρα μὲν ἐκάλει (Θεόν), ἀλλ' οὐ διὰ τὴν πρὸς τὸν Υἱὸν σχέσιν, ἀλλὰ καταχρηστικῶς διὰ τὴν δημιουργικὴν ἐπιστήμην, ὥσπερ καὶ ἐπὶ τῶν κτισμάτων λέγομεν πατέρας ἔργων καὶ λόγων καὶ τεχνῶν καὶ παιδεύσεως. Τοῦτο δὲ παρὰ Πλάτωνος παρέλαβεν. Καὶ γὰρ κἀκεῖνος τὸν Θεὸν πατέρα τοῦδε τοῦ παντὸς ἐκάλει. Τὸ ἀνερυθριάστως δὲ κατά τινος χωρεῖν μεταφορικῶς ἀπὸ τῶν γυμναῖς ταῖς κεφαλαῖς χωρούντων μετείληπται.

59,17,22. Ἑτεροζυγοῦσι περὶ τὴν ἀλήθειαν. Κατὰ τὰς τῶν πλαστίγγων ῥοπάς. Ἰστέον δέ, ὅτι τὸ μὲν ἑτεροζυγεῖν τὸ ἐπὶ θάτερα ῥέπειν δηλοῖ, ἐκ μεταφορᾶς τοῦ παρ' ἡμῖν ζυγοῦ ληφθέν, ᾧ τὰ σταθμώμενα ἐξισαζόμενα. Παρίστησι δὲ διὰ τούτου τὸ μήτ' ἐπὶ δεξιά, μήτ' ἐπ' ἀριστερὰ τῆς εὐσεβείας ἐκκλίνειν αὐτούς, ταὐτὸν δὲ εἰπεῖν, ἐφ' ὑπερβολάς τε καὶ ἐλλείψεις.

59,17,26 ἑξ. (Θεοῦ) ὑπαλείφοντος ἡμᾶς καὶ μὴ ὑποστέλλεσθαι πείθοντος ἐν οἷς περὶ εὐσεβείας ἐστὶν ὁ κίνδυνος.

[870] 59,1,,41 ἑξ. Λαμβάνει *(δηλ. ὁ Γρηγόριος)* ἐργασίαν πρὸς τοῦτο ἀπὸ παραδείγματος. Ἡ δὲ ἐργασία τοιαύτη.

59,17,41. Τὰς ἀγγελικὰς δυνάμεις πρώτας ἐκ Θεοῦ καὶ περὶ Θεὸν εἶναι τίθεται... ὡς ἀεὶ περὶ αὐτὸν χορευούσας καὶ ἀκαταλήκτως ὑμνούσας αὐτόν. (Θεὸς) ὅλον... ἐν ἑαυτῷ συλλαβὼν ἔχει

τὸ εἶναι, μήτε ἀρξάμενον μήτε παυσόμενον, καὶ πάντων ὑπερίδρυταί τε καὶ ὑπέρκειται. Ὅσα δὲ λέγεται εἶναι, ἐξ αὐτοῦ τε τὸ εἶναι ἔχει καὶ δι' αὐτοῦ φρουρεῖται καὶ σῴζεται, μηδὲ κυρίως ὄντα αὐτὸ τοῦτο, ὅπερ λέγεται. Μόνος γὰρ Θεὸς κυρίως ὤν, τὰ δ' ἄλλα πάντα κατὰ πολλοστὸν ἀπήχημα τοῦ κυρίως ὄντος λέγεται ὄντα.

59,18,1. *(Ὁ Ἑωσφόρος)* πρῶτος ἀποστὰς τοῦ ἀγαθοῦ, ἐν τῷ κακῷ γέγονεν. Οὐδὲν γὰρ ἕτερόν ἐστι τὸ κακόν, εἰ μὴ τοῦ ἀγαθοῦ στέρησις, ὥσπερ καὶ τὸ σκότος στέρησίς ἐστι φωτός. Τὸ γὰρ ἀγαθὸν φῶς ἐστι νοητόν. Ὁμοίως καὶ τὸ κακὸν σκότος ἐστὶ νοητόν.

59,18,15-16. Ἧς ... ἀστασίαστον· ἧς τινος ἀξίας πρῶτόν ἐστιν ἀγαθόν, ἐκ Θεοῦ καὶ τοῦτο ἐπιβραβευθὲν αὐτοῖς, τὸ εἰρηναῖόν τε καὶ ἀστασίαστον.

59,18,26. *(Ὁ Σατανᾶς)* μὴ δύναται ... διὰ τὴν παρουσίαν τῆς θείας χάριτος ἐμφωλεῦσαι τῷ τῶν ἀγωνιζομένων νοΐ, καὶ κρύφα ἐπιβουλεύει καὶ σκοτομήνην αὐτὸς ἐν ἡμῖν ἐμποιεῖ, δίκην νεφέλης τὰ ἐπιθολοῦντα τὸν τῆς ψυχῆς ὀφθαλμὸν ἀνεγείρων πάθη. *(Ὁ Ἠλίας τὸν Σατανᾶν λέγει)* πόρρωθεν ἀκροβελίζεσθαι *(τοὺς εὐσεβεῖς)*.

59,18,38. Καταποικίλας τὸν λόγον διαρκῶς, λαμβάνει (δηλ. ἐργασίας πρὸς τὸ δεῖν ἡμᾶς ὁμονοεῖν) νῦν καὶ ἀπὸ τῆς ἐν τοῖς κτίσμασιν εὐαρμοστίας τε καὶ συμφωνίας. Καὶ γὰρ καὶ ὁ κόσμος οὗτος, τὸ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν ἐν μέσῳ σύστημά τε καὶ σύγκριμα, τὴν ἐντεθεῖσαν αὐτῷ ὑπὸ τοῦ δημιουργοῦ τάξιν τηρῶν, αὐτό τε τοῦτο ὃ λέγεται κόσμος ἐστίν. Ἡνίκα δὲ στασιάσας λύσῃ τὴν ἐντεθεῖσαν ἁρμονίαν αὐτῷ, ἀκοσμία τε καὶ ἀταξία καὶ ἄλλο τι τῶν πρὶν ὄντων καὶ λέγεται καὶ ἔστι.

[871] 59,18,37-38. Νόμους δὲ κτίσεως τοὺς ἐντεθειμένους ἐξ ἀρχῆς ὑπὸ τοῦ κτίσαντος λόγους τοῖς κτίσμασι, καθ' οὓς δὴ καὶ μὴ ὂν συνέστη τὸ δὲ τὸ πᾶν καὶ ὑφ' ὧν διασῴζεται, καὶ οἵτινες ἀσάλευτοι μένουσιν. Ὅθεν καὶ νόμους αὐτοὺς ἐκάλεσε διὰ τὸ βέβαιον αὐτῶν τε καὶ πάγιον.

59,18,40. Τὸ δὲ σιωπῇ κηρυττόμενος ἐκ τῶν Δαυῒδ ψαλμῶν παρῳδήθη. Οἵ τε γὰρ οὐρανοὶ καὶ πᾶσα ἡ ὁρωμένη κτίσις, καὶ σιωπῶντες, δόξαν Θεοῦ διηγοῦνταί[1] τε καὶ κηρύττουσι.

59,19,10-12. Ὧραι ἡμέρως κιρνάμεναι τὸ τῶν ἄκρων αὐστηρὸν τῇ μεσότητι τιθασσεύουσαι, πρός τε ἡδονὴν ἅμα καὶ χρείαν ἐπιτηδείως εἰρήνῃ βραβεύεσθαι...

59,19,12 ἑξ. Εὑρήσεις πολλὰ τοιαῦτα ἱστορούμενα παρὰ πολλοῖς μὲν καὶ ἄλλοις, οὐχ ἧττον δὲ καὶ παρὰ τοῖς μετεωρολογικοῖς Ἀριστοτέλους.

59,19,35. (Καὶ ἵνα παρῶ) Τῷ τμητικῷ τύπῳ.

---

1. Πρβλ. Ψαλ. 18,1.

59,20,12. Στοιχεῖα. Ἔστι... τὸ πῦρ ἓν τῶν τεσσάρων στοιχείων... τῇ πρώτῃ ἡμέρᾳ ὑπὸ τοῦ δημιουργοῦ κτισθέν. Τοῖς φωστῆρσι δὲ τούτοις, τῷ ἡλίῳ λέγω καὶ τῇ σελήνῃ καὶ τοῖς λοιποῖς, τὸ πρωτόκτιστον φῶς ὁ δημιουργὸς ἐναπέθετο.

59,20,16. Ἐπεὶ δὲ νοσεῖν ἤρξαντο. Τουτέστι στασιάζειν πρός τε ἀλλήλους καὶ πρὸς Θεόν.

59,20,18-19. Τῆς ἀπονοίας ... ἀπενοήθησαν. Τῆς ἀπονοίας, ἣν κατ' αὐτοῦ παραβόλως τε καὶ παρακεκινδυνευμένως ἀπενοήθησαν.

59,20,25 ἑξ. Καὶ ἔστι τὸ μὲν σχῆμα Δημοσθενικόν. Ὅτε γάρ, φησίν, ἐπορευόμεθα εἰς Δελφούς, ἦν ὁρᾶν ταῦτα, πόλεις ἠδαφισμένας, τείχη κατεσκαμμένα, γύναια δὲ καὶ παιδάρια καὶ πρεσβύτας οἰκτρούς, τὰ μὲν τῷ ἐδάφει προσαρασσόμενα, τοὺς δὲ ἀγομένους, καὶ τὰ ἑξῆς.

[872] 59,21,18 ἑξ. Ἔοικεν οὖν, καθώς φησιν Ἀριστοτέλης, ἡ μεγαλοψυχία οἷον κόσμος τις εἶναι τῶν ἀρετῶν. Μείζους τε γὰρ αὐτὰς ποιεῖ καὶ οὐ γίνεται ἄνευ ἐκείνων, καὶ διὰ τοῦτο χαλεπὸν τῇ ἀληθείᾳ μεγαλόψυχον εἶναι. Οὐδὲ γὰρ οἷόν τε ἄνευ καλοκἀγαθίας. Θεωρεῖται δὲ ἡ μεγαλοψυχία πρὸς τοῖς ἄλλοις καὶ περὶ πάντα ὅσα διαχεῖν οἶδε καὶ λυπεῖν, καὶ περὶ πᾶσαν εὐημερίαν τε καὶ δυσημερίαν, περὶ ἃ δὴ πάντα μετρίως ἕξει καὶ ἐμμελῶς, καὶ κατὰ τὸν ὀρθὸν λόγον οἴσει τὰ συμπίπτοντα, μὴ ῥᾳδίως μηδ' ὑπὸ τῶν τυχόντων τοῦ ὀρθοῦ λογισμοῦ μεθιστάμενος.

59,21,18-20. Εἰπὼν χείρους τοὺς διὰ μικροψυχίαν ἀστατοῦντας καὶ μὴ ἐμμενετικούς, οἷς ἂν κρίνωσι, τῶν ἐμμενετικῶν αὐτοῖς τούτοις, κἂν παρὰ τὸν ὀρθὸν λόγον τυγχάνωσιν, οἷς ἐμμένειν κεκρίκασι.

59,21,32-33. Διὰ τὸ ἐν ἀμφοτέροις ἀκίνητον καὶ ἀστάθμητον. Διὰ τὸ τῆς γνώμης κοῦφόν τε καὶ εὐρίπιστον καὶ τὸ ἐν ἀμφοτέροις εὐκίνητόν τε ὁμοῦ καὶ ἀστάθμητον.

59,21,32. Τὴν ὁμόνοιαν περιέπειν.

59,22,11-13. Μιμησώμεθα τὸν ... διὰ τοῦ αἵματος αὐτοῦ πάντα συναγαγόντα καὶ εἰρηνεύσαντα. Πρὸς τὸ ἑτοίμους εἶναι ὑπεραποθνήσκειν ἀλλήλων ὑπαλείφει.

59,22,17. Ἵν' ἐν γήρᾳ καλῷ καταλύσῃς τὴν παροικίαν. Ἤτοι τὸν βίον. Φησὶ γὰρ ὁ Δαυὶδ «πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ»[1]. Πατρὶς γὰρ ἡμῶν πάλαι μὲν παράδεισος, νῦν δὲ οὐρανός, ἔνθα τὸ πολίτευμα ἡμῶν[2].

59,22,19. Κυκλοῦσι. Περὶ γὰρ τὸ θεῖον ἑστῶτες θυσιαστήριον πνευματικοί τινες χορευταὶ καὶ θιασῶται Χριστοῦ, ᾠδαῖς καὶ μέλεσι τοῦτον καταγεραίρουσι.

---

1. Ψαλ. 118,19. 2 Πρβλ. Φιλιπ. 3,20.

59,22,29. Κατασφαλίζεται τὸν διαρρέοντα καὶ διακεχυμένον ταῖς ἐπιθυμίαις καὶ χαμαὶ τοὺς λογισμοὺς συρομένους ἔχοντα. — Ἢ τάχα τὸν ἐν ἡμῖν τῆς ψυχῆς τόνον, ὃν τροπικῶς ὀσφὺν ἐκάλεσε, τῇ ἀληθείᾳ περιζώννυσι.

59,22,29. *(Ὁ Χριστὸς)* ἡ αὐτοαλήθεια.

59,22,30. Τὸ τέλος ἡμῖν ὑπὸ τῆς τοῦ Θεοῦ βοη[873]θείας βραβεύεται. Τοὺς παραχαράττειν *(δηλ. τὴν ἀποστολικὴν διδασκαλίαν)* ἐπιχειροῦντας αἱρετικούς.

59,23,1-2. Οὔτε γὰρ τοπικὴν διάστασιν, ὡς ἐφ' ἡμῶν, δυνάμεθα ἐπὶ τῆς ἀπεριγράπτου λέγειν θεότητος —. *(Εἰς τὴν διάκρισιν τῶν τριῶν προσώπων)*. Πρὶν διελεῖν ταῖς ὑποστάσεσι, συνάπτομεν τῇ οὐσίᾳ, συνημμένως διαιροῦντες καὶ διαιρετῶς συνάπτοντες. *(Κατωτέρω)*: Τριὰς εἰς μονάδα φύσεως καὶ θεότητος ἀνακεφαλαιουμένη, ἤτοι συναιρουμένη τε καὶ συναπτομένη ἀσυγχύτως τε καὶ ἀσυμφύρτως.

59,23,2. Κατὰ τὸν ἀποδοθέντα λόγον τῆς προσκυνήσεως.

59,23,1,4 Λέγεται γὰρ Θεὸς ἢ ἐκ τοῦ θέειν καὶ περιέπειν τὰ σύμπαντα ἢ ἐκ τοῦ αἴθειν, ὅ ἐστι καίειν· ὁ γὰρ Θεὸς πῦρ καταναλίσκον πᾶσαν κακίαν ἐστίν· ἢ ἀπὸ τοῦ θεᾶσθαι τὰ πάντα. Ἀλάθητος γάρ ἐστι καὶ παντεπόπτης. Οὕτως ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνὸς περὶ τούτων τῶν ὀνομάτων εἴρηκε. (Θεὸς) οὐδὲ ταῖς νοεραῖς τοῦ νοῦ ἀφαῖς κρατεῖται. Φθάνει γὰρ διαδιδράσκων. Τοιοῦτόν ἐστι καὶ τὸ ἀπερίληπτον. Δηλοῖ γάρ, ὅτι οὐ περιλαμβάνεται νοήσει, ἐπεὶ καὶ τὸ συλλεγόμενον ἴνδαλμα ἐκ φαντασίας τινὸς τῶν περὶ αὐτόν, πρὶν καλῶς κρατηθῆναι, φεύγει. Ἢ ἀπερίληπτος λέγοιτο ἄν, ὡς ἀπεριόριστος καὶ ἀπερίγραπτος καὶ ἀπερινόητος.

59,23,6. Ἅγια ... ἁγίων... νοήσεις τὴν περὶ αὐτῆς τῆς Τριάδος γνῶσιν καὶ θεωρίαν, ἄβατον καὶ ἀπροσπέλαστον καὶ αὐταῖς ταῖς ἀγγελικαῖς καὶ θείαις οὔσαις δυνάμεσιν. Οὐ γὰρ δυνατὸν αὐταῖς πρὸς αὐτὴν ἀνατείνεσθαι. Τὴν πρώτην καὶ ἀκήρατον φύσιν.

ΛΟΓΟΣ ΚΓ΄.

59,174,23-24. Καὶ (ἀπὸ) τῆς τῶν ἔξωθεν ἐμφαινομένων (ὑπολήψεως) τόπους προοιμιῶν Ἑρμογένης ἡμῖν παραδέδωκεν. (Ἀγάπη) ἀνεύρου δὲ τὴν ἐλπίδα καὶ οἷον ἐπερρώννυεν ἡ ἀγάπη. Ζῆλος. Ἔστιν οὖν ζῆλος μὲν κίνησις ψυχῆς ἀναζεούσης εἰς ἐκδίκησιν τῶν κακῶς γινομένων. Τίθεται δὲ πολλάκις οὗτος καὶ ἀντὶ τοῦ φθόνου· ἐνταῦθα δὲ ἀντὶ τῆς θερμότητος... εἴληπται. Αὐτοφιλανθρω[874]πία. Ταῦτα δὲ τὰ ὀνόματα, ἡ αὐτοφιλανθρωπία λέγω καὶ αὐτοαγάπη, τὴν ὡς ὄντως φιλανθρωπίαν τε καὶ ἀγάπην σημαίνειν βούλονται, ὅθεν δὴ καὶ ἡμῖν, ὡς ἔκ τινος πηγῆς, τὸ τῶν ἀρετῶν τούτων πηγάζει ἀγαθόν. Τοιοῦτον καὶ τὸ αὐτοάγαθον, ἐξ οὗ καὶ ἡμεῖς ἀγαθοὶ κατὰ χάριν

γινόμεθα. Διὸ καὶ Πλάτων πάντα τὰ ὡς ὄντως ὄντα, καὶ ὅθεν κατὰ μετοχὴν καὶ τἄλλα λέγεται, παριστᾶν βουλόμενος, τὸ τῆς ἀντωνυμίας τουτὶ προσῆπτε τοῖς ὀνόμασιν.

59,174, c. 24. (Τοῦ ἀνθρώπου) τὴν παχυτέραν σάρκα καὶ θνητὴν φορέσαντος καὶ ἀντίτυπον.

59,174,28. Οὐκ ἀρετὴ ... τὸ βίᾳ γινόμενον.

59,174,31-32. Ῥοῦς κατὰ πρανοῦς τρέχων. Ἐπεὶ δὲ βαρεῖά τις καὶ κατωφερὴς ἡ τῆς ἁμαρτίας ῥοπή, τῷ λείῳ τῆς ἡδονῆς καὶ τῇ ῥαστώνῃ ἡμᾶς δελεάζουσα, πλεῖον τὸ ἕτερον γίνεται. Μᾶλλον γὰρ τῷ βάρει τῶν ἀλόγων παθῶν συγκατασπᾶται τὸ ἡγεμονικὸν τῆς ψυχῆς ἢ τῷ ὕψει τούτου τὸ βαρύ τε καὶ χοϊκὸν συναναψοῦται.

59,174,37-175,1. Χρόνῳ καὶ λόγῳ βεβαιωθὲν ἅπαν καλὸν φύσις καθίσταται. Τὸ ... καὶ λόγῳ ἄριστον κριθὲν καὶ χρόνῳ βεβαιωθὲν εἰς φύσιν καθίσταται.

59,175,1. Πεπαγιωμένων ἡμῶν τῇ ἀγάπῃ.

59,175,8. Ἐνδιαθέτως ἀνεβόησεν· εἶθε.

59,175,15-16. Ποῦ ... οἱ τὰ τραύματα ἔχοντες καὶ τοὺς μώλωπας ὀνειδίζοντες; Ἔστι δὲ διαφορὰ τραύματός τε καὶ μώλωπος. Τὸ μὲν γὰρ ὑγιασθὲν τραῦμα μώλωψ λέγεται, ... τραῦμα δὲ πληγὴ μήπω συνουλωθεῖσα ἤτοι διαίρεσις συνεχείας. Ἔλαττον οὖν ὁ μώλωψ τοῦ τραύματος, ὕφαιμός τις οὖσα πληγὴ ἢ οὐλὴ ἐκ τραύματος ἐνσκιρρωθεῖσα.

59,175,17-18. Οἱ τῷ βορβόρῳ ἐγκαλινδούμενοι. Βορβόρῳ μὲν ἐγκαλινδουμένους (καλεῖ) τοὺς ἀνέδην τε καὶ ἀνερυθριάστως δίκην χοίρων ταῖς φιληδονίαις καταβαπτιζομένους. Καθ' ἡμέραν αὐτοὶ μεθύοντες καὶ κραιπαλῶντες.

59,175,23-24. Χρώμεθα διαιτηταῖς τοῖς ἐχθροῖς. Δικαστὰς καθίζειν.

59,175,32-33. Ἀναβάσεις ἐν τῇ καρδίᾳ -ίθενται[1]. [875] οὐχ ὁμολογίας, ἀλλ' ἀρνήσεως, οὐδὲ θεολογίας, ἀλλὰ βλασφημίας. Ἀναβάσεις μὲν ἐν τῇ καρδίᾳ τίθενται, ἀλλ' οὐχὶ τὰς εἰς οὐρανὸν ὑψούσας, ὡς ὁ Δαυὶδ φησιν περὶ τοῦ τῇ θείᾳ χάριτι φωτιζομένου τὸν νοῦν καὶ ἐν τῷ θνητῷ τούτῳ βίῳ, ὃς κοιλὰς κλαυθμῶνος λέγεται, τὰ ἐκεῖθεν μελέτην ποιουμένου.

59,176,4. Φανερὸν ἤδη τὸ τῆς διενέξεως ποιησάμενος αἴτιον, οὐ πάνυ τι παρὰ δικαίοις κριταῖς ὑπεύθυνον ὄν, ... θαρρούντως λοιπὸν πρὸς τοὺς ἑτεροδόξους ἀποτείνεται.

59,176,24-30. Ἵνα μὴ εἰς τέλος ἐμπανηγυρίζωσι τοῖς αὐτῶν κακοῖς. — Μικροψυχίας ἐμπύρευμα. Εὐνοίας ζώπυρον.

59,176,33. Τὸ ἐν ταῖς ψυχαῖς ἀποκείμενον.

---

1. Πρβλ. Ψαλ. 83,6.

Τὸ μὴ διαρρυέν, ἀλλ' ἐν ταῖς ψυχαῖς ὑμῶν ἀποκείμενον, καὶ ἡ ἐντεῦθεν ὠφέλεια, ἣν διὰ τῆς ἀκροάσεως ἀπεθησαυρίσατε.

59,176,36. Πολλάκις ὑπὲρ Χριστοῦ πεπόνθαμεν, πρὸς τὸ πάσχειν μάλιστα στομωθέντες.

59,177,4-5. Δοκεῖτέ μοι τὸν λόγον προκαλεῖσθαι διὰ τῆς ἡσυχίας. Λαμβάνει.. ἐκ τοῦ σιγᾶν αὐτοὺς ... τὸ διὰ τῆς σιγῆς αὐτοὺς προκαλεῖσθαι τὸν λόγον. Τὰς δυσκωφευούσας καὶ βαρέως ἀκουούσας ἀκοάς.

59,177,20,37. (*Ὁ Ἠλίας λέγει διὰ τοὺς Ἀρειανούς*) κτισματολατρεῖν.

59,178,4 ἑξ. Σοφῶς πάνυ καὶ εὐεπηβόλως.

59,178,7-8. Ἓν ὄντα διῃρημένως καὶ διαιρούμενα συνημμένως. Θεραπεύειν (*λέγει ἐν τοῖς ἑπομένοις λόγοις*) Εἰ καὶ παράδοξον τοῦτο εἰπεῖν.

59,178, c. 10. Ἐν ἑαυτῷ συγκεκραμένην τὴν πίστιν ἀνετυπώσατο.

59,178,19-21. Ἄνθρωπος μὲν γὰρ ὑπὸ σύνθεσιν καὶ γένεσιν τελῶν καὶ φθορὰν καὶ ῥεῦσιν, καὶ πληθυσμὸν καὶ σῶμα περικείμενος... σωματικῶς γεννᾷ. Θεὸς δέ, ἄχρονος ὢν ... καὶ ἄρρευστος ..., ἀρ-**[876]** ρεύστως γεννᾷ καὶ ἐκτὸς συνδυασμοῦ. Ἀσώματον δὲ ὂν (τὸ Θεῖον), ἀσωμάτως πάντως καὶ γεννήσει καὶ ἀπαθῶς καὶ ἀρρεύστως καὶ ἀχρόνως.

59,178,21-22. Τί φοβούμεθα φόβον, οὗ μή ἐστι φόβος—; Τοῦτο, τὸ ἀδεὲς δέος φοβεῖσθαι, καὶ εἰς παροιμίαν προῆλθε. Ὀλέθριος τοῖς οὕτω διακειμένοις ὁ περὶ τὰ τοιαῦτα περισπασμός

59,178,24-26. Κἂν ... τοῦτο μόνον φιλανθρωπεύηται ὑβριζόμενον. Τὸ δοκοῦν τοῦτό σοι φιλάνθρωπον ὕβρις ἐστὶν εὐπροφάσιστος.

59,178,29. Πάθη ... οἷον ... ἀνατύπωσις τοῦ ποῖόν τι χρὴ κτισθῆναι τὸ κτισθησόμενον, φροντὶς τοῦ μὴ τὸ κτιζόμενον καταλιπεῖν ἀτελεσιούργητον.

59,178,33-34. Σοὶ μὲν οὖν οὐδὲν ἀνεπιχείρητον, οὐδὲ ἀτόλμητον τῷ κακῷ βραβευτῇ καὶ διαιτητῇ θεότητος. Τῷ ἑτεροδόξῳ, κακῶς περὶ θεότητος κρίνοντι καὶ καταβραβεύοντι μᾶλλον ἢ βραβεύοντι.

59,179,5-6. Εἴπερ τούτου (*δηλ.* τοῦ ἡμετέρου λόγου) μετὰ πνεύματος θεωρουμένου, ἐκεῖνος (*δηλ.* ὁ Λόγος) δίχα Πνεύματος εἶναι πιστεύοιτο.

59,179,6-7. Ὅσον εἰκάσαι τοῖς αἰσθητοῖς τὰ νοητὰ καὶ τοῖς μικροῖς τὰ μέγιστα. Μὴ μέντοι δύνασθαι... τοῖς αἰσθητοῖς τὰ νοητὰ καὶ τοῖς μικροῖς τὰ μέγιστα φανεροῦν, ἀλλ' ἀμυδράν τινα τὴν εἰκασίαν ἐντεῦθεν λαμβάνοντα τὸ ὑπὲρ κατάληψιν ἐᾶν.

59,179,12-13, 17-21. Πᾶν... τὸ κτιστὸν ὑπὸ χρόνον. Πᾶν σῶμα... τρισὶ διαστάσεσι περιγράφεται, μήκει λέγω καὶ βάθει καὶ πλάτει. Καὶ τὸ συλλεγόμενον ἴνδαλμα ἐκ φαντασίας τινὸς τῶν περὶ αὐτὴν *(δηλ. τὴν θείαν φύσιν)*, πρὶν καλῶς κρατηθῆναι, φεύγει. Ἡ τοῦ ἡλίου ἐπιδημία. Ὁ νοητὸς ἥλιος οὐ πᾶσι τὴν ἑαυτοῦ φαιδρότητα χαρίζεται, ἀλλὰ τοῖς ἀξίως αὐτοῦ πολιτευομένοις. Φῶς οὖν ἀπρόσιτον καὶ ἀδιάδοχον ὁ Πατήρ. Τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα. Τοῦ νοῦ λεπταῖς τισιν ἐπινοίαις τὰ φύσει ἡνωμένα... χωρίζοντος.

59,179,17-21. Ἄγγελοι καὶ ἄνθρωποι κατὰ χάριν εἰσὶ τοῦτο ὅπερ εἰσί, καὶ τῇ τοῦ ἐκεῖθεν φωτὸς μετοχῇ φῶτα καὶ αὐτοὶ χρηματίζουσιν. Ἡ δὲ **[877]** (*δηλ.* θεότης) πηγὴ ζωῆς καὶ φωτός ἐστι, μεταληπτὴ οὖσα, ἀλλ' οὐ μεταληπτική. Ἐκεῖθεν γὰρ τὰ πάντα ζωογονεῖται, ἐκεῖθεν φωτίζονται, τῇ ἐκεῖθεν μεταλήψει συντηροῦνταί τε καὶ συνέχονται.

59,179, c. 17-21. Ὅσα ὑπὸ τὴν αἴσθησιν. — τὰ ὑπὸ τὴν λογικὴν πάντα φύσιν.

59,179,22-23. (Ὁ ἄνθρωπος) διοικεῖται μὲν προαιρετικῶς καὶ τὰς ἡνίας πεπίστευται τῆς αὐτοῦ διανοίας, ὥστε ἐφ' ὅπερ ἂν βούλοιτο τρέχειν, εἴτε πρὸς τὸ ἀγαθόν, εἴτε πρὸς τὸ ἐναντίον, δοὺς δὲ τὴν ῥοπὴν πρὸς τὸ ἀγαθὸν θεοειδὴς χρηματίσειεν.

59,179,24. Μὴ φύρειν τὰ διεστῶτα. Φύρουσι καὶ μιγνύουσι τὰ διεστῶτα.

59,179,43. Ἐν τοῖς ἑτέρων σαθροῖς. Τῇ τοῦ ἀντιπαλαίοντος σαθρότητι καὶ ἀσθενείᾳ.

59,179,36. Ἔστι δὲ εὐδαιμονία κατὰ Ἀριστοτέλην[α] ψυχῆς ἐνέργεια κατ' ἀρετὴν τελείαν ἐν βίῳ τελείῳ.

59,180,11-14. Ταῖς ἐκπεμπομέναις παρὰ σοῦ *(τὴν Ἁγίαν Τριάδα προσαγορεύει)* φωτοβόλοις αἴγλαις καταλαμπόμενοι.

59,180,20-21. Γνωσόμεθα καὶ τὰ κομψὰ ὑμῶν γεννήματα ἢ ἐξαμβλώματα. (Κομψὰ) τὰ σοφὰ εἰρωνικῶς, ἢ τὰ σκολιὰ ἀληθῶς. Ἐπ' ἀμφοτέρων γὰρ ἡ λέξις τάττεται.

59,180,32. Τὴν εἰς τὸ χαμερπὲς μεταποίησιν. *(Περὶ τοῦ ὄφεως ἤτοι περὶ τοῦ Σατανᾶ)*: Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ συρόμενος. Εἰς ἐπιθυμίας ἡμᾶς ἀλλοκότους ἐκτραχηλίζων.

ΛΟΓΟΣ ΚΒ΄.

59,166,19. Ἐν τῷ συγκεκροτημένῳ πολέμῳ.

59,166,24-25. Πρὸ τοῦ συρραγῆναι τὸν πόλεμον

59,167, c. 35 ἑξ. Συνάγεταί τι ἔκ τινος ἀναγκαστικῶς.

59,168,1-2. Οἱ τοῦ φωτός. *(Ὁ Χριστὸς)* φῶς θεογνωσίας ἐπιλάμπων τοῖς πρὸς αὐτὸν ἀνανεύουσι.

α. Ἠθικὰ Νικομάχεια Α, κεφ. ι, 39-40.

59,168, c. 3 ἑξ. Ἵνα ἐκ τῶν καθ' ἡμᾶς ἀμυδρᾷ τινι εἰκόνι τὸ ὑπὲρ ἡμᾶς παραστήσω.

59,168,2. (Ὁ Λόγος) καὶ λόγου καὶ νοῦ καὶ σοφίας ἐστὶ χορηγός.

59,168,4-5. Τροφῆς μὲν καὶ ὕπνου καὶ ᾠδῆς κόρος ἐστὶ καὶ τῶν αἰσχίστων, ὡς λέγουσι. Τὸ δὲ πάντων εἶναι κόρον ἐξ Ὁμήρου ... εἴληπται. Φησὶ γὰρ ἐκεῖνος· «πάντων μὲν κόρος ἐστί, καὶ ὕπνου καὶ φιλότητος»[α], καὶ τῶν λοιπῶν. [878] Λέγουσι δὲ τοῦτο Ἕλληνες, ἐκεῖθεν μαθόντες.

59,168,9. Ζῆλος κυρίως κίνησις ψυχῆς ἀναζεούσης εἰς ἐκδίκησιν τῶν κακῶς γενομένων, ὑπερβαίνων δὲ τὸν οἰκεῖον ὅρον εἰς φθόνον ἐκπίπτει καὶ μανίαν.

59,168,15. Τὸ χάριεν, ἡ τῶν ψήφων μετάθεσις. Ψήφους μὲν καλεῖ τὰς κρίσεις. — τὸ δὲ χάριεν εἰρωνικῶς, ὡς ἄχαρι μᾶλλον καὶ δεινόν.

59,168,17-19. Τὸ ... ἔλαττον κακόν, πρὸς μεῖζον κακὸν συγκρινόμενον, ἐν ὑπεροχῇ δοκεῖ εἶναι ἀγαθοῦ, ὡς Ἀριστοτέλει καὶ τῇ ἀληθείᾳ δοκεῖ.

59,168,19-22. Τοιοῦτον γὰρ ἡ στάσις, μετὰ τῶν πραγμάτων καὶ τὰ ὀνόματα φύρουσα, ὡς γράφει που Δημοσθένης.

59,168,32. Τριβώνιον. Τρύχινον.

59,168,34. Ἐμβριθὲς δὲ τὸ μὴ ἀνειμένον λέγει, μηδὲ θρυπτικόν τε καὶ βλακικόν.

59,168,43-169,1. Κλεπτομένου τοῦ ἀέρος τῷ διαστήματι. Τῆς ὄψεως ἀτονούσης τῷ μεταξὺ πολλῷ διαστήματι.

59,169,14-15. Τὰς ἀκοὰς αὐτῶν καθηδύνομεν ταῖς κατ' ἀλλήλων ὕβρεσιν. Ἑστίασιν γὰρ ἐνταῦθα τὴν ἀπόλαυσιν ἐκάλεσε καὶ ἡδονήν

59,169,20-21. Τί ταῦτα πάσχομεν, ὦ οὗτοι, καὶ μέχρι τίνος; πότε δὲ τῆς μέθης ἐκνήψομεν ἢ τῶν ὀφθαλμῶν τὴν λήμην περιαιρήσομεν; Τὸ ἐκ τοῦ στασιάζειν ἐπισυμβαῖνον πάθος τῷ τῆς ψυχῆς ὀφθαλμῷ καὶ ἐπιπροσθοῦν αὐτῷ καὶ μὴ συγχωροῦν καλῶς διακρίνειν τὰ πράγματα, λήμην ὠνόμασε. Πότε δὲ τὴν μέθην ταύτην ἀποσκευασάμενοι ἀνανήψομεν γρηγορήσαντες καὶ τῶν τῆς ψυχῆς ὀφθαλμῶν τὰ ἐκ τῆς στάσεως πάθη, ὡς λήμην τινὰ παχεῖαν, ἀποσκευασάμενοι... πρὸς τὸ φῶς τῆς ἀληθείας ἐνατενίσομεν;

59,169,26. Ἀθάνατα δὲ ἀντὶ τοῦ μακρὰ ... καὶ ἐπὶ πλεῖστον διήκοντα.

59,169,28 ἑξ. Τοῦ λόγου ἐξασθενήσαντος, ὃς χαλινοῦν οἶδε ψυχὴν ἀτάκτως φερομένην καὶ ᾄττουσαν.

59,169,33. Καπνός. Τουτέστι προοίμιον.

α. Ἰλιάδος Ν 636.

59,169,36. Οὐκ ἐνδοιαστικὸν δὲ ἐνταῦθα τὸ τυχόν, ἀλλ' ἠθικόν, ἀντὶ τοῦ· ὡς ἐγὼ καταλαμβάνω ἀπὸ τοῦ εὐαγγελικοῦ ῥητοῦ.

59,170,4. Τὴν κοιλίαν. Τὴν ψυχὴν *('Ο 'Ηλίας ἑρμηνεύει)* λόγου τροφαί, *(καὶ* **[879]** *ἐφεξῆς)*: ὃ γάρ ἐστιν ἐν σώματι τροφῇ τοῦτο ἐν ψυχῇ λόγος.

59,170,4 ἑξ. Διανοήματα... ἐκ τῆς αἰσθήσεως, οἷς ὁ δίκαιος σπαράσσεται, θερμαίνεται καὶ ὁρμητικῶς ἔχει.

59,170,6. Κωμῳδία. Κωμῳδία καὶ ἀφορμὴ γέλωτος καὶ σκωμμάτων τοῖς ἐχθροῖς γίνεται.

59,170,16-17. Χρυσὸς ... ῥέων πολύς.

59,170,17-18. 'Εθιστῆς οὔσης καὶ διδακτῆς πάσης ἀρετῆς καὶ κακίας.

59,170, c. 24. Οἱ σπουδαῖοι καὶ μὴ πεπλασμένως τὴν ἀρετὴν μετιόντες.

59,170,25. Πόθεν; 'Αντὶ τοῦ οὐδαμῶς. 'Αποφάσεως γὰρ τοῦτο δύναμιν ἔχει.

59,170.27. Ἄλλως. Ἄλλως, ἀντὶ τοῦ ματην, διὰ τοῦ ω στοιχεῖον γραφόμενον.

59,170,27. Ὥσπερ ἐν θαλάσσῃ τῷ βίῳ τούτῳ διανηχόμενος

59,170,19-20. Πῶς δὲ καὶ σύνθετον τὸ διὰ πάντων διήκειν καὶ πληροῦν τὰ πάντα Θεόν;

59,171, c. 1. Εἰ δὲ καί τινές φασιν ἄυλον σῶμα, ὡς τὸ παρὰ τοῖς τῶν 'Ελλήνων σοφοῖς πέμπτον σῶμα λεγόμενον, ὅπερ ἀδύνατον, κινούμενον ἔσται πάντως, ὥσπερ ὁ οὐρανός. Τοῦτο γὰρ πέμπτον σῶμά φασιν.

59,171, c. 20-21. Πρῶτον κινοῦν ἀκίνητον, ὅπερ ἐστὶ τὸ θεῖον, δι' ἀκινησίας τὰ πάντα κινοῦν.

59,171,21-23. Τῆς κάτω συγχύσεως ἐπισκοτούσης τῇ διανοίᾳ. Γῆς ἐκεῖθεν ἐλευθερίας. Τῆς ἐκεῖθεν ἐλευθερίας, ἐλευθερούσης ἡμᾶς τῶν ἐπιπροσθούντων δηλαδὴ ἡμῖν ἐνταῦθα παθῶν.

59,171,24. 'Υπὲρ δὲ τῶν ἀνεφίκτων τέως ἡμῖν καθαιρώμεθά τε καὶ προτελώμεθα, ὡς ὕστερον μυηθησόμενοι· τοῦτο γὰρ τὸ τελεσθησόμενοι καὶ στησόμενοι τῆς ἐφέσεως.

59,171,34-35. Μηδὲν ὑπερσέβοντες μηδὲ ὑποσέβοντες, ἵνα μικρόν τι καὶ αὐτὸς μιμήσωμαι τοὺς περὶ ταῦτα σοφούς ... Βαθμοὺς *(τοῦ Εὐνομίου ἐν τούτῳ τῷ χωρίῳ αἰνίττεσθαι, ἀποφαίνεται ὁ 'Ηλίας)*.

59,172,2. *('Ενταῦθα ὁ 'Ηλίας εἰς τὴν ἱερὰν Φρυγίαν ἀναφέρεται)*. Καὶ αὐλοὶ δὲ ηὔλουν, ὑποκλέπτοντες αὐτῶν τὰς ὀδύνας καὶ εἰς τὰς ἐκτομὰς παραθήγοντες.

59,172,10-11. Λέγω δὴ τὴν ἔναγχος ἡμῖν ἐπαναστᾶσαν **[880]** ζυγομαχίαν ἀδελφικήν. Πάνυ δὲ καὶ ἡ

τοῦ ζυγομαχεῖν λέξις προσφυὴς τῷ πράγματι καὶ συμβαίνουσα, ἐκ τῆς τῶν βοῶν τῶν ὑπὸ τὸν αὐτὸν ζυγὸν στασιαζόντων μεταληφθεῖσα

59,172,18. Τὸ κατ' εἰκόνα, ἡ τοῦ νοῦ δύναμις. Τὸ κατ' εἰκόνα, λέγω δὴ τὸ ἐν ἡμῖν νοερόν.

59,172,19. Περὶ τὸν νοῦν ἀνοηταίνειν. Ἀντὶ τοῦ ἀνόητα δοξάζειν περὶ τοῦ νοῦ.

59,173,6-9. (Τὸ ἀστασίαστον) ἐν ἡμῖν πολιτευόμενον, κατὰ μὲν ψυχὴν τῇ τῶν ἀρετῶν ἀν-ακολουθήσει καὶ κοινωνίᾳ, κατὰ δὲ σῶμα τῇ τῶν μελῶν ἢ τῶν στοιχείων πρὸς ἄλληλα εὐαρμοστίᾳ καὶ συμμετρίᾳ, ὧν τὸ μὲν κάλλος, τὸ δὲ ὑγεία ἔστι τε καὶ ὀνομάζεται. Πολιτεύεται δὲ καὶ συντηρεῖται (τὸ ἀστασίαστον) κατὰ ... ψυχήν, ἐπειδὰν τὸ θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν πρὸς τὸ λογικὸν μὴ στασιάζωσι, ἐξ οὗ καὶ ἀντακολουθεῖν τὰς λογικὰς ἀρετὰς ταῖς ἠθικαῖς καὶ ταύτας ἐκείναις περιγίνεται. Ἡ μὲν ἠθικὴ ἀρετὴ τὸν σκοπὸν καὶ τὸ τέλος ποιεῖ ὀρθόν· Τῷ γὰρ διεφθαρμένῳ κατὰ τὴν κακίαν καὶ ὑπὸ τῆς ἡδονῆς ἐκνενευρισμένῳ πῶς ἂν τὸ τέλος φανήσεται ὀρθόν; Τοῦ μὲν οὖν τελείου κατὰ τὴν ἠθικὴν ἀρετήν ἐστι τὸ ὑποτίθεσθαι τὸν σκοπὸν καὶ τὸ τέλος ὀρθον, τῆς φρονήσεως δὲ τὸ τὰ πρὸς τέλος θεωρεῖν. Εἰκότως οὖν ἀντακολουθεῖν ἀλλήλαις λέγονται αἱ ἀρεταί, εἴπερ αἱ μὲν τῆς φρονήσεως ἀρχαὶ κατὰ τὰς ἠθικάς εἰσιν ἀρετάς, τὸ δ' ὀρθὸν τῶν ἠθικῶν κατὰ τὸν λόγον. Ὧν τὸ μὲν κάλλος· ἔστι γὰρ κάλλος συμμετρία τῶν ἐν ἡμῖν ἀνομοιομερῶν.

59,173,38. Ἡττηθῶμεν, ἵνα νικήσωμεν. Ἡττηθῶμεν κατ' αὐτὸ τοῦτο τὸ ἀνέχεσθαι ἐν τῷ ὑβρίζεσθαι, ἵνα νικήσωμεν προσλαβόντες τοὺς διεστῶτας.

ΛΟΓΟΣ ΛΓ'.

60,28,3. Πόρρωθεν αὐτὸν τοῖς σκώμμασι βάλλειν ἐπειρῶντο.

60,28,5. Εὐαρίθμητον ποίμνιον.

60,28,3 Ποῦ ποτέ εἰσιν οἱ ... τὸν πλοῦτον κομπάζοντες; Κομπάζειν γάρ ἐστι τὸ ἐπὶ κενοῖς μεγαλαυχεῖν.

[881] 60,28,5. Οἱ καὶ θεότητα μετροῦντες. Ἀντὶ τοῦ δοκιμάζοντες, ἐξετάζοντες, πολυπραγμονοῦντες, ὅπερ ἐν ἄλλοις ταλαντεύειν εἴρηκε.

60,30,2-3. Ἄλλοι δὲ καὶ συγγραφαῖς ταύτας· *(δηλ. τὰς τοῦ Ἀθανασίου)* ἐξορίας τοῖς μεταγενεστέροις παρέπεμπον. Αὐτόθι περὶ *(Ἀθανασίου)*. Τοῖς ἐκεῖσε *(ἐν Αἰγύπτῳ)* φροντιστηρίοις ἐπιχωριάζοντα.

60,30,1 ἑξ. Ὑποφορὰ *(καὶ)* ἀνθυποφέρειν, *(ποικίλων τῇ φράσει)* ἀπαντᾶν πρός.

60,30,15-16. Τοὺς χθαμαλοὺς καὶ χαμαιρριφὲς τὸ φρόνημα ἔχοντας, καὶ περὶ τὰ γήϊνα καὶ κάτω συρόμενον.

60,31,25. Στωμύλον. Τὸν εὐτράπελον καὶ ἀστειολόγον, τὸν τοὺς συμπαρόντας αὐτῷ τῇ εὐτραπελίᾳ ἡδύνοντα.

60,31,31. Καθ' ἡσυχίαν ἐμαυτῷ συγγινόμενον. Ἐμαυτῷ: τουτέστι τῷ νοΐ. Τὸ δὲ συγγίνεσθαί τινα λέγειν ἑαυτῷ μερισμοῦ τινος εἰσάγει ὑπόνοιαν, ἀλλὰ κατ' ἰδίωμα λέγεται γραφικόν, ὡς τό· «νυκτὸς μετὰ τῆς καρδίας μου ἠδολέσχουν, καὶ ἔσκαλλε τὸ πνεῦμά μου»[1]. Οὐ γὰρ δὴ ἕτερος μὲν ἦν ὁ ἀδολεσχῶν, ἕτερον δὲ τὸ πνεῦμα αὐτοῦ καὶ ἡ καρδία, ἀλλ' ὁ αὐτὸς καὶ εἷς, ἐκ δύο τούτων συγκείμενος, σαρκὸς λέγω καὶ πνεύματος. Ἵνα δὲ σαφέστερον γένηται τὸ λεγόμενον, ἰστέον, ὡς ἄλλο μέν ἐσμεν ἡμεῖς καὶ ἄλλο τὸ ἡμέτερον καὶ ἄλλο τὰ περὶ ἡμᾶς. Ἡμεῖς μὲν γάρ ἐσμεν κυρίως ἡ ψυχὴ καὶ ταύτης τὸ καθαρώτατον, λέγω δὴ τὸν νοῦν τὸν ἀπαραλογίστως κρίνοντα τὰ πραττόμενα, ἡμέτερον δὲ τὸ σῶμα, περὶ ἡμᾶς δὲ χρήματα, κτήματα καὶ ὅσα περὶ τὸ σῶμα. Ὁ οὖν ἀπὸ τῶν αἰσθήσεων εἰς νοῦν συναγόμενος καὶ τὴν τῶν πραγμάτων κρίσιν τῷ νοΐ ἐπιτρέπων καὶ καθ' ἡσυχίαν ζῶν, τῆς ἔξωθεν περιπλανήσεως ἀποστάς, οὗτος ἑαυτῷ συγγίνεσθαι λέγεται, ὡς τὸ ἡγεμονικὸν συναγόμενον, ὅπερ δὴ κυρίως ἐσμὲν ἕκαστος.

60,31,32. Προσέθηκε δὲ τὸ τυχόν, ἠθικώτερον τὸν λόγον ποιῶν.

60,31,26 ἑξ. Τοῖς ἐκ τῆς πόλεως ἀγαθοῖς ἐγκαλλωπιζόμενοι.

60,31,35-36. Ἕνα μὲν οὐ[882]ρανόν) πᾶσι γὰρ ὁμοίως ἐπίσης ἐφήπλωται *(δηλ. ὁ ἀήρ)*.

60,32,2. Κοινὸν λόγον. Ὁ ... προφορικὸς λόγος ἐν τῇ φωνῇ καὶ ταῖς διαλέκτοις τὴν ἐνέργειαν ἔχει ἤγουν διὰ γλώσσης καὶ στόματος προφερόμενος. Διὸ καὶ προφορικὸς λέγεται. Ἔστι δὲ ἄγγελος νοήματος.

60,32,5. Διὰ τοῦ ἐπουρανίου Ἀδὰμ ἀνασωθέντες. Πρὸς τὴν προτέραν κατάστασιν ἐπανεσώθημεν διὰ τῆς πρὸς αὐτὸν κατὰ τὸ δυνατὸν συννεύσεώς τε καὶ ὁμοιώσεως. Αἰσχύνων τοὺς ἑτεροδόξους... εἰς ὄνειδος αὐτῷ προφέροντας τὸ ἐκ μικρᾶς αὐτὸν ὡρμῆσθαι πόλεως.

60,32, c. 8 ἑξ. Αἱ μὲν οὖν ἱστορίαι τοιαῦται, εἰς ἐργασίαν ληφθεῖσαι.

60,33,19-20. Ἐξ ἀρετῆς καὶ τῆς πρὸς τὸ ἀρχέτυπον νεύσεως. Νεύσεώς τε καὶ ἐξομοιώσεως. Τοὺς θεοειδεῖς χαρακτῆρας, οὓς ὁ πλάστης ἐξ ἀρχῆς ἡμῖν ἐνετύπωσε. Μορφὴ ... ψυχῆς κατὰ φύσιν τὸ θεοειδὲς καὶ ἡ πρὸς Θεὸν δι' ἀρετῆς ἐξομοίωσις.

60,33,21-23. Αἱ δὲ κάτω πατρίδες αὗται καὶ

---

1. Ψαλ. 76,7

τὰ γένη ταῦτα τῆς προσκαίρου ζωῆς καὶ σκηνῆς ἡμῶν εἰσι παίγνια. Καλῶ δὲ σκηνὴν αὐτὴν (δηλ. τὴν ζωὴν) ἢ διὰ τὸ πρόσκαιρον — τοιαῦται γὰρ αἱ σκηναί, πρὸς καιρὸν πηγνύμεναι καὶ αὖθις λυόμεναι — ἢ διὰ τὴν ὑπόκρισιν. Κατ' οὐδὲν γὰρ τὰ τῇδε τῶν ἐπὶ σκηνῆς διενήνοχεν. Ἐκεῖσέ τε γὰρ οἱ τέως διὰ τῆς ὑποκρίσεως εἶναί τινες μεγάλοι νομιζόμενοι καὶ διὰ τοῦτο θαυμαζόμενοι, ἑσπέρας καταλαβούσης καὶ τῶν προσωπείων περιῃρημένων τῶν τῆς ὑποκρίσεως, περιφανῶς ἐξελέγχονται καὶ ἄθλοι τῆς ὑποκρίσεως κρίνονται, κἀνταῦθα ἐπὶ τῆς παρούσης λέγει ζωῆς· τῆς ἡμέρας παρελθούσης καὶ τῆς νυκτὸς ἐπιστάσης, ὅτε οὐδεὶς δύναται ἐργάζεσθαι[1]. Καὶ τῶν προκαλυμμάτων περιαιρεθέντων, οἷς τέως οἱ τῆς γῆς ἔνδοξοι εἶναί τινες ἐνομίζοντο, ἄθλιοι περιφανῶς οἱ τοιοῦτοι ἐλέγχονται Πῶς οὖν οὐ σκηνὴ ταῦτα; πῶς δὲ οὐ παίγνια, τοὺς αὐτοῖς προστετηκότας ἐξαπατῶντα καὶ πρὸς ὀλίγον εὐφραίνοντα;

60,33,31-32. Ἵνα ... τὴν ἐκ Θεοῦ ἄνωθεν δοθεῖσάν μοι εὐγένειαν ἢ καὶ ἀποβεβλημένην ἐκ ῥᾳ[883]θυμίας ἐμῆς, διὰ σπουδῆς αὖθις ἀνακαλέσωμαι.

60,33,38. Ἀτεκνίαν. Τέκνα πνευματικά.

60,33,39. Τὸ δὲ ἴσως ἐπεμβληθὲν ἐπιεικῆ τε καὶ ἠθικὸν τὸν λόγον εἰργάσατο.

60,33, c. 40 ἑξ. Ἐσχηματισμένως ἐγκαλεῖ τοῖς Ἀρειανοῖς.

60,34 c 13 ἑξ. Ὡς ... ἔκ τινος συνθήματος εἰς πάντας τότε ὁ διάβολος ἐχόρευεν.

60,34,13 Τὸν νοῦν τοῦ ἐκ τῆς ἁμαρτίας αἴσχους ἀπορρύπτων.

60,34,17-18. Τῇ τοῦ βίου τραχύτητι. Τῇ τραχύτητι τῆς πρακτικῆς φιλοσοφίας καὶ τῇ κατὰ Θεὸν σκληραγωγίᾳ.

60,34,28. Τοῖς ὁμοίοις. Τοῖς ὁμοδούλοις.

60,34, c. 29. Ἐπιεικεύεσθαί τινι:

60,35,1. Φέρομαι. Ἐπείγομαι.

60,35,2. Μικρόν μοι τὸ ποίμνιον. Ἐκεῖνοι ... εἰς ὀνειδισμὸν αὐτῷ τὴν τοῦ ποιμνίου βραχύτητα προέφερον.

60,35,8-9. *(Διὰ τὸ χωρίον Ἰω. 10,14, τὸ ὁποῖον μνημονεύεται ὑπὸ τοῦ Γρηγορίου ὁ Ἠλίας λέγει):* Διπλῆς δὲ τῆς γνώσεως οὔσης, καὶ τῆς μὲν ἐπὶ τῆς οἰκειώσεως, τῆς δὲ ἐπὶ τῆς εἰδήσεως ταττομένης, κατ' ἀμφοτέρας ταύτας καὶ γινώσκειν φησὶ τὰ ἴδια καὶ γινώσκεσθαι ὑπὸ τῶν ἰδίων[2].

60,35,27-34. Οἱ ... περὶ Ἄρειον Πατέρα μὲν τοῦ Μονογενοῦς ἐτίθεντο τὸν Θεόν, οὐχ ὡς Υἱοῦ δὲ ὁμοουσίου τῷ Πατρί, ἀλλ' ὡς κτίσματος, ὥς που καὶ Πλάτων πατέρα τοῦδε τοῦ παντὸς τὸν Θεὸν ὡς ποιητὴν ὠνόμαζε καὶ δημιουργόν.

60,36,21. Ἡ ... ἐκτυπωτέρα κατάληψις. Τὴν ἀκριβεστέραν κατάληψιν... λέγει.

1. Πρβλ. Ἰω 9,4. 2. Πρβλ. Ἰω. 10,27.

ΛΟΓΟΣ ΚϚ'.

59,201,3. Ὦ τέκνα. Ἔστι γέννησις [884] σωματική, ἔστι καὶ πνευματική. Κατὰ ταύτην οὖν τὴν πνευματικὴν γέννησιν καὶ ὠδινήσας ὁ μέγας οὗτος τοῖς τῆς ὀρθοδοξίας δόγμασι καὶ ἀποτεκὼν τούτους, πρὸς οὓς ὁ λόγος αὐτῷ, καὶ εἰς αὔξησιν πνευματικῆς ἡλικίας προαγαγών, τέκνα... οὐκ ἀπεικότως καλεῖ, τὴν τῆς εὐσεβείας μόρφωσιν ἔχοντας.

59,201,5-6. *(Εἰς τὸ χωρίον Α' Κορ. 15,31, τὸ ἀναφερόμενον ὑπὸ τοῦ Γρηγορίου ὁ Ἠλίας διδάσκει τὴν ἁπλῆν ἐπιμαρτυρίαν τοῦ Θεοῦ).* Τὸ ἁπλῶς ὀμνύειν, ἀφελές τε καὶ ἠθικὸν εἶναι οὐκ ἔτι τοῦ ἠθικοῦ λόγου καὶ ἀφελοῦς, ἀλλὰ μεθόδου λαμπρότητος. Ἔστι δὲ τοῦτο: Οὐ μὰ τοὺς ὑπὲρ ἀρετῆς τοῦ ἀνδρὸς κινδύνους Δημοσθένειον· οὐ «μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας»[α].

59,201,16. Πλησμοναῖς, ὕβρεσιν. Πλησμοναῖς συσσιτίων καὶ συμποσίων καὶ ταῖς ἐντεῦθεν ἐκ τοῦ κορου ὕβρεσι. Κόρος γὰρ πατὴρ ὕβρεως, ὡς ἐν ἄλλοις εἴρηκε.

59,201,19-20. Κόσμου βράσματι, ταῖς ἀγχιστρόφοις μεταβολαῖς, ὥσπερ ἐν Εὐρίπῳ καὶ πνεύμασιν. Κόσμου βρ.. Τῷ τῶν κοσμικῶν ἐπιθυμιῶν βράσματι δεινῶς ἀνακοχλάζοντι. ἀγχισρ. μεταβ.: Ταῖς εὐμεταστρόφοις τῶν κοσμικῶν πραγμάτων μεταβολαῖς.. ἀστατούσαις ἀεί.

59,201,28-29. Ὄντως ἡμέρα μία βίος ὅλος ἀνθρώπου τοῖς πόθῳ κάμνουσιν. Παροιμία δὲ τοῦτο δημώδης. Ἴσως δὲ καὶ τὸ ὑπὸ τοῦ Θεοκρίτου ἐν *Βουκολικοῖς* εἰρημένον ὁ Θεολόγος παρέφρασε. Λέγει γὰρ ἐκεῖνος, ὅτι οἱ ποθοῦντες ἐν ἡμέρᾳ μιᾷ γηράσκουσιν[β].

59,201,32-33. Ἐν ὄψεσιν ἦν τὸ ποθούμενον. Τὸ φιλοῦν αὐτῷ *(δηλ. τῷ φιλητῷ)* προσηλοῦτο.

59,201,34-35. Τὸ ἕτοιμον εἰς ἐξουσίαν ἀργὸν εἰς ἐπιθυμίαν, ὥς τις ἔφη τῶν πρὸ ἡμῶν. [885] Τῆς παρουσίας τοῦ φιλουμένου τὴν αἴσθησιν ὑποκλεπτούσης τοῦ πολυχρονίου διαστήματος *(δηλ. τῆς προηγηθείσης ἀπουσίας)*. 'Οὐδὲν γὰρ οὕτως ἐπιθυμητόν, καθώς φησιν ὁ Μέγας Βασίλειος, ὡς μὴ τῇ συνεχείᾳ τῆς ἀπολαύσεως εὐκαταφρόνητον γίνεσθαι'· τὸ γὰρ ἐνεξουσιάζειν τοῦ ποθουμένου τὸ σφοδρὸν ἀμβλύνει τῆς ἐπιθυμίας καὶ ἀργότερον καθιστᾷ· 'ὧν δὲ σπανία ἡ κτῆσις, περισπούδαστος ἡ ἀπόλαυσις'.

59,201,33. Τὸ κάμνον ἔρωτι πνευματικῶν... ὅσῳ περὶ μονίμων ἐστί, τοσούτῳ καὶ τῶν ἀλγηδόνων δριμυτέρων αἰσθάνεται *ἄγαν ὡς ἐπιθυμίαν πραγμάτων σωματικῶν.*

α Δημοσθένους, Περὶ τῆς Παραπρεσβείας 396,18. Περὶ τοῦ Στεφάνου 297,11. Λογγίνου, Περὶ ὕφους κεφ. 16. β. Θεοκρίτου, Εἰδύλλιον ΙΒ', 2-3

59,201,34-35. Οἱ μὲν παρόντες τοῖς φιλητοῖς ἀργότεροι πρὸς τὸ ἐπιθυμεῖν εἰσιν, οἱ δ' ἀποσπασθέντες αὐτῶν δριμυτέρων τῶν ἀλγηδόνων αἰσθάνονται.

59,201,36-37. Ἔγνων τὸν πόθον, τὸν γλυκὺν τύραννον. Δριμυτέρων τῶν ἐκ τοῦ πόθου βελῶν ᾐσθανόμην. Τύραννον... διὰ τὸ ἐξ αὐτοῦ βίαιον, ἀοράτοις μαστίζοντα τὸν ποθούμενον μάστιξι καὶ πρὸς τὸ ποθούμενον συνελαύνοντα καὶ μὴ ἐπὶ πολὺ τούτου ἀφίστασθαι πείθοντα. Γλυκὺν δέ, ὅτι ἥδισται πάνυ αἱ ἐκ τούτου μάστιγες τοῖς ποθοῦσι, συνάπτουσαι τὸν ποθούμενον.

59,202,18. Ἀρχιτέκτονα δὲ καλεῖ Ἀριστοτέλης καὶ ἀρχιτεκτονικὴν ἐπιστήμην τὸν πᾶσιν ἐπιστήμοσι καὶ πάσαις ἐπιστήμαις ἐπιτάττοντά τε καὶ ἐπιτάττουσαν. Ὁποῖον δὴ τὸν φιλόσοφον καὶ τὴν φιλοσοφίαν εἶναι ἐτίθετο. Ἐκεῖθεν γὰρ αἱ ἀρχαὶ πάσαις ἐπιστήμαις καὶ πᾶσιν ἐπιστήμοσιν. Τοιοῦτος μὲν ὁ ἀρχιτέκτων κυρίως, ὥπερ ἀναλόγως ἀρχιτέκτονά τινα τῶν ποικίλων τιθεὶς εἶναι ὁ ἅγιος, ὑπὲρ παντα τοιοῦτον ἀποφαίνεται εἶναι τὸν σοφιστὴν ἤτοι τὸν εὑρετὴν τῆς κακίας διάβολον.

59,202,35-36. Ὁ δειλὸς ἐγὼ ποιμὴν καὶ περιεσκεμμένος καὶ διὰ τοῦτο τὴν ἀσφάλειαν ὡς ῥαθυμίαν ἐγκαλούμενος. Ἐπειδὴ παραπεπήγασι ταῖς ἀρεταῖς αἱ κακίαι καὶ εἰσί πως *ἀγχίθυροι*, ἐντεῦθεν οἱ τοῖς πράγμασιν, ὡς ἔτυχεν, ἐπιβαλλοντες συγχέουσι μετὰ τούτων καὶ τὰ ὀνόματα, μισάνθρωπον μὲν τὸν σώφρονα ὀνομάζοντες, ἀνδρεῖον δὲ τὸν τόλμῃ χρώμενον ἀλογίστῳ καὶ δειλὸν τὸν περιεσκεμμένον. Τὸ προμηθὲς ... καὶ περιεσκεμμένον

[886] 59,203,4. Ὑμᾶς. Τουτέστι τὰς ψυχὰς ὑμῶν καὶ τὴν τούτων ὠφέλειαν. Ἡμεῖς γάρ ἐσμεν ἡ ψυχή, κατὰ τὸν Μέγαν Βασίλειον, ἡμέτερα δὲ καὶ περὶ ἡμᾶς αὐτὸ τὸ σῶμα καὶ ὅσα περὶ τὸ σῶμα.

59,203,13. Καθ' ἡσυχίαν ἐμαυτῷ συγγενόμενος. Ἐκτὸς θορύβων γενόμενος καὶ τῷ ἐν ἡμῖν κρείττονι, τῷ νῷ φημι, συγγενόμενος.

59,203,28. Φύσεως οὕτως ἔχοντες. Τῇ φυσικῇ πρὸς τὰ καλὰ ἐπιτηδειότητι καὶ ταῖς ἐντεῦθεν ἀνθολκαῖς, καὶ ταύτης βιαζομένης.

59,203,39-204,2. Κυρίως δὲ κοιλὰς κλαυθμῶνος ὁ παρὼν βίος, τὸ τῶν στεναγμῶν χωρίον, ἐν ᾧ λῦπαι καὶ πόνοι καὶ πᾶσα ἡ ἀτερπὴς ἀπάτη κατῴκισται. Τρισόλβιος οὖν, ὃς τὴν κοιλάδα τοῦ κλαυθμῶνος φεύγων, ὁπόση δύναμις, τὰ ἄνω ζητεῖ, καὶ τῆς ἀντιλήψεως αὐτῷ παρὰ Θεοῦ γινομένης, ἀεὶ φιλοπονεῖ τὴν κάθαρσιν, τὰς κατὰ ψυχὴν καλὰς ἀναβάσεις καὶ προκοπὰς καὶ τὰς ὑψηλὰς ἐννοίας καὶ πρὸς Θεὸν ἀγούσας ἐν τῇ καρδίᾳ διατιθέμενος. *(Καὶ κατωτέρω)*: Τοιοῦτος μὲν ὁ ἐκ δυνάμεως εἰς δύναμιν πορευόμενος καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ

διατιθέμενος[1]. Πᾶσα ... ψυχὴ ἀναμάρτητος γενομένη ... οὐκ ἀθρόως ... ἐκεῖθεν ἄνεισιν, ἀλλ' ἀναβαθμοῖς τισι ταῖς κατ' ἀρετὴν προκοπαῖς χρωμένη.

59,204,37-38. Ὥστε ἀθολώτως προσομιλεῖν τῷ Θεῷ καὶ μικρὸν ἐπανάγειν τὸν νοῦν ἀπὸ τῶν πλανωμένων. Ἀθολώτως: Ἀθολώτῳ λογισμῷ. Ἀπὸ τῶν πλανωμένων: Ἀπὸ τῶν πολυπλανῶν αἰσθήσεων.

59,205,1-2. Ἵν' ἡμεῖς μάθωμεν καὶ πράξεως καιρόν, καὶ ἀσχολίας ὑψηλότερον. Ἀσχολίαν δὲ ἐνταῦθα τὴν ἡσυχίαν ὠνόμασε, σχολάζουσαν μὲν καὶ ἀργοῦσαν πρὸς τὰς βιωτικὰς πράξεις, ἀσχολουμένην δὲ περὶ τὴν πνευματικὴν θεωρίαν. Ὑψηλοτέρα δὲ αὕτη τῆς βιωτικῆς πράξεως, χωρίζουσα τὸν νοῦν ἀπὸ τῶν πολυπλανῶν αἰσθήσεων, αἵτινες πλανώμεναι πλανῶσιν ἡμᾶς.

59,205,12-13. Ὅταν γαλήνη πορφύρηται καὶ προσπαίζῃ ταῖς ἀκταῖς ἡδύ τι καὶ ἥμερον Κατὰ μικρὸν ἐπιφρίσσουσα καὶ τοῖς αἰγιαλοῖς ἠρέμα προσπαίζουσα.

[887] 59,205,17. Προβεβλημέναι πέτραι τὸ τῆς θαλάττης ἀγριαῖνον ἐκόλαζον.

59,205,19. Φυκία: Βρύα θαλάσσια.

59,205,28. (Τὰ ἀνθρώπινα) τὸ ζαλῶδες καὶ ἄστατον ἔχοντα καὶ πικρόν, ὥσπερ ἡ θάλασσα.

59,205,30-32. Μάρτυρα παράγει τὸν προφήτην Δαυίδ, ὕδατα καλοῦντα τῶν βιωτικῶν συμφορῶν τὸ πλῆθος, καὶ αὐτῆς τῆς ψυχῆς[2], ἁπτομένων καὶ ἀποπνιγουσῶν δίκην ὑδάτων τοὺς μὴ καλῶς διανήχεσθαι δυναμένους.

59,205,32. Ἡ ἀσωματότης τῆς ψυχῆς.

59,205,36. Βάρος φρενῶν καὶ ἐμβρίθειαν ἔχειν.

59,205,40-206,1. Διαγελῶσι ... ἢ ἐλεοῦσι τοὺς σειομένους. Διαγελῶσι: Κατὰ τὸν Δημόκριτον Ἀβδηρίτην. Ἐλεοῦσι δὲ ὑπὸ φιλανθρωπίας τοὺς οὕτως ἀθλίως περὶ τὰ τῇδε διακειμένους.

59,206,4-5. Τοῦ καιροῦ... ἔξω φιλοσοφεῖν. Μὴ παρόντων σκαμμάτων, ἐν λόγοις φιλοσοφεῖν.

59,206,13 ἑξ. Ὡς δι' εἰκόνος τινὸς ... τῶν φυκίων τῶν ῥᾳδίως ὑπὸ τῶν κυμάτων τινασσομένων καὶ τῶν πετρῶν τῶν ἀτινάκτων μενουσῶν δείξας τὰ καθ' ἡμᾶς.

59,206,13. Ἔστι... Μῦθος λόγος ψευδής, εἰκονίζων ἀλήθειαν.

59,206,17. Φιλόσοφον δὲ ἐνταῦθα τὸν ὡς ὄντως ὑποληπτέον φιλόσοφον, ὃς μελέτην πάντα τὸν βίον ποιεῖται θανάτου, ὃς παντὶ τῷ κόσμῳ ἐσταύρωται, καὶ ᾧπερ ὁ κόσμος ἐσταύρωται[3], καὶ ὃς θνήσκων

1. Πρβλ. Ψαλ 83,6. 2 Πρβλ Ψαλ 68,2. 3. Γαλ. 6,14.

κατὰ τὴν παροῦσαν ζωὴν ζῇ τὴν ἐν Χριστῷ κεκρυμμένην ζωήν[1], καὶ ὃς ζῇ οὐκ ἔτι αὐτός, ζῇ δὲ ἐν αὐτῷ Χριστός[2].

59,206,27. Π α ρ α γ ρ ά ψ ε τ α ι ἤτοι πόρρω ποιήσει, ἢ οὐ συντάξει τῇ ὡς ὄντως εὐγενείᾳ, ὡς κίβδηλον καὶ μὴ γνησίαν. Εἴθιστο γὰρ τοῖς παλαιοῖς, ὅσα νόθα καὶ μὴ γνήσια, ἔξωθεν παραγράφειν, ἀφ' οὗ καὶ ἡ λέξις μετείληπται.

59,207,1. Φθειρομένου ... τοῦ σώματος, θάλλειν αὕτη (δηλ. ἡ ψυχὴ) πέφυκε μάλιστα καὶ καθαρώτερον τοῖς ἐκεῖθεν ἐντρανίζειν, μὴ ὀχλουμένη ὑπὸ τῶν παθῶν. Εἰ δὲ καὶ λυθῆναι ταύτην τοῦ σώματος δόξει τῷ συνδήσαντι ἐξ ἀρχῆς, δέξεται ἀσμένως τὴν διάλυσιν ταύτην ὡς ἀναγκαίαν ἐλευθερίαν. Φυλακὴν γὰρ καὶ δεσμωτήριον τὸ σῶμα τοῦτο [888] ἡγοῦνται πάντες οἱ ἅγιοι, καὶ ἀπαλλαγῆναι τούτου καὶ μετὰ Θεοῦ γενέσθαι, δι' εὐχῆς ἔτι μάλιστα τίθενται, καὶ χαίρουσιν ὅτι ὁ θάνατος φθείρεται καὶ ἡ θνητότης ἀπόλλυται, ἀλλ' οὐχ ἡ οὐσία τοῦ σώματος. Οὐδὲ γὰρ εἰ ἀνδριάντα τις ἴδοι χωνευόμενον, ἀπώλειαν τοῦτο ἐρεῖ, ἀλλὰ βελτίω κατασκευήν.

59,207,5 Ὥ ρ α ς. Ἤτοι συμμέτρου τινὸς εὐμορφίας.

59,207,14. Θ ε ω ρ ή σ ε ι τ ὰ ἐ π ί γ ε ι α κ α ὶ τ ὰ ο ὐ ρ ά ν ι α Ἔστι γὰρ φιλοσοφία γνῶσις θείων καὶ ἀνθρωπίνων πραγμάτων. Θεωρήσει τὰ οὐράνια τάγματα καὶ τὴν ἐν ἐκείνοις εὐταξίαν καὶ ἄληκτον ὑμνῳδίαν.

59,207,14-15. Μ ε λ ε τ ή σ ε ι τ ὸ ν θ ά ν α τ ο ν. Κατὰ προαίρεσιν· ἔστι γὰρ ἡ φιλοσοφία μελέτη θανάτου· ἢ καὶ τὸν φυσικόν, διὰ μνήμης ἔχων τοῦτον ἀεί. *(Τρεῖς εἰσιν οἱ θάνατοι, εἷς ὁ τοῦ σώματος, ὁ ἕτερος τῆς ψυχῆς)* καὶ ἄλλος, ὁ καὶ ἐπαινετός, ὁ διὰ τῆς φιλοσοφίας ἡμῖν γενόμενος, περὶ οὗ φησιν ὁ Παῦλος· «νεκρώσατε τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς»[3], ὃν δὴ μελετᾷ ὁ τῷ ὄντι φιλόσοφος.

59,207,15 ἑξ. Ἂν ... ἐπιείκειαν ἐπιδειξώμεθα, ἀχείρωτοι πᾶσιν ἐσόμεθα. Ἄν τε γὰρ κακῶς τις εἴποι, ἡμᾶς μὲν οὐδέν, ἑαυτὸν δὲ τὰ μέγιστα ἔβλαψεν, ἄν τε ἀδικήσῃ πάλιν, ἡ βλάβη περὶ τὸν ἠδικηκότα ἵσταται.

59,207,36-37. Ἔ ρ γ ῳ π α ι δ ε ύ ω ν, ἃ μ ὴ λ ό γ ῳ δ υ ν α τ ὸ ς ἦ ν. Οὐ γὰρ οὕτω λόγος πρὸς μίμησιν ἐκκαλεῖσθαι τοῦ λέγοντος δύναται, ὡς αὐτὰ τὰ πράγματα ὑπ' ὄψιν κείμενα.

59,208,5. Ὄ ν ο ς ἐ σ τ ὶ ν ἄ γ ρ ι ο ς ἐ ν ἐ ρ ή μ ῳ[4]. Ὡς ἔξω τῶν ὑλικῶν καὶ σαινόντων τὴν αἴσθησιν.

59,208,6-7. *(Ὁ Ἠλίας μνημονεύει τὸ τοῦ Σολομῶντος)*: «Μὴ παρεκτείνου πένης ὢν πλουσίῳ»[5]. Ἀλυσιτελὲς ... τοῖς πένησι, τοῖς τοῦ κόσμου τούτου πλουσίοις συμπαρεκτείνεσθαι.

59,208,12-13. Τὸ φαινόμενον τοῦ γράμματος, *(καὶ)*: διάνοια *(ἀλλήλων ἀντικείμενα)*.

1. Πρβλ. Κολ 3,3. 2. Πρβλ. Γαλ 2,20. 3 Κολ. 3,5. 4 Πρβλ Ἰὼβ 39,5. 5. Παρμ. 23,4

59,208,11. Ὁ τὰ θεῖα φιλοσοφῶν καὶ ταῖς τοῦ παναγίου φρουρητικαῖς δυνάμεσιν οἱονεί τισι πτέρυξι κουφιζόμενος.

59,208,11. Εἴπω τι κεφάλαιον· συνεπτυγμένως πως καὶ κεφαλαιωδῶς.

59,208,13. Ἐν σώματι ἄτρεπτος· **[889]** (ὁ φιλόσοφος) ἀπερίγραπτος ... ἐν σώματι, τῷ ἐνὶ τόπῳ περιορίζεσθαι.

59,208,13. Ἐν πάθεσιν ἀπαθής· Ἀνάλωτος καὶ ἄτρωτος τοῖς πάθεσιν.

59,208,14. Ὑπὸ τῶν εὖ φρονούντων οἱ κατ' αὐτὴν (κακίαν *ἐννοεῖ*) ποιωθέντες διαβέβληνται.

59,208,14-15. Διὰ παντοίων πειρασμῶν ἄτρωτον δείξας αὐτὸν *(δηλ. τὸν φιλόσοφον)* καὶ ἀνάλωτον.

59,208,17-18. Εἴ τινι τούτων τρωτὸς ἐγὼ καὶ ἁλώσιμος. Εἴ τινι τούτων τῶν πειρασμῶν, οὓς ἀπηριθμησάμην καὶ δι' ὧν ἄτρωτον τὸν φιλόσοφον ἔδειξα, τρωτὸς ἐγὼ φανήσομαι.

59,208,18-19. Οἱ μισοῦντες καὶ πολεμοῦντες. Οἱ μισοῦντες ἡμᾶς καὶ διαβάλλοντες, ὡς κατὰ σκοποῦ τοξεύοντες.

59,208,27. Μίαν σοφίαν οἶδα. Οἶδα καὶ ὀνομάζω.

59,208,33-34. Εἰ γὰρ καὶ τὸν βαρὺν χιτῶνα ἀποθείμην τοῦτον ὡς τάχιστα, ἵνα λάβω κουφότερον. (Χιτῶνα): τὸ σῶμα, λέγω, τῆς ταπεινώσεως

59,208,37. Σὺ δὲ οὐ ξένος καὶ παρεπίδημος; *('Εκ τοῦ ψαλ. 38,17, ὅπου)* πάροικος *(καὶ)* παρεπίδημος *(τίθενται συνεκδοχικῶς)*.

59,208,39-209,1. Τὸ νοσῶδες Τὸ νοσῶδες, τῆς ὕλης ἀτακτούσης. Ἐντεῦθεν γὰρ αἱ νόσοι.

59,209,2-3. Τὸ δέ· ἵνα μικρόν τι καυχήσωμαι, θεραπεία ἐστὶ τῆς δοκούσης, οὐκ οὔσης περιαυτολογίας.

59,209,16. Δονεῖται καὶ σείεται τὰ ἡμέτερα. Κινεῖται καὶ ταράσσεται.

59,209,27-30. Ὅλος ὁ νοητὸς κόσμος ὅλῳ τῷ αἰσθητῷ συμβολικῶς τοῖς εἴδεσι τυπούμενος φαίνεται, καὶ ὅλος ὁ αἰσθητὸς ὅλῳ τῷ νοητῷ γνωστικῶς κατὰ νοῦν τοῖς λόγοις ἁπλούμενος θεωρεῖται.

59,209,30. Καὶ ἄλλως δὲ νοῦν μὲν νοήσεις τὸν Θεόν, ἀνάβασιν δὲ τὴν εἰς ἐκεῖνο διὰ θεωρίας ἀνάτασιν.

59,210,27. Τοῦ ... θυμικοῦ σύμβολόν ἐστιν ἡ καρδία. Ἔστι γὰρ θυμὸς ζέσις τοῦ περικαρδίου αἵματος. Ὅταν... κατὰ φύσιν ἐνεργῇ ἡ ψυχή, τὸ μὲν ἐπιθυμητικὸν μέρος αὐτῆς τῆς ἀρετῆς ἐφίεται, τὸ δὲ **[890]** λογιστικὸν ἐπιβάλλει τῇ θεωρίᾳ τῶν γεγονότων· ἐν τῇ καρδίᾳ δὲ τοῦτο καθιδρύουσιν· ὁ δὲ θυμὸς κατὰ τοῦ διαβόλου ῥωννύεται.

59,209,39. Παίζουσιν ἐνύπνια. Ἐοίκασι παίζειν ἐνύπνια, τουτέστι μάτην τοῦτο νομίζουσι. Τό τε γὰρ ἐνύπνιον, τό τε παίγνιον μάταιον. Τὸ δὲ παίζειν ἐνύπνια ἐπίτασις ματαιότητος.

59,210,16. Τὸ γὰρ συναδικεῖσθαι καὶ συναλγεῖν πεποίηκε. Τὸ... κοινὰ τὰ τῶν φίλων οἴεσθαι καὶ συναδικεῖσθαι κρίνειν αὐτοῖς, τοῦτο καὶ συναλγεῖν αὐτοὺς τοῖς φίλοις ἡμῖν πεποίηκε.

59,211,1-2. Μέγα τι πρὸς σωτηρίαν ἐφόδιον ἡ πίστις γνωρίζεται.

59,210,38. Φάρμακον ... συνουλωτικόν. Ἀρτίωσις καὶ συνούλωσις *(τιθενται ὁμοῦ)*.

ΛΟΓΟΣ ΛϚʹ.

60,46,9-10. Ἐμοῦ τε γὰρ ἐκκρεμᾶσθε καὶ ἀλλήλων, εἷς τοῦ ἑνὸς ἐχόμενοι καὶ Θεοῦ πάντες, ἐξ οὗ καὶ εἰς ὃν τὰ πάντα. Ὑμεῖς τε ὁμοίως τῆς ἐμῆς γλώττης ἐξήρτησθε καὶ ἀλλήλων ἕκαστος. Θεοῦ πάντες ἐξηρτημένοι, ἐξ οὗ τε εἰσι τὰ πάντα καὶ εἰς ὃν ὡς δημιουργὸν ἀναφέρονται. Ἔστι δὲ τοῦτο Ἀποστολικόν.

60,46,13-14. Εἰ μή τις τοῦτο αὐτὸ ἐμὴν σοφίαν ὑπολαμβάνοι τὸ εἰδέναι, ὅτι μὴ σοφὸς εἴην. Σωκράτειον τὸ νόημα, ᾧ... ὁ μέγας οὗτος ἐχρήσατο, κατωτέρω πάντων κεῖσθαι εἰπὼν καὶ μηδὲν εἰδέναι ἢ τὸ εἰδέναι, ὅτι οὐδὲν οἶδεν.

60,46,14-15. Μηδὲ τῆς ἀληθινῆς καὶ πρώτης σοφίας ἐγγύς. Τῆς ἀληθινῆς καὶ πρώτης σοφίας πορρωτάτω διῳκισμένον

60,46,16. Οἴεσθαι εἶναί τι μηδὲν ὄντα. Τὴν διπλῆν κατὰ Πλάτωνα νοσοῦσιν ἄγνοιαν, μήτε σοφόν τι εἰδότες καὶ προσέτι ἀγνοοῦντες ὅτι οὐ γινώσκουσι.

60,46,30-32. Ἀλλ' οὐδὲ τῶν κομψῶν τις καὶ ἡδέων ἐγώ, καὶ οἷος κολακείᾳ κλέπτειν τὴν εὔνοιαν. Ἀλλ' οὐδὲ τῶν χαριέντων, φησὶν ἐν ταῖς ὁμιλίαις ἐγὼ καὶ ἡδύνειν ἐν ταύταις δυναμένων, ὥστε ... κερδαίνειν κολακείᾳ τὴν τῶν πολλῶν εὔνοιαν.

60,46,33. Τὴν ἁπλῆν καὶ ἄτεχνον ὑμῶν εὐ-[891]σέβειαν ἔντεχνον πεποιήκασι. Τὴν εὐσέβειαν ἡμῶν παραχαράττειν πειρώμενοι, τὴν ἁπλῆν μέν, ὡς ἀληθῆ — τὸ γὰρ ψεῦδος πολυσχεδὲς — ἄτεχνον δέ, ὡς ὑπὲρ τέχνην, σοφιστικήν τε καὶ συλλογιστικὴν πεποιήκασι.

60,46,34. Ἀνάγνως ἐπεισκυκλεῖσθαι εἰς τὰ ἅγια.

60,47,4. (Θεὸς) ὁ καρδίαις ἐμβατεύων, ὁ καὶ λογισμῶν καὶ ἐνθυμήσεων διικνούμενος.

60,47,25-26. Χειροῦσθαι τοῖς ἑαυτῶν προβλήμασιν. Καταδουλοῦσθαι τοῖς οἰκείοις προβλήμασι.

60,47,31. Κρυφιηδέστερον.

60,51,21. Μήτε τὸ ὑπήκοον ὡς δοῦλον καταδουλοῦσθαι, ἀλλ' ὡς ὁμόδουλον καὶ ὡς ὑπὸ Θεοῦ πιστευθὲν περιέπειν.

60,51,24. Θεοὺς δὲ αὐτοὺς τοῖς ὑπηκόοις γενέσθαι, κατά γε τὸ φιλανθρωπεύεσθαι καὶ ἐλεεῖν καὶ προνοεῖσθαι.

60,51,33. Δ έ λ τ ο ι. Αἱ τῶν ἀξιωμάτων δέλτοι, ἃς καλοῦμεν κελεύσεις.

60,51,34-35. Ο ἱ ... σ ε μ ν ο ὶ τ ὴ ν ὑ π ή ν η ν κ α ὶ τ ὸ τ ρ ι β ώ ν ι ο ν. Τρίβωνες δὲ χιτῶνές τινες ἦσαν φαιοί, οὓς οἱ φιλόσοφοι περιεβέβληντο.

60,51,35-36. Ο ἱ σ ο φ ι σ τ α ὶ ... δ η μ ο σ ί ω ν θ η ρ ε υ τ α ὶ κ ρ ό τ ω ν. (Σοφισταὶ) τεχνικαῖς τισιν ἐφόδοις ὀνομάτων τε καὶ ῥημάτων — ἕτερον δὲ τοῦτο εἶδος τερατείας — κλέπτοντες τὴν ἀλήθειαν, συνῆγον ψευδῆ τινα καὶ ἀλλόκοτα, κἀντεῦθεν ὑπὸ τοῦ χυδαίου ὄχλου κρότοις κατεγεραίροντό τε καὶ ἐθαυμάζοντο, ὡς σοφίας εἰς ἄκρον ἐληλακότες.

60,52,3. Κ ρ α ι π α λ ῶ ν. Μεθύων καὶ τὴν κεφαλὴν ἔχων παραφερομένην.

ΛΟΓΟΣ Γ'.

58,285,4 ἑξ. Ἐπιτιμητικὸς ὁ λόγος..., ἡ δ' ἐπιτίμησις οὐκ ἄκρατός ἐστιν, ἀλλὰ τοῖς στύφουσι προσαναμίγνυσι καὶ τὰ ἁπαλύνοντα.

58,285,35. Οἱ ἀχαριστογνώμονες Ἰουδαῖοι.

58,286,31-32. (Ὁ Κύριος) τῆς ἡμῶν χάριν παρακλήσεως καὶ σωτηρίας τὴν ἡμετέραν ἐσχατιὰν καταλαβών.

58,286,5 ἑξ. *(Εἰς τὸ χωρίον Ματθ. 22,2, τὸ ὁποῖον ὑπὸ τοῦ Γρηγορίου μνημονεύεται).* Γάμῳ δὲ (παρεικάζεται τὰ τῆς Νέας Διαθήκης) διὰ τὴν τῶν πραγμάτων φαιδρότητα, **[892]** ἐφ' οἷς ἡ κλῆσις γέγονε. Πάντα γὰρ χαρᾶς γέμει πνευματικῆς. Διὰ τοῦτο καὶ νυμφίον τὸν Χριστὸν[1] Ἰωάννης καλεῖ.

58,286,8. Τοῖς γεωδεστέροις ἀσυνέτως προσνενευκότες, οὐχ ὁρῶσι τὰ νοητά.

58,286,8 ἑξ. *(Εἰς τὸ χωρίον Λουκ. 14,18, τὸ ὁποῖον ὑπὸ τοῦ Γρηγορίου μνημονεύεται).* Δηλοῖ δὲ τὰς διαφόρους... βιωτικὰς φροντίδας, δι' ἃς τοῖς γεωδεστέροις ἀσυνέτως προστετηκότες, τῶν πνευματικῶν καὶ οὐρανίων καταφρονοῦμεν.

58,286,19. Ο ἴ σ τ ρ ῳ π λ η γ ε ί ς. Ἔστι δὲ οἶστρος κυρίως ἐρεθισμός, ἡ ἔκκαυσις, πύρωσις ἐμμανής.

58,286,19-21. Ἴδιον τοῦ πανσόφου τούτου διδασκάλου καὶ πλήττειν ἐμμελῶς καὶ θεραπεύειν πάλιν ἰατρικῶς φαρμάκοις λόγων ἠπίων

---

1 Ἰω 3,29.

τὰ τραύματα. *(Καὶ κατωτέρω)*: Ἔπληξε τοῖς ἐλέγχοις καὶ θεραπεύει νῦν λόγοις ἠπιωτέροις τὸ πεπληγός.

58,286,38 ἑξ. Ὑπερβαλλόντως τιμᾶν.

58,287,7. Ἀγαθῶν κατατρύφησις.

58,287,17. Ἡ ἀρετὴ δυσθήρατός τις καθέστηκε.

58,287, c. 19 ἑξ. Ἐπιβουλὰς ἐξαρτύειν.

ΛΟΓΟΣ Θ'.

59,49,5-6. Διὰ τὸ τρεπτὸν καὶ ἀλλοιωτὸν τῆς ἀνθρωπίνης ἕξεώς τε καὶ φύσεως. Τὸ εὐμετάβολόν τε καὶ εὐμετάτρεπτον.

59,49,8. Τῶν σαρκῶν... ὑπεκρεουσῶν, τὸ πνεῦμα κοῦφον μετεωρίζεται πρὸς Θεόν, μὴ τῇ παχείᾳ τούτων περιβολῇ βαρυνόμενον.

ΛΟΓΟΣ ΙΓ'.

59,60,29. Ἐκ ποδῶν γίνεσθαι.

59,60,30 ἑξ. Οὐδὲν ἀπόβλητον παρ' αὐτῷ[1] (*δηλ.* τῷ Θεῷ). Ὁ ἀμετροεπὴς καὶ μεγάλαυχος.

59,61,1-5. Ἡμεῖς... σήμερον. Οὐ γὰρ ῥημάτων ἡ εὐχαριστία αὕτη δεῖται κεκαλλωπισμένων, οὐδὲ κομψείας λόγων. Ἔστησε τὴν καταιγίδα εἰς αὔραν. Αὔρα δέ ἐστι τὸ γαληνὸν πνεῦμα, τὸ φορόν τε καὶ πλόϊμον. Τὸ σφοδρόν τε καὶ ῥαγδαῖον τῆς τῶν ἑτεροδόξων βίας. Τὰ ἐν τοῖς καιροῖς ἐκείνοις ἀναβράζοντα κύματα τῆς αἱρέσεως. Γαλήνην βαθεῖαν τῷ ποιμνίῳ Δοάρων ἐπρυτάνευσε.

[893] 56,61,10. (Ὀρνέων πλῆθος). Νεφηδὸν ... ἐφίπτασθαι.

59,61,18. Χείμαρρον[2]. Τὴν ἐπίκλυσιν τῶν αἱρετικῶν δηλοῖ, δίκην χειμάρρου τὸ προστυχὸν παρασύρουσαν.

59,61, c. 25-26. Ἀνείργειν τινὰ τοῦ πρόσω.

59,62,1-7. Οὐ γὰρ ἄν, εἰ τοῦτο ἦν, τοὺς προσεκτικωτέρους ἐρρώννυον, στομοῦντες αὐτούς, ὡς σίδηρος στομοῦται πυρὶ καὶ ὕδατι, *(τοῖς)* πειρασμοῖς.

ΛΟΓΟΣ ΙΒ'.

59,57,25-28. Ὄργανόν εἰμι θεῖον, ὄργανον λογικόν, ὄργανον καλῷ τεχνίτῃ, τῷ πνεύματι

---

1. Πρβλ. Α' Τιμ. 4,4. 2. Ψαλ. 5,7.

ἁρμοζόμενον καὶ κρουόμενον. Σήμερον κρούει τὸν νοῦν, ἠχήσω τὸν λόγον. Σήμερον ὡς πλήκτρῳ τῷ αὐτοῦ ἐπιτάγματι κρούοντός μου τὸν νοῦν, τὴν σιγὴν ἀποτίθεμαι.

59,57,33. Φθέγξομαι. Φθέγξομαι δὲ οὐ συγκεχυμένως, ἀλλὰ διηυκρινημένως.

59,58,23-26. Φιλεῖ ... ψυχὴ ... θάλλειν καὶ ἄνω βλέπειν, τῶν ἡδονῶν ὑποβαινουσῶν καὶ συναπομαραινομένων τῷ σώματι. Ἵνα μήτε τὸ σαρκικὸν φρόνημα, ἀπόλυτον ὂν καὶ ἀχαλίνωτον, ῥᾳδίως κατασπᾷ τὸν ἐπιστάτην νοῦν καὶ πρὸς κακίαν ὑποσύρῃ, μήτε ἡ τῆς ἀρετῆς ἐργασία ἀταλαίπωρος εἴη.

59,58,26-27. Σοῦ δὲ καὶ ἄλλως ἐθαύμασα τὸ ἀρχαϊκὸν καὶ γενναῖον. Θαυμάζω οὖν σου τὸ ἀρχαϊκὸν τοῦ ἤθους καὶ ἄπλαστον. Τὸ γὰρ ἀρχαῖον ἐπὶ ἁπλότητος καὶ τῶν ἔξωθεν οἱ πολλοὶ καὶ τῶν καθ' ἡμᾶς λαμβάνειν εἰώθασι.

59,59,2-9. Ὁ μὲν εἰσηγεῖται δρασμοὺς καὶ ὄρη καὶ ἐρημίας, καὶ ἡσυχίαν ψυχῆς καὶ σώματος, καὶ τὸν νοῦν εἰς ἑαυτὸν ἀναχωρῆσαι καὶ συστραφῆναι ἀπὸ τῶν αἰσθήσεων, ὥστε ὁμιλεῖν ἀκηλιδώτως Θεῷ καὶ ταῖς τοῦ Πνεύματος αὐγαῖς καθαρῶς ἐναστράπτεσθαι, μηδενὸς ἐπιμιγνυμένου τῶν κάτω καὶ θολερῶν, μηδὲ τῷ θείῳ φωτὶ παρεμπίπτοντος, ἕως ἂν ἐπὶ τὴν πηγὴν ἔλθωμεν τῶν τῇδε ἀπαυγασμάτων καὶ στῶμεν τοῦ πόθου καὶ τῆς ἐφέσεως, λυθέντων τῶν ἐσόπτρων τῇ ἀληθείᾳ. Ἔστι δὲ ἡσυχία μὲν σώματος, κατὰ τὸν θεῖον Ἰωάννην εἰπεῖν τὸν τῆς Κλίμακος, **[894]** ἠθῶν καὶ αἰσθήσεων ἐπιστήμη τε καὶ κατάστασις ψυχῆς δὲ λογισμῶν ἐπιστήμη καὶ ἀσύλητος ἔννοια, τοῦ νοῦ εἰς ἑαυτὸν στραφέντος ἀπὸ τῆς τῶν αἰσθήσεων περιπλανήσεως καὶ γυμνωθέντος τῶν ἐντεῦθεν μορφωμάτων τε καὶ τυπωμάτων καὶ κάτω τὰ τῆς φαντασίας καταλιπόντος εἴδωλα καὶ ἀρρυπώτως προσομιλοῦντος Θεῷ καὶ ταῖς ἐκεῖθεν αὐγαῖς εἰλικρινῶς ἐλλαμπομένου καὶ φωτὶ φῶς ἀεὶ προσλαμβάνοντος ἀμαυροτέρῳ τρανότερον, μέχρις ἂν ἐπὶ Θεόν, τὸ πρῶτον φῶς καὶ ἀκρότατον, ἀναδράμῃ, μᾶλλον δὲ ἐπὶ τὴν πηγὴν τῶν ἐνταῦθα φωτισμῶν καὶ ἐλλάμψεων, ἔνθα πᾶσα ἔφεσις ἵσταται, τοῦ μακαρίου τέλους ἐγγίσαντος. Εἰ μὴ γὰρ ταῦτα ἀφῇ, οὐ δύναται πρὸς ἑαυτὸν ἐπιστραφῆναι, οὐδ' ἀνεπιθολώτως καὶ ἀνεπιπροσθήτως προσομιλεῖν Θεῷ. Ταῦτα γὰρ παρεμπίπτοντα σύγχυσιν ἀπεργάζεται.

59,60,8. Ταῖς κατὰ μικρὸν παιδαγωγίαις καὶ στοιχειώσεσι προβιβάζειν τοῖς ὑψηλοτέροις.

ΛΟΓΟΣ ΙΖ΄.

59,104,23-24. Κατὰ τοὺς τῆς τροπῆς νόμους. Τὸ ὕφαλον λέγεται μὲν κυρίως ἐπὶ τῶν ἐν τῷ βυθῷ τῆς θαλάσσης κεκρυμμένων λίθων, μετενεγκὼν δὲ τοῦτο ἐκεῖθεν ὁ Θεολόγος ὕφαλον ἄνθρωπον τὸν κρυπτὸν ὠνόμασεν, καὶ γέγονεν ἀμφοῖν κοινὸν ὄνομα τοῦτο. Καὶ Δημοσθένης τὸ ἀκονᾶν, ἐπὶ ξίφους κυρίως εἰωθὸς λέγεσθαι, ἐπὶ τὸν διερεθίζοντά τινα εἴς τι τοῦτο ἔλαβε, τί τοῦτον, ὦ μάταιε, λέγων, ἀκονᾷς[α]; Καὶ Ἡλιόδωρος ἐν τοῖς *Αἰθιοπικοῖς* ἡμέρας ἄρτι διαγελώσης[β] εἴρηκε τοῦ γελαστικοῦ ἰδίου τυγχάνοντος ἀνθρώπου.

59,104, c. 35. Ὁ .. τῶν χαμαιζήλων ὑπεραρθεὶς εὑρήσει τὸ μόνον ἐπιθυμίας ἄξιον.

59,105,15. (Ὀλιγοψυχία) τὸν ἀνδρεῖον ... καταχλῶσα λογισμόν.

59,105,26-27. Ὁ μέγας Δαυίδ, ὁ ἐν θλίψεσι πλατυνόμενος[1]. (Θεὸς) ἐν μέσαις ταύταις ἀχωρήτως ἔχειν καὶ ἐμπλατύνεσθαι ποιεῖ.

59,105,34-35. Γόνατα παραλελυμένα παρακαλῶν. *(Ὁ Ἠλίας δεικνύων ὡς πηγὴν τῶνδε τῶν λόγων τὸ Ἡσ. 35,3).* **[895]** Γόνατα παραλελυμένα παρακλήθητε[2], *(εἰς τὸ)* παρακλήθητε *(προσθέτει τὴν ἑρμηνείαν)* ἤγουν ἀνακτήθητε.

59,106,16. Ἔστι δὲ ἀκηδία... κοσμικῶν μακαρίστρια, Θεοῦ διαβλήτωρ... γεννήτριαι δὲ αὐτῆς ἀναισθησία ψυχῆς καὶ ἀμνημοσύνη Θεοῦ.

59,106,30. Κύκλος τίς ἐστιν... τῶν ἀνθρωπίνων πραγμάτων. Οὐδὲν γὰρ τῇδε μόνιμον ἔστηκε. Κυκλοφορία γάρ τις, φησίν, ἐστὶν ... τῶν ἀνθρωπίνων πραγμάτων, κινουμένων ἀεὶ καὶ ἀστατούντων. Ἡροδότου δὲ τὸ ῥητὸν λέγοντος· Κύκλος τῶν ἀνθρωπίνων ἐστὶ πραγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ ἀεὶ τοὺς αὐτοὺς εὐτυχεῖν.

59,106,34-35. Κινεῖται γάρ, ἵν' οὕτως εἴπω, τὸ πᾶν περὶ τὸν ἀκίνητον καὶ σαλεύεται, λόγῳ μὲν οὐδαμῶς. (Λόγῳ) ἤτοι τῇ φύσει.

49,107,7. Οὐδὲν ἀκίνητον ... οὐδὲ ὁμαλόν, οὐδὲ αὔταρκες. Τῶν ἐν ἡμῖν. Ἔστι δὲ καὶ τοῦτο Ἀριστείδου, οὕτω πως ἐν τοῖς ἰδίοις λέγοντος λόγοις· οὐδὲν τῶν ἀνθρωπίνων ἀσφαλές, οὐδ' ὁμαλόν, οὐδὲ αὔταρκες.

59,107,18. (Οἱ σώφρονες) παιδεύονται ταῖς συμφοραῖς, μὴ ἐξυβρίζειν ταῖς εὐπραγίαις... καὶ ὥσπερ χρυσὸς ἐν πυρί, ὅσον νόθον πρὸς ἀρετὴν καὶ κίβδηλον ἀποβαλλόμενοί τε καὶ καθαιρόμενοι τῷ πυρὶ τῶν πειρασμῶν, εὐδοκοῦσιν ἐν ἀσθενείαις.

59,107,21 ἑξ. Τὸ δ' ἑξῆς ἐν τῇ διδασκαλίᾳ Πέτρου κεῖται. Κά-

1. Ψαλ. 4,2. 2. Ἡσ. 35,3.

α. Δημοσθ. Κατὰ Ἀριστογείτονος, 784,8. β. Ἡλιοδώρου, Αἰθιοπικὰ I, 1.

μνουσα γάρ, φησί, ψυχή, τουτέστι κακοπαθοῦσά τε καὶ τοῖς περιστατικοῖς σφιγγομένη, ἐγγίζει μᾶλλον Θεῷ.

59,107,36-38. Ταύτης (δηλ. τῆς πρὸς τοὺς ἄρχοντας φυσικῆς τάξεως καὶ ἀκολουθίας)... φυλαττομένης, ἀδικία πᾶσα πόρρω ἡμῶν ἀπελήλαται.

59,107,37-38. (Εὐταξίαν) τὴν τῆς ἀδικίας ἐλάτειραν.

[896] 59,108,2-3. Νόμον δὲ πνεύματος τὰ ὑπὸ τῶν ἀποστόλων διατεταγμένα λέγει, ὑφ' οὗ τυπούμενοί τε καὶ ἐνεργούμενοι, καὶ ἐνήργουν καὶ ἐκήρυσσον.

59,108,15-19. Τοῖς μηδεμίαν ἐπιμέλειαν τοῦ διορατικοῦ τῆς ψυχῆς ποιησαμένοις.

59,108,21. Ἐπ' αὐτῷ βεβήνασι. Βάσιν δὲ τὴν ἑδραίωσιν λέγει.

59,108,27-28. Ἐκ ... τῆς τῶν ἀρχόντων ἀρετῆς ἢ κακίας πολλή τις ἢ τοῦ κοινοῦ πρὸς τοῦτο ἢ κἀκεῖνο ἐπίδοσις, διὰ τὸ φιλεῖν ὡς τὰ πολλὰ ἐξομοιοῦσθαι τοῖς ἄρχουσι τὸν ἀρχόμενον.

59,109,11. Εἰκὼν Θεοῦ πάντες οἱ ἄνθρωποι, κἂν ἡ κακία περιχυθεῖσα τοὺς θεοειδεῖς χαρακτῆρας ἐπί τινων ἠμαύρωσεν.

59,109,12-14. Πρὸς βίον ἄλλον μεθισταμένην, εἰς ὃν πάντες μεταβησόμεθα, μικρὰ παίζοντες ἐν τῷ τῆς ζωῆς τούτῳ εἴτε δεσμωτηρίῳ εἴτε σταδίῳ εἴτε προχαράγματι εἴτε σκιάσματι. (Παίζοντες *(εἴτε)* παίξαντες) ἤτοι ὑποκριτικῶς διαγενόμενοι. *(Εἶτα)*: πλὴν γὰρ τῆς ἀρετῆς οὐδὲν τἄλλα τὰ τοῦ παρόντος βίου διενήνοχεν ὑποκρίσεως διὰ τὸ ταχὺ καταλύεσθαι. Καὶ δεσμωτήριον μὲν τὸν παρόντα βίον ἐκάλεσε, παρὰ τοῦ προφήτου Δαυὶδ μεταλαβών· «ἐξάγαγε» γάρ, φησίν, «ἐκ φυλακῆς τὴν ψυχήν μου[1]»· στάδιον δὲ ὡς ἀγωνιστήριον, προχάραγμα δὲ ὡς σκιὰν διὰ τὸ ἀβέβαιον.

59,109,21-22. Παρὰ τίνος σοι λόγος...

59,109, c. 22. Ἡ συνοχή τε καὶ κυβέρνησις τῆς κτίσεως.

59,109,36-37. Ὅταν... ἐλεούμενον. **[897]** Τὸ μὲν ... βίαιον οὐδὲ μόνιμον, τὸ δ' εὐνοίᾳ χειρούμενον παραμένειν μάλιστα πέφυκε.

59,110,4-5. Ἔτι μικρόν, καὶ ὁ κόσμος παρέρχεται καὶ ἡ σκηνὴ καταλύεται. Δυσωπεῖ νῦν αὐτὸν καὶ ἐκ τοῦ παροδικὰ εἶναι τὰ τῇδε πάντα. Διὸ καὶ σκηνὴν τὸν κόσμον ὀνομάζει, ἐκ μεταφορᾶς τῶν σκηνῶν, ἃς πρὸς καιρὸν πηγνύντες οἱ γεωργοὶ αὖθις καταλύουσι.

59,110,24. Τὴν Χριστοῦ κένωσιν τὴν ὑπὲρ ἡμῶν. Λέγεται δὲ κένωσις ἡ εἰς ἔνδυμα ταπεινότερον τῆς ἀξίας

---

1. Ψαλ. 141,10.

αὐτοῦ ἀμεταβόλως ὑπόβασις καὶ ἡ τῆς ἀνθρωπίνης μορφῆς ἐπαμφίασις.

ΛΟΓΟΣ Γ'.

59,51,12-14. Ἵν' ἔχω τὴν ἀπραγμοσύνην καὶ τὸ φιλοσοφεῖν ἐν ἡσυχίᾳ, πάντα παρεὶς τοῖς βουλομένοις, ἐμαυτῷ δὲ προσλαλῶν καὶ τῷ Πνεύματι. Ἔργον ... ἡσυχίας προηγούμενον ἀμεριμνία πάντων πραγμάτων, εὐλόγων τε καὶ ἀλόγων, προσευχὴ ἄοκνος, ἐξ ἧς τὸ προσλαλεῖν Θεῷ ἡμῖν περιγίνεται, καὶ τρίτον ἐργασία καρδίας ἄσυλος.

59,51,14. Ὅλον τοῖς τῆς διανοίας κινήμασι προσηλοῦσθαι.

59,51,25. Ταῦτα. Ταῦτα διελογιζόμην καὶ τοῖς τοιούτοις διαλογισμοῖς ἐταλαντεύετό μου ἡ ψυχή.

59,51,25-26. Γράφειν ... σκιὰς καὶ ὀνείρατα καὶ τοῖς ματαίοις ἀναπλασμοῖς ἑστιᾶν τὴν διάνοιαν. Ἑστιᾶν· εὐφραίνειν τε καὶ τέρπειν. Ὀνείρατα· ἅπερ ἀκηδιάσασά ποτε καὶ χαυνωθεῖσα ἡ ψυχὴ ἀναπλάττειν εἴωθε καθ' ἑαυτήν.

[898] 59,51,26. Νῦν δὲ τί; Τὰ βουλευόμενα τῷ μεγάλῳ τούτῳ . διαπέπτωκε τῶν τοῦ πατρὸς λόγων καὶ τῶν.. Βασιλείου ὑπερισχυσάντων.

59,51,27. Γῆρας φρονήσεως. Ὥσπερ ἐστὶ γῆρας σώματος, οὕτω καὶ φρονήσεως, σταθηρότητός τε καὶ τελειότητος.

59,51,27-28. Καλεῖ δὲ καὶ λιμένα τὸ γῆρας ὡς ἐνόμιζον γαλήναις καὶ ἀταραξίᾳ παθῶν.

59,51,28. Πλουτοῦντος Θεῷ. Πλουτεῖν Θεῷ καὶ πᾶσι τοῖς πνευματικοῖς εὐθηνεῖσθαι.

59,51,29. Ὠργίζετό τε καὶ ἐκυμαίνετο. Ἔστι γὰρ ὁ θυμὸς οἷον ἔκδικος.

59,51,31-32. Προσγελῶ τῷ πνεύματι, καὶ ἡ καρδία μου καθίσταταί μοι. Ἡ ψυχή μου διακέχυται ὑφ' ἡδονῆς καὶ προσμειδιᾶν δοκεῖ, πρώην σκυθρωπάζουσα καὶ κατηφιῶσα, καὶ ἡ καρδία μου ἐν ἱλαρᾷ νῦν καταστάσει ἐστί, πρώην θολωθεῖσα καὶ ταραχθεῖσα.

59,52,3. Ἐκεῖθεν ... ἡμῖν καὶ τὰ μυρία τῶν κακῶν ἐπεισέφρησε πάθη.

59,52,3-4. Σκηνὴν δὲ ἄλλος ἄλλην εὐπρεπεστέραν προβέβληται. Σκηνήν: ὑπόκρισιν, ἐπίκρυψιν κοσμιωτέραν ἐνδείκνυται.

59,52,4. Ξυνωρὶς οὐκ ἀνώνυμος ὄντες τε καὶ λεγόμενοι. Περισσοτέρως τῷ πρὸς ἀλλήλους τρωθέντες ἔρωτι.

59,51,22. Τὸ δὲ ἴσως παρενθείς, τὸ δοκοῦν αὔθαδες τεθεράπευκεν.

⟨ΠΡΟΣΘΗΚΑΙ ΕΙΣ ΤΑ ΥΠΟΜΝΗΜΑΤΑ ΤΟΥ ΗΛΙΑ ΚΡΗΤΗΣ⟩

ΛΟΓΟΣ ΚΖ΄.

59,218,8. *(Περὶ τοῦ Πυθαγόρου).* Οὗτος ... φιλόσοφος ὤν, αὐτός τε σιωπὴν ἤσκησε καὶ τοῖς φοιτῶσι τούτῳ ἐπέταττε πρὸ πάντων ἐπὶ πενταετίᾳ σιγᾶν, ἀκροωμένοις μόνον. Εἶτα παρεχώρει λέγειν, ὡς ἤδη λόγου δύναμιν κτησαμένοις. Ὀρφικοὺς δὲ κυάμους λέγει, οὓς ἐξ Ὀρφέως παρείληφε Πυθαγόρας μὴ ἐσθίειν. Ὁ γάρ τοι Ὀρφεὺς ἐδογμάτισε, κυάμους μὴ ἐσθίειν φιλόσοφον, οἶμαι διὰ τὸ κύειν αἷμα, ὅπερ ὡς θερμαντικὸν εἰς ἀφροδίσια ἐγείρει ἢ διὰ τὸ ἀναπέμπειν εἰς τὸν ἐγκέφαλον παχεῖς ἀτμοὺς καὶ ἀχλυώδεις, καταθολοῦντας τῶν βεβρωκότων τὸν νοῦν καὶ συγχέοντας τὸν λογισμὸν καὶ τοὺς ὀνείρους τεταραγμένους ποιοῦντας. Τοῦτο δὲ τὸ δόγμα μετ' ἐκεῖνον Πυθαγόρας ἐκράτυνε. Τὸ δὲ καὶ τὴν περὶ τὸ «αὐτὸς ἔφα» καινοτέραν ἀλαζονείαν τοιοῦτόν ἐστι· οἱ Πυθαγόρειοι περί τινος ἀποφαινόμενοι καὶ λόγον ἀπαιτούμενοι τῶν λεγομένων ἤτοι ἀπόδειξιν καὶ βεβαίωσιν, «αὐτὸς ἔφα» ἀπεκρίνοντο, τουτέστι, αὐτὸς εἶπεν ὁ Πυθαγόρας, ἀξιοπίστους καὶ ἀναντιρρήτους νομίζοντες τοὺς ἐκείνου λόγους. Πυθαγόρας δὲ τοῦτο παρέδωκεν αὐτοῖς, καινήν τινα καὶ ξένην ἀλαζονείαν.

59,218,11. *(Μετὰ τὰς λέξεις)* τὸ περὶ πρ. ψ. δ. πρ. ἐκράτυνε *(πρόσθες)*: μεταβαίνειν ἀπὸ τοῦδε τοῦ σώματος ληρῶν εἰς ἐκεῖνο καὶ αὖθις εἰς ἕτερον, καὶ περιόδους τοιαύτας τελεῖν κατὰ ἀναλογίαν τῶν **[899]** ἰδίων ἁμαρτημάτων. Διὸ καὶ τὰς μαθήσεις ἀναμνήσεις ἐκάλει τῆς προτέρας γνώμης, ἧς εἰς λήθην ἐλθούσας μετὰ τὸ ἐνδεδέσθαι τοῖς σώμασι, μόλις ποτὲ αὖθις εἰς ἀνάμνησιν ἔρχεσθαι.

59,218,16-17. Πτολεμαῖος ... ὁ Ἀλεξανδρεὺς καὶ Ἥρων καὶ οἱ κατ' αὐτοὺς μαθηματικοὶ τὸν ἀέρα λέγουσιν ἐκ δυοῖν τούτοιν συνεστάναι, τοῦ πλήρους καὶ τοῦ κενοῦ, ὑπ' ἀμφοῖν περιπεπλεγμένον καὶ διατετμημένον, ὥσπερ σπόγγον τινά, κενώματα μεταξὺ τοῦ σώματος ἔχοντα. Ὅτι γὰρ σῶμα καὶ ὁ ἀήρ, δῆλον.

59,218,22. Κ ό σ μ ω ν δέ, τῶν παρὰ Δημοκρίτῳ. Οὗτος γὰρ καὶ οἱ κατ' αὐτὸν πολλοὺς ἔλεγον καὶ ἀπείρους, ἵνα μή, φησίν, ἡ δύναμις ἡ θεία περικλείηται καὶ ἡ τοῦ Θεοῦ ἄπειρος ἀγαθότης.

ΛΟΓΟΣ ΚΗ΄.

59,221,6 ἑξ. Πλάτων ... καὶ πρὸ τούτου Ἑρμῆς, ὁ παρ' Ἕλλησι Τρισμέγιστος ἐπικληθείς, κενῇ οἰήσει δουλεύοντες καὶ δόξαν τὸν Θεὸν κατειληφέναι, τί τὴν φύσιν ἐστί, βουλόμενοι ἀπενέγκασθαι τοιούτοις τοῖς ῥήμασιν οὐκ ἀπονήρως — τοῦτο γὰρ οὐκ ἀτέχνως —, ἀλλὰ καὶ σφόδρα πανούργως καὶ τεχνικῶς ἐχρήσαντο, δι' ὧν ὑπε-

λάμβανον καὶ κατειληφέναι φύσιν Θεοῦ νομισθῆναι καὶ τοὺς ἐλέγχους διαφυγεῖν. Τὸ γὰρ χαλεπὸν οὐ τὸ ἀδύνατον, ἀλλὰ τὸ δυσχερὲς καὶ δύσκολον ὑποσημαίνειν βούλεται. Εἰ οὖν οὐκ ἀδύνατον νοῆσαι Θεόν, τί τὴν φύσιν ἐστίν, ἀλλὰ δυσχερές, καταληφθήσεται πάντως ποτὲ τοῖς τὴν ἕξιν τελεωτέροις, ὅπερ ἄτοπον. «Θεὸν γὰρ οὐδεὶς ἑώρακέ ποτε»[1], ἤτοι ἔγνωκε, τί τὴν φύσιν ἐστίν, οὐδ' αἱ πρωτοταγεῖς τῶν ἄνω δυνάμεων, ὡς εὐθὺς ἐρεῖ. Ἀλλὰ τοῦτο μὲν τοιοῦτον Πλάτωνος καὶ Ἑρμοῦ τὸ πονήρευμα. Ἵνα δὲ μὴ τὸ νοηθὲν ἐκφράσαι ἀπαιτούμενοι καὶ μὴ δυνάμενοι κατάφωροι γένοιντο καὶ διελέγχοιντο, προκαλύμματι τάχα καὶ τοῦτο ἠσφαλίσαντο, ἐπενεγκόντες ἀνέκφραστον εἶναι τὸ νοηθέν.

59,221,23-24. Τὸ δέ· «ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε»[2], καὶ τὰ ἑξῆς ἀπὸ τῆς λεγομένης ἀποκρύφου β ί β λ ο υ Ἠ λ ι ο ύ τοῦ προφήτου μετέλαβεν ὁ Ἀπόστολος. Ἅπερ νῦν τέως ἀκατάληπτα ὄντα τελείοις γενομένοις ὕστερον καὶ τὸ θνητὸν ἀποβαλοῦσι τοῦ σώματος καταληφθήσεται.

59,226,36-37. Τὸ δὲ ἑξῆς ἐπιφωνηματικόν· ὢ τ ῆ ς γ ε λ ο ί α ς κ λ η ρ ο δ ο σ ί α ς· φησὶ γὰρ Ὅμηρος· «τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς»[α].

59,226,37 Δαίμονας δὲ καὶ θεοὺς τινὲς μὲν τοὺς αὐτοὺς ὠνόμαζον, τινὲς δὲ θεοὺς μὲν τοὺς μείζονας καὶ προγενεστέρους, δαίμονας δὲ τοὺς ἐλάττονας καὶ μεταγενεστέρους, ἕτεροι δὲ τοὺς ἥρωας. Φησὶ γὰρ καὶ Ἡσίοδος· «τρὶς γὰρ μύριοι εἰσὶν ἐπιχθόνιοι πολυβοτείρη δαίμονες ἀθάνατοι φύλακες θνητῶν ἀνθρώπων»[β].

59,230,25. Ἡ... κατὰ σύνθεσιν ἕνωσις ἡ καθ' ὑπόστασίν ἐστιν ἕνωσις, ἥτις μίαν ὑπόστασιν τῶν ἑνουμένων ἀποτελεῖ σωμάτων, σῴζουσα τὰς συνελθούσας πρὸς ἕνωσιν φύσεις καὶ τὴν τούτων διαφορὰν καὶ τὰ τούτων φυσικὰ ἰδιώματα ἀσύγχυτά τε καὶ ἄτρεπτα ἐν ἑαυτῇ, αὐτὴ δὲ πρὸς ἑαυτὴν οὐδὲ μίαν ὑποστατικὴν ἔχει διαφοράν.

59,231,19. Πολλή τις ἡ τοῦ ἀνθρώπου πρὸς τὰ ἄλλα ζῷα διαφορά, κἀκείνων πρός τε τὸν ἄνθρωπον καὶ πρὸς ἄλληλα. — — Εἰ δὲ τὰς αἰτίας τούτων ζητοίης, ἀφθόνους σοι παρέξει ἡ περὶ ζῴων ἱστορίας βίβλος *(δηλ. τοῦ Ἀριστοτέλους)* καὶ αὐτὴ δὲ ἡ περὶ χρείας μορίων *(δηλ. τοῦ Γαληνοῦ)*. Γεννᾶσθαι ... λέγεται, οὐκ ἐκ τῶν αὐτῶν τὰ αὐτὰ μονον, ὡς Ἀριστοτέλης ἐν τῇ περὶ ζῴων γενέσει βίβλῳ διέξεισι — ἀλλὰ καὶ ἐξ ἑτέρων ἕτερα.

59,232,32. Π ο ῖ ο ς, φησίν, Ε ὐ κ λ ε ί δ η ς ἴ σ χ υ σ ε μ ι μ ή σ α σ θ α ι τ α ῦ τ α; Ἦν δὲ ὁ Εὐκλείδης **[900]** οὗτος γεωμετρίας διδάσκαλος, ὃς καὶ γεωμετρικὰ βιβλία συντάξας, περὶ σχημάτων ἔγραψε. Γραμμάς δέ τινας διαγράφων, ἐκέλευε τὰ σχήματα

1. Ἰω. 1,18. 2 Α' Κορ. 2,9.
α. Ἰλιάδος Ο 189. β. Ἡσιόδου Ἔργου καὶ ἡμέραι 252-253.

τούτων ἀφελεῖν τῆς ὕλης καὶ κατὰ νοῦν τυποῦντας, θεωρεῖν διὰ τούτων ἑτερά τινα νοητά. Οὐκ οὔσας οὖν εἶπε γραμμάς, ὡς μὴ παραμενούσας τῇ θεωρίᾳ μετὰ τὴν τῶν τύπων ἀφαίρεσιν ἢ ὡς οὐκ οὔσας νῦν οὕτως ἐν χρήσει ὥσπερ ἐκείνῳ πάλαι, κάμνοντι ταῖς περὶ τῶν τοιούτων ἀποδείξεσι. Τὸ γὰρ ἄχρηστον ἴσον τῷ μὴ ὄντι.

59,232,38. Κνωσσὸς πόλις Κρήτης, ἐν ᾗ Δαίδαλος ὁ ἀνδριαντοποιὸς ἢ ἀγαλματογλύφος, ὃς ἐδόκει τῇ τῆς τέχνης ἀκριβείᾳ μονονουχὶ τοῖς ἀψύχοις ἐμπνεῖν ζωήν, τήν τε 'Αριάδνην καὶ χορὸν γυναικῶν περὶ αὐτὴν κατεσκεύασεν, οὗπερ Ὅμηρος μέμνηται λέγων· «ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς ἀμφιγυήεις τῷ ἴκελλον οἷον ποθ' ἐν Κνωσσῷ εὐρείῃ Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ 'Αριάδνῃ»[α].

ΛΟΓΟΣ ΚΘ'.

59.240,1-2. Πῶς γὰρ θέμις τὸ ἐκ τοῦ Θεοῦ καὶ ἴ δ ι ο ν αὐτοῦ γ έ ν ν η μ α, καθώς φησιν ὁ μέγας 'Αθανάσιος[β], εἰπεῖν ἐξ οὐκ ὄντων;

59,242,13. Εἰρωνικῶς δὲ π ε ρ ι δ έ ξ ι ο ν τὸ μὴ τοιοῦτον εἴρηκεν, ἢ τάχα καὶ ὡς διλήμματον προενηνεγμένου. Περιδέξιον γὰρ ἐκάλουν ἄνδρα οἱ παλαιοὶ τὸν ἀμφιδέξιον, ἤγουν τὸν ἐπίσης ἀμφοτέραις χρώμενον ταῖς χερσίν. Οὕτως Ὅμηρος περὶ 'Αστεροπαίου «βάλλων ἀμφοτέρῃσιν»[γ] εἴρηκε.

59,243,24. Περιττὴν δὲ σοφίαν τὴν σοφιστικήν φησιν, ᾗ χρώμενοι οἱ αἱρετικοί, τὰ σοφιστικὰ ταῦτα σοφίσματα προετείνοντο, ἐξ ἧς καὶ οὗτος τὰς ἀφορμὰς λαμβάνων, ἀπόροις τὰ ἐκείνων ἔλυεν ἄπορα, ὥσπερ καὶ νῦν πεποίηκεν, ἐξ 'Αριστοτέλους τὴν ἀφορμὴν τοῦ παρόντος λαβὼν προβλήματος. 'Εκεῖνος γὰρ ἀντικαθιστάμενος πρὸς Πλάτωνα, λέγοντα τὸν χρόνον ἐν γενέσει, οὕτως συνελογίζετο, ὡς διὰ βραχέων εἰπεῖν. Εἰ μὲν ὁ χρόνος ἐν γενέσει, χρόνος καὶ ἡ γένεσις, καὶ λοιπὸν ἐρωτᾷ περὶ τούτου πάλιν τοῦ χρόνου. Καὶ εἰ καὶ οὗτος ἐν γενέσει, χρόνος αὖθις ἡ γένεσις, περὶ οὗ ἐρωτῶν ὁμοίως, εἰς ἀπέραντον ἀναβαίνω *(ἀναβαίνει)* καὶ οὕτω τὸ ἀΐδιον ἀναφαίνεται. Εἰ δ' οὐκ ἐν γενέσει, πάλιν ὁ χρόνος ἀΐδιον. Τὸ γὰρ ὂν μέν, ἐν γενέσει δὲ πάντως ἀΐδιον.

59,244,19. Ὥσπερ δὲ Πλάτων καὶ οἱ περὶ τοῦτον, οἱ ἀπὸ τούτου ἀγέννητον τὴν ὕλην καὶ τὰς ἰδέας ἔλεγον, οὕτω καὶ Μανιχαῖοι, δύο ἀρχὰς ληροῦντες, ἀγαθὸν καὶ κακόν, φῶς καὶ σκότος, ἀγέννητον τὸ σκότος εἰσάγουσιν.

59,246,29-30,37-38. Τρισκαίδεκα εἰδῶν ὄντων παραλογισμοῦ, καθὼς τὸ τῶν σοφιστικῶν ἐλέγχων βιβλίον διέξεισιν, ἓν τούτων ἐστὶ τὸ παρὰ τὸ πῇ καὶ ἁπλῶς λεγόμενον. Γίνεται δέ, ὅταν τις τὸ πῇ καὶ μερικῶς εἰρημένον ἁπλῶς καὶ καθολικῶς εἴπῃ.

α 'Ιλιάδος Σ 590-592. β. ΒΕΠ. 30,135. γ. 'Ιλιάδος Φ 163.

ΛΟΓΟΣ Λ'.

29,257,9 ἑξ. *(Περὶ Ὠριγένους)*. Οὗτος γὰρ πρὸς τοῖς ἄλλοις, οἷς ἐδυσσέβει κατὰ τῆς Ἁγίας Τριάδος, οὐκ ἔλεγε κατὰ τὸν ἀληθῆ τῆς ὀρθοδοξίας λόγον σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ τὸν τοῦ Θεοῦ Λόγον ἐκ τῆς Παρθένου ἀνειληφέναι, ἀλλ' ἤδη πρὸ καταβολῆς κόσμου ἡνῶσθαι αὐτὸν τῷ νῷ, ἐκείνῳ διεβεβαιοῦτο τῷ, ὡς ἔφασκεν, ἐκλελεγμένῳ ἀπὸ μυριάδων καὶ κλόνον οὐχ ὑπομείναντι, καὶ ἅμα αὐτῷ ἐπ' ἐσχάτων ἐνηνθρωπηκέναι τὸν Κύριον τῶν χρόνων καὶ σάρκα ἀναλαβεῖν ἀνθρωπίνην, ἣν καὶ πάλιν ἀποθέσθαι διισχυρίζετο.

59,257,13-14. Εἰ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει. Τοῦτο γὰρ τῆς τοῦ Εὐτυχοῦς συγχύσεως, συγχέοντος τὰς φύσεις μετὰ τὴν ἕνωσιν· ἀλλὰ τῇ συνόδῳ τε καὶ συνελεύσει τῶν δύο φύσεων εἰς μίαν σύνθετον ὑπόστασιν. Οὔτε γὰρ τὴν τῶν φύσεων ἀρνούμεθα διαφοράν, ὡς ἐκεῖνος, μετὰ τὴν ἕνωσιν, ἐξ ὧν ὁ εἷς συνετέθη Χριστός, ἀσυγχύτους μεμενηκέναι τὰς φύσεις πιστεύοντες, οὔτε τὴν καθ' ὑπόστασιν ἀγνοοῦμεν ἕνωσιν.

59,264,31-33. Ταῦτα δὲ τῆς τοῦ **[901]** Ἀπολιναρίου αἱρέσεως ἐναργῶς εἰσιν ἀνατρεπτικά, ὃς μετὰ τῶν ἄλλων ἀσεβειῶν ἄψυχον σάρκα καὶ ἄνουν ἀνειληφέναι τὸν Κύριον ἐδογμάτιζεν. ἀντὶ ψυχῆς δὲ καὶ νοῦ τυγχάνειν αὐτοῦ τὴν θεότητα.

ΛΟΓΟΣ ΛΑ'.

59,270,8. Σίμων ... καὶ Μαρκίων αἱρεσιάρχαι. Καὶ οἱ μὲν ἀπὸ Σίμωνος ἐτίμων τὴν ὀγδοάδα διὰ τοὺς παρ' αὐτοῖς αἰῶνας. Ἐμυθολόγησε γὰρ ὅτι ὁ Βυθὸς τῇ ἑαυτοῦ Σιγῇ συγγενόμενος, ἐγέννησε τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν. Καὶ ἔπλασε προπάτορας μὲν αἰῶνας τὸν Βυθὸν καὶ τὴν Σιγήν, ὡς εἴρηται, ἐκ δὲ τούτων δευτέρους τὸν Νοῦν καὶ τὴν Ἀλήθειαν, καὶ ἀπὸ τούτων τρίτους τὸν Λόγον καὶ τὴν Ζωήν, καὶ ἀπὸ τῶν τρίτων τετάρτους τὸν Ἄνθρωπον καὶ τὴν Ἐκκλησίαν. Οἱ δ' ἀπὸ Μαρκίωνος αὐξήσαντες τὴν νόσον, ἐσέβοντο τριακάδα διὰ τοὺς περὶ τούτοις τριάκοντα αἰῶνας. Ἐλήρουν γὰρ ὅτι οἱ τοῖς προαπηριθμηθεῖσιν ὀκτὼ συναριθμούμενοι, δέκα καὶ ὀκτὼ γίνονται. Ὁ δὲ Ἄνθρωπος καὶ ἡ Ἐκκλησία ἑτέρους αἰῶνας δώδεκα, μεθ' ὧν ὁμοῦ τριάκοντα γίνονται. Περιττὸν δὲ καὶ τὰ τούτοις ὀνόματα γράφειν, διὰ τὸ γραῶδες αὐτῶν καὶ παγγέλαστον καὶ κατάπτυστον.

59,273,43. Τοὺς δὲ Φάνητας πλὴν ὀλίγων οἶμαι πολλοὺς ἀγνοεῖν, ὅτι εἷς μὲν οὗτος, κἂν πληθυντικῶς λέγηται, ἐν δὲ τοῖς *Ὀρφικοῖς* ποιήμασιν εἰσάγεται μετὰ τῶν ἄλλων θεῶν καὶ ὁ Φάνης οὗτος περὶ τὴν πυγὴν ἔχων τὸ αἰδοῖον, ὁμοίως δὲ καὶ ὁ Ἠρικαπαῖος. Καὶ ὁ μὲν Φάνης τῆς ζωογόνου δυνάμεως προεστηκέναι λέγεται, ὁ δὲ Ἠρικαπαῖος ἑτέρας, ἀλλόκοτοι *(καὶ τὰ ἑξῆς)*.

59,274.1-2. Τί ἐροῦσι πρὸς τὸ παρ' Ὁμήρου ἐκ προσώπου τοῦ Ποσειδῶνος λεχθέν; Οὐ γὰρ ἂν καὶ τοῦτο ἀλληγορήσουσι. Εἰσάγει γὰρ Ὅμηρος τὸν Ποσειδῶνα ταῦτα λέγοντα καὶ τρόπον τινὰ φυσιολογοῦντα. Διὶ μὲν τὸν αἰθέρα προσκληρωθῆναι ἐν τῇ τοῦ παντὸς διανομῇ, τῷ δ' Ἅδῃ τὸν ἐπώνυμον τῶν νεκρῶν τόπον, ἤτοι τὸν καταχθόνιον, αὐτῷ δὲ τῷ ταῦτα ληροῦντι τὴν θάλασσαν. Ἡ γῆ δὲ ξυνή, φησί, πάντων, ἤτοι κοινή, καὶ μακρὸς Ὄλυμπος. Οἵτινες *(τὰ λοιπὰ ἐν τῇ Ἐκλογῇ)*.

59,221,6. Ὥ ς τ ι ς ... ἐ φ ι λ ο σ ό φ η σ ε ν. Ταῦτα δὲ ἐκ τῆς ἀποκαλύψεώς ἐστι Γρηγορίου τοῦ θαυματουργοῦ, ὅντινα καὶ ὡς θεοφόρον ἐξυμνεῖ ὁ θεόπνευστος οὗτος καὶ ὁμώνυμος.

59,280,23. 59,274,25. Σ υ ν α ρ ι θ μ ο ύ μ ε ν ο ν. Τὸ Πνεῦμα συναριθμεῖται παρὰ τῶν εὐσεβῶς θεολογούντων εἰς συμπλήρωσιν τῆς Ἁγίας Τριάδος. Οὐ γὰρ ἂν εἴη τριάς, μὴ καὶ τούτου συναριθμουμένου, καθὼς ἐμυσταγωγήθη ὁ μέγας καὶ θαυματουργὸς Γρηγόριος.

59,281,29. Εἰς τὸν γεννώμενον, ὡς ἡμεῖς λέγομεν καὶ δοξάζομεν, εἰς τὸν κτιζόμενον, ὡς Ἀρειανοί φασιν, καὶ εἰς τὸν ἀπὸ Μαρίας ἀρχόμενον, κατὰ Φωτεινὸν τὸν Σιρμίου, λέγοντα τοῦτον ἄρξασθαι τοῦ εἶναι ἀπὸ Μαρίας, μὴ πρότερον ὄντα ὅλως, καὶ εἰς τὸν ἀναλύοντα ὅθεν εἰς τὸ εἶναι προῆλθε, κατὰ Μάρκελλον τὸν Ἀγκύρας. Οὗτος γὰρ ἐδογμάτιζεν ὅτι ὡς Λόγος προελθὼν καὶ τὴν οἰκονομίαν τελέσας, αὖθις ἀνελύθη εἰς τὸν Πατέρα, ἀφ' οὗ εἰς τὸ εἶναι προῆλθε. Ἄνουν δὲ ἄνθρωπον τὸν Χριστὸν Ἀπολινάριος ἐκήρυσσεν, ἀρκεῖν λέγων ἀντὶ νοῦ τὴν θεότητα.

Καὶ ὄντα δὲ τοῦτο ὁ αὐτὸς ἐδογμάτιζε λέγων, ὅτι ὢν ἄνθρωπος, κατῆλθεν εἰς γῆν, ἐπιφερόμενος ἰδίαν σάρκα, προαιώνιον καὶ συνουσιωμένην. Καὶ φαινόμενον δὲ αὐτὸς πάλιν ἔλεγε, δοκήσει καὶ φαντασίᾳ τοῦτον ἐνανθρωπῆσαι ληρῶν, φαινόμενον μὲν ἄνθρωπον, μὴ ὄντα δέ. Ὁμοίως δὲ καὶ εἰς πολλά, φησί, πνεύματα τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διῄρουν, εἰς τὸ ἄκτιστον, ὡς ἡμεῖς λέγομεν ὀρθῶς δοξάζοντες, καὶ εἰς τὸ κτίσμα, ὡς Μακεδόνιος, ἐπισκοπήσας ἐν Κωνσταντίνου πόλει, καὶ εἰς τὸ ἐνέργημα ὡς Εὐνόμιος καὶ πρὸ αὐτοῦ Ἀέτιος, καὶ εἰς τὸ ψιλὸν ὄνομα, ὡς ὁ Λίβυς Σαβέλλιος.

ΛΟΓΟΣ ΛΒ'.

60,23,3. Πύρρων **[902]** Ἐπικούρου μὲν γέγονε μαθητής, ἐδογμάτιζε δὲ πάντων ἀκαταληψίαν. Διὸ καὶ τοὺς αὐτοῦ λόγους καὶ συλλογισμοὺς οἱ μὲν ἐνστάσεις ὠνόμασαν, ὡς ἐμποδίζοντας πᾶσι ζητήμασιν, οἱ δὲ ἐφέξεις, ὡς ἐπέχοντας αὐτὰ καὶ κωλύοντας, διὰ τὸ δογματίζειν ὅτι πάντα ἀκατάληπτα, οἱ δὲ ἀντιθέσεις, ὡς πᾶσιν ἀντιλέγοντας. Τοιοῦτος μὲν ὁ Πύρρων. Ὁ δὲ Χρύσιππος ἀδελφιδοῦς μὲν ἦν Πλάτωνος, δεινοτάτοις δὲ καὶ δυσεκλύτοις ἐκέχρητο συλλογισμοῖς

ἐν ταῖς διαλέξεσιν, ὡς καὶ τέχνην αὐτὸν παραδοῦναι τῶν τοιούτων συλλογισμῶν, ὧν τὰς διαλύσεις οἱ μεταγενέστεροι φιλόσοφοι γράψαντες ἀντιπαραδεδώκασι.

ΛΟΓΟΣ ϛ.

59,21,12. Ἱστορεῖ δὲ Ἰώσηπος ἐν τῇ τῆς Ἱερουσαλὴμ ἁλώσει, τῇ ὑπὸ Ῥωμαίων ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου τοῦ υἱοῦ αὐτοῦ γενομένῃ, γυναῖκά τινα τοὔνομα Μαρίαν, πατρὸς Ἐλεαζάρου, τὸ ἑαυτῆς θυσαμένην τέκνον, βρῶμα ἴδιον ποιήσασθαι, ὅπερ καὶ λιμοῦ φάρμακον εἶπε. Σύμμαχος δὲ καὶ Θεοδοτίων Ναζιραίους τοὺς ἡγιασμένους ἐκδεδώκασιν εἶναι καὶ τοὺς ἐκ μήτρας ἀφωρισμένους Θεῷ.

59,23,13-14. Εἰρήνην δὲ πάντα νοῦν ὑπερέχουσαν τὸ Πνεῦμα τὸ Ἅγιον ἐδέξατο ὁ θεῖος Κύριλλος. Τοῦτο γὰρ ὑπερέχει πάντα νοῦν, οὐ μόνον ἀνθρώπινον, ἀλλὰ καὶ πνευματικόν, δι' οὗ καὶ τὰ πάντα ὁ μονογενὴς Υἱὸς τῷ Πατρὶ κατήλλαξεν.

ΛΟΓΟΣ ΚΓ'.

59,179,13-14. Τοῦτο δὲ κεκίνηκε τὸ νόημα, τὴν ἐσφαλμένην ὑπόνοιαν τῶν Τριθειτῶν διορθούμενος.

ΛΟΓΟΣ ΚΒ'.

59,171,32 ἑξ. Κατὰ ... τὴν τῶν Θεοπασχιτῶν ὑπόληψιν εἰ ὁ Υἱὸς ἔπαθε καὶ ἀπέθανε κατὰ τὴν θείαν ἑαυτοῦ φύσιν, δυὰς γέγονεν ἡ τριάς, τοῦ Υἱοῦ ἀποθανόντος, καὶ ἦν ἄρα δυὰς μέχρι τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ.

ΛΟΓΟΣ ΛΓ'.

60,35,19-20. Οὐαλεντῖνος τὴν μίαν ἀρχήν, τὸν ἕνα Θεὸν εἰς δύο κατατέμνων ἐν τῷ δογματίζειν δύο ἀρχὰς ἤτοι δύο θεούς. Ἄλλον παρὰ τὸν ἀγαθὸν ἔλεγε τὸν Δημιουργόν, καὶ τὸν μὲν ἀγαθὸν ὠνόμαζε Πατέρα τοῦ Μονογενοῦς, τὸν δὲ Δημιουργὸν ἐκάλει δίκαιον. Τὸν μὲν γὰρ ἐν τῷ νόμῳ κελεύειν, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐκκόπτειν καὶ ὀδόντα ἀντὶ ὀδόντος, τὸν δὲ ἐν τῷ εὐαγγελίῳ παραινεῖν τῷ ῥαπιζομένῳ τὴν δεξιὰν σιαγόνα στρέφειν καὶ τὴν ἄλλην τῷ παίοντι, καὶ τὸν μὲν προστάξαι μισεῖν τὸν ἐχθρόν, τὸν δὲ μᾶλλον ἀγαπᾶν αὐτόν, καὶ τὰ τοιαῦτα.

60,35,22. Μαρκίων πολλὰς καὶ ποικίλας θεολογίας φλυα-

ρήσας, ὑπέθετο καὶ δημιουργὸν Θεόν, ἐκ τῶν εἰκοσιτεσσάρων στοιχείων ἤτοι γραμμάτων συγκείμενον, οὗ κεφαλὴν μὲν τὸ ἄλφα καὶ τὸ ω, τράχηλον δὲ τὸ β καὶ τὸ ψ, ὤμους δὲ τὸ γ καὶ τὸ χ, στῆθος δὲ τὸ δ καὶ τὸ φ, καὶ τὰ ἑξῆς μέρη τὸν ὅμοιον τρόπον ἄχρι ποδῶν, οὓς εἶναι τὸ μ καὶ τὸ ν. Ταῦτα δὲ τὰ εἰκοσιτέσσαρα στοιχεῖα καὶ ἀριθμοὺς ἐκάλεσεν, ὡς ἀριθμῶν δηλωτικά, ὧν ἕκαστον ἐμφαίνειν ἔλεγεν ἑκάστην δύναμιν τοῦ τοιούτου θεοῦ, περὶ ὧν περιττὸν λέγειν διὰ τὸ γραῶδες καὶ ληρῶδες αὐτῶν.

60,35,23. Μοντανὸς ... γυναῖκά τινα μαινάδα καὶ μάχλον ἐπισυρόμενος, ἐτόλμησεν Ἅγιον Πνεῦμα ταύτην προσαγορεῦσαι.

60,35,24. Μανοῦ, τὴν ὕλην μετὰ τοῦ σκότους. Μανὸς ... ἀμφότερα ταῦτα ἄκτιστα καὶ συνάναρχα τῷ Θεῷ ὑπέθετο καὶ ἐδογμάτισεν.

60,35,24. Ναυάτος, πρεσβύτερος ὢν τῆς Ρωμαίων ἐκκλησίας, οὐκ ἐδέχετο εἰς μετάνοιαν τοὺς παραπεσόντας εἰς ἄρνησιν τῆς πίστεως. Ἀλλ' οὐδ' ἄλλον τινὰ μετὰ τὸ βάπτισμα ἁμαρτήσαντα, δεῖν ἔλεγε δέχεσθαι εἰς μετάνοιαν. Ἀλλ' οὐδὲ τοὺς δευτερογαμοῦντας προσίετο, ὃν καθελόντες οἱ ὀρθόδοξοι, ὡς ἀθετοῦντα τὴν μετάνοιαν καὶ καθαρὸν ἑαυτὸν λέγοντα καὶ ἀνέγκλητον, καθαρὸν αὐτὸν εἰρωνικῶς προσηγόρευσαν.

ΖΙΓΑΒΗΝΟΥ *

ΠΡΟΛΟΓΟΣ ΤΟΥ ΣΥΓΓΡΑΦΕΩΣ

188 Οὐδεὶς οὕτω τοῖς ἰδίοις συγγράμμασι τὰς τῶν παλαιῶν ῥήσεις συνυφέλκει ὡς εἰπεῖν καὶ συγκέχρωκεν ἀφανιζόμενος τὰ χρειώδη τῷ λόγῳ καὶ προσφυῶς ἐναρμόττων, ὡς ὁ θεολόγος Γρηγόριος ἐπὶ εἶδος τῶν παρ᾽ αὐτῷ χρήσεων· αἱ μὲν ἔχουσι προσκειμένους καὶ τοὺς προενεγκαμένους αὐτάς, αἱ δ᾽ οὐκ ἔχουσι καὶ λανθάνουσι τοὺς πολλοὺς οἰομένους αὐτὰς εἶναι τοῦ Θεολόγου. Πειράσομαι δηλῶσαι καὶ περὶ τουτων, τίνος τέ ἐστι ἑκάστη καὶ ποία μὲν κατὰ παρῳδίαν τέθειται, ποία δὲ καθ᾽ ἕτερον τρόπον ἀγνοούμενον τοῖς πολλοῖς μετὰ καὶ τῆς προσηκούσης ἐπιλύσεως, εἰ δεήσει, καινόν τινα τοῦτον πόνον ἀναδεξάμενος πρὸς ὠφέλειαν τῶν ἐντυγχανόντων καὶ κάματον πολὺν ὑποστὰς ἐπὶ τῇ τῶν τοιούτων χρήσεων ἀνευρέσει καὶ πᾶσαν τήν τε Παλαιὰν καὶ τὴν Νέαν Γραφὴν διαφόρως ἐξερευνήσας.

ΠΡΟΟΙΜΙΟΝ

ΕΚ ΤΩΝ ΕΙΣ ΤΟΝ ΠΕΡΙ ΥΙΟΥ ΠΡΩΤΟΝ ΛΟΓΟΝ (ΚΘ΄)

Δικανικοὶ μὲν οἵ τε περὶ Υἱοῦ δύο λόγοι καὶ ὁ περὶ τοῦ Ἁγίου Πνεύ**189**ματος, (ἀντιρρητικοὶ γὰρ κριτὰς ἔχοντες τοὺς ἀκροωμένους), ἐπεὶ καὶ πρὸς εὐσεβεῖς ἐκπεφώνηνται, εἰ καὶ πολλάκις πρὸς αἱρετικοὺς ἀποτείνονται τῷ κατὰ ἀποστροφὴν σχήματι, νόμῳ δικαζομένῳ· καὶ τοῦτο δῆλον ἀπὸ τῶν προοιμίων καὶ τῶν ἐπιλόγων τοῦ παρόντος λόγου, καὶ μάλιστα τοῦ μετὰ τοῦτον, ἐν ᾧ δείκνυται σαφέστερον, ὡς ἑνὸς τῶν φίλων αἰτησαμένου πεποίηκε τὰς ἀντιρρήσεις δι᾽ ὠφέλειαν αὐτοῦ τε καὶ τῶν ἐντυγχανόντων πιστῶν. Ἔχει δὲ τὴν ἀναφορὰν οὗτος μὲν πρὸς τὸν πρὸ αὐτοῦ περὶ θεολογίας λόγον· διὰ τοῦ μὲν συνδέσμου τούτῳ προσαρμοζόμενος. Ἐν ἐκείνῳ μὲν γὰρ ἐδίδαξε, πῶς δεῖ θεολογεῖν τὸν δυνάμενον· πρὸς δὲ τοῦτον, ὁ μετὰ τοῦτον· καὶ πρὸς ἐκεῖνον, ὁ περὶ τοῦ Ἁγίου Πνεύματος. Ἀναγκαῖον δὲ προθεωρῆσαι τοῦ λόγου τοσοῦτον, ὅτι Εὐνομιανοὶ πολλοῖς ῥητοῖς τῆς θείας Γραφῆς προσπταίοντες, ἃ συνοπτικώτερον ὁ διδάσκαλος ἐπὶ τέλει τοῦ παρόντος ἐκτίθεται λόγου λέγων· σὺ δέ μοι καταρίθμει πρὸς ταῦτα τὰ τῆς ἀγνωμοσύνης σήματα καὶ τὰ ἑξῆς. Ἑτεροφυῆ τὸν Υἱὸν συνῆγον καὶ τῆς

---

* Κατὰ τὴν ἔκδοσιν τοῦ J. Sajdak, Historia Critica .. pars I, Cracoviae, 1914 σελ. 188-198.

πατρικῆς οὐσίας ἀλλότριον, ὁρώμενοι δ' ἀπὸ τῆς ἀμφὶ τὰ ῥητὰ πλάνης καὶ κακουργίας κἀντεῦθεν ποριζόμενοι σοφίσματα τινα καὶ παραλογισμοὺς καὶ διλήμματα κατὰ τῆς εὐσεβείας ὡπλίζοντο καὶ ἐπειρῶντο ἐλάττονα, σπεύδοντες ἥττονα τὸν Υἱὸν ἀποδεῖξαι καὶ κτιστον, οὗ χάριν καὶ περὶ τὴν προαιώνιον αὐτοῦ γέννησιν ἐπονηρεύοντο, γέννησιν νοοῦντες οὐ τὴν ἐξ ὁμοουσίου Πατρός, ἀλλ' ἁπλῶς τὴν κτίσιν καὶ ποίησιν· εἰ γὰρ καὶ πατέρα τὸν πατέρα συνωμολόγουν, ἀλλ' οὐ διὰ τὴν πρὸς τὸν Υἱὸν σχέσιν, ἀλλὰ καταχρηστικῶς διὰ τὴν δημιουργικὴν ἐπιστήμην, ὡς ἐπὶ τῶν κτισμάτων λέγομεν πατέρας ἔργων καὶ λόγων καὶ τεχνῶν καὶ παιδεύσεων, καθά φησι καὶ Πλατων λέγων ὁ πατὴρ τοῦδε τοῦ παντός. Ὁμοίως δὲ καὶ τὸν Υἱὸν ἐκαλουν μὲν Υἱον, ἀλλ' ὡς δημιούργημα κτίστου· καὶ γὰρ καὶ τοὺς ἀνθρωπους υἱοὺς Θεοῦ λέγεσθαι διὰ τὸ πρὸς αὐτοὺς κηδεμονικόν. Ἄρχεται γοῦν ὁ διαλύων τοὺς συνδέσμους αὐτῶν δίκην ἀραχνίων ἱστῶν ὁ Θεολόγος οὕτως. Ἃ μὲν οὖν εἴποι τις ἂν καὶ τὰ ἑξῆς, ταῦτα ἐστὶν κτλ

ΝΙΚΗΦΟΡΟΥ ΚΑΛΛΙΣΤΟΥ ΤΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

(ΙΓ'-ΙΔ' αἰ.)

193 Τῷ κατάρατῳ Ἀρείῳ συνεγένετο ὁ Σύρος Ἀέτιος, ὃς καὶ τὴν νόσον διαδεξάμενος τῷ Κυζίκου Εὐνομίῳ — ἴσως ἄξιοι εἰρῆσθαι με τρανότερόν τε καὶ τελεώτερον. ἀμήν. Ἑρμογένης ὁ ῥήτωρ [illegible] φησιν ἐν τῷ περὶ μεθόδου δεινότητος εἶναι τῆς δευτερολογίας τὰ εἴδη — καὶ ἐπανάστασιν κατὰ τοῦ βασιλέως Κωνσταντίνου καὶ τοῦ Θεοῦ ἐπ' αὐτῷ. ἀμήν.

ΛΟΓΟΣ Β ΚΑΙ Δ

Ὁ παρὼν λόγος τοῦ πανηγυρικοῦ εἴδους ἐστὶν ὃ διαιρεῖται εἰς ἐγκώμιον καὶ ψόγον. Ἔχει δέ τι τοῦ συμβουλευτικοῦ καὶ δικανικοῦ. Πανηγυρίζει μὲν τὴν τοῦ τυράννου κατάλυσιν, ὡς ἐπί τινος [illegible] ρου στήλου τὴν φαυλότητα ψέγων τὰς ἐκείνου πράξεις. ἔτι δὲ οὐ διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων πρόεισι. Στηλιτευτικὸν καλεῖσθαι μᾶλλον ἢ ψόγος ἤρεσε τοῖς πολλοῖς. Ὁ μὲν γὰρ ψόγος ἀπὸ γένους καὶ ἀνατροφῆς καὶ πατρίδος καὶ συγκρίσεως τῶν ἐγκωμιαστικῶν δηλαδὴ κεφαλαίων προέρχεται, ὁ δὲ στηλιτευτικὸς ἀπὸ τῶν πράξεων ὧν [illegible] ἔπραξεν [illegible] ποτὲ δὲ καὶ ἀπὸ συγκρίσεως. Ἐπιγέγραπται δὲ Στηλιτευτικὸς ἀπό τινος στήλης, ἥτις ἦν ἐπιμήκης τετράγωνος παρὰ τοῖς ἀρχαίοις ἀπὸ λίθου ἢ χαλκοῦ εἰς ἣν τοὺς τῶν ἐπισήμων εἰς κακίαν λόγους ἐνέγραφον ὥστε διαμένειν [illegible] τὰ **194** αὐτῶν ἀνεξάλειπτα. Τὸ προοίμιον, ἤγουν τὸ Ἀκούσατε [illegible] ἐξ ὑπολήψεως, εἰκὸς γὰρ ἦν πάντας χαίρειν ἐπὶ τῇ ἀναιρέσει τοῦ τυράννου. Τὸ γὰρ στηλιτευόμενον πρόσωπον μέγα καὶ μικροῦ δεῖν πάντων ἐθνῶν κατάρξαν καὶ εἰς τὸν πάντων ποιητὴν ἐνυβρίσαν δι' ὃ καὶ πάντα [illegible] καλεῖ. Ἐπεὶ δὲ [illegible] οἰκουμένην ὅλην καλεῖ, ἀναγκαῖον ἦν ἔκ τινος περιφανοῦς τόπου κα[illegible]

ΛΟΓΟΣ Β

ΠΡΟΟΙΜΙΟΝ

196 Οὐχ ἄρα μάτην ὁ παρὼν οὗτος λόγος τοῖς μὴ ἀναγινωσκομένοις τῶν ἄλλων τὰ πρωτεῖα φέρειν νενόμισται ἀλλ' ὥσπερ ἐν τοῖς ἀναγινωσκομένοις τὸ μέσον τούτου [illegible] τὸν Εἰς τὴν βραχύτητα λόγον φημὶ καὶ Εἰς τὸ Πάσχα [illegible] καὶ

οὗτος ὡς δευτερολογία ἁρμοδίως ἐν τῇ δευτέρᾳ βίβλῳ τοῦ μεγάλου τούτου πατρὸς προτάττεσθαι ἔδοξεν.

Ἡ δὲ αἰτία, δι' ἣν τὸν παρόντα λόγον συνέταξεν, ἔστιν αὕτη· Οὐχ ἑκὼν ὁ μέγας οὗτος τὸ τῆς ἱερωσύνης χρῖσμα δεξάμενος καὶ ὑπὸ τοῦ ἰδίου πατρὸς εἰς ἔσχατον ἤδη γῆρας ἐλάσαντος ἀναγκαζόμενος τῆς κατ' αὐτὸν ἐκκλησίας προΐστασθαι, Ναζιανζὸς δὲ ἦν αὕτη, οὗτος ἔκπαλαι τῷ τῆς ἡσυχίας ἁλοὺς ἔρωτι, φυγὰς εἰς τὸν Πόντον ἀναχωρεῖ, ἔνθα διατρίβων ἦν πρότερον, κἀκεῖσε πρὸς ὀλίγον σχολάσας καὶ τὸ ἔγκλημα δείσας τῆς πατρικῆς ἀπειθείας, κατὰ τὸν καιρὸν τοῦ Πάσχα ἐπάνεισιν, ὅτε καὶ τὸν περὶ τῆς βραδυτῆτος λόγον ἐξεῖπεν· ὕστερον δὲ καὶ τὸν παρόντα λόγον συντετηρημένως συνέθετο, ἀπολογίαν ἔχοντα, πῶς τε φύγοι καὶ ὅπως ἐπανέλθοι· καὶ παντοῖος γίνεται δεῖξαι, ὅτι οὔτε τὸ φυγεῖν αὐτὸν ἀπρεπὲς οὔτε μὴν τὸ ἐπανελθεῖν.

Ὁ μὲν οὖν λόγος δικανικὸς χρωννύμενος εἰς μᾶλλον τῇ συμβουλῇ· τὸ δὲ εἶδος τούτου στοχαστικὸν τέλειον· τὸ δὲ προοίμιόν ἐστιν **197** ἀπὸ προσώπου καὶ πράγματος· ἀπὸ προσώπου μέν, ἀπὸ τοῦ πράγματος δέ. Ἢ καί, ὡς οὗτος δίδωσιν ἐννοεῖν, ἀπὸ χρήσεως. Λέγει γάρ· Ὁ γάρ μοι μακαριώτατος Δαβὶδ ἀρχέτω τοῦ λόγου Καὶ μὴν οὐκ ἔστι δαβιτικὸν τό· *Ἥττημαι καὶ τὴν ἧτταν ὁμολογῶ*. Ἀλλ' ἐπεὶ ᾧτινί τις ἡττᾶται, τούτῳ καὶ ὑποτέτακται, καλῶς ἂν ὡς ἓν τὰ ἀμφότερα τάττοιτο, τό τε Ἥττημαι καὶ τὸ Ὑπετάγην. Ἢ καὶ ἄλλως. Εἶπε τὸν Δαβὶδ τοῦ λόγου τούτου εἶναι προκαταρχὴν οὕτως· ἐπεὶ οὖν ἀρχὴ τοῦ λόγου τὸ προοίμιον, μέρος δὲ τῆς τούτου προτάσεως καὶ τὸ ὑπετάγην, ὅπερ ἐστὶ τοῦ Δαβίδ, καλῶς ἂν ἔχοι τοῦτο εἰπών. *Ἥττημαι* ἀγωνιστικὴ ἡ λέξις· ἐπεὶ καὶ οὗτος ἀνθίστατο ἀγωνιζόμενος. Ἥττημαι δὲ εἶπεν ὁμολογῶν τὴν ἧτταν, ὅτι γε τὸ νικᾶν οἶδε καλῶς, καὶ τὸ ἡττᾶσθαι πάλιν ἐπὶ καλῷ· διὰ τὴν ὑποταγὴν καὶ διὰ τὰ τοῦ Θεοῦ παραγγέλματα ἡττήθην, καὶ ὑπόκειμαι τῷ πατρί μου...

ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΙΚΡΟΥ

ΕΙΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ 243 ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Οὗτος ὁ πρὸς Εὐάγριον μοναχὸν τοῦ μεγάλου Γρηγορίου λόγος περὶ θεολογίας ἐκπεφώνηται αὐτοῦ ἐκείνου αἰτησαμένου. Ἐλλόγιμος γὰρ ὢν πλείστας, ὡς ἔοικε, πύστεις τῷ πανσόφῳ τούτῳ προσῆγε πατρί, ὧν μίαν ὁ καὶ ταύτην τὴν οὕτω βαθεῖάν τε καὶ ἀναγκαίαν ἐρωτήσεως σχήματι ἐξαπεστάλκει. Καὶ μὴ θαυμάσῃς, ἀλλὰ 198 διαφόρως δέξαι ἀντίον πύστεως τὴν ἐρώτησιν, κἂν διαφέρειν δοκοίη· τὴν μὲν γάρ φησι σύντομον τὴν ἀπόκρισιν ἔχειν διὰ τοῦ ναὶ ἢ οὔ, τὴν πύστιν δὲ διὰ μακροῦ λόγου ἀποδίδοσθαι. Θαυμάζειν δὲ τοῦτον τῆς νηφαλιότητος καὶ ἐκπλήττεσθαι ὡς τοιούτων θεωρημάτων αἴτιον, καίτοι διαβεβλημένον ἐν δόγματι καὶ οὐ θαυμαστόν· οὔπω γὰρ τῶν ἐν τῇ Χαλκηδονέων μητροπόλει κεκινημένων δογμάτων ἐν θαυμαζομένοις μετὰ Θεοδώρου καὶ Διοδώρου ἐπὶ σοφίᾳ μεμαρτύρητο, Σεβήρου δὲ καὶ Διοσκόρου καὶ τῶν ὁμοφρόνων δύο αὐτῶν ἐκ τῶν συνταγμάτων τῶν εἰρημένων ἀνδρῶν τούτων τὰς δύο φύσεις καὶ τὰς τρεῖς ὑποστάσεις κιβδηλευόντων, ἔτι δὲ καὶ τὴν Νεστορίου ἀνθρωπολατρείαν πρεσβευόντων ὑπὸ τῶν ἁγίων, αὐτός τε καὶ οἱ προειρημένοι ἀναθεματισθέντες, ἐξεβλήθησαν πατέρων.

ΝΙΚΗΦΟΡΟΥ ΞΑΝΘΟΠΟΥΛΟΥ

ΕΙΣ ΤΗΝ ΕΠΙΣΤΟΛΗΝ 243 ΓΡΗΓΟΡΙΟΥ ΤΟΥ ΘΕΟΛΟΓΟΥ

Ἐξ ὧν δείκνυσιν ὁ μέγας πατήρ, ἔοικεν ὁ Εὐάγριος οὗτος πολλάς τινας πεύσεις τούτῳ προσάγειν καὶ παρ' αὐτοῦ τὰς λύσεις λαμβάνειν, ἅτε δὴ σοφίας καὶ οὗτος οὐκ ἄμοιρος, καὶ δὴ καὶ τὴν νῦν ἀναγκαίαν οὖσαν. Διαφέρει δὲ πύστις ἐρωτήσεως, ὅτι ἡ πύστις διὰ μακροῦ τὴν ἀπόδοσιν ἔχει, ἡ δὲ ἐρώτησις σύντομον ἔχει τὴν ἀπό198κρισιν, ναὶ ἢ οὐ τυχόν. Θαυμάζειν δέ φησι τοῦτον τῆς περὶ τὰ καλὰ ἐγρηγόρσεως, καὶ ταῦτα μὴ ἀκριβείας κατὰ τὸ εὐσεβὲς ἐχόμενον ὡς αἰτίαν τοιούτων ζητήσεων. Μέγας δὲ καὶ οὗτος ἐπὶ φιλοσοφίᾳ ἐδόκει πρὸ τῆς ἐν Χαλκηδόνι συνόδου μετὰ Θεοδώρου καὶ Διοδώρου, Σεβήρου δὲ Εὐτυχοῦς τε καὶ Διοσκόρου καὶ τῶν ὁμοφρόνων, ἐκ τῶν πεπονημένων τούτοις τὰς δύο φύσεις καὶ τὰς τρεῖς ὑποστάσεις κιβδηλευόντων, ἔτι δὲ καὶ τὴν ἀνθρωπολατρείαν τοῦ καταράτου Νεστορίου προσλαβόντος, ὑπὸ τῶν ἁγίων πατέρων αὐτός τε Εὐάγριος σὺν τοῖς προειρημένοις πᾶσι τῷ ἀναθέματι ὑποβληθῆναι.

ΠΙΝΑΞ
ΤΩΝ ΧΩΡΙΩΝ ΤΗΣ ΑΓΙΑΣ ΓΡΑΦΗΣ*

* Τὰ χωρία τῆς Παλαιᾶς Διαθήκης καταριθμοῦνται κατὰ τὸ κείμενον τῶν Ο'.

ΠΙΝΑΞ
ΕΞΩΒΙΒΛΙΚΩΝ ΧΩΡΙΩΝ

ΠΙΝΑΞ

ΘΕΜΑΤΩΝ, ΟΝΟΜΑΤΩΝ, ΠΡΑΓΜΑΤΩΝ

(Συνταχθεὶς ὑπὸ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη)

α) Οἱ πρῶτοι ἀριθμοὶ ἀναφέρονται εἰς τὴν σελίδα, οἱ δὲ μετὰ τὸ κόμμα εἰς τοὺς στίχους τῆς σελίδος.— β) Ὅταν εὑρίσκηται πρὸ τοῦ ἀριθμοῦ τῆς σελίδος τὸ σημεῖον σελ., τὸ ὄνομα ἢ πρᾶγμα ἀπαντᾶται περισσότερον ἢ δὶς εἰς τὴν αὐτὴν σελίδα.

Εἰς τὸν καταρτισμὸν τῶν Πινάκων μετὰ τοῦ Σεβ. Μητροπολίτου Ζακύνθου κ. Παντελεήμονος Μπεζενίτη συνειργάσθη καὶ ὁ κ. Παναγιώτης Γ. Νικολόπουλος, Διδάκτωρ Φιλοσοφίας. Εἰς τὴν ἁγιογραφικὴν ἐνημέρωσιν καὶ τὰς διορθώσεις ἐβοήθησεν ἡ κ. Πολυτίμη Τζέρπου, Θεολόγος.

Σημειωτέον, ὅτι οἱ ἐντὸς ἀγκυλῶν κατὰ τὴν παράθεσιν τοῦ κειμένου σημειούμενοι ἀριθμοὶ παραπέμπουσιν εἰς τὰς σελίδας τῆς ἐκδόσεως τοῦ J.-P. Migne, οἱ δὲ ἄνευ ἀγκυλῶν εἰς τὰς σελίδας τῆς ἐξ ἧς ἐλήφθησαν κριτικῆς ἐκδόσεως.